πολυμαθὴς ἑλληνιστὴς Μιχαὴλ ὁ Le Quien ἠθέλησεν ἵνα ἐκπληρώσῃ τὴν ὑπόσχεσιν ἐκείνου, ἀρξάμενος μάλιστα καὶ τῆς ἐκτυπώσεως τοῦ ἔργου ἐν τῇ βασιλικῇ τυπογραφίᾳ, πλὴν αἱ αὐταὶ περιστάσεις ἐματαίωσαν καὶ τὴν δευτέραν ταύτην περὶ ἐκδόσεως τοῦ Ψελλοῦ ἀπόπειραν. Ἐν τοῖς καθ' ἡμᾶς δὲ χρόνοις ὁ περικλεὴς Hase ἁπλῶς περιγράψας τὸν κώδικα[1] ἐδημοσίευσε μὲν τὴν ἐπισυνημμένην ἱστορίαν Λέοντος τοῦ Διακόνου, πλὴν οὐδεμίαν καὶ περὶ ἐκδόσεως τοῦ Ψελλοῦ ἔδοτο ὑπόσχεσιν· μετὰ τὸν Hase ἠσχολήθη, ὡς λέγεται, ὁ γερμανὸς Dübner περὶ τὴν ἀντιγραφὴν καὶ μετάφρασιν τοῦ Ψελλοῦ, ἄδηλος ὅμως ἡ τύχη τούτων, μετὰ τὸν θάνατον ἐκείνου. Πρὸ μικροῦ δὲ ὁ κύριος Miller ἀνέγνω ἐν τῇ γαλλικῇ ἀκαδημίᾳ τῶν ἐπιγραφῶν μικράν τινα διατριβὴν περὶ τῶν πρὸς τὸν Ἰσαάκιον τὸν Κομνηνὸν δύο πρεσβειῶν τοῦ Ψελλοῦ, πλὴν θεωρῶν τὴν ἱστορίαν αὐτοῦ δύσκολον εἰς μετάφρασιν καὶ μάλιστα εἰς κατανόησιν[2], ἀπέσχε τοῦ ἔργου.

Τῆς ἱστορίας ταύτης τοῦ Ψελλοῦ εἷς καὶ μόνος κῶδιξ γινώσκεται, ὁ ἄνω μνημονευθεὶς Παρισινὸς, γραφεὶς ἐν τῇ δωδεκάτῃ ἑκατονταετηρίδι ὑπὸ καλλιγράφου, δυστυχῶς ἀμαθοῦς· διὰ τὸν τελευταῖον δὲ τοῦτον λόγον καὶ ἡ ὀρθογραφία τῶν λέξεων κάκιστα ἔχει, καὶ τὸ χεῖρον ὅτι πλεῖσται μὲν λέξεις παρεμορφώθησαν καὶ ἠκρωτηριάσθησαν, ἄλλαι δὲ καὶ παρελείφθησαν· τὰς δ' ἐλλείψεις ταύτας προσεπάθησα τὸ ἐπ' ἐμοὶ ἵν' ἀναπληρώσω, διορθώσας μὲν τὰς ἀνορθογραφίας, ὑποδείξας δὲ καὶ τὴν ὀρθοτέραν γραφὴν τῶν διεφθαρμένων λέξεων, ἢ καὶ τὴν πιθανὴν συμπλήρωσιν τῶν ἐλλειμμάτων.

πρωτότυπον τῆς ἱστορίας τοῦ Ψελλοῦ, σποράδην μὲν πολλαχοῦ ἁπλῶς ἐμνημόνευσεν, ἐν δὲ τῇ λέξει Πρόεδρος καὶ ἀπόσπασμά τι ἐξ αὐτῆς παρέθετο.

1. Notices et extraits des Mss. Paris, VIII, σελ. 254.

2. « Il n'est pas commode à traduire, ni même à comprendre, surtout lorsqu'il subtilise, ce qui lui arrive assez souvent. » Comptes rendus des séances de l'année 1867, tome III, σελ. 193-200.

Τὴν σύνταξιν τῆς ἱστορίας, ἢ μᾶλλον τῶν ἀπομνημονευμάτων αὐτοῦ ἤρξατο ὁ Ψελλὸς ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μονομάχου, κατ' ἐπίμονον προτροπὴν πολλῶν τῶν τότε ἐν τοῖς πολιτικοῖς καὶ ἐκκλησιαστικοῖς πράγμασι σημαινόντων. Ὡς γνωστὸν ἡ βυζαντινὴ αὐτοκρατορία, συνεχίζουσα τὴν παράδοσιν τοῦ τε ἑλληνικοῦ καὶ τοῦ ῥωμαϊκοῦ ἔθνους, τῶν ὁποίων παρίστατο ὁ μόνος κληρονόμος, διετήρησε καὶ τὸ ἔθιμον τῆς διαδοχικῆς ἱστοριογραφίας, περιβεβλημένης οὕτως εἰπεῖν καὶ ἐπίσημον χαρακτῆρα· δυστυχῶς ὅμως δι' ἀγνώστους ἡμῖν λόγους ἡ σύγχρονος αὕτη ἱστοριογραφία ἀποτόμως διεκόπη ἅμα τῷ θανάτῳ τοῦ Ἰωάννου Τσιμισχῆ (976), οὕτω δὲ καὶ ἡ ἔνδοξος βασιλεία τοῦ περικλεοῦς Βασιλείου τοῦ Βουλγαροκτόνου στερεῖται τοῦ εἰδικοῦ αὐτῆς ἱστορικοῦ, οὐχ ἧττον δὲ καὶ οἱ τέσσαρες ἐκείνου διάδοχοι.

Ἅμα βασιλεύσαντος τοῦ Μονομάχου ὁ Ψελλὸς ἐποφθαλμιῶν θέσιν ἐν τῇ ἡγεμονικῇ θεραπείᾳ ἀπέτεινε πρὸς τοῦτον ἐγκωμιαστικὸν λόγον, ἐν ᾧ πρὸς τοῖς ἄλλοις ἐξιστόρει καὶ τὰ ἀπὸ Βασιλείου τοῦ Βουλγαροκτόνου μέχρι τῆς ἀναρρήσεως τοῦ ἐγκωμιαζομένου βασιλέως συμβάντα ἐν γλαφυρᾷ γλώσσῃ, ψέγων μὲν τὰ ἀξιόμεμπτα, ἐπαινῶν δὲ τὰ ἐπαίνου ἄξια. Τὸ ἱστορικὸν τοῦτο ἐγκώμιον, δι' ὃ καὶ ἐν αὐτῷ τῷ ᾅδῃ κατὰ τὸν Τιμαρίωνα εἰρωνεύθη ὑπὸ τῶν σοφιστῶν ὁ Ψελλὸς [1], κατὰ πᾶσαν πιθανότητα ὑπέδειξεν εἰς τοὺς Βυζαντίους τὸν ἀπὸ πολλοῦ ποθούμενον ἱστοριογράφον.

Ὅθεν εἰς ἀναπλήρωσιν τοῦ ὑφισταμένου κενοῦ ἐν τῇ βυζαντινῇ ἱστοριογραφίᾳ ἐπιμόνως παρακληθεὶς ὁ ἤδη ἐν τῇ θεραπείᾳ τοῦ Μονομάχου διαπρέπων Ψελλὸς [2], ἀνέλαβε τὴν ἐξιστόρησιν ἀφ' οὗ ἀκριβῶς σημείου ἐγκατέλειψε τὴν διήγησιν Λέων ὁ Διάκονος,

1. Καθὰ καὶ αὐτὸς ὁ Ψελλὸς ὁμολογεῖ (Ἱστορία, σελ. 115) καὶ οἱ τότε « ἐθαύμασαν τὰς ὑπερβολὰς τοῦ πρὸς τὸν Μονομάχον ἐγκωμίου αὐτοῦ. »

2. Ἱστορία, σελ. 113-114.

δηλαδὴ ἀπὸ τοῦ θανάτου τοῦ Τσιμισχῆ, καὶ ἐπιτροχάδην διερχόμενος τὰ μέχρι τῆς βασιλείας Ρωμανοῦ τοῦ Ἀργυροπούλου συμβάντα, δι' ἔλλειψιν καὶ ἑτέρων βοηθημάτων καὶ πρὸ πάντων ὅτι νεανίσκος ὢν τότε οὐδὲν ἐξ αὐτοψίας ἐγίνωσκεν [1], ἐντεῦθεν δὲ ὀπωσοῦν λεπτομερέστερον ἐξιστορῶν τὰ γενόμενα, φθάνει μέχρι τῆς βασιλείας Μιχαὴλ τοῦ Καλαφάτου [2], ἀφ' οὗ κυρίως ἄρχονται τὰ ἀπομνημονεύματα τοῦ αὐτόπτου ἱστοριογράφου.

Τὸ πόνημα τοῦτο τοῦ Ψελλοῦ, διά τε τὴν γλαφυρότητα τοῦ ὕφους, τὰς χαριεστάτας εἰκόνας τῶν προσώπων, τὴν κριτικὴν ἔρευναν τῶν αἰτίων ἐξ ὧν προῆλθεν ἡ συνεχὴς ἐκείνη καχεξία, καὶ πρὸ πάντων τὴν οὐχὶ συνήθη ἐν τοῖς χρόνοις ἐκείνοις ἀμεροληψίαν τοῦ εὐσυνειδήτου ἱστοριογράφου, ἀναγκαζομένου πολλάκις ἵνα θυσιάσῃ καὶ αὐτὰς τὰς συμπαθείας αὐτοῦ εἰς τὸν βωμὸν τῆς ἀληθείας, ἐν συντριβῇ μάλιστα καρδίας ἐξαιτούμενος διὰ τοῦτο συγγνώμην ἀπὸ τῆς παρωργισμένης σκιᾶς τῶν εὐεργετησάντων αὐτὸν βασιλέων, ἀναντιρρήτως κατέχει θέσιν ἐπίσημον ἐν τῇ ἱστορικῇ σειρᾷ τῆς Βυζαντίδος.

Ἡ ἱστορία τοῦ Ψελλοῦ φαίνεται ἀποτελουμένη ἐκ δύο διαφόρων μερῶν· καὶ τὸ μὲν πρῶτον διῆκον μέχρι τέλους τῆς βασιλείας Ἰσαακίου τοῦ Κομνηνοῦ [3], καὶ διακρινόμενον ἐπὶ αὐστηρᾷ ἀμεροληψίᾳ, συνετάχθη κατ' ἀπαίτησιν, ὡς προελέχθη, τῶν ἐν τοῖς πολιτικοῖς καὶ ἐκκλησιαστικοῖς πράγμασι τότε διαπρεπόντων, καὶ ἰδίως ἀνωνύμου φίλου (πιθανῶς τοῦ γνωστοῦ Κωνσταντίνου τοῦ

1. Ἱστορία, σελ. 29-30.

2. Ἐπὶ Μιχαὴλ τοῦ Παφλαγόνος πολλοί, ὡς ὁμολογεῖ ὁ Ψελλὸς, ἠσχολοῦντο εἰς συγγραφὴν ἱστορίας (αὐτ., σελ. 68), πιθανῶς δὲ καὶ ἐπὶ Βασιλείου τοῦ Βουλγαροκτόνου (σελ. 5).

3. Ῥητῶς ὁ Ψελλὸς ὁμολογεῖ (σελ. 238), ὅτι ἡ ἱστορία αὐτοῦ τελευτᾷ ἅμα τῇ παραιτήσει τοῦ Ἰσαακίου· διὰ τὸν λόγον δὲ τοῦτον καὶ μεθοδικῶς διαιρεῖται εἰς τμήματα ἢ τόμους ἑπτά· ἐντεῦθεν δὲ καὶ ἡ διαίρεσις παύει, καὶ τὸ ὕφος χαλαροῦται.

Λειχούδη), πρὸς ὃν καὶ προσφωνεῖται [1]· τὸ δὲ δεύτερον ἐξιστοροῦν ἐν μεγίστῃ βραχυλογίᾳ τὰ ἀπὸ τῆς βασιλείας Κωνσταντίνου τοῦ Δούκα μέχρι τοῦ υἱοῦ αὐτοῦ Μιχαὴλ τοῦ ἐπιλεγομένου Παραπινακίου συμβάντα, συνεγράφη κατ' ἀπαίτησιν καὶ ὑπὸ τὰ ὄμματα τοῦ τελευταίου τούτου ἡγεμόνος καὶ μαθητοῦ αὐτοῦ [2]· διὰ τὸν τελευταῖον δὲ τοῦτον λόγον οὐ μόνον ὑστερεῖ τῶν ἀρετῶν τοῦ πρώτου μέρους, ἀλλ' οὐδ' ἀληθὴς ἱστορία δύναται ἵνα ὀνομασθῇ· αὐτὸς μάλιστα ὁ Ψελλὸς ῥητῶς ὁμολογεῖ, ὅτι προτίθεται ἐν ἄλλῳ συγγράμματι [3] ὅπως ἐκθέσῃ λεπτομερέστερον καὶ ἀληθέστερον τὰ πράγματα.

Ἡ ἱστορία τοῦ Ψελλοῦ τὰ μάλιστα ἐξετιμήθη ὑπὸ τῶν διαδόχων χρονογράφων, οἵτινες καὶ πολλὰ ἐξ αὐτῆς παρέλαβον ἢ καὶ ἁπλῶς ἀντέγραψαν· οὕτως ὁ μὲν Νικηφόρος ὁ Βρυέννιος ἄνευ τῆς ἐλαχίστης μεταβολῆς ἀντιγράφει πολλὰ ἐκ ταύτης κεφάλαια [4], ὁ δὲ Ζωναρᾶς ὁλόκληρον οἰκειοποιεῖται μετὰ μικρῶν προσθηκῶν τε καὶ ἀφαιρέσεων [5]· ὁ Σκυλίτσης πολλὰ ἐκ ταύτης παραλαμβάνει, τινὰ δὲ καὶ ἁπλῶς ἀντιγράφει [6], τὸ αὐτὸ δὲ πράττει καὶ Ἄννα ἡ Κομνηνή [7].

Β. Ἐπιτάφιοι λόγοι εἰς τοὺς πατριάρχας Μιχαὴλ Κηρουλλάριον, Κωνσταντῖνον Λειχούδην καὶ Ἰωάννην

1. Ἱστορία, σελ. 135-136.

2. Ἱστορία, σελ. 288, 292. Ἀλλαχοῦ δὲ ὁμολογεῖ ὅτι καὶ κατ' ἀπαίτησιν τοῦ Κωνσταντίνου Δούκα παρεξέτεινε τὴν ἱστορίαν, ἵνα ἐγκωμιάσῃ ἐκεῖνον (σελ. 260, 263).

3. Ἱστορία, σελ. 277.

4. Βρυεννίου Α', κεφ. ιη-κε', παραβλ. Ψελλοῦ ἱστορ., σελ. 279-288.

5. Ζωναρᾶς, XVII-XVIII.

6. Σκυλίτσης σποράδην, ἰδίᾳ δ' ἐν σελίδι 660 (ἐκδ. Παρισίων) τὰ περὶ Κωνσταντίνου Δούκα, παρ. Ψελλός, σελ. 270.

7. Ἄννα Κομνηνή, σελ. 89 (ἐκδ. Παρισίων) περὶ Μυσῶν, παρ. Ψελλός, σελ. 247.

Ξιφιλῖνον. Τὰ τρία ταῦτα πονήματα, προστιθέμενα ὡς ἀναγκαῖον συμπλήρωμα τῆς ἱστορίας αὐτοῦ, ἀντεγράφησαν ἐκ τοῦ ὑπ' ἀριθμὸν 1182 ἑλληνικοῦ κώδικος τῆς αὐτῆς Παρισινῆς βιβλιοθήκης, περὶ οὗ διὰ μακρῶν λαλήσω ἐν τῷ προσεχῶς ἐκδοθησομένῳ τόμῳ τῆς Μεσαιωνικῆς Βιβλιοθήκης, ἐν ᾧ δημοσιευθήσονται καὶ πολλὰ ἄλλα ἱστορικὰ τοῦ Ψελλοῦ πονήματα ἐκ τοῦ αὐτοῦ κώδικος ἀντιγραφέντα.

Ἐν Παρισίοις, κατὰ μῆνα μάϊον 1874.

ΥΠΟΜΝΗΣΙΣ.

Ὁ πίναξ τῶν ἐν τῷ παρόντι τόμῳ περιεχομένων ὀνομάτων καὶ πραγμάτων, ὡς καὶ αἱ ἐπεξηγοῦσαι τὰ νῦν ἐκδιδόμενα κείμενα ἱστορικαὶ σημειώσεις ἐπισυναφθήσονται ἐν τῷ προσεχεῖ τόμῳ, περιέξοντι καὶ τ' ἄλλα τῶν ἀνεκδότων τοῦ Ψελλοῦ ἱστορικῶν πονημάτων. Εἰς συμπλήρωσιν δὲ τῶν ἐν τῇ ἱστορίᾳ ὑποσημειουμένων πολλῶν διορθώσεων ὑποβάλλονται καὶ αἱ ἑξῆς δυνάμεναι ἵνα συντελέσωσί πως εἰς ἐντελεστέραν ἀνακάθαρσιν τῶν ἐκ τῆς ἀμαθείας τοῦ ἀντιγραφέως παρεισφρησάντων ἐν τῷ κώδικι ἁμαρτημάτων.

Σελὶς	12	Στίχος	26	γράφε	ἦχθετο.
»	17	»	28	»	ἐᾷν.
»	19	»	13	»	πολυτάλαντον.
»	28	»	1	»	καύματος.
»	28	»	7	»	περὶ ταύτην.
»	32	»	22	»	γυνὴ δεινὸν.
»	34	»	15	»	[τῷ] καινῷ.
»	38	»	22	»	τοῦ νεὼ.
»	42	»	23	»	ταινίας.
»	43	»	18-19	»	προβαλλόμενος ἐκπληρῶν δὲ.
»	46	»	16	»	ἡ τοῦ θανάτου αἰτία.
»	47	»	12	»	ἀναστήσοντος.
»	50	»	14	»	νεὼ.
»	58	»	13	»	διεῖπεν.
»	64	»	22	»	ἐδομήσατο.
»	68	»	8	»	αὐτοῖς.
»	72	»	17	»	τῶν.
»	73	»	19	»	ἵστασαν.
»	74	»	30	»	οὐκ ἴχνος.
»	82	»	20	»	ἄλλά τε.
»	84	»	13	»	ἐπενδοιάζων.

Σελὶς	86	Στίχος	1	γράφε	ἐξήρτηντό.
»	87	»	26	»	ἀνακινείσθω.
»	88	»	1	»	μεγάλα τολμήσοντι.
»	98	»	23	»	αὖος.
»	100	»	7	»	τάραχόνδε.
»	101	»	11	»	ἐπικουρήσοντες.
»	106	»	2	»	διεγηγερμένῃ.
»	106	»	9	»	ψηγμάτων.
»	106	»	20	»	ἀφθόνως.
»	106	»	21	»	εὖ πεπόνθεσαν.
»	112	»	8-9	»	ὡς καὶ πάνυ τι τούτοις.
»	112	»	23	»	ἀπελήλατο.
»	118	»	10	»	τρυφώσῃ.
»	119	»	1	»	δικτύοις (ἀντὶ οἰκείοις).
»	124	»	11	»	ἡ ἡδονὴ.
»	124	»	23	»	προκαθεστῶτι.
»	125	»	2	»	ἐγρηγορυίας.
»	132	»	5	»	ὑπανήπτετο.
»	138	»	2	»	κολωνόν.
»	138	»	25	»	βασιλεία.
»	142	»	20	»	καταφράκτοις.
»	150	»	13	»	διετετάραχτο.
»	160	»	4	»	τούτου.
»	162	»	10	»	ὀφρύν.
»	172	»	21	»	πολλοῦ γε.
»	184	»	12	»	ᾄδει.
»	185	»	19	»	τὴν ψῆφον.
»	204	»	23	»	κύκλοις (ἀντὶ τούτοις).
»	215	»	22	»	ἀντικατέστησαν.
»	216	»	15	»	ἀντικατέστησαν.
»	228	»	26-27	»	τὸν τὰς β. φρ. μετακεχειρισμένον.
»	230	»	7	»	ἀλαλάξαντες.
»	263	»	28	»	κοσμῆσαι.
»	266	»	11	»	χείρω τὰ.
»	269	»	2	»	καὶ τὸ βαθὺ.
»	287	»	26	»	ἐνέφηνεν (ἢ ἐνεφάνισεν).
»	295	»	3	»	ἐπιγάνυται.
»	296	»	21	»	ἐκρεύσαντος.
»	298	»	11	»	μὴ, μὴ μάγιστρε.

Διορθούσθωσαν δὲ καὶ τὰ ἑξῆς τυπογραφικὰ παροράματα: Σελ. 40, στ. 26, λόγου — σελ. 156, στ. 4, οὐκ εἶχεν — σελ. 176, στ. 21, ὀλίγα — σελ. 180, στ. 1, διηλλάττετο — σελ. 211, στ. 25, πρόσαυγοι, καὶ εἴ τι ἄλλο ὅμοιον διαφυγὸν τὴν ἐμὴν προσοχήν.

ΜΙΧΑΗΛ ΨΕΛΛΟΥ

ΒΥΖΑΝΤΙΝΗΣ ΙΣΤΟΡΙΑΣ

ΕΚΑΤΟΝΤΑΕΤΗΡΙΣ.

(976-1077.)

| Χρονογραφία πονηθεῖσα τῷ πανσόφῳ μοναχῷ Μιχαὴλ τῷ ὑπερτίμῳ, ἱστοροῦσα τὰς πράξεις τῶν βασιλέων, τοῦ τε Βασιλείου καὶ Κωνσταντίνου τῶν πορφυρογεννήτων, τοῦ τε μετ' αὐτοὺς Ρωμανοῦ τοῦ Ἀργυροπώλου, τοῦ μετ' ἐκεῖνον Μιχαὴλ τοῦ Παφλαγόνος, τοῦ ἀπὸ καισάρων ἄρξαντος μετ' αὐτὸν ἀνεψιοῦ τούτου Μιχαὴλ, τῶν ἐξῆς δύο αὐταδέλφων καὶ πορφυρογεννήτων τῆς τε κυρᾶς Ζωῆς καὶ τῆς κυρᾶς Θεοδώρας, τοῦ σὺν [1] αὐταῖς Κωνσταντίνου τοῦ Μονομάχου, τῆς μονοκρατορίσσης θατέρας τῶν δύο ἀδελφῶν κυρᾶς Θεοδώρας [2], τοῦ μετ' ἐκεῖνον Ἰσαακίου τοῦ Κομνηνοῦ, καὶ ἕως τῆς ἀναρρήσεως Κωνσταντίνου τοῦ Δούκα [3].

φύλλον κώδικος 322.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης ὁ Τζιμισχῆς, πολλῶν καὶ ἀγαθῶν αἴτιος τῇ Ρωμαίων ἡγεμονίᾳ γενόμενος καὶ αὐξήσας ταύτην εἰς

1. χειρόγρ. τοῦς σὺν. 2. προσθετέον [τοῦ μετ' ἐκείνην Μιχαὴλ τοῦ Στρατωτικοῦ]. 3. προσθετέα εἰς συμπλήρωσιν τοῦ ἀτελοῦς τίτλου [πρὸς δὲ καὶ τῆς μετὰ τὸν θάνατον αὐτοῦ βασιλευσάσης συζύγου Εὐδοκίας, τοῦ τε συνάρξαντος

δύναμιν, οὕτω καταλύει τὸν βίον· περιΐσταται δὲ καθαρῶς ἡ βασιλεία [1] εἴς τε Βασίλειον καὶ Κωνσταντῖνον τοὺς τοῦ Ρωμανοῦ παῖδας. Ἦστην [2] δὲ ἄμφω ἤδη μὲν παρεληλακότες τὴν ἥβην, διαφόρω δὲ τὸ ἦθος· ὁ μὲν γὰρ Βασίλειος, ὁ καὶ τὴν ἡλικίαν πρεσβύτερος, ἐγρηγορὼς ἀεὶ καὶ σύννους ἐδείκνυτο, ὁ δέ γε Κωνσταντῖνος ἀνειμένος τοῖς πᾶσιν ὤπτο, ῥᾳθύμως τε τῆς ζωῆς ἔχων καὶ περὶ τὸν ἁβρὸν [3] βίον ἐσπουδακώς. Αὐτοκράτορε μὲν οὖν ἄμφω οὐκ ἐδοκιμασάτην εἶναι, ἀλλ' ὅτι πρεσβύτερος αὐτῶν [4] ὁ Βασίλειος, τὸ πᾶν τῆς ἐξουσίας περιζωσάμενος, μόνου τοῦ τῆς βασιλείας ὀνόματος τὸν ἀδελφὸν ἐκληρώσατο κοινωνόν· ἐπεὶ οὐδ' ἂν ἄλλως ἡ τῆς βασιλείας αὐτοῖς ἀρχὴ διεκυβερνήθη, εἰ μὴ τῷ πρώτῳ καὶ ἀκριβεστάτῳ [5] ἡ αὐτοκράτωρ ἀπεκληρώθη διοίκησις. Καὶ θαυμάσειέ τις ἐνταῦθα τὸν Κωνσταντῖνον, ὅτι ἐξὸν κατ' ἰσομοιρίαν [6] τῶν πατρῴων κλήρων, τὴν ἡγεμονίαν φημὶ τῷ ἀδελφῷ διανείμασθαι, ὁ δὲ τοῦ πλείονος αὐτῷ παρακεχωρήκει, καὶ ταῦτα νεώτατος ὤν, ὅτε μάλιστα ὁ τῆς φιλαρχίας ἀνάπτεται ζῆλος, καὶ οὐδὲ τὸν ἀδελφὸν ὁρῶν ὑπὲρ τὴν τελείαν ἡλικίαν γενόμενον, ἀλλ' ἀρτίχνουν ἤδη καὶ πρῶτον, ὅ φασιν, ὑπηνήτην. Τοιούτων [7] μὲν οὖν ἐγκωμίων ἐκ προοιμίων ἀξιούσθω ὁ Κωνσταντῖνος.

Ὁ δέ γε Βασίλειος ἤδη τὴν τῶν Ρωμαίων ἡγεμονίαν περιζωσάμενος, ἐβούλετο μὲν μηδένα κοινωνὸν ἔχειν τῶν φροντισμάτων, μηδὲ περὶ τῶν κοινῶν διοικήσεων σύμβουλον. Οὐκ εἶχε δὲ θαρρεῖν ἑαυτῷ, οὐδέπω πεῖραν εἰληφότι οὔτε τῶν στρατιωτικῶν καταλόγων, οὔτε τῆς πολιτικῆς εὐνομίας· διὰ ταῦτα πρὸς τὸν παρακοιμώμενον ἀπεῖδε Βασίλειον. Ὁ δὲ ἀνὴρ οὗτος ἀξίωμα μέγιστον τῇ βασιλείᾳ Ρωμαίων ἐτύγχανε γεγονὼς, κατά τε φρονήματος ὄγκον, καὶ σώματος μέγεθος, καὶ μορφὴν τυράννῳ προσήκουσαν·

αὐτῇ Ρωμανοῦ τοῦ Διογένους, καὶ τοῦ μετ' αὐτὸν βασιλεύσαντος Μιχαὴλ τοῦ Δούκα].

1. χειρ. βασίλισσα. 2. χ. ἦσθην. 3. χ. αὖρον. 4. γραπτέον ἴσως — αὐτοῦ. 5. γρ. ἴσως — ἐντριβεστάτῳ. 6. χ. ἰσομυρίαν. 7. χ. τοιούτω.

φὺς δὲ ἐκ τοῦ αὐτοῦ πατρὸς τῷ τοῦ Βασιλείου καὶ Κωνσταντίνου πατρὶ, τὰ ἐς μητέρα διήλλαττε· διὰ ταῦτα καὶ ἐκ πρώτης εὐθὺς ἡλικίας ἀποτέτμητο, ἵνα μὴ μᾶλλον ὁ ἐκ τῆς ἡμιγάμου τῶν γνησιωτάτων τὸ πρωτεῖον εἰς τὴν ἀρχὴν ἀπενέγκηται. Ἔστεργεν οὖν οὗτος τὰ ἐκ τῆς τύχης, καὶ τοῦ βασιλείου καὶ οἰκείου γένους ἐξήρτηται [1]· προσέκειτο δὲ μάλιστα τῷ ἀνεψιῷ Βασιλείῳ καὶ ἠγκαλίζετο οἰκειότατα, καὶ ὡς εὖνους ἐτιθηνεῖτο τροφεύς. Διὰ ταῦτα καὶ ὁ Βασίλειος τὸν ὄγκον αὐτῷ τῆς ἀρχῆς ἀναθέμενος, αὐτὸς πρὸς τὴν ἐκείνου ἐπαιδοτριβεῖτο σπουδήν· καὶ ἦν ὁ μὲν παρακοιμώμενος οἷον ἀθλητὴς καὶ ἀγωνιστὴς, ὁ δὲ βασιλεὺς Βασίλειος θεωρὸς, οὐχ ὅπως ἐκεῖνον στεφανώσειε, ἀλλ' ὡς αὐτὸς δραμεῖται καὶ ἀγωνίσηται [2], κατ' ἴχνος ἐκείνῳ τὴν ἀγωνίαν τιθέμενος. Πάντα οὖν ἐντεῦθεν ὑπήκοα τῷ Βασιλείῳ ἐτύγχανεν ὄντα, καὶ πρὸς αὐτὸν καὶ τὸ πολιτικὸν ἑώρα, καὶ τὸ στρατιωτικὸν ἀπονενεύκει· καὶ πρῶτος αὐτὸς, εἰ καὶ [3] μόνος, τῆς τε συνεισφορᾶς τῶν δημοσίων ἐφρόντιζε καὶ τῆς τοῦ κοινοῦ διορθώσεως· ἐδίδου δὲ ἐπὶ πᾶσι τὴν γλῶτταν καὶ τὴν χεῖρα ὁ βασιλεὺς, τὰ μὲν συνηγορῶν ἐκείνῳ, τὰ δὲ καὶ ἐν γράμμασι βεβαιῶν.

Τοῖς μὲν οὖν πολλοῖς ὅσοι τῶν καθ' ἡμᾶς τεθέανται τὸν βασιλέα Βασίλειον, στρυφνὸς οὗτος δοκεῖ καὶ τὸ ἦθος ἀπεξεσμένος, δύσοργός τε καὶ οὐ ταχὺ μεταβάλλων, μέτριός τε τὴν δίαιταν καὶ τὸ ἄβρὸν ἐκ παντὸς ἐκτρεπόμενος· ὡς δὲ ἐγὼ τῶν ἀρχαιολογούντων περὶ αὐτὸν ξυγγραφέων [4] ἤκουσα, οὐ πάνυ τι τοιοῦτος τὸ καταρχὰς ἦν, ἀλλ' ἐξ ἀνειμένου βίου καὶ τρυφηλοῦ εἰς τὸ σύντονον μετεβάλλετο, τῶν πραγμάτων οἷον ἐπιστυψάντων αὐτῷ τὸ ἦθος, καὶ τὸ μὲν διερρυηκὸς [5] τονωσάντων [6], συντεινάντων δὲ τὸ χαῦνον καὶ τὴν ὅλην αὐτῷ μεταβαλλόντων ζωήν. Ἐπεὶ τά γε πρῶτα καὶ ἀπαρακαλύπτως ἐκώμαζε, καὶ θαμὰ ἦρα, καὶ συσσιτίων ἐφρόντιζε,

1. γρ. ἐξήρτητο. 2. γρ. ἀγωνίσεται. 3. χ. ἦκε. 4. χειρ. ξυγραφέων. 5. χ. διερρυηκὼς. 6. χ. τῶν νωσάντων.

βασιλικάς τε ῥᾳθυμίας καὶ ἀναπαύλας ἑαυτῷ ἀπεμέτρει, καὶ τῆς τε νεότητος, τῆς τε βασιλείας ὅσον εἰκὸς παραπέλαυνεν· ἀφ' οὗ δὲ ὁ Σκληρὸς ἐκείνῳ, καὶ ὁ μετ' ἐκεῖνον Φωκᾶς, καὶ αὖθις ὁ πρῶτος
φ. 323. τρίτος ἐγεγόνει, καὶ οἱ λοιποὶ βασιλείαν ἤρξαντο | καὶ ἐξ ἑκατέρων αὐτῷ τῶν μερῶν ἀντανέστησαν, ὅλοις ἱστίοις ἀπενεχθεὶς τῆς τρυφῆς, ὅλῳ πνεύματι ἀντείχετο τῆς σπουδῆς· ἐπιγενόμενος γὰρ τοῖς ἐγγύθεν αὐτῷ τὴν ἡγεμονίαν παρειληφόσιν, οὐ πᾶν εὐθὺς ἄρδην τὸ ἐκείνων γένος ἀπολλύειν ἐπικεχείρηκε.

Διὰ τῆς ἀποστασίας τοῦ Σκληροῦ.

Διὰ ταῦτα οἱ ἐκείνων ἀνεψιαδεῖς πολέμους κατ' αὐτοῦ σφοδροὺς ἀνερρίπισαν· καὶ πρῶτός γε ὁ Σκληρὸς, ἀνὴρ καὶ βουλεύσασθαι ἱκανὸς καὶ καταπράξασθαι περιδέξιος, πλοῦτόν τε περιβεβλημένος μέγαν[1], ἀρκοῦντα τυράννῳ, καὶ δυναστείας ἔχων ἰσχὺν, πολέμους τε μεγάλους[2] κατωρθωκὼς, καὶ τὸ στρατιωτικὸν ἅπαν συννεῦον[3] ἔχων πρὸς τὸ ἐκείνου βούλημα. Οὗτος τοιγαροῦν πολλοὺς συνερρωμένους ἔχων τῇ τυραννίδι, πρῶτος τὸν κατὰ τοῦ Βασιλείου τεθάρρηκε πόλεμον, καὶ πᾶσαν ἐπ' αὐτῷ ἱππικήν τε καὶ πεζικὴν παρήλαυνε δύναμιν, καὶ ὡς ἐπὶ προκειμένῳ πράγματι τῇ βασιλείᾳ προήει τεθαρρηκώς. Τὰ πρῶτα μὲν οὖν ἀπεγνώκεισαν οἱ περὶ τὸν βασιλέα τὰς σωζούσας ἐλπίδας, τὴν ὁπλιτικὴν πᾶσαν ἰσχὺν τῷ Σκληρῷ ἐγνωκότες συρρεύσασαν· ἔπειτα δὲ συλλεξάμενοι ἑαυτοὺς καὶ περὶ τῶν ὅλων γνωσιμαχήσαντες, ὥσπερ ἐν ἀπόροις πόρον εὑρηκέναι ᾠήθησαν, καὶ Βάρδαν τινὰ, εὐγενέστατον ἄνδρα καὶ γενναιότατον, τοῦ βασιλέως Νικηφόρου ἀδελφιδοῦν, ἀξιόμαχον περὶ τὸν τυραννήσαντα Σκληρὸν κρίναντες, τὰς καταλελειμμένας[4] δυνάμεις φέροντες τούτῳ παρέδοσαν, καὶ τοῦ στρατοπέδου παντὸς ἡγεμόνα πεποιηκότες ἀντιστησόμενον τῷ Σκληρῷ ἐκπεπόμφασιν. Ἐπεὶ δὲ καὶ περὶ τούτῳ

1. χ. μέγα. 2. χ. μεγάλας. 3. χ. συννευων. 4. χ. καταλελυμένας.

οὐδὲν ἔλαττον τοῦ Σκληροῦ ἐδεδοίκεσαν, ἅτε [1] βασιλείου τυγχάνοντι γένους, καὶ οὐδὲν σμικροπρεπῶς ἐννοησομένῳ περὶ αὐτοῦ, περιδύουσι μὲν τὸ πολιτικὸν τῆς περιβολῆς σχῆμα καὶ ὅσον οἶδεν ἡ τυραννὶς, τῷ δὲ τῆς ἐκκλησίας κλήρῳ [2] ἐγκαταλέγουσιν, εἶτα δὴ καὶ φρικώδεσιν ὅρκοις καταλαμβάνουσι, τοῦ μὴ ἀποστασίας ἁλῶναί ποτε ἢ παραβάσεως τῶν ὠμοσμένων [3]· οὕτω γοῦν αὐτὸν ἐξεγγυησάμενοι μετὰ πασῶν ἐκπεπόμφασι τῶν δυνάμεων.

Ἦν δ' ὁ ἀνὴρ οὗτος, ὡς ὁ λόγος ἔχει, τὴν μὲν γνώμην ἐς τὸν θεῖον ἀναφέρων καὶ βασιλέα, συννενηφὼς ἀεὶ καὶ ἐγρηγορὼς, καὶ πάντα προϊδεῖν καὶ συνιδεῖν ἱκανὸς, πολεμικῶν τε τεχνασμάτων οὐδενὸς ἀδαὴς, ἀλλὰ πάσαις μὲν τειχομαχίαις, πάσαις δὲ λοχίσεσι καὶ ταῖς ἐκ τῆς παρατάξεως ἀγωνίαις ἐθὰς, τὰς δὲ διὰ χειρὸς πράξεις δραστικώτερος ἐκείνου καὶ γενναιότερος· ὁ γάρ τοι πληγὴν παρ' ἐκείνου δεξάμενος εὐθέως ἀφῄρητο τὴν ψυχήν· κἂν πόρρω μὲν ἐπεβόησεν, ὅλην συνετάραττε φάλαγγα. Οὗτος τοιγαροῦν τὰς ὑπ' αὐτὸν διελὼν δυνάμεις καὶ εἰς λόχους ἐγκατατάξας, οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις τὴν ἀντικειμένην εἰς φυγὴν ἔτρεψε φάλαγγα, καὶ τοῦτο πλήθει τῶν ἀντιτεταγμένων· τοσοῦτον [δὲ] τῶν ἐναντίων ἐλάσσων ἐτύγχανεν ὤν, ὅσῳ τῇ τέχνῃ καὶ τοῖς στρατηγήμασι κρείττων ἐδόκει καὶ γενναιότερος. Ἐθάρρησαν γοῦν ποτε πρὸς ἀλλήλους καὶ οἱ τῶν ἀντικειμένων ἡγεμόνες ταγμάτων καὶ μονομαχῆσαι ἐκ συνθήματος εἵλοντο· καὶ μέντοιγε συνελάσαντες εἴς τι μεταίχμιον, εἰδόν τε ἀλλήλους καὶ ἐν συμβουλαῖς [4] εὐθὺς ἐγεγόνεισαν. Καὶ πρῶτός γε ὁ τυραννεύων Σκληρὸς οὐκ ἐπισχὼν ἑαυτὸν τῆς ὁρμῆς, ἀλλ' εὐθὺς νόμους ἀγωνίας παραβεβηκὼς, ὁμοῦ τε ἀγχοῦ τῷ Φωκᾷ ἐγεγόνει, καὶ παίει τοῦτον ὡς εἶχε κατὰ κεφαλῆς, δυναμώσας τὴν χεῖρα [5] τῇ φορᾷ τῆς ὁρμῆς· καὶ ὁ πεπληγὼς πρὸς τὸ ἀδόκητον τῆς πληγῆς βραχύ τι τοῦ χαλινοῦ γεγονὼς ἀκρατὴς, αὖθις συνηθροίκει τοὺς

1. χ. ἄντε. 2. χ. κληρῶ. 3. χ. ὁμωσμένων. 4. γρ. συμβολαῖς 5. χ. χεῖραν.

λογισμοὺς, καὶ κατὰ ταὐτοῦ μέλους τὸν πλήξαντα παίσας τῆς πολεμικῆς ὁρμῆς ἔπαυσε, καὶ φυγεῖν παρεσκεύασεν. Αὕτη τελεωτέρα κρίσις καὶ δημοτελεστέρα ἀμφοῖν ἔδοξε· καὶ ὁ Σκληρὸς τοῖς ὅλοις ἐξαπορηθεὶς, καὶ μήτε πρὸς τὸν Φωκᾶν ἀντιστῆναι ἔτι δυνάμενος, προσδραμεῖν τε τῷ βασιλεῖ αἰσχυνόμενος, βουλὴν βουλεύεται, οὔτε συνετωτάτην, οὔτε ἀσφαλεστάτην· ἀπάρας γὰρ ἐκ τῶν Ρωμαϊκῶν ὁρίων εἰς τὴν τῶν Ἀσσυρίων [1] μετὰ πασῶν αὐτοῦ τῶν δυνάμεων συνήλασε γῆν, καὶ δῆλον αὐτὸν καταστήσας Χοσρόῃ τῷ βασιλεῖ, εἰς ὑποψίαν ἐκίνησεν· οὗτος γὰρ τό τε πλῆθος φοβηθεὶς τῶν ἀνδρῶν, ἴσως δὲ καὶ ὑποπτεύσας τὴν ἀθρόαν ἔφοδον, δεσμώτας πεποιηκὼς ἐν ἀσφαλεῖ κατεῖχε φρουρᾷ.

Περὶ τῆς ἀποστασίας Βάρδα τοῦ Φωκᾶ.

Ὁ δέ γε Φωκᾶς Βάρδας τῷ βασιλεῖ Ρωμαίων ἐπαναζεύγνυσι, καὶ τῆς τε τροπαιοφόρου ἐτετυχήκει πομπῆς, τοῖς τε περὶ τὸν βασιλέα συναρίθμιος ἐτύγχανεν ὤν. Οὕτω μὲν οὖν ἡ πρώτη τυραννὶς καταλέλυται, καὶ ὁ βασιλεὺς Βασίλειος ἀπηλλάχθαι πραγμάτων ἔδοξε· ἡ δὲ δόξασα αὕτη κατάλυσις ἀρχὴ πολλῶν ὠδίνων οὖσα ἐτύγχανεν. Ὁ γάρ τοι Φωκᾶς πρῶτα μὲν μειζόνων ἀξιωθεὶς, ἔπειτα ἐλαττόνων, καὶ αὖθις ὑπορρεούσας αὐτῷ τὰς ἐλπίδας ὁρῶν, ἅμα δὲ καὶ μὴ προδεδωκέναι τὴν πίστιν οἰόμενος, ἐπὶ ῥητοῖς προσβᾶσαν καὶ φυλαχθεῖσαν, σὺν τῷ κρατίστῳ μέρει τοῦ στρατοπέδου βαρυτέραν τε καὶ χαλεπωτέραν [2] κατὰ τοῦ Βασιλείου τυραννίδα ἀνίστησι· καὶ τὰ πρῶτα γένη τῶν τότε δυναμένων ἀναρτησάμενος, καὶ εἰς ἀντίπαλον μοῖραν ἀποκριθεὶς, στράτευμά τε Ἰβηρικὸν
φ. 324. ἀπολεξάμενος ἑαυτῷ (ἄνδρες δὲ οὗτοι τό τε μέγεθος εἰς δέκατον | πόδα ἀνεστηκότες, καὶ τὴν ὀφρὺν σοβαρὰν ἔλκοντες), οὐκ ἔτι ἐν ὑπονοίαις, ἀλλὰ μετὰ τῆς βασιλικῆς τιάρας καὶ τοῦ ἐπισήμου

1. χ. Ἀσυρίων. 2. χ. χαλαιπωτέραν.

χρώματος τὴν τυραννικὴν στολὴν ἀμφιέννυται· εἶτα γίνεταί τι τοιοῦτον. Πόλεμός τις ἀλλόφυλος καταλαμβάνει τὸν Βαβυλώνιον, ᾧ προσπεφευγότες οἱ [1] περὶ τὸν Σκληρὸν, ὥσπερ δήπου ὁ λόγος ἐγνώρισε, ἀντιστρόφους εὕροντο τὰς ἐλπίδας, καὶ ὁ πόλεμος βαρὺς καὶ δεινὸς καὶ πολλῶν δεόμενος τῶν ἀντιστησομένων χειρῶν καὶ δυνάμεων· καὶ ἐπειδὴ οὐκ εἶχεν οὗτος τῷ οἰκείῳ μόνῳ στρατοπέδῳ θαρρεῖν, ἐπὶ τοὺς φυγάδας τίθεται τὰς ἐλπίδας, καὶ λύει μὲν εὐθὺς τῶν δεσμῶν, ἐξάγει δὲ τῆς φρουρᾶς, ὁπλίζει τε καρτερῶς, καὶ κατευθὺ τῆς ἐναντίας ἵστησι φάλαγγος. Οἱ δὲ, ἅτε γενναῖοι ἄνδρες καὶ μάχιμοι, καὶ τάξεις εἰδότες ὁπλιτικὰς, ἑκατέρωθεν διαστάντες, εἶτα δὴ ἀθρόον [2] ἐξιππασάμενοι καὶ τὸ ἐνυάλιον ἀλαλάξαντες, τοὺς μὲν αὐτοῦ κτείνουσι, τοὺς δὲ τρέψαντες εἰς φυγὴν, εἶτ' ἄχρι τοῦ χάρακος ἐξελάσαντες, ἄρδην ἅπαντας ἀνῃρήκασιν· ἀναζευγνῦντες δὲ, ὥσπερ ἐκ ταὐτοῦ συνθήματος τῆς ψυχῆς, πρὸς φυγὴν ἐτρέψαντο ἑαυτούς· ἐδεδοίκεσαν γὰρ αὖθις τὸν βάρβαρον, ὡς οὐ δεξιῶς τούτοις προσενεχθησόμενον, ἀλλὰ πάλιν ἐν πέδαις [3] καθείρξοντα [4]. Κοινῇ γοῦν ἀνὰ κράτος φεύγοντες, ἐπειδὴ πλεῖστον τῆς Ἀσσυρίων ἀπεληλύθεισαν [5] γῆς, καὶ ἡ φυγὴ καταφανὴς τῷ βαρβάρῳ ἐγένετο, τοῖς ἐπιτυχοῦσι τότε τοῦ συνηθροισμένου στρατεύματος τὴν ἐπιδίωξιν αὐτῶν [6] ἐγκελεύεται· καὶ πολύ τι πλῆθος κατὰ νώτου τούτοις συνεισπεσόντος [7], ἔγνωσαν ὅσῳ τῷ μέτρῳ τῆς τῶν Ρωμαίων ὑστεροῦσι χειρός· οἱ γὰρ φυγάδες ἀθρόον τοὺς χαλινοὺς στρέψαντες, καὶ ἐλάττους [8] πρὸς πυλλαπλασίους ἀγωνιζόμενοι, βραχυτέρους ἑαυτῶν τοὺς καταλελειμμένους [9] πρὸς τὴν φυγὴν πεποιήκασιν.

Ὁ μὲν οὖν Σκληρὸς τυραννεύσειν τε αὖθις ᾤετο, καὶ τὰς ὅλας καθέξειν δυνάμεις, ἀνακεχωρηκότος τε τοῦ Φωκᾶ ἤδη καὶ πάσης τῆς βασιλείου διασκεδασθείσης δυνάμεως· ἐπεὶ δὲ

1. χ. ὁ. 2. χ. ἀθρῶον. 3. χ. ἐμπέδαις. 4. χ. καθείρξαντο. 5. χ. ἀπολη-λύθησαν. 6. χ. αὐτῶ. 7. γρ. συνεισπεσόντες. 8. χ. ἐλάττουν. 9. χ. κατα-λελυμένους.

πρὸς τοῖς Ρωμαϊκοῖς ὁρίοις γενόμενος τὸν Φωκᾶν ἐμεμαθήκει βασιλιῶντα[1], ἐπειδὴ οὐχ οἷός τε ἦν καὶ τῷ βασιλεῖ μάχεσθαι, τὸν μὲν καὶ αὖθις ὑβρίσας, τῷ δὲ μετὰ τοῦ ἐλάττονος προσελθὼν σχήματος, ἐκεῖνον μὲν τῶν πρωτείων ἠξίωσε, αὐτὸς δὲ μετ' ἐκεῖνον ὡμολόγησε τάττεσθαι· εἶτα δὴ διχῇ διελόμενοι τὰς δυνάμεις, μακρῷ τὴν τυραννίδα εὐσθενεστέραν εἰργάσαντο. Οἱ μὲν οὖν τάξεσι καὶ παρεμβολαῖς[2] ἐπεποίθεσαν, καὶ μέχρι τῆς Προποντίδος καὶ τῶν παραλίων ἐν ταύτῃ χωρίων κατεληλύθεσαν, ἐπ' ἀσφαλοῦς τοὺς χάρακας θέμενοι, καὶ μονονοὺ ὑπεράλλεσθαι καὶ αὐτὴν ἐπιχειροῦντες τὴν θάλασσαν. Ὁ δὲ βασιλεὺς Βασίλειος τῆς τῶν Ρωμαίων ἀγνωμοσύνης κατεγνωκὼς, ἐπειδήπερ οὐ πρὸ πολλοῦ ἀπὸ τῶν ἐν τῷ Ταύρῳ Σκυθῶν λογὰς πρὸς αὐτὸν ἐφοίτησεν ἀξιόμαχος, τούτους δὴ συγκροτήσας, καὶ ξενικὴν ἑτέραν ξυλλοχισάμενος δύναμιν, κατὰ τῆς ἀντικειμένης ἐκπέμπει φάλαγγος· οἳ δὴ καὶ ἐκ τοῦ παρ' ἐλπίδας ἐπιφανέντες αὐτοῖς, οὐ πρὸς μάχην διεγηγερμένοις, ἀλλὰ πρὸς μέθην κατακεκλιμένοις, οὐκ ὀλίγους τε αὐτῶν ἀνῃρήκασι, καὶ τοὺς καταλελειμμένους ἄλλους ἀλλαχόσε διέσπειραν· συνίσταται δὲ καὶ πρὸς αὐτὸν τὸν Φωκᾶν στάσις αὐτοῖς καρτερά. Συμπαρῆν δὲ τῷ τῶν Ρωμαίων στρατῷ καὶ ὁ βασιλεὺς Βασίλειος ἄρτι γενειάζων καὶ τὴν πρὸς τοὺς πολέμους ἐμπειρίαν λαμβάνων· ἀλλ' οὐδὲ ὁ ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος ἀπῆν τῆς παρεμβολῆς· ἀλλὰ καὶ οὗτος θώρακά τε περιβαλλόμενος καὶ δόρυ μακρὸν ἐπισείων, μέρος τῆς φάλαγγος ἦν.

Αἱ μὲν οὖν τάξεις εἱστήκεσαν ἑκατέρωθεν, ἀπὸ μὲν τῶν παραλίων μερῶν ἡ βασιλικὴ, ἀπὸ δὲ τῶν ὑψηλοτέρων ἡ τυραννικὴ, καὶ πολὺ μεταξὺ τὸ μεταίχμιον. Ὁ τοίνυν Φωκᾶς, ὡς καὶ τοὺς βασιλεῖς διατεταγμένους ἐμεμαθήκει εἰς τὴν παράταξιν, οὐκ ἔτι ἀναβολαῖς τοῦ μάχεσθαι ἦν, ἀλλὰ τὴν ἡμέραν ἐκείνην κρίσιν τοῦ πολέμου δημοτελῆ ἔθετο, καὶ τῷ τῆς τύχης ἑαυτῷ ἐπέτρεψε πνεύματι· οὐ

1. γρ. βασιλειῶντα. 2. χ. παριμβόλεις.

μὴν κατασκοπὸν τοῖς περὶ αὐτὸν ἐποιεῖτο μάντεσιν· οἱ μὲν γὰρ ἀπεῖργον τοῦ μάχεσθαι, τῶν θυμάτων αὐτοῖς τοῦτο διασαφούντων, ὁ δὲ ἀντεπεχείρει ὅλην ἀφιεὶς τὴν ἡνίαν τῷ ἵππῳ. Λέγεται μέντοι καὶ σημεῖα φανῆναί οἱ ἀπαίσια· ὡς γὰρ ἱππάσατο, εὐθὺς αὐτῷ διωλισθήκει ὁ ἵππος, καὶ ἐπεὶ μετέβη εἰς ἕτερον, καὶ οὗτος βραχύ τι προεληλυθὼς ταὐτὸ[1] ἐπεπόνθει· ὅ τε χρὼς αὐτῷ ἐτέτραπτο, καὶ ἀχλὺς μὲν τὴν γνώμην, δῖναι[2] δὲ τὴν κεφαλὴν διετάραξαν. Ὡς δὲ πρὸς οὐδὲν ἐνδόσιμος ἦν, ἅπαξ ἑαυτὸν καταστήσας εἰς τὸν ἀγῶνα, ἐπειδὴ ἐνεβεβήκει τῷ μετώπῳ τῆς φάλαγγος, καὶ ἤδη που πλησίον τῆς βασιλείου ἐγεγόνει δυνάμεως, πεζήν τινα περὶ αὐτὸν συλλεξάμενος δύναμιν, Ἰβήρων τοὺς μαχιμωτάτους φημὶ, ἀρτιφυεῖς πάντας τὸ γένιον[3] καὶ αὐτὸ δὴ τὸ νεοτήσιον ἀποφύοντας ἄνθος, ὑψηλοὺς καὶ ἰσομέτρους ὥσπερ ὑπὸ κανόνα τὸ μέγεθος, ξίφει καθωπλισμένους τὴν δεξιὰν, καὶ τὴν ὁρμὴν ἀνυποστάτους τυγχάνοντας, τούτους δὴ μεθ' ἑαυτοῦ ὑφ' ἑνὶ κινήσας συνθήματι, τῆς φάλαγγος προπηδᾷ, καὶ τὸν χαλινὸν ἐνδοὺς σὺν ἀλαλαγμῷ εὐθὺ τοῦ βασιλέως χωρεῖ, τῷ δεξιῷ βραχίονι μετέωρον τὴν τοῦ ξίφους ἐπέχων λαβὴν, ὡς αὐτίκα τούτῳ[4] τὸν βασιλέα διαχειρισόμενος.

Ὁ μὲν οὖν οὕτως καὶ μετὰ τοσούτου θάρσους ἐπὶ τὸν Βασίλειον ἦει[5]· ὁ δὲ | προβέβλητο μὲν τῆς οἰκείας δυνάμεως, καὶ ξιφοφόρος p. 325.
εἱστήκει, θατέρᾳ δὲ τῶν χειρῶν τὴν εἰκόνα τῆς τοῦ Λόγου μητρὸς διηγκάλιστο, καρτερώτατον πρόβλημα τῆς ἀκαθέκτου ἐκείνου ὁρμῆς ταύτην ποιούμενος. Ὁ μὲν οὖν οἷα δή τι νέφος ἀνέμοις σφοδροῖς ἐλαυνόμενον, τὸ πεδίον διακυμαίνων διῄει· ἐσηκόντιζον δὲ ἐς αὐτὸν οἱ ἐφ' ἑκατέροις ἑστηκότες τοῖς κέρασι, βραχὺ δέ τι καὶ ὁ βασιλεὺς Κωνσταντῖνος δόρυ μακρὸν ἐπισείων προῄει τῆς φάλαγγος. Ὡς δ' οὐ πολύ τι ἀπέσπασε τῶν οἰκείων δυνάμεων, ἀθρόον τῆς ἕδρας ἐξολισθήσας κατὰ γῆς ἔρριπτο, ἐπὶ τούτῳ ἄλλος ἄλλῳ λόγος συμφέρεται· οἱ μὲν γὰρ ὑπὸ τῶν ἀκοντιζόντων βεβλῆσθαί φασι καὶ

1. χ. ταὐτῶ. 2. χ. δεῖναι. 3. γρ. γένειον. 4. χ. τοῦτο. 5. χ. εἴη.

κατὰ τῶν καιρίων τὴν πληγὴν. ὑποστάντα πεσεῖν, ὁ δὲ σκότους φησὶν ἀθρόως ὑποπλησθέντα τὴν κεφαλὴν ἔκ τινος περὶ τὴν γαστέρα ταραχῆς καὶ κινήσεως, τό τε φρονοῦν ἀπολωλέναι καὶ τοῦ ἵππου καταπεσεῖν. Ὁ μέντοιγε βασιλεὺς Κωνσταντῖνος ἑαυτῷ τὴν τοῦ τυράννου ἐμεγαλαύχει ἀναίρεσιν· ὡς δὲ πολὺς κεκράτηκε λόγος, ἐπιβουλῇ τὸ πᾶν ἐγεγόνει, καὶ φάρμακον αὐτῷ κερασθὲν καὶ ποθὲν, περὶ τὴν κίνησιν ἀθρόον ἀναρραγὲν, τόν τε φρονοῦντα τοῦ ἐγκεφάλου τόπον κατέλαβε, καὶ τὴν δίνησιν ἐπεποιήκει καὶ τὴν κατάπτωσιν. Ἦν δὲ τὸ μὲν σύνθημα Βασιλείου, ἡ δὲ ἐπίβουλος χεὶρ τοῦ τῷ τυράννῳ οἰνοχοοῦντος· ἐγὼ δὲ ταῦτα μὲν ἐν ἀδήλοις τίθημι, τῇ δὲ μητρὶ τοῦ Λόγου τὸ πᾶν ἀνατίθημι. Πίπτει γοῦν ὁ τέως ἄτρωτος καὶ ἀνάλωτος, θέαμα ἐλεεινὸν καὶ δακρύων ἄξιον. Εὐθὺς δ' οὖν ὡς εἶδον αἱ φάλαγγες ἑκατέρωθεν, ἡ μὲν εὐθὺς διαιρεθεῖσα καὶ τὸ τῆς ὁμαιχμίας συνεχὲς διακόψασα, ὀπίσω τε ἐγεγόνει, καὶ φυγάδες ἅπαντες ὤφθησαν· οἱ δὲ περὶ τὸν βασιλέα, εὐθὺς πεσόντι τῷ τυράννῳ ἐπεισπηδήσαντες, τῶν Ἰβήρων διασκεδασθέντων, πολλαῖς κοπίσι διαμελίζουσι, καὶ τὴν κεφαλὴν ἐκτεμόντες τῷ Βασιλείῳ προσάγουσιν. Ἐντεῦθεν ἕτερος ἀνθ' ἑτέρου ὁ βασιλεὺς γίνεται, καὶ οὐ μᾶλλον αὐτὸν τὸ γεγονὸς εὔφρανεν, ἢ ἡ τῶν πραγμάτων δεινότης ἠνίασεν· ὕποπτος οὖν εἰς πάντας ὤπτο καὶ σοβαρὸς τὴν ὀφρὺν, τάς τε φρένας ὑποκαθήμενος, καὶ τοῖς ἁμαρτάνουσι δύσοργος καὶ βαρύμηνις.

Περὶ τῆς τοῦ παρακοιμωμένου Βασιλείου μετακινήσεως τῶν κοινῶν καὶ ἐξορίας.

Οὐκ ἔτι οὖν οὐδὲ παραχωρεῖν τῆς τοῦ κοινοῦ διοικήσεως τῷ παρακοιμωμένῳ Βασιλείῳ ἐβούλετο, ἀλλ' ἤχθητό τε αὐτῷ καὶ παντοδαπὸς ἦν μισῶν καὶ ἀποστρεφόμενος, καὶ οὔτε τὸ γένος, οὔτε τὸ πολλὰ ἐκεῖνον ὑπὲρ τούτου ποιῆσαί τε καὶ παθεῖν, οὔτε ἡ λαμπρότης τοῦ ἀξιώματος, οὔτε ἄλλό τι τῶν ἁπάντων εἶλκεν αὐτὸν εἰς

εὐμένειαν, ἀλλὰ δεινὸν ἐποιεῖτο, εἰ βασιλεὺς ὢν καὶ εἰς τὴν φρονοῦσαν ἡλικίαν ἐληλακὼς, παραδιοικεῖν ἀξιοῦται τὰ τῆς βασιλείας πράγματα, ὥσπερ εἴ τις ἕτερος οὐ βασιλείας ἐπειλημμένος, ἀλλὰ παραδυναστεύων ἑτέρῳ, καὶ τὰ δευτερεῖα τῆς ἀρχῆς κομιζόμενος. Πολλοῖς δὲ περὶ τούτου κυμαινόμενος λογισμοῖς, καὶ πολλὰς λαμβάνων μεταβολὰς καὶ τροπὰς, ἅπαξ ποτὲ τοῦ κρατήσαντος λογισμοῦ, καὶ μεθίστησιν ἀθρόως τῆς διοικήσεως τὸν παρακοιμώμενον, καὶ ταῦτα, οὐ λειότητά τινα τῇ μεταστάσει προμηθευσάμενος, ἀλλὰ τὸν ἄγριον τρόπον καὶ ὃν ἄν τις οὐχ ὑπειλήφει· εἰς γὰρ ναῦν[1] ἐμβιβάσας, ὑπερόριον ἐποιήσατο.

Ἐντεῦθεν οὐ τέλος τῷ Βασιλείῳ ἡ μετάστασις γίνεται τῶν κακῶν, ἀλλ' ἀρχὴ καὶ ὑπόθεσις· εὐθὺς γὰρ ἀναλύσας ταῖς ἐννοίαις ὁ βασιλεὺς ἐς τὴν πρώτην αὐτῷ τῆς αὐτοκρατορίας ἀρχὴν, ἀφ' ἧς διοικεῖν ὁ παρακοιμώμενος ἤρξατο, κατέδραμε τὴν ἐκεῖθεν ἐκείνου προμήθειαν, καὶ τῶν δρωμένων ὁπόσα μὲν αὐτῷ τε καὶ τῷ δημοσίῳ συντελοῦντα ἐτύγχανεν οὐκ ἠξίου παραποιεῖν, τὸ δ' ὅσον εἰς εὐεργετημάτων καὶ ἀξιωμάτων ὄγκον ἔβλεπεν, ἀναλύειν ἐπειρᾶτο, ἐκεῖνο[2] μὲν συνειδέναι, ταῦτα δὲ ἀγνοεῖν διϊσχυριζόμενος, καὶ πάντα τρόπον ὁπόσα εἰς κάκωσιν ἐκείνῳ[3] καὶ συμφορὰν ἐμηχανᾶτο ποιεῖν. Ἀμέλει καὶ ἣν ἐκεῖνος ἐδείματο λαμπροτάτην μονὴν Βασιλείῳ τῷ πάνυ ἀναθέμενος, ἐπώνυμον τῆς ἑαυτοῦ κλήσεως, μεγαλοπρεπῶς μὲν κατεσκευασμένην[4] καὶ πολλῇ δαπάνῃ χειρὸς τὸ ποικίλον μετὰ τοῦ καλοῦ ἔχουσαν, ἀφθόνοις δὲ χορηγίαις τὸ πλέον τοῦ αὐτάρκους ἀποκληρωσαμένην, ἐβούλετο μὲν ἐκ θεμελίων καθαιρήσειν, τὸ δὲ τῆς πράξεως ἀναιδὲς εὐλαβούμενος, τὸ μὲν ἐκεῖθεν ὑφῄρει, τὸ δὲ κατέσειε, τὰ ἔπιπλα, τὰς ἐφηρμοσμένας λίθους, τὸ δ' ἄλλο τι ποιῶν τοιουτότροπον, οὐκ ἀνῄει ἄχρις οὗ φροντιστήριον, ἰδεῖν χαριεντισάμενος εἰπεῖν, τὸ μοναστήριον δέδρακε, διὰ φροντίδος τιθεμένων τῶν ἐν αὐτῷ, ὅπως ἂν ἑαυτοῖς τὰ ἀναγκαῖα πορίσαιντο. Τοιούτοις οὖν

1. χ. ναῦ. 2. χ. ἐκείνω. 3. χ. ἐκεῖνο. 4. γ. κατασκευασμένην.

ὁ παρακοιμώμενος καθ' ἑκάστην τοξεύμασι βαλλόμενος ὡς εἰπεῖν, ἀθυμίας τε ἐνεπίμπλατο [1], καὶ οὐκ εἶχεν ὅπως ἂν ἑαυτῷ τὰς ἀλγηδόνας ἰάσαιτο· παρηγόρει γὰρ αὐτὸν τῶν ὅλων οὐδέν· ὅθεν ἅπαξ ποτὲ ἀθρόον κατασεισθεὶς ὁ ὑπερμεγέθης ἐκεῖνος, καὶ νέφους τὴν κεφαλὴν πληρωθεὶς, ἀκρατὴς ἑαυτοῦ ἐγεγόνει, καὶ τὰ μέλη παραλυθεὶς καὶ νεκρὸς ἔμψυχος γεγονὼς, μετὰ βραχὺ καὶ αὐτὴν ἀπέρρηξε τὴν ψυχὴν, καὶ γέγονεν ὡς ἀληθῶς στήλη τῷ βίῳ καὶ διήγημα
φ. 326. μέγα, μᾶλλον δὲ παράδειγμα τῆς τῶν ἐν γενέσει εὐμεταβόλου | συγχύσεως. Ὁ μὲν οὖν τὴν ἀποκεκληρωμένην ἐπικλώσας [2] ζωὴν ἀπελήλυθε.

Ὁ δὲ βασιλεὺς Βασίλειος τὴν τῆς βασιλείας ἐπιγνοὺς ποικιλίαν, καὶ ὡς οὐκ εὐχερὲς πρᾶγμα καὶ ῥᾴδιον [3] τηλίκην ἀρχὴν διοικεῖν, γλυκυθυμίας μὲν πάσης ἀπείχετο, ἔτι γε μὴν καὶ τὸν περὶ τὸ σῶμα κόσμον καταπεφρόνηκε, καὶ οὔτε στρεπτοῖς ἐκόσμει τὴν δέρην, οὔτε τιάραις τὴν κεφαλὴν, ἀλλ' οὔτε περιπορφύροις χλαμύσι κατελαμπρύνετο· ἀπεδύσατο δὲ καὶ τοὺς περιττοὺς δακτυλίους, ναὶ μὴν καὶ τὰς ποικίλας τῶν ἐσθημάτων [4] βαφὰς· σύννους δὲ ἀεὶ καὶ πεφροντικὼς ἦν, ὅπως ἂν τὰ τῆς ἀρχῆς εἰς ἁρμονίαν βασιλικὴν συμβιβάσειε. Ὑπεροπτικῶς δὲ εἶχεν οὐ τῶν ἄλλων μόνον, ἀλλ' ἤδη καὶ τοῦ ἀδελφοῦ, ᾧ [5] δὴ καὶ βραχεῖάν τινα δορυφορίαν περιποιησάμενος, τῆς ὑψηλοτέρας καὶ λαμπροτέρας ὥσπερ ἐφθόνει παρασκευῆς· ἑαυτὸν γὰρ πρῶτον ἀποστενώσας ὡς εἰπεῖν [6], καὶ τῆς ὑπερόγκου ἀποστερήσας κατασκευῆς, εὐκόλως καὶ τὸν ἀδελφὸν ἐχειροῦτο διὰ τῆς βραχὺ παραλλαττούσης εἰς τὸ χεῖρον ἀρχῆς. Καὶ τοῦτον μὲν χαίρειν ἀφεὶς ἀγρῶν τε χάρισι καὶ λουτρῶν ἀπολαύσεσι καὶ κυνηγεσίοις, ὧν ἐκεῖνος ἐφρόντιζεν, ἑαυτὸν ἐπὶ τὰ δυστυχοῦντα τῶν ὁρίων ἀφῆκεν, ἀνακαθάραι τοὺς πέριξ βαρβάρους αἱρούμενος, ὁπόσοι τάς τε ἑῴους ἡμῖν λήξεις καὶ τὰς ἑσπερίους περιστοιχίζονται.

1. χ. ἐνεμπίπλατο. 2. χ. ἐπικλώσα. 3. χ. ῥᾴδειον. 4. χ. ἑστημάτων. 5. χ. ὃ. 6. χ. πεῖν.

Περὶ τῆς τοῦ Σκληροῦ μετὰ τὴν τοῦ Φωκᾶ[1] σφαγὴν δευτέρας ἀποστασίας.

Ἀλλὰ ταῦτα μὲν ἐς ὕστερον ἔμελλε κατεργάσασθαι· τὸ γοῦν παρὸν ὁ Σκληρὸς αὐτὸν ἀνεῖργε τῆς κατὰ τῶν βαρβάρων στρατείας, ἐφ' ἑαυτὸν ἐκεῖνον ἀσχολῶν. Ἀναιρεθέντος γὰρ τοῦ Φωκᾶ, τὸ μὲν ἄλλο μέρος τῆς παρατάξεως, ὅσον ἐκείνῳ καὶ πρὸ τῆς συμμίξεως ὑπέστρωτο τοῦ Σκληροῦ, τὰς ἐπ' ἐκείνῳ ἐλπίδας ἀπολωλεκότες διέστησάν τε ἀπ' ἀλλήλων καὶ τὸν συνασπισμὸν πάντα διαλελύκασιν· ὁ δέ γε Σκληρὸς καὶ ὅσοι σὺν ἐκείνῳ φυγάδες τε ἐγένοντο καὶ αὖθις ἀνέζευξαν, ἐφ' ἑαυτῶν διαταξάμενοι, καὶ ὥσπερ ἀπερρωγὸς μέρος εἰς ἰσοστάσιον τῷ Φωκᾷ τάξιν ἀποκληρωθέντες, ἀντ' ἐκείνου τῷ βασιλεῖ αὖθις Βασιλείῳ γεγόνασιν.

Οὗτος τοιγαροῦν ὁ ἀνὴρ, εἰ καὶ τῆς τοῦ Φωκᾶ χειρὸς καὶ δυνάμεως ἐλάττων ἐδόκει, ἀλλὰ τά γε εἰς στρατηγικωτάτην βουλὴν καὶ παράταξιν δεινότερος ἐκείνου καὶ ποικιλώτερος ἐγνωρίζετο· διὸ ταύτην τὴν ἀποστασίαν δὶς αὖθις ὠδίνας τῷ αὐτοκράτορι, ἐς χεῖρας μὲν ἐλθεῖν ἐκείνῳ καὶ συμμίξαι οὐκ ἐδοκίμασε, τὸν δὲ στρατὸν κρατύνων καὶ προσθήκαις ἐπαύξων, βαρύτερος ἐντεῦθεν ἐδόκει τῷ βασιλεῖ· οὐ μέχρι δὲ τούτου κατεστρατήγει τὸν αὐτοκράτορα, ἀλλὰ καὶ τὰς ναῦς ἀπέχων, ὁπόσαι ἐς τὸ πομπεῖον ἐτύγχανον ἱκαναὶ, ἔτι γε μὴν καὶ τὰς τῶν ὁδῶν ἀποτειχίζων ἐλευθερίας, τὰ μὲν ὅσα ἐκεῖθεν εἰς τὰ βασίλεια ἤγετο δαψιλῶς ἀπεθησαύριζε τῷ στρατῷ, τὴν δὲ ἀπὸ τῶν βασιλείων[2] ἐκεῖσε διὰ τῶν δημοσίων ἵππων προσταττομένην ἢ ἄλλως[3] διακυβερνωμένην κατάπραξιν πᾶσιν ἀνεῖργεν ἐπιτηρῶν ὄμμασι. Οὐ τοίνυν θέρους ἀρξαμένη ἡ τυραννὶς εἰς τὸν καιρὸν τῆς ὠπώρας κατέληξεν, οὐδὲ κύκλος ἐνιαύσιος τὴν ἐπιβουλὴν περιέγραψεν, ἀλλ' ἐπὶ πολλοῖς ἔτεσι τουτὶ διεκυμαίνετο κακόν· οἱ γὰρ ἅπαξ ὑποστρώσαντες ἑαυτοὺς τῷ Σκληρῷ καὶ συμπληρώσαντες ἐκείνῳ τὴν

1. διὰ μεταγενεστέρας χειρὸς « Φουκᾶ ». 2. βασιλείω. 3. χ. ἄλλης.

φάλαγγα, οὐκ ἔτι διπλοῖς ἐμερίσθησαν λογισμοῖς, οὐδὲ πρὸς τὸν βασιλέα τούτων οὐδεὶς λαθὼν ἀπηυτομόλησεν· οὕτως αὐτοὺς εἰς ἀμετάθετον γνώμην συνήρμοσεν ὁ Σκληρὸς, εὐνοίαις τε ὑπαγόμενος καὶ εὐεργεσίαις δουλούμενος, καὶ συμβιβάζων ἀλλήλοις, ἀπὸ τῆς αὐτῆς τε τούτοις [1] σιτούμενος καὶ κοινοῦ μετέχων κρατῆρος, ἐξ ὀνόματός τε καλῶν ἕκαστον καὶ δι' εὐφήμου γλώττης ποιούμενος.

Ὁ μὲν οὖν βασιλεὺς πάσης ἐπ' αὐτὸν ἥπτετο σκέψεώς τε καὶ πράξεως, ὁ δὲ ῥᾷστα πάντα διέλυε, στρατηγικῶς ταῖς ἐκείνου βουλαῖς τε καὶ γνώμαις ἀντιπράττων καὶ ἀντιμηχανώμενος· καὶ ἐπειδὴ πάσαις ἀνάλωτον τοῦτον εἶδε λαβαῖς ὁ Βασίλειος, πρεσβείαν πρὸς αὐτὸν ἀπεστάλκει σπείσασθαί τε πείθουσαν καὶ ἀπαλλαγῆναι πραγμάτων, τὰ πρῶτα μετά γε τοῦτον τῆς ἀρχῆς ἔχοντα. Ὁ δὲ τὰ μὲν πρῶτα οὐκ εὐμενῶς τοῖς [2] πράγμασιν ἄγαν ὠμίλησεν, ἔπειτα πολλοὺς ἐλίξας καθ' ἑαυτὸν λογισμοὺς καὶ τοῖς προλαβοῦσι τὰ ἐνεστῶτα συγκρίνας, καὶ τὰ μέλλοντα πρὸς ταῦτα εἰκάσας, πρὸς ἑαυτόν τε ἀπιδὼν, τῷ γήρᾳ καταπονούμενος, πείθεται τοῖς πεπρεσβευμένοις, καὶ τὸ στρατόπεδον ἅπαν συλλήπτορας εἰς τὴν παραδοχὴν τῆς πρεσβείας συνειληφὼς, σπένδεται Βασιλείῳ ἐπὶ τούτοις, ὥστε τὸ μὲν στέφος τῆς κεφαλῆς ἀποθέσθαι, καὶ ἐπισήμου μεθέσθαι χρώματος, εὐθὺς δὲ μετ' ἐκεῖνον [3] ἑστάναι, καὶ τούς τε λοχαγωγοὺς καὶ τοὺς ἄλλους ὅσοι τῆς τυραννίδος αὐτῷ ἐκοινώνησαν τὰς αὐτὰς ἔχειν ἀρχὰς καὶ τῶν αὐτῶν μέχρι παντὸς ἀπολαύειν ἀξιωμάτων, ὧν αὐτὸς τούτους ἠξίωσε, καὶ μήτε κτήσεων ἐστερῆσθαι ὧν τε εἶχον καὶ ὧν παρ' αὐτοῦ προσειλήφασι, μήτε τινῶν ἄλλων τῶν προσκεκληρωμένων αὐτοῖς ἀπεστερῆσθαι.

Ἐπὶ τούτοις ἄμφω συνεληλυθέτην, καὶ ὁ βασιλεὺς ἐξεληλύθει τῆς πόλεως ἔν τινι τῶν λαμπροτάτων χωρίων ὑποδεξόμενός τε τὸν ἄνδρα καὶ τὰς σπονδὰς ποιησόμενος· ὁ μὲν οὖν ὑπὸ βασιλικῇ κα-

1. χ. τούτους. 2. χ. εὐμενώτοις. 3. χ. ἐκείνου.

θῆστο σκηνῇ, | τὸν δὲ Σκληρὸν πόρρωθεν εἰσῆγον οἱ δορυφοροῦν- φ. 327.
τες ἅμα καὶ εἰς ὁμιλίαν τοῦ βασιλέως προσάγοντες, οὐχ ἱππότην, ἀλλὰ βάδην μετακομίζοντες· ὁ δὲ, ἅτε δὴ εὐμεγέθης, ἤδη δὲ καὶ γεγηρακὼς, προσήει χειραγωγούμενος ἑκατέρωθεν. Ὁ δὲ βασιλεὺς πόρρωθεν τὸν ἄνδρα ἰδὼν, τοῖς ἀγχοῦ ἐφεστῶσι τοῦτο δὴ τὸ δημῶδες καὶ κοινὸν ἀνεφθέγξατο· « Ἰδοὺ ὃν ἐδεδοίκειν, οὗτος χειραγωγούμενος ἱκέτης μου πρόσεισιν. » Ὁ μὲν οὖν Σκληρὸς, εἴτε σπουδάσας, εἴτε ἄλλως καταφρονήσας, τὰ μὲν ἄλλα παράσημα τοῦ κράτους ἀπέθετο, οὐ μέντοιγε καὶ τοὺς πόδας τοῦ φοινικοβαφοῦς πεδίλου ἐγύμνωσεν, ἀλλ' ὥσπερ μέρος τῆς τυραννίδος ἑαυτῷ ἐπαφεὶς προσήει τῷ βασιλεῖ· ὁ δέ γε Βασίλειος καὶ πόρρωθεν ἰδὼν, ἐδυσχέρανε καὶ τοὺς ὀφθαλμοὺς ἔβυσε, μὴ ἂν ἄλλως τοῦτον ἐθέλων [1] ἰδεῖν, εἰ μὴ πάντη ἰδιωτεύσοι τῷ σχήματι· αὐτοῦ γοῦν που πρὸς τῇ τοῦ βασιλέως σκηνῇ ἀπελίττεται καὶ τὸ ἐρυθρὸν πέδιλον ὁ Σκληρὸς, καὶ οὕτως ὑπέδυ τὴν στέγην.

Καὶ ὁ βασιλεὺς εὐθὺς ἐξανέστη ἰδών· καὶ ἐφιλησάτην ἄμφω ἀλλήλω, εἶτα δὴ καὶ διὰ λόγων πρὸς ἀλλήλους ἠψάσθην, ὁ μὲν τῆς τυραννίδος ἀπολογούμενος, καὶ αἰτίας τιθεὶς δι' ἃς ἐβουλεύσατό τε τὴν ἀποστασίαν καὶ ἔδρασε· ὁ δὲ ὁμαλῶς τὴν ἀπολογίαν δεχόμενος, καὶ ἐς δαιμονίαν τύχην [2] ἀναφέρων τὸ πεπραγμένον. Ὡς δὲ καὶ κοινοῦ μετεῖχον κρατῆρος, ὁ βασιλεὺς τὴν δεδομένην κύλικα τῷ Σκληρῷ, τοῖς οἰκείοις προσαγαγὼν χείλεσι καὶ πιὼν ὅσον δὴ μέτριον, αὖθις ἀντιδίδωσι τῷ ἀνδρὶ, ὑποψίας ἀπάγων καὶ τὸ τῶν σπονδῶν παραδεικνὺς ὅσιον. Εἶτα δὴ καὶ οἷον στρατηγικὸν ἄνδρα ἠρωτήκει περὶ τοῦ κράτους καὶ ὅπως ἂν αὐτῷ ἀστασίαστος ἡ ἀρχὴ τηρηθείη· ὁ δὲ ἄρα οὐ στρατηγικὴν βουλὴν, ἀλλὰ πανοῦργον εἰσηγεῖται γνώμην, καθαιρεῖν μὲν τὰς ὑπερόγκους ἀρχὰς, καὶ μηδένα τῶν ἐν στρατείαις, ἐὰν πολλῶν εὐπορεῖν, κατατρύχειν τε ἀδίκοις εἰσπράξεσιν, ἵνα τοῖς ἑαυτῶν ἀσχολοῖντο κτήμασι [3], γυναῖκά τε εἰς τὰ βασίλεια

1. χ. ἐθέλω. 2. χ. τύχειν. 3. χ. κοῖς.

μὴ εἰσαγαγεῖν, καὶ μηδενὶ πρόχειρον εἶναι, μήτε τῶν ἐν ψυχῇ βουλευμάτων πολλοὺς ἔχειν εἰδήμονας.

Ἐπὶ τούτοις διαλελυμένης αὐτοῖς τῆς κοινολογίας, ὁ μὲν Σκληρὸς ἐπὶ τοὺς ἀποτεταγμένους αὐτῷ ἀγροὺς ἀπιὼν, καὶ ὀλίγον διαβιοὺς μετήλλαξε τὴν ζωήν· ὁ δὲ βασιλεὺς Βασίλειος τά τε ἄλλα κατὰ πολλὴν ὑπεροψίαν τῶν ὑπηκόων ἔδρα, καὶ οὐκ εὐνοίαις μᾶλλον ἢ φόβοις τὴν ἀρχὴν ἑαυτῷ σοβαρωτέραν ὡς ἀληθῶς διετίθετο· τοῖς δὲ ἔτεσι [1] προστιθεὶς καὶ πεῖραν ἁπάντων συνειληφὼς, ἀπροσδεὴς ὥσπερ τῶν σοφωτέρων ἐτύγχανεν ὤν. Αὐτὸς γοῦν ἦρχε καὶ τῶν βουλευμάτων, αὐτὸς δὲ ἐτίθη [2] καὶ τὰ στρατόπεδα· τὸ δὲ πολιτικὸν οὐ πρὸς τοὺς γεγραμμένους νόμους, ἀλλὰ πρὸς τοὺς ἀγράφους τῆς αὐτοῦ εὐφυεστάτης ἐκυβέρνα ψυχῆς· ὅθεν οὐδὲ προσεῖχε λογίοις ἀνδράσιν, ἀλλὰ τούτου δὴ τοῦ μέρους, φημὶ δὲ τῶν λογίων, καὶ παντάπασι καταπεφρονήκει. Ὅθεν καὶ θαυμάζειν μοι ἔπεισιν, ὅτι οὕτως τοῦ βασιλέως κατολιγωροῦντος τῆς περὶ τοὺς λόγους σπουδῆς, οὐκ ὀλίγη φορὰ φιλοσόφων καὶ ῥητόρων κατ' ἐκείνους τοὺς χρόνους ἐγένετο· μίαν δὲ λύσιν εὑρίσκω τῆς ἀπορίας μου καὶ τοῦ θαύματος ἀκριβεστάτην ὡς εἰπεῖν καὶ ἀληθεστάτην, ὅτι μὴ πρὸς ἄλλο τέλος τοὺς λόγους οἱ τότε ἄνδρες μετεχειρίζοντο, ἀλλ' ἐσπούδαζον περὶ αὐτοὺς ὡς αὐτοτελεῖς· ἀλλ' οἱ πολλοὶ παρὰ τὴν παίδευσιν οὐχ οὕτω βαδίζουσιν, ἀλλὰ τὸ χρηματίζεσθαι εἰς πρώτην αἰτίαν τῶν λόγων ἀναφέρουσι, μᾶλλον δὲ διὰ τοῦτο περὶ τοὺς λόγους σπουδάζουσι, κἂν μὴ εὐθὺς τὸ τέλος προσῄ [3], ἀφίστανται τῆς ἀρχῆς. Οὗτοι μὲν οὖν ἐρρώσθων.

Ὁ δὲ λόγος αὖθις εἰς τὸν βασιλέα ἀναφερέσθω· οὗτος γὰρ, ἐπειδὴ καὶ τὸ βάρβαρον ἀνεκάθηρε, καὶ τὸ ὑπήκοον, ἵν' οὕτως εἴπω, παντοδαπῶς ἐχειρώσατο, οὐκ ἔτι μὲν ἐπὶ τῆς προτέρας ἠξίωσε προαιρέσεως, ἀλλὰ τὰ προὔχοντα τῶν γενῶν καθελὼν καὶ εἰς ἴσον τοῖς ἄλλοις καταστήσας, κατὰ πολλὴν εὐπέτειαν τὸ κράτος δια-

1. χ. ἔταισι. 2. γρ. διετίθη. 3. γρ. προσίῃ.

κυβεύων ἐτύγχανε, καί τινα λογάδα περὶ αὐτὸν πεποιηκὼς ἀνδρῶν, οὔτε τὴν γνώμην λαμπρῶν, οὔτε μὴν ἐπισήμων τὸ γένος, οὔτε τὰ ἐς λόγους ἐς τὸ ἄγαν πεπαιδευμένων, τούτοις καὶ τὰς βασιλείους ἐπιστολὰς ἐνεχείρισε, καὶ τῶν ἀπορρήτων κοινωνῶν διετέλει. Ἐπεὶ δὲ ποικίλη τότε οὐκ ἦν ἡ τῶν βασιλέων πρὸς τὰς ὑπομνήσεις ἢ δεήσεις ἀπόκρισις, ἀλλ' ἀφελὴς καὶ λιτή (τοῦ γὰρ κομψῶς καὶ συντεταγμένως γράφειν ἢ λέγειν ἀπείχετο παντελῶς), ταῦτα γοῦν ἐπιόντα τῇ γλώττῃ ῥήματα ταῦτα συνείρων τοῖς γράφουσιν ὑπηγόρευε, καὶ δεινὸν οὐδὲν[1] ὁ λόγος εἶχεν, οὐδὲ περίεργον. Ἀπὸ τοίνυν ὑπερηφάνου καὶ βασκάνου τύχης τὴν βασιλείαν καταβιβάσας, οὐ μόνον λείαν[2] ἑαυτῷ τὴν ὁδὸν εὐτρέπισε τῆς ἀρχῆς, ἀλλὰ καὶ τὰς ἐξαγωγὰς τῶν διδομένων ἀποφράξας χρημάτων, πολυτάλαν ἑαυτῷ τὸν ὄλβον τῆς βασιλείας πεποίηκε, τὰ μὲν μὴ διδοὺς, τὰ δὲ καὶ προστιθεὶς ἔξωθεν· ἐς γὰρ μυριάδας εἴκοσι ταλάντων ἔμπλεω τὰ τῶν ἀνακτόρων ταμεῖα πεποίηκε. Τὸν δὲ λοιπὸν χρηματισμὸν τίς ἂν εὐπορήσοι τῷ λόγῳ συναγαγεῖν; ὅσα γὰρ ἐν Ἰβηρσί τε καὶ Ἄραψι, καὶ ὅσα ἀποτεθησαύριστο εἰς Κελτοὺς, ὁπόσα τε ἡ Σκυθῶν[3] εἶχε γῆ, καὶ ἵνα συντόμως εἴπω, τὸ πέριξ βαρβαρικὸν, πάντα ἐς τ' αὐτὸ συνενηνοχὼς τοῖς βασιλικοῖς ταμείοις ἀπέθετο· ἀλλὰ | καὶ τῶν καταστασιάντων αὐτῶν, εἶτα δὴ καθαι- φ. 328.
ρεθέντων, τὴν ἐν χρήμασιν εὐδαιμονίαν ἐκεῖσε φέρων ἀπεθησαύρισε. Καὶ ἐπειδὴ οὐκ ἤρκεσαν αὐτῷ αἱ τῶν κατεσκευασμένων[4] οἴκων ὑποδοχαὶ, ὑπογείους ὀρύξας ἕλικας κατὰ τὰς τῶν Αἰγυπτίων σύριγγας, ἐν αὐτοῖς οὐκ ὀλίγα τῶν συνειλεγμένων ἐταμιεύσατο. Ἀπέλαυε δὲ οὐδενὸς, ἀλλ' οἱ πλείους τῶν λίθων τῶν τε λευκοτάτων οὓς μαργαρίτας φαμὲν, καὶ τῶν διαφόροις ἀποστιλβόντων τοῖς χρώμασιν, οὐκ ἐν ταινίαις[5] κεκόλλητο ἢ στρεπτοῖς, ἀλλ' αὐτοῦ που καταγῆς ἐρριμένοι ἐτύγχανον. Ὁ δὲ πορφυρᾶν ἐσθῆτα ἠμφιεσμένος[6], οὐδὲ τὴν κατακόρως ὀξεῖαν, ἀλλὰ τὴν μέλαιναν, μαρ-

1. χ. οὐδέ. 2. χ. λίαν. 3. χ. εἰς Σκυθῶν. 4. χ. κατασκευασμένων. 5. χ. τενείαις. 6. χ. ἐμφιεσμένος.

γάρισί τισι τὸ ἐπίσημον ἔχουσαν [1], τάς τε προόδους ἐποιεῖτο καὶ τοῖς τέλεσιν ἐχρημάτιζε· τὸν δὲ πλεῖστον τῆς ἀρχῆς αὐτοῦ χρόνον στρατεύων, καὶ τάς τε τῶν βαρβάρων ἀνείργων ἐπιδρομὰς, τά τε ἡμέτερα φρουρῶν ὅρια, οὐ μόνον οὐδὲν ἐξεφόρει τῶν ἀποτεθειμένων, ἀλλὰ καὶ πολλαπλάσια τὰ συνειλεγμένα ἐδείκνυε. Ἐποιεῖτο δὲ τὰς πρὸς τοὺς βαρβάρους στρατείας οὐχ ὥσπερ εἰώθασιν οἱ πλείους τῶν βασιλέων ποιεῖν, μεσοῦντος ἐξιόντες ἔαρος καὶ τελευτῶντος θέρους ἐπαναζευγνῦντες, ἀλλ' ὅρος αὐτῷ τῆς ἀναζεύξεως ἦν τὸ τοῦ σκοποῦ τέλος, ἐφ' ᾧ καὶ τὴν κίνησιν ἐποιήσατο. Ἀπεκαρτέρει δὲ καὶ πρὸς ψῦχος ἀκμάζων [2] καὶ πρὸς ἀκμὴν θέρους, καὶ διψῶν οὐκ εὐθὺς ταῖς πηγαῖς προσήει, ἀλλ' ἦν ὡς ἀληθῶς πρὸς πᾶσαν ἀνάγκην φύσεως στερρός τε καὶ ἀδαμάντινος. Τὰ δὲ τῶν στρατοπέδων εἰς τὸ ἀκριβὲς εἰδὼς, οὐ πλήθει φημὶ τάξεως, οὐδὲ λόχους συνηρμοσμένους, οὐδὲ δεσμοὺς τάξεως καὶ λύσεις εὐκαίρους, ἀλλὰ καὶ τὰ ἐς τὸν πρωτοστάτην καὶ τὰ ἐς τὸν ἡμιλοχίτην καὶ ὁπόσα καὶ ἐς τὸν κατόπιν ἀνενεγκεῖν, εὐπετῶς τούτοις ἐν τοῖς πολέμοις ἐχρῆτο· ὅθεν οὐδ' ἐπ' ἄλλοις τὴν τάξιν τούτων ἐτίθετο, ἀλλ' ἑκάστου καὶ τὴν φύσιν καὶ τὴν τεχνικὴν ἀγωνίαν εἰδὼς, καὶ πρὸς ὃ ἦ τῷ ἤθει ἢ τῇ παιδείᾳ [3] συνήρμοστο [4] πρὸς τοῦτο συνεῖχε [5] καὶ συνεβίβαζε. Ἤδη δὲ καὶ ὁπόσα τῶν σχημάτων τοῖς λόχοις [6] λυσιτελεῖ, τὰ μὲν ἀπὸ τῶν βιβλίων ἀναλεξάμενος, τὰ δὲ καὶ αὐτὸς συντελέσας ἐκ φυσικῆς ἐπιστήμης τοῖς γινομένοις [7]· πολεμεῖν δὲ καὶ κατὰ φάλαγγα ἴστασθαι ἐπήγγειλε μὲν καὶ ἐποιεῖτο τὸ σχῆμα, οὐ πάνυ δὲ τὴν πρᾶξιν ἐβούλετο, τὴν ὀξεῖαν τροπὴν εὐλαβούμενος· ὅθεν τὰ πολλὰ λόχους [8] ἐκάθιζε, καὶ μηχανὰς ἐποιεῖτο, καὶ ἠκροβολίζετο πόρρωθεν, τοῖς ψιλοῖς ἐπιτάττων τὴν τέχνην. Ἐς δὲ πόλεμον καθιστάμενος, καὶ τὰς τάξεις δεσμήσας τοῖς τακτικοῖς σφίγμασι, καὶ οἷον καταπυργώσας τὸ στράτευμα, καὶ συναρμόσας ταῖς ἴλαις μὲν

1. χ. ἔχουσα. 2. γρ. ἀκμάζον. 3. χ. παιδία. 4. χ. συνήρμοσθαι. 5. χ. συνεῖγε. 6. χ. λόγχοις. 7. χ. τινομένοις. 8. χ. λόγχους.

τὸ στρατόπεδον, ταύτας δὲ τοῖς λόχοις, καὶ τούτους τοῖς καθένα τῶν ὁπλιτῶν, οὐδενὶ προπηδᾶν ἐνετέλλετο, οὐδὲ τὸν συνασπισμὸν λύειν παρὰ πᾶσαν ἀνάγκην· εἰ δέ[1] τις τῶν ἀκμαιοτάτων ἢ ὀξυτάτων ἄλλως ἑαυτὸν ἀποθιασάμενος πορρωτάτω τῆς φάλαγγος ἀφιππάσαιτο, καὶ συμμίξας τοῖς πολεμίοις τροπὴν ἐποιήσατο, ἐπαναζεύξας οὐ στεφάνων οὐδ' ἀριστείων ἐτύγχανεν, ἀλλ' εὐθὺς τοῦτον τοῦ τε στρατεύματος διήρει, καὶ μετὰ τῶν παρανομούντων τάξας ἐτιμωρεῖτο. Μεγάλην ῥοπὴν πρὸς τὸ νικᾶν ἡγεῖτο τὴν μὴ ἀπερρωγυῖαν σύνταξιν, καὶ τούτῳ μόνῳ ἀτρέπτους τὰς τῶν Ρωμαίων ἐνόμιζε φάλαγγας. Βαρυνομένων δὲ τῶν στρατιωτῶν τὴν ἐφοδείαν τῆς μάχης καὶ ἐς προῦπτον ὑβριζόντων αὐτὸν, ὁμαλῶς οὗτος τὰς ἐπ' αὐτὸν ὀλιγωρίας ἐδέχετο, καὶ μειδιῶν ἐφ' ἱλαρῷ ἤθει εὐλογίστους ἀπεδίδου τὰς ἀποκρίσεις, « ὡς οὐκ ἂν ἄλλως παυσώμεθα πολεμοῦντες. » Ἀπεμέριζε δὲ τὸ ἑαυτοῦ ἦθος καὶ κατάλληλον ἐδίδου καιροῖς τε μαχίμοις καὶ εἰρηνικαῖς καταστάσεσι, μᾶλλον δ' εἰ τ' ἀληθὲς ἐρεῖν, πανουργότερος μὲν ἐν πολέμοις ἦν, ἐν δὲ εἰρήνῃ βασιλικώτερος· καὶ τὰς ὀργὰς ταμιεύων καὶ ὥσπερ ὑπὸ σποδιᾷ κρύπτων τῇ ἑαυτοῦ ψυχῇ, εἴ τινες ἐν τοῖς πολέμοις παρηνομήκασιν, ἀνῆπτε ταύτας καὶ ἀπεκάλυπτεν ἐπαναζεύξας εἰς τὰ βασίλεια, καὶ δεινῶς τηνικαῦτα ἐμνησικάκει τοῖς κακουργήμασι. Τὸ δὲ στερρὸν τῆς γνώμης ἐπὶ πολλοῖς μὲν ἐδείκνυεν, ἔστι δὲ ὅτε μετήλλαττε· καὶ πολλοῖς καὶ τὰς ἀρχὰς τῶν ἁμαρτανομένων ἐπεξετάζων, τοῖς πλείοσιν ἠφῆκε καὶ τὰ τέλη τῶν πράξεων, ἢ συμπαθείᾳ διδοὺς, ἢ ἄλλως ἐκείνοις προσκείμενος. Βραδέως δὲ πρός τινα πρᾶξιν κεκινημένος, τὸ δόξαν οὐδαμοῦ ἐβούλετο ἀλλοιοῦν· ὅθεν οὔθ' οἷς εὐμενὴς ἦν, τούτοις, εἰ μή πού τις ἀνάγκη ἐπῆν, τὸ ἦθος μετήλλαττεν· ἀλλ' ἦν ἡ τῶν δοξάντων αὐτῷ διαίρεσις[2] κατὰ τὸ μέλλον καὶ θεῖον κριτήριον.

1. ἢ δὲ. 2. χ. διαΐρεσεις.

Περὶ τοῦ ἰδίου.

Τὸ μὲν οὖν ἦθος αὐτῷ τοιοῦτον, τὸ δὲ εἶδος εὐγένειαν κατ-
γόρει [1] φύσεως· τό τε γὰρ ὄμμα χαροπὸν καὶ λαμπρὸν, καὶ ἡ
ὀφρὺς οὐκ ἐπικειμένη καὶ σκυθρωπάζουσα, οὔτε θηλυπρεπῶς κα-
εὐθεῖαν ἐκτεταμένη γραμμὴν, ἀλλ' ὑπερκειμένη καὶ τὸ ἀγέρωχον
τοῦ ἀνδρὸς ὑπεμφαίνουσα· αἱ δὲ τῶν ὄψεων ἀκτῖνες οὔτε βεβυθι-
σμέναι πρὸς τὸ πανουργότερον καὶ δεινότερον, οὔτε μὴν ἐκκεχυμέναι
πρὸς τὸ χαυνότερον, ἀλλ' αἰγλης ἀρρενωποῦ ἀποστίλβουσαι· τὸ δὲ
πρόσωπον ξύμπαν ὥσπερ ἀπὸ κέντρου ἐς ἀκριβῆ κύκλον ἀποτε-
τόρνευτο, καὶ δι' εὐπαγοῦς αὐχένος καὶ ἐπιμήκους τὸ μέτριον τοῖς
φ. 329. ὤμοις συνήρμοστο. | Τὸ στέρνον, οὔτε προβεβλημένον καὶ οἷον
ἐκκείμενον, οὔτ' αὖθις ἐγκείμενον καὶ οἷον ἀποστενούμενον, ἀλλ'
ἐμμέτρως ἔχον τῶν διαστάσεων· καὶ τὰ λοιπὰ δὲ μέρη πρὸς τοῦτο
συνωμολόγησαν. Τὴν δὲ ἡλικίαν ἐλάττονα μὲν εἶχε τοῦ μετρίου,
συνηρμοσμένην δὲ τοῖς ἰδίοις μέρεσι καὶ μηδαμοῦ ἐπινεύουσαν·
ἀφίππῳ μὲν οὖν εἴ τις ἐντετυχήκει αὐτῷ, καὶ πρὸς ἐνίους ἂν εἶχε
παραβαλεῖν [2], ἱππαζομένῳ δὲ τὸ κατὰ πάντων ἐδίδου ἀσύγκρι-
τον· ἐντετύπωτο γὰρ τῇ ἕδρᾳ κατὰ τοὺς τῶν ἀγαλμάτων τύπους
ὅσα ἐς τοιοῦτον σχῆμα οἱ ἀκριβεῖς πλάσται συνήρμοσαν, καὶ τόν
τε χαλινὸν τῷ ἵππῳ διδοὺς καὶ ἐπιρράσσων, ὄρθιος καὶ ἀκλινὴς ἦν
κατά τε πρανῶν ὁμοίως καὶ κατ' ὀρθίων φερόμενος, αὖθίς τε ἀνείρ-
γων καὶ ἀνασειράζων τὸν ἵππον ὑψοῦ ἤλλετο οἷον ἐπτερωμένος,
καὶ μετὰ τοῦ αὐτοῦ σχήματος πρός τε τὸ ἄναντες καὶ πρὸς τὸ
κάταντες ἦν. Γηράσαντι δὲ οἱ τὸ μὲν ὑπὸ τὸν ἀνθερεῶνα ἐψίλωτο
γένειον, τὸ δ' ὅσον ἀπὸ τῆς γένυος κατακέχυτο, δασεῖά τε ἡ θριξ
ἐγεγόνει καὶ πολλὴ πέριξ περιεπεφύκει, ὅθεν καὶ ἑκατέρωθεν περιελι-
χθεῖσα [3] ἐς κύκλον ἀπηκριβώθη, καὶ ἐδόκει πάντοθεν γενειάσκειν.

1. χ. κατηγόρει. 2. χ. παραλαβεῖν. 3. χ. περιελεχθεῖσα.

Εἰώθει γοῦν πολλάκις ταύτην περιελίττειν, καὶ μάλιστα ὁπότε τῷ θυμῷ διαπυρούμενος ἦν, καὶ ἄλλως δὲ χρηματίζων καὶ ἐπ' ἐννοίας ἀνακινῶν ἑαυτὸν ἐχρῆτο τῷ σχήματι· τοῦτό τε οὖν ἐποίει θαμὰ, καὶ τῷ τῆς χειρὸς ἐκκειμένῳ ἀγκῶνι τοῖς κενῶσι τοὺς δακτύλους ἐπέβαλλεν. Ὡμίλει δὲ οὐκ ἐπιτροχάδην, οὐδὲ ἀποτορνεύων τοὺς λόγους, οὐδὲ ἐς περιόδους ἀπομηκύνων, ἀλλὰ περικόπτων καὶ καταβραχὺ ἀναπαύων, καὶ ἀγροικικῶς μᾶλλον ἢ ἐλευθερίως· ὁ δὲ γέλως αὐτῷ καὶ χασμὸν εἶχε καὶ τῷ παντὶ συνεβράσσετο σώματι. Οὗτος ὁ βασιλεὺς μακροβιώτατος δοκεῖ ὑπὲρ πάντας τοὺς ἄλλους αὐτοκράτορας γεγενῆσθαι· ἀπὸ μὲν γὰρ γεννήσεως ἄχρις εἰκοστοῦ χρόνου τῆς ἡλικίας αὐτοῦ τῷ τε πατρὶ καὶ τῷ Φωκᾷ Νικηφόρῳ καὶ τῷ μετ' ἐκεῖνον Ἰωάννῃ τῷ Τζιμισκῇ συνεβασίλευσεν ὑποκείμενος, εἶτα δὴ δύο πρὸς τοῖς πεντήκοντα ἔτεσι τὴν αὐτοκράτορα ἔσχεν ἀρχήν. Ἑβδομηκοστὸν οὖν καὶ δεύτερον ἔτος τῆς βασιλείας [1] ἄγων μεταλλάττει τὸν βίον.

ΤΌΜΟΣ ΔΕΎΤΕΡΟΣ.

Τελευτήσαντος Βασιλείου εἰς τὴν αὐτοκράτορα περιωπὴν ὁ ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος ἐπάνεισι, πάντων αὐτῷ παρακεχωρηκότων τῆς ἐξουσίας· ἐπεὶ καὶ ὁ βασιλεὺς Βασίλειος [2] τελευτῶν μεταλεῖται τοῦτον εἰς τὰ βασίλεια, καὶ τῆς ἡγεμονίας ἐγχειρίζει τοὺς οἴακας. Οὗτος ἑβδομηκοστὸν ἔτος ἔχων τῆς ἡλικίας τὴν τῶν ὅλων ἀναλαμβάνει διοίκησιν· ἤθους δὲ μαλακωτάτου τυχὼν καὶ ψυχῆς πρὸς πᾶσαν ῥεούσης ἀπόλαυσιν, εἶτα καὶ τοὺς βασιλικοὺς θησαυροὺς ἔμπλεω [3] χρημάτων ἐφευρηκὼς, καταχρῆσαι τῇ γνώμῃ καὶ ταῖς ἡδοναῖς ἐκδίδωσιν ἑαυτόν. Τοῦτον τὸν ἄνδρα ὑπογράφων ὁ

1 γρ. ἡλικίας. 2. χ. βασιλεῖ. 3. γρ. ἔμπλεως.

λόγος τοιοῦτον ἐκδίδωσι· ῥᾴθυμος ἦν τὴν γνώμην, καὶ οὐ πάνυ περὶ τὴν ἡγεμονίαν σπουδάζων, ἄλκιμος δὲ ὢν περὶ τὸ σῶμα, δειλὸς ἦν τὴν ψυχήν· γηραιὸς δὲ ἤδη γενόμενος καὶ μηκέτι πολεμεῖν δυνάμενος, πρὸς πᾶσαν δύσφημον ἐξετραχύνετο ἀκοήν· καὶ τὸ μὲν πέριξ βαρβαρικὸν ὑποκινούμενον καθ' ἡμῶν, ἀξιώμασιν ἀνεῖργε καὶ δωρεαῖς, τοὺς δὲ τῶν ὑπηκόων στασιάζοντας δεινῶς ἐτιμωρεῖτο· κἂν ὑπείληφέ τινα τολμητίαν ἢ στασιώδη πρὸ τῆς πείρας τὴν τιμωρίαν ἐπῆγεν· οὐκ εὐνοίαις τοὺς ὑπὸ χεῖρα δουλούμενος, ἀλλὰ παντοδαπαῖς βασάνων κακώσεσιν· ὀξύρροπος εἰ καί τις ἄλλος ἦν, θυμοῦ τε ἥττων, καὶ πρὸς πᾶσαν ἀκοὴν εὐπαράδεκτος, μάλιστα δὲ πάντων οὓς βασιλειῶντας ὑπώπτευε, καὶ διὰ τοῦτο ἐτιμωρεῖτο δεινῶς, οὐ τονῦν ἀνείργων, οὐδὲ περιγράφων αὐτοὺς, οὐδ' ἀπροΐτους ποιούμενος, ἀλλ' εὐθὺς σιδήρῳ τοὺς ὀφθαλμοὺς ὀρυττόμενος· ταύτην δὲ τὴν κόλασιν πᾶσιν ἀπεμέτρει, κἂν ὁ μὲν μείζονα, ὁ δὲ ἐλάττονα ἁμαρτάνειν ἔδοξε· καὶ ὁ μὲν ἔργου ἥπτετο, ὁ δὲ μέχρι φήμης προέβαινεν· οὐ γὰρ ἐφρόντιζεν ὅπως ἂν ἀναλόγους τὰς τιμωρίας ἀποδώσει τοῖς ἁμαρτήμασιν, ἀλλ' ὅπως ἂν ἑαυτὸν ἐλευθερώσειε τῶν ὑποψιῶν· ἐδόκει δὲ αὐτῷ καὶ ἡ τοιαύτη βάσανος κουφωτάτη τῶν ἄλλων· διότι δὲ τοὺς τιμωρουμένους ἀπράκτους ἐποίει, ταύτῃ μᾶλλον ἐχρῆτο· προέβη δὲ οὕτω ποιῶν ἀπὸ τῶν πρώτων καὶ ἄχρι τῶν τελευταίων· ἐξέτεινε δὲ τὸ κακὸν καὶ ἐνίοις [1] τῶν ἐν κλήρῳ κατειλεγμένων, οὐδὲ ἀρχιερωσύνης ἐφείσατο· ἅπαξ γὰρ κατάφορος τῷ θυμῷ γεγονὼς, δυσανάκλητος ἦν καὶ δυσήκοος πρὸς πᾶσαν παραίνεσιν· οὕτω δὲ δύσοργος ὤν, οὐδὲ τοῦ συμπαθοῦς ἤθους ἀπῴκιστο, ἀλλὰ καὶ πρὸς τὰς συμφορὰς ἐδυσωπεῖτο, καὶ τοῖς ἐλεεινολογουμένοις ἐξευμενίζετο· τὴν δὲ ὀργὴν οὐκ ἔμμονον εἶχεν, ὥσπερ ὁ ἀδελφὸς Βασίλειος, ἀλλὰ ταχὺ μετεβάλλετο· καὶ ἐφ' οἷς ἐποίει δεινῶς μετεβάλλετο· ἀμέλει κἄν τις αὐτῷ φλεγμαίνοντα [2] κατέσβεσε τὸν θυμὸν, ἀπείχετό τε τοῦ τιμωρεῖν, καὶ χάριτας ὡμολόγει

1. χ. ἐνίους. 2. χ. φλεγμέναντα.

τῷ κεκωλυκότι· εἰ δὲ μηδὲν ἐγεγόνει τὸ ἀντικείμενον, ἀπέσκηπτε μὲν αὐτῷ ὁ θυμὸς | ἐπί τι κακὸν, ὁ δ' εὐθὺς ἀκούσας ἠνιᾶτο καὶ φ. 330. τὸν τετιμωρημένον συμπαθῶς ἠγκαλίζετο καὶ δάκρυα τῶν ὀμμάτων ἠφῆει, καὶ ἀπελογεῖτο ἐλεεινοῖς ῥήμασιν. Εὐεργετεῖν δὲ πάντων μᾶλλον βασιλέων ἠπίστατο, πλὴν οὐκ ἀπεμίγνυε τῇ χάριτι ταύτῃ τὴν τῆς δικαιοσύνης ἰσότητα, ἀλλὰ τοῖς μὲν περὶ ἑαυτὸν πάσας θύρας εὐεργετημάτων ἀνέῳγε καὶ ὡς ψάμμον αὐτοῖς τὸν χρυσὸν ἐθησαύριζε, τοῖς δὲ πόρρω ἐλάττονα τὴν ἀρετὴν ταύτην ἐδείκνυεν. Ὠκειοῦντο δὲ αὐτῷ τῶν ἄλλων μάλιστα οὓς ἐκ πρώτης ἡλικίας τῶν παιδογόνων ἀφελὼν μορίων κατευναστῆρας καὶ θαλαμηπόλους ἐκέκτητο· ἦσαν δὲ οὗτοι οὔτε τῆς εὐγενοῦς, οὔτε τῆς ἐλευθέρας τύχης, ἀλλὰ τῆς ἐθνικῆς καὶ βαρβάρου· παιδείας τε τῆς παρ' ἐκείνου τετυχηκότες καὶ ἐς τὸ ἐκείνου ἦθος μεταβαλόντες, ὑπὲρ τοὺς ἄλλους αἰδοῦς τε πλείονος καὶ τιμῆς ἠξιοῦντο· καὶ οὗτοι δὲ τῇ γνώμῃ τὸ τῆς τύχης αἶσχος ἐκάλυψαν· ἐλευθέριοί τε γὰρ ἦσαν καὶ ἀφειδεῖς χρημάτων, καὶ εὐεργετῆσαι πρόθυμοι, καὶ τὴν ἄλλην καλοκἀγαθίαν ἐπιδεικνύμενοι.

Οὗτος ὁ βασιλεὺς νέαν ἔτι ἄγων τὴν ἡλικίαν, ὁπότε ὁ ἀδελφὸς αὐτῷ Βασίλειος ἐγκρατὴς ἐγεγόνει τῆς αὐτοκράτορος ἀρχῆς, ἄγεται γυναῖκα ἑαυτῷ τῶν εὐγενῶν τε καὶ σεμνοτάτων, Ἑλένην ὄνομα, θυγατέρα Ἀλυπίου ἐκείνου τοῦ πάνυ, τῷ τότε χρόνῳ πρωτεύοντος. Ἦν δὲ ἡ γυνὴ καὶ τὴν ὥραν καλὴ, καὶ τὴν ψυχὴν ἀγαθὴ, καὶ τίκτει τῷ βασιλεῖ θυγατέρας τρεῖς, ἐφ' αἷς μεταλλάττει τὸν βίον· ἡ μὲν οὖν ἀπῆλθε τὸν δεδομένον χρόνον πληρώσασα, αἱ δὲ ἐπὶ τοῖς βασιλείοις αὐτοῖς βασιλικῆς ἠξιοῦντο καὶ ἀνατροφῆς καὶ παιδεύσεως. Ταύτας ἠγάπα μὲν καὶ ὁ βασιλεὺς Βασίλειος καὶ δεινῶς ἔστεργεν, οὐδὲν δέ τι γενναιότερον περὶ τούτων ἐφρόντισεν, ἀλλὰ τῷ ἀδελφῷ τὸ κράτος φυλάττων ἐπ' ἐκείνῳ τὴν περὶ τούτων φροντίδα ἔθετο.

Τούτων δὴ τῶν θυγατέρων ἡ μὲν πρεσβυτέρα οὐ πάνυ τι πρὸς τὸ γένος ἀνέφερεν· ὁμαλωτέρα γὰρ τὸ ἦθος ἦν καὶ τὴν γνώμην ἀπα-

λωτέρα, κάλλους τε μέσως ἔχουσα· διέφθαρτο γὰρ ἐξ ἔτι παιδὸς οὔσης, λοιμικοῦ ταύτην κατασχόντος νοσήματος· ἡ δὲ μετ' ἐκείνην καὶ μέση, ἣν καὶ αὐτὸς ἤδη γεγηρακυῖαν ἐθεασάμην, καὶ τὸ ἦθος βασιλικωτάτη [1], καὶ τὸ εἶδος λαμπροτάτη, καὶ τὴν γνώμην μεγαλοπρεπεστάτη τε καὶ αἰδέσιμος, περὶ ἧς ἐν τοῖς ἰδίοις λόγοις ἐρῶ ἀκριβέστερον, νῦν γὰρ ἐπιτρέχω τὸν περὶ αὐτῶν λόγον· ἡ δὲ μετ' ἐκείνην καὶ τρίτη, εὐμήκης μὲν τὴν ἡλικίαν, καὶ τὴν γλῶτταν σύντομός τε καὶ ἐπιτρόχαλος, τὴν δὲ ὥραν ἐλάττων τῆς ἀδελφῆς. Ὁ μὲν οὖν βασιλεὺς καὶ θεῖος Βασίλειος οὐδὲν περὶ τούτων φρονήσας βασιλικώτερον, ἀπελήλυθεν· ὁ δὲ πατὴρ, ἀλλ' οὐδὲ οὗτος ὅτε τὴν αὐτοκράτορα ἡγεμονίαν ἀνείληφε, συνετώτερον περὶ αὐτῶν ἐβουλεύσατο, εἰ μὴ περὶ τῆς μέσης καὶ βασιλικωτέρας πρὸς τῷ τέλει τοῦ ζῆν γεγονὼς, περὶ οὗ προϊὼν ὁ λόγος ἐρεῖ. Ἀλλ' αὖτη μὲν καὶ ἡ τρίτη τῶν ἀδελφῶν ἔστεργον τὰ δόξαντα τῷ θείῳ καὶ τῷ πατρὶ, καὶ οὐδέν τι πλέον περιειργάζοντο· ἡ δὲ πρεσβυτέρα, Εὐδοκία ταύτῃ τὸ ὄνομα, εἴτε ἀπογνοῦσα τὸ κράτος, εἴτε τὰ κρείττω ποθήσασα, ἀξιοῖ τὸν πατέρα καθοσιῶσαι αὐτὴν τῷ θεῷ· ὁ δὲ αὐτίκα πείθεται, καὶ ὥσπερ ἀπαρχὴν καὶ ἀνάθημα τῶν αὐτοῦ σπλάγχνων τὴν παῖδα τῷ κρείττονι δίδωσι· περὶ δὲ τῶν ἑτέρων ἀπορρήτως εἶχε τὰς γνώμας, ἀλλὰ μήπω περὶ τούτων.

Ὁ δὲ λόγος χαρακτηριζέτω τὸν αὐτοκράτορα, μηδέν τι τοῦ πεφυκότος ἢ προστιθεὶς ἢ καθυφείς. Ἐπεὶ γὰρ εἰς ἑαυτὸν τὸ πᾶν τῆς διοικήσεως ἀνηρτήσατο, οὐχ οἷός τε δὲ ἦν φροντίσιν ἑαυτὸν καταδαπανᾷν, ἀνδρῶν τοῖς λογιωτέροις ἐγχειρίσας τὰ πράγματα, αὐτὸς τὸ μὲν ὅσον ἐς τὸ χρηματίσαι πρέσβεσιν ἢ ἄλλο τῶν ῥᾳστων διοικήσασθαι, προὐκάθητο μάλα βασιλικῶς, καὶ τὴν γλῶσσαν ἐπὶ τὸ λέγειν ἀφιεὶς πᾶσαν κατέπληττεν ἀκοὴν, ἐπιχειρῶν τε καὶ ἐπενθυμούμενος. Γράμματα μὲν γὰρ οὐ πολλὰ μεμαθήκει, ἀλλὰ βραχύ τι καὶ ὅσον ἐς παῖδας ἀνήκει τῆς ἑλληνικῆς μετέσχε παι-

1. χ. βασιλικωτάτην.

δείας· φύσεως δὲ περιδεξίου τετυχηκὼς καὶ χαρᾶς, καὶ γλῶτταν εὐτυχήσας ἄβρὰν περὶ τοὺς λόγους καὶ καλλιρρήμονα, οὓς ἀπὸ ψυχῆς ἐγέννα λογισμοὺς λαμπρᾷ τῇ γλώττῃ ἐμαίευεν [1]· ἀμέλει καὶ ἑνίας τῶν βασιλείων ἐπιστολῶν αὐτὸς ὑπηγόρευεν (ἐφιλοτιμεῖτο γὰρ περὶ τοῦτο), καὶ πᾶσα χεὶρ ὀξεῖα ἡττᾶτο τοῦ τάχους τῶν ὑπηγορευμένων, καίτοι γε τοσούτους καὶ τηλικούτους ὑπογραμματέας ὀξυγράφους εὐτύχησεν, ὁποίους ὀλιγάκις ὁ βίος εἶδεν· ὅθεν πρὸς τὸ τάχος τῶν λεγομένων ἀποναρκοῦντες, σημείοις τισὶ τὸ πλῆθος τῶν τε ἐννοιῶν καὶ τῶν λέξεων ἀπεσήμαινον [2].

Εὐμεγέθης δὲ ὢν τὸ σῶμα, ὡς εἰς ἔννατον πόδα ἀνεστηκέναι, ἔτι καὶ ῥωμαλεώτερον εἶχε τῆς φύσεως· ἔρρωτό τε αὐτῷ ἡ γαστὴρ, καὶ πρὸς τὰς ὑποδοχὰς τῶν τροφῶν ἡ φύσις ἡτοίμαστο· καρυκεῦσαι δὲ δεινότατος ἐγεγόνει, χροιαῖς τε καὶ ὀσμαῖς τὰ παρατεθειμένα καταχρωννὺς, καὶ πᾶσαν φύσιν πρὸς ὄρεξιν ἐκκαλούμενος. Ἥττητο δὲ καὶ γαστρὸς καὶ ἀφροδισίων, | ὅθεν αὐτῷ καὶ περὶ τὰ ἄρθρα ἄλγημα ἐγεγόνει, μᾶλλον δὲ τὼ πόδε καὶ κάτω ἐς τοσοῦτον, ὥστε μὴ βαδίζειν δύνασθαι· ὅθεν οὐδέ τις αὐτὸν εἶδε μετὰ τὴν αὐτοκράτορα ἡγεμονίαν θαρσούντως [3] τοῖς ποσὶ πρὸς τὴν κίνησιν χρώμενον· ἐφ' ἵππου δὲ ὀχηθεὶς ἀσφαλῶς ἤδραστο. Μάλιστα δὲ ἐμεμήνει περί τε τὰ θέατρα καὶ ἱπποδρομίας, καὶ ἐσπούδαζε περὶ ταῦτα, ἀντιδιδοὺς ἵππους καὶ ἀντιζευγνὺς, καὶ περὶ τὰς ἱππαφέσεις φροντίζων· ὅθεν ἀμεληθείσης πάλαι τῆς γυμνοποδίας, οὗτος αὖθις ἐφρόντιζε καὶ ἐπανήγαγεν εἰς τὸ θέατρον, οὐχ ὡς βασιλεὺς θεωρῶν, ἀλλ' ὡς τῷ ἀντικειμένῳ μέρει ἀντιτέχνως [4]· ἐβούλετο δὲ μὴ ὡς βασιλέως ἡττᾶσθαι τοὺς ἀντιπίπτοντας, ἀλλὰ δεινῶς ἀπομάχεσθαι, ἵνα νικήσῃ τούτους λαμπρότερον. Ἐστωμύλλετο δὲ καὶ περὶ τὰς ἔριδας, καὶ πρὸς τὰ τῶν πολιτῶν ἔθη ἀνεκέκρατο. Θεάτρων οὖν ἥττητο, καὶ οὐδὲν ἧττον [5] καὶ κυνηγεσίων, ἔνθα δὴ καὶ

φ. 331.

1. χ. ἐμαίεσθεν. 2. χ. ἀπεσίμαινον. 3. χ. θαρσοῦντος. 4. γρ. ἀντίτεχνος. 5. χ. ἧττων.

κάματος κρειττων ἦν, καὶ ψύχους ἐκράτει, καὶ πρὸς δίψος ἀντέτεινε· μάλιστα δὲ πρὸς θῆρας [1] ἀπομάχεσθαι δεινότατος ἦν· διὰ ταῦτα οὖν τοξεύειν τε ἐμεμαθήκει, καὶ ἀφιέναι δόρυ, καὶ ξίφος ἐπιδεξίως σπάσασθαι, καὶ ἐπιτετευγμένως ἀποτοξεῦσαι.

Τῶν δὲ τῆς βασιλείας πραγμάτων τοσοῦτον ἠμέλει, ὅσον περὶ πεττοὺς [2] καὶ κύβους ἐσπούδαζεν· οὕτω γὰρ ἥττητο ταύτης τῆς παιδιᾶς καὶ ἐπὶ τοσοῦτον περὶ ταύτης ἐμεμήνει, ὥστε καὶ πρέσβεων [3] ἐφεστηκότων ἀμελεῖν, εἰ ταύτῃ ξυνείχετο, καὶ τῶν ἄλλως ἀναγκαιοτέρων καταφρονεῖν, ἡμέρας τε ξυνῆπτε νυξὶ, καὶ πολυβορώτατος ὢν, τροφῆς ἀπείχετο παντάπασιν, ὁπότε κυβεύειν ἐβούλετο. Οὕτω γοῦν αὐτὸν τὸ κράτος διαπεττεύοντα [4] ὁ θάνατος κατειλήφει, καὶ τῶν ἀναγκαίων τῆς φύσεως μαρασμῶν [5] τὸ γῆρας αὐτῷ ἐπήνεγκεν· ὅθεν ἐπειδὴ τελευτᾶν ἐγνώκει, εἴτε τοῖς συμβούλοις [6] πεισθεὶς, εἴ τε ἀφ' ἑαυτοῦ τὸ δέον ἐγνωκὼς διαπράξασθαι, περὶ τοῦ διαδεξομένου τὸ κράτος διηρευνᾶτο, ᾧ καὶ τὴν μέσην τῶν θυγατέρων κατεγγυήσασθαι ἔμελλε· μήπω δὲ πρὸ τούτου πρός τινα τῶν τῆς συγκλήτου βεβαιότερον ἐπερείσας τὸν νοῦν, δυσδιάκριτον τότε, τὴν κατὰ λογισμὸν εἶχεν ἐπιλογήν.

Ἦν δέ τις ἀνὴρ κατ' ἐκεῖνο καιροῦ τὰ πρῶτα μὲν τῆς συγκλήτου καὶ ἐς τὸ τοῦ ἐπάρχου ἀξίωμα ἀναχθεὶς (βασίλειος δὲ αὖτη ἀρχὴ, εἰ μὴ ὅσον ἀπόρφυρος), γυναῖκα δὲ γήμας ἐξ ἔτι παιδὸς, καὶ διὰ ταῦτα οὐ πάνυ πρόσφορος τῷ κράτει δοκῶν· τὸ μὲν γὰρ ὅσον ἐς γένος καὶ τὸ ἀξίωμα τῶν ἄλλων ὑπῆρχε καταλληλότερος, τὸ δ' ἐπὶ τῇ γυναικὶ ἀφιλόσοφόν [7] τι ὁ ἀνὴρ εἶχε καὶ πρὸς βασιλέως κῆδος, ἔχων [8] τι ἀπὸ τούτου τοῖς πολλοῖς πρόσαντες· εἶχε μὲν οὕτω τὰ περὶ τὸν ἄνδρα τοῦτον. Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος, ἐπειδὴ μὴ ἐδίδου ὁ καιρὸς αὐτῷ βούλευμα πλεῖον [9], ἀλλὰ τὸ ἀγχοῦ τοῦ θανάτου εἶναι ἀφῄρει αὐτὸν τὴν ἀκριβεστέραν ἐπίσκεψιν,

1. χ. θήρας. 2. χ. πετοὺς. 3. χ. πρεσβεύων. 4. χ. διαπετεύοντα. 5. γρ. τὸν ἀναγκαῖον τῆς φ. μαρασμόν. 6. χ. τὶ συμβούλοις. 7. χ. ἀφφίλοσον. 8. γρ. ἔχον. 9. χ. πλείονα.

τῶν ἄλλων ἁπάντων κατεγνωκὼς ὡς οὐκ ἀξίων κήδους βασιλικοῦ, ἐπὶ τοῦτον τὸν ἄνδρα ὅλοις ἱστίοις τοῦ λογισμοῦ φέρεται· τὴν δὲ γυναῖκα ἀντικειμένην εἰδὼς τῷ βουλεύματι, σκήπτεται μὲν κατὰ τοῦ ἀνδρὸς ὀργὴν βαρυτάτην καὶ ἀπαραίτητον, καὶ πέμπει τοὺς ἐκεῖνον μὲν δεινῶς τιμωρήσοντας, ἐκείνην δὲ τῆς κοσμικῆς ζωῆς ἀποσπάσοντας· ἡ δὲ οὐκ εἰδυῖα τὸ ἀπόρρητον τοῦ βουλεύματος, οὐδὲ τὸ προσωπεῖον γνωρίσασα τῆς ὀργῆς, εὐθὺς ἑαυτὴν πρὸς τὴν ἐπιχείρησιν ἐπιδίδωσι. Καὶ ἡ μὲν τάς τε τρίχας ἀποτμηθεῖσα, καὶ ἐσθῆτα μεταμφιεσαμένη τὴν μέλαιναν, ἐπί τι καταγώγιον μετατίθεται, ὁ δὲ Ρωμανὸς (τοῦτο γὰρ ὄνομα τῷ ἀνδρὶ) ἐπὶ τὰ βασίλεια πρὸς τὸ τοῦ βασιλέως κῆδος ἀναλαμβάνεται· καὶ ἡ καλλίστη τῶν τοῦ Κωνσταντίνου θυγατέρων ὁμοῦ τε ὀπτάνεται τούτῳ καὶ εἰς βασιλικὴν συμβίωσιν ἄγεται. Ὁ δέ γε πατὴρ τοσοῦτον ἐπιζήσας ὅσον αἰσθέσθαι [1] τῆς συνοικήσεως, μεταλλάττει τὸν βίον, τῷ κηδεστῇ Ρωμανῷ τὸ κράτος καταλιπών.

ΤΌΜΟΣ ΤΡΊΤΟΣ.

Γίνεται λοιπὸν αὐτοκράτωρ ὁ ἐκείνου γαμβρὸς Ρωμανὸς τὴν τοῦ Ἀργυροπώλου κλῆσιν ἐκ τοῦ γένους λαχών. Οὗτος τοίνυν ὁ Ρωμανὸς, ὥσπερ ἀρχὴν περιόδου τὴν ἡγεμονίαν οἰηθεὶς, ἐπειδὴ ἐς τὸν πενθερὸν Κωνσταντῖνον τὸ βασίλειον γένος ἀπετελεύτησεν ἐκ Βασιλείου τοῦ Μακεδόνος [2] ἠργμένον, εἰς μέλλουσαν ἀπέβλεπε γενεάν· ὁ δὲ ἔμελλεν ἄρα οὐ μόνον ἑαυτῷ περιγράψειν τὸ κράτος, ἀλλὰ καὶ βραχύν τινα ἐπιβιώσας χρόνον, καὶ τοῦτον νοσερὸν, ἀθρόον [3] τὴν ψυχὴν ἀπορρεύξασθαι, περὶ οὗ δὴ προϊὼν ὁ λόγος δηλώσει σαφέστερον. Ἡ δὲ ἐντεῦθεν τῆς ἱστορίας γραφὴ ἀκριβεστέρα τῆς προλα-

1. χ. ἐσθέσθαι. 2. χ. Μακέδονος. 3. χ. ἀθρῶον.

βούσης γεννήσεως· ὁ μὲν γὰρ βασιλεὺς Βασίλειος ἐπὶ νηπίῳ μοι τετελεύτηκεν, ὁ δέ γε Κωνσταντῖνος ἄρτι τὰ πρῶτα τελουμένῳ μαθήματα· οὔτε γοῦν παρεγενόμην αὐτοῖς, οὔτε ἠκροασάμην λαλούντων, εἰ δὲ καὶ ἑωράκειν οὐκ οἶδα, οὔπω μοι τῆς ἡλικίας ἐς κατοχὴν μνήμης διωργανωμένης· τὸν δέ γε Ρωμανὸν καὶ τεθέαμαι, καὶ ἅπαξ ποτὲ προσωμίλησα· ὅθεν περὶ ἐκείνων μὲν ἐξ ἑτέρων τὰς ἀφορμὰς εἰληφὼς εἴρηκα· τοῦτον δὲ αὐτὸς ὑπογράφω, οὐ παρ' ἑτέρῳ μεμαθηκώς.

Ἦν μὲν οὖν ὁ ἀνὴρ καὶ λόγοις ἐντεθραμμένος ἑλληνικοῖς, καὶ παιδείας μετεσχηκὼς ὅση τοῖς Ἰταλῶν [1] λόγοις ἐξήρτητο, ἁβρός τε τὴν γλῶτταν, καὶ τὸ φθέγμα ὑπόσεμνος, ἥρως τε τὴν
φ. 332. ἡλικίαν, καὶ τὸ πρόσωπον | ἀτεχνῶς ἔχων βασίλειον. Πολλαπλάσια δὲ ᾤετο εἰδέναι ὧνπερ ἐγίνωσκε· βουλόμενος δὲ ἐς τοὺς ἀρχαίους Ἀντωνίνους ἐκείνους, τόν τε φιλοσοφώτατον Μάρκον καὶ τὸν Σεβαστὸν ἀπεικάσαι τὴν ἑαυτοῦ βασιλείαν, δυοῖν τούτων ἀντείχετο, τῆς τε περὶ τοὺς λόγους σπουδῆς καὶ τῆς περὶ τὰ ὅπλα φροντίδος· ἦν δὲ θατέρου μὲν μέρους τέλεον ἀδαής, τῶν δὲ λόγων τοσοῦτον μετεῖχεν, ὅσον πόρρω τοῦ βάθους καὶ ἐπιπόλαιον· ἀλλὰ τὸ [2] οἴεσθαι καὶ τὸ πλεῖον τοῦ τῆς ψυχῆς μέτρου συντείνειν ἑαυτὸν, ἐν τοῖς μεγίστοις τοῦτον ἠπάτησεν. Ἀμέλει καὶ εἴ που σπινθῆρές τινες σοφίας ὑπὸ σποδιᾷ παρεκρύπτοντο, ἀνεχώννυε, καὶ πᾶν γένος κατέλεγε, φιλοσόφους φημὶ καὶ ῥήτορας καὶ τοὺς ὅσοι περὶ τὰ μαθήματα ἐσπουδάκασιν [3] ἢ μᾶλλον σπουδᾶσαι ᾠήθησαν. Βραχεῖς γὰρ ὁ τηνικαῦτα χρόνος λογίους παρέτρεφε, καὶ τούτους μέχρι τῶν Ἀριστοτελικῶν ἑστηκότας προθύρων, καὶ τὰ Πλατωνικὰ μόνον ἀποστοματίζοντας σύμβολα, μηδὲν δὲ τῶν κεκρυμμένων εἰδότας, μηδ' ὅσα οἱ ἄνδρες περὶ τὴν διαλεκτικὴν ἢ τὴν ἀποδεικτικὴν ἐσπουδάκασιν· ὅθεν τῆς ἀκριβοῦς οὐκ οὔσης κρίσεως, ἡ περὶ ἐκείνους ψῆφος ἐψεύδετο· αἱ μὲν οὖν τῶν ζητημάτων προβολαὶ ἀπὸ τῶν

1. χ. τῆς Ἰταλῶν. 2. χ. τὸν. 3. χ. ἐσπουδακῶσιν.

ἡμετέρων λογίων προετείνοντο, τῶν δὲ ἀπορουμένων τὰ πλείω ἄλυτα καθεστήκει· ἐζητεῖτο γάρ πως ὁμοῦ καὶ ἀμιξία καὶ σύλληψις, παρθένος τε καὶ τόκος, καὶ τὰ ὑπὲρ φύσιν διηρευνῶντο· καὶ ἦν ὁρᾶν τὸ βασίλειον σχῆμα μὲν φιλόσοφον περικείμενον, ἦν δὲ προσωπεῖον τὸ πᾶν καὶ προσποίησις, ἀλλ' οὐκ ἀληθείας βάσανος καὶ ἐξέτασις. Βραχὺ δὲ τῶν λόγων ἀφέμενος, αὖθις καὶ ταῖς ἀσπίσι προσήει, καὶ ἐς κνημίδας καὶ θώρακας ἐπένευεν αὐτὸν ὁ διάλογος, καὶ ἡ ἐπιχείρησις ἅπαν ἐλεῖν τὸ βάρβαρον ὅσον τε ἑῷον καὶ ὅσον ἑσπέριον· ἐβούλετο δὲ τοῦτον [1] οὐ λόγοις δηλοῦν [2], ἀλλ' ὅπλοις τυραννεῖν. Ἡ τοίνυν τοῦ βασιλέως περὶ ἄμφω ῥοπή, εἰ μὴ οἴησις καὶ προσποίησις ἦν, ἀλλ' ἀληθεστάτη καταλήψις, μέγα τι ἐλυσιτέλησε τῷ παντί· ὅθεν οὐδὲν πλέον τῶν ἐγχειρήσεων ἔδρασε, μᾶλλον μὲν οὖν ταῖς ἐλπίσιν ὑψώσας τὰ πράγματα, ταῖς πράξεσιν, ἵν' οὕτως εἴπω, ἀθρόον κατέβαλεν. Ἀλλ' ὁ λόγος πρὶν ἢ τὰ περὶ ἐκεῖνον στῆσαι προπύλαια, τὸ τοῦ παντὸς τέλος ὑπὸ προθυμίας ἀπεσχεδίασεν· ἐπαναγέσθω οὖν ἐπὶ ταύτην ἤδη τοῦ περὶ ἐκεῖνον [3] κράτους τὴν γένεσιν.

Ἐπειδὴ γὰρ ἠξιώθη τοῦ διαδήματος, παρὰ τοὺς ἄλλους κριθείς, αὐτός τε πολυετὴς ἔσεσθαι ἠπατᾶτο τῇ βασιλείᾳ, τοῖς περὶ τοῦτον [4] πειθόμενος μάντεσι, καὶ γένος καταλείψειν εἰς πολλὰς ἀρκέσον διαδοχάς, καὶ οὐδὲ τοσοῦτον διαβλέπειν ἐδόκει ὡς ἡ τοῦ Κωνσταντίνου θυγάτηρ, ἣ συνῴκησεν εἰς τὸ κράτος ἀναρρηθείς, τὸν τοῦ [5] κύειν ὑπεραναβεβήκει χρόνον καὶ τὴν νηδὺν ἤδη ξηρὰν εἶχε πρὸς τέκνων γονήν, (πεντηκοστὸν γὰρ ἔτος εἶχε τῆς ἡλικίας ὁπηνίκα κατηγγυήθη τῷ Ρωμανῷ)· ἀλλ' ὅπερ ἐβούλετο καὶ πρὸς τὴν φυσικὴν ἀδυναμίαν, ἐρρωμενέστερον εἶχε τοῖς λογισμοῖς. Ὅθεν οὐδὲ τῷ αἰτίῳ μόνῳ τοῦ κύειν προσεῖχε τὸν νοῦν, ἀλλὰ τοῖς αὐχοῦσι σθεννύειν τὴν φύσιν καὶ αὖθις ἐπεγείρειν οὐδὲν ἧττον προσέκειτο, ἀλείμμασί τε καὶ τρίμμασιν ἑαυτὸν ἐδίδου καὶ τῇ γυναικὶ προσέταττεν· ἡ δ' ἔτι

1. γρ. τοῦτο. 2. γρ. δουλοῦν. 3. χ. ἐκεῖν. 4. χ. τοῦτο. 5. χ. τὴν τοῦ.

καὶ πλέον ἐποίει, τελουμένη τὰ πλείω, καὶ ψηφίδας τινὰς προσαρμοζομένη τῷ σώματι, προσαρτῶσά τε ἑαυτὴν προσαρτήμασι, καὶ ἅμμασι περιδέουσα καὶ τὴν ἄλλην φλυαρίαν περὶ τὸ σῶμα ἐπιδεικνυμένη [1]. Ὡς δ' οὐδαμοῦ τὸ ἐλπιζόμενον κατεφαίνετο, τούτου τε ἀπεγνώκει ὁ βασιλεὺς, καὶ τῇ βασιλίδι ἔλαττον προσεῖχε τὸν νοῦν· ἦν γὰρ ὡς ἀληθῶς καὶ τὴν γνώμην ὑπονωθέστερος καὶ διερρυηκὼς τὴν ἕξιν τοῦ σώματος (πλέον γὰρ ἢ δέκα ἔτεσι τὴν τῆς βασιλίδος ἡλικίαν ὑπεραναβεβήκει). Φιλοτιμότατος δὲ περὶ τὰς ἀρχὰς τοῦ κράτους γενόμενος, καὶ λαμπρότερος τῶν πλείστων αὐτοκρατόρων ἔν τε ταῖς βασιλικαῖς δαπάναις δειχθεὶς, ἔν τε εὐεργεσίαις καὶ ἀναθήμασιν, ὥσπέρ τινος γεγονότος καινοῦ καὶ ἀθρόας μεταβολῆς, ταχὺ τοῦτον τὸ πνεῦμα τῶν τοιούτων ἐπέλιπεν ἐπιδόσεων, καὶ ἀθρόον πνεύσας ταχὺ διέπνευσε, καὶ ἀνόμοιος ἑαυτῷ καὶ τοῖς πράγμασιν ἀκατάλληλος ἔδοξεν· οὐ γὰρ ἐμέτρησε κατὰ λόγους τὴν ὕφεσιν, ἀλλ' ἀθρόον ἐξ ὑψηλοτάτης καταβεβήκει περιωπῆς. Τὴν δὲ βασιλίδα δύο ταῦτα μᾶλλον τῶν ἄλλων ὑπέκνισε, τό τε μὴ ἐρᾶν αὐτῆς τὸν κρατοῦντα, καὶ τὸ μὴ ἔχειν ἀφθόνως χρῆσθαι τοῖς χρήμασιν· ἐπέκλεισε γὰρ αὐτῇ τὰ ταμεῖα καὶ τοὺς θησαυροὺς ἐπεσφράγισε, καὶ πρὸς διαμεμετρημένην ἔζη χρημάτων ἐπίδοσιν· ἐμεμήνει [2] γοῦν αὐτῷ τε καὶ τοῖς ὅσοις συμβούλοις ἐχρῆτο περὶ τὸ πρᾶγμα· οἱ δὲ τοῦτο ἠπίσταντο, καὶ πλέον αὐτὴν ἐφυλάττοντο, καὶ μᾶλλον ἡ τοῦ αὐτοκράτορος ἀδελφὴ Πουλχερία, γυνὴ δὲ φρόνημα αἴρουσα καί τι λυσιτελοῦσα τῷ ἀδελφῷ. Ἀλλ' οὗτος [3] ὥσπερ πρός τινα κρείττονα φύσιν, γραφὰς περὶ τῆς βασιλείας πεποιηκὼς, καὶ παρ' ἐκείνης τὸ ἐχέγγυον τῆς ἀμετακινήτου δόξης ἀπειληφὼς, ἀφροντίστως εἶχε τῶν ὑπονοουμένων.

Ἐπὶ [4] δὲ τὴν ἀπὸ τῶν τροπαίων εὔκλειαν τρέψας τὸν νοῦν, κατά τε τῶν πρὸς τὴν ἑῴαν βαρβάρων καὶ τῶν πρὸς τὴν ἑσπέραν ἡτοίμαζεν ἑαυτὸν· ἀλλὰ καὶ τοὺς μὲν πρὸς τὴν ἑσπέραν οὐδὲν

1. χ. ἐπιδεικνυμένην. 2. χ. μεμήνει. 3. χ. οὔτε. 4. χ. ἐπεὶ.

ἐδόκει αὐτῷ μέγα, εἰ καὶ ῥᾳδίως | καταγωνίσαιτο· εἰ δ' ἐπὶ φ. 333.
τοὺς πρὸς ἀνίσχοντα τρέψοιτο ἥλιον, σεμνῶς τε ἔξειν ἐντεῦθεν ἐδόκει καὶ ὑπερόγκως τοῖς τῆς βασιλείας χρήσασθαι πράγμασι. Διὰ ταῦτα καὶ μὴ οὖσαν πλασάμενος πολέμου πρόφασιν κατὰ τῶν πρὸς τῇ Κοίλῃ Συρίᾳ κατοικησάντων Σαρακηνῶν, ὧν οἵά τις μητρόπολις Χάλεπ (οὕτω ἐγχωρίῳ γλώττῃ καλούμενον), πᾶσαν ἐπ' ἐκείνους συνήθροιζε καὶ συνέταττε στρατιάν, ἀριθμῷ τε πλείους τὰς τάξεις ποιῶν καὶ ἑτέρας ἐπινοούμενος, ξενικάς τε συγκροτῶν δυνάμεις, καὶ νέαν ἐγκαταλέγων πληθύν, ὡς αὐτοβοεὶ αἱρήσων [1] τὸν βάρβαρον [2]· ᾤετο γὰρ, ὡς εἰ πλείω τοῦ ὡρισμένου τοῦ στρατοπέδου τὸν ἀριθμὸν ποιήσειε, μᾶλλον δὲ εἰ πολλαπλάσειε τὸ ῥωμαϊκὸν σύνταγμα, μηδενὶ ἂν φορητὸς γενέσθαι, τοσούτῳ ἐπιὼν πλήθει ἰδίῳ τε καὶ συμμαχικῷ. Ἀλλὰ καὶ τῶν τὰ πρῶτα τοῦ στρατοῦ λαχόντων ἀποτρεπομένων αὐτῷ τὴν ἐπὶ τοὺς βαρβάρους ἐπέλευσιν καὶ πολλὰ περὶ τούτων καταδειμαινόντων, ὁ δὲ καὶ τοὺς στεφάνους οἷς τὴν κεφαλὴν ταινιώσαιτο [3] ἐπὶ τῇ τῶν τροπαίων ἀναρρήσει πολυτελῶς κατεσκεύαζεν.

Ἐπεὶ οὖν αὐτῷ αὐτάρκη τὰ πρὸς τὴν ἔξοδον ἔδοξεν, ἄρας ἀπὸ τῆς Βυζαντίδος ἐπὶ τὴν Σύρων ἤλαυνε γῆν· ὡς δὲ τὴν Ἀντιόχου κατέλαβε, λαμπρὰ μὲν αὐτῷ τὰ εἰς τὴν πόλιν ἐγεγόνεισαν εἰσιτήρια, βασίλειον μὲν ἐπιδεικνύμενα τὴν πομπὴν, μᾶλλον δὲ θεατρικὴν τὴν παρασκευὴν, οὐκ ἀξιόμαχα δὲ, οὐδὲ πολεμίων γνώμην ἐκπλῆξαι δυνάμενα. Οἱ δέ γε βάρβαροι λογικώτερον παρ' ἑαυτοῖς περὶ τοῦ πράγματος διελόμενοι, πρῶτα μὲν πρέσβεις πεπόμφασι πρὸς τὸν αὐτοκράτορα, ὡς οὔτε πολεμεῖν βούλοιντο, οὔτ' ἐκείνῳ ἀφορμὴν πολέμου δεδώκασιν, ἐμμένουσί τε ταῖς περὶ τὴν εἰρήνην συνθήκαις καὶ τὰ φθάσαντα οὐ παραβαίνουσιν ὅρκια, οὐδὲ τὰς σπονδὰς ἀθετοῦσι· τοιαύτης δ' ἀπηωρημένης αὐτοῖς χειρὸς, εἰ ἀπαραιτήτως ἔχοι, νῦν πρώτως παρασκευάζονται, τῇ τοῦ πολέμου

1. χ. αἱρήσσων. 2. γρ. τὸ βάρβαρον. 3. χ. ταινιῶσαι τὸ.

τύχῃ ἑαυτοὺς ἐπιτρέψαντες. Ἡ μὲν οὖν πρεσβεία ἐπὶ τούτοις ἦν· ὁ δὲ βασιλεὺς, ὥσπερ ἐπὶ τούτῳ μόνῳ παρασκευασάμενος, ἐφ' ᾧ τάξεταί τε καὶ ἀντιπαρατάξεται, καὶ λοχήσει καὶ προνομεύσει, διώρυχάς τε ποιήσει, καὶ ποταμοὺς μετοχετεύσει, καὶ φρούρια ἐξελεῖται, καὶ ὁπόσα ἀκοῇ ἴσμεν παρὰ τοῖς Τραϊανοῖς ἐκείνοις καὶ Ἀδριανοῖς καὶ ἔτι ἄνω παρὰ τοῖς Σεβαστοῖς γενόμενα Καίσαρσι, καὶ πρὸς ἐκείνων παρὰ Ἀλεξάνδρῳ τῷ τοῦ Φιλίππου, τήν τε πρεσβείαν ὡς εἰρηνικὴν ἀπεπέμψατο, καὶ ἔτι μᾶλλον τὰ πρὸς τὸν πόλεμον ἐξηρτύετο, οὐ τοὺς ἀρίστους πρὸς τὸν σκοπὸν ἐκλεγόμενος [1], ἀλλὰ καὶ τῷ πολλῷ διαιτῶν πλήθει, καὶ ἐπὶ τούτοις τεθαρρηκώς.

Ὡς δὲ καὶ τὴν Ἀντιόχου ἀφεὶς προσωτέρω παρῄει, μοῖρά τις τοῦ βαρβαρικοῦ στρατοπέδου, αὐτόσκευοι πάντες καὶ γυμνοὶ ἐφ' ἵππων καὶ τολμητίαι, ἑκατέρωθεν λοχήσαντες τοῦ στρατοῦ, ἀθρόον αὐτοῖς ἀπὸ τῶν μετεώρων ἐπιφανέντες, καὶ τὸ ἐνυάλιον ἀλαλάξαντες, καινῷ τῆς θέας καταδειμανέντες, καὶ τοῖς τῶν ἵππων δρόμοις καὶ καταδρόμοις, κατάκροτον αὐτοῖς πεποιηκότων τὴν ἀκοὴν, πλήθους τε φαντασίαν πεποιηκότες, τῷ μὴ συνασπίζειν, ἀλλὰ διῃρημένους καὶ ἄτακτα θεῖν, οὕτω τὰς Ρωμαίων δυνάμεις κατέπτηξαν καὶ τοσαύτην πτοίαν τῷ πολλῷ ἐκείνῳ στρατῷ εἰσεποίησαν καὶ οὕτως αὐτοῖς κατέπεισαν [2] τὰ φρονήματα, ὥστε ἐν ᾧ σχήματι κατείληπτο ἕκαστος, οὕτω τὴν φυγὴν διατίθεσθαι καὶ μηδενὸς ἑτέρου φροντίδα τίθεσθαι. Ὅσοι μὲν γὰρ ἱππεύοντες τηνικαῦτα ἐτύχον, τοὺς ἵππους μετατρεψάμενοι ἀνακράτος ἔθεον, οἱ δ' ἄλλοι μηδ' ἀναβῆναι τοὺς ἵππους ἀναμείναντες, τούτους μὲν τῷ προστυχόντι δεσπότῃ ἠφίεσαν, ἕκαστος δ' ἐκείνων ὡς εἶχε δρόμου ἢ πλάνης τὴν σωτηρίαν ἑαυτῷ ἐπορίζετο, καὶ ἦν κρεῖττον προσδοκίας τὸ τηνικαῦτα δεικνύμενον· οἱ γὰρ τὴν πᾶσαν παραστησάμενοι γῆν καὶ ταῖς πρὸς τὸν πόλεμον παρασκευαῖς τε καὶ τάξεσιν ἀνάλωτοι παντὶ πλήθει καταστάντες βαρβαρικῷ, οὐδὲ τὴν θέαν τότε τῶν πολεμίων

1. χ. ἐκλεγόμενα. 2. γρ. κατέσεισαν.

ὑπέστησαν, ἀλλ' ὥσπερ ὑπὸ βροντῆς τῆς ἐκείνων φωνῆς καὶ τὴν ἀκοὴν καταπλαγέντες καὶ τὴν ψυχήν, καθ' ἅπερ ἐφ' ὅλοις ἡττημένοι ἐτρέψαντο πρὸς φυγήν. Πρῶτοι δὲ οἱ περὶ τὸν βασιλέα φρουροὶ [1] τὸν [2] κυδοιμὸν ἐπεπόνθεισαν, καὶ καταλελοιπότες τὸν αὐτοκράτορα ἀμεταστρεπτὶ τῆς φυγῆς εἶχοντο· καὶ εἰ μή τις αὐτὸν ἐπὶ τὸν ἵππον ἀναθέμενος ἐδεδώκει τὸν χαλινὸν καὶ φεύγειν παρεκελεύσατο, μικροῦ δεῖν ἑαλώκει, καὶ πολεμίαις ἐνεπεπτώκει χερσὶν ὁ πᾶσαν ἐλπίσας κατασεῖσαι τὴν ἤπειρον· ἢ μᾶλλον, εἰ μὴ θεὸς τηνικαῦτα τὴν τῶν βαρβάρων ἐπέσχεν ὁρμὴν καὶ μετριάζειν ἐπὶ τῷ εὐτυχήματι πέπεικεν [3], οὐδὲν ἦν τὸ κωλύον πᾶσαν τότε πεσεῖν Ρωμαϊκὴν δύναμιν, καὶ πρῶτόν γε τὸν αὐτοκράτορα.

Οἱ μὲν οὖν ἀτάκτως ἔθεον, οἱ δὲ πολέμιοι θεαταὶ μόνον τῆς παραλόγου νίκης ἐγίγνοντο, ἐξεστηκότες ὡσανεὶ ἐπὶ τοῖς σὺν οὐδενὶ λόγῳ τραπεῖσι καὶ φεύγουσιν. Εἶτα δή τινας ὀλίγους ἐν τῷ πολέμῳ ζωγρήσαντες, καὶ τούτους ὅσους ἤδεισαν τῆς περιφανεστέρας τύχης καθεστηκότας, τοῖς ἄλλοις χαίρειν εἰπόντες, ἐπὶ τὴν λείαν ἐτράπησαν. Καὶ πρῶτά γε τὴν βασιλικὴν αἵρουσι σκηνήν, πολλῷ τῶν νῦν ἀνακτόρων ἀντίμετρον· ὅρμοι τε γὰρ καὶ στρεπτοί, καὶ ταινίαι, λίθοι τε μαργαρίτιδες καὶ τῶν ἔτι κρειττόνων, καὶ πᾶν εἴ τι λαμπρότερον, ταύτην ἐπλήρουν, ὧν οὔτε τὸ πλῆθος ῥᾳδίως | ἄν τις ἀπηριθμήσατο, οὔτε τὸ κάλλος καὶ τὸ μέγεθος ἀπεθαύμασε· τοσαύτη καὶ τοιαύτη ἡ [4] τοῦ βασιλέως σκηνὴ ἀπέκειτο πολυτέλεια· πρῶτα μὲν οὖν ταύτην αἵρουσιν οἱ βάρβαροι, ἔπειτα δὲ καὶ τὰ ἄλλα τῶν λαφύρων συσκευασάμενοι καὶ ἐφ' ἑαυτοὺς ἀναθέμενοι, ἐπὶ τοὺς ἑτέρους ἑαυτῶν [5] ἐπανέζευξαν· καὶ οἱ μὲν οὕτως. Ὁ δὲ βασιλεὺς προῆλθε τοῦ βαρβαρικοῦ λόχου τῷ τοῦ ἵππου συμπλανώμενος δρόμῳ καὶ πνεύματι, καὶ πρός τινι ἐγεγόνει λόφῳ, καὶ ἄποπτος ὤπτο τοῖς θέουσί τε καὶ παραθέουσι (κατηγόρει γὰρ τοῦτον τὸ περὶ τῷ | φ. 334.

1. χ. αἱ περὶ τὸν βασιλέα φθορά. 2. χ. τῶν. 3. γρ. πεποίηκεν. 4. γρ. τῇ. 5. χ. ἑαυτῶ.

πεδίλῳ χρῶμα), καὶ πρὸς ἑαυτὸν πολλοὺς τῶν φευγόντων ἐπέσχε. καὶ ὑπ' ἐκείνοις κυκλωθεὶς ἵστατο. Εἶτα δὴ τῆς περὶ αὐτὸν φήμης ἤδη διασπαρείσης, ἄλλοι τε προσήεσαν, καὶ δῆτα καὶ ἡ εἰκὼν αὐτῷ τῆς Θεομήτορος ἐμφανίζεται, ἣν οἱ τῶν Ρωμαίων βασιλεῖς ὥσπέρ τινα στρατηγὸν καὶ τοῦ παντὸς στρατοπέδου φύλακα ἐν τοῖς πολέμοις συνήθως ἐπάγονται· μόνη γὰρ αὕτη οὐχ ἁλωτὸς ταῖς βαρβαρικαῖς ἐγεγόνει χερσίν. Ὡς δ' οὖν εἶδεν ὁ αὐτοκράτωρ τὸ γλυκὺ τουτὶ θέαμα (καὶ γὰρ ἦν ἄλλως καὶ περὶ τὸ σέβας ταύτης θερμότατος), ἀνεθάρσησέ τε εὐθὺς καὶ ἐναγκαλισάμενος, οὐκ ἔστιν εἰπεῖν ὡς περιεπτύσσετο, ὡς τοῖς δάκρυσιν ἔβρεχεν, ὡς γνησιώτατα καθωμίλει, ὡς τῶν εὐεργεσιῶν ἀνεμίμνησκε καὶ τῶν πολλῶν ἐκείνων συμμαχιῶν, αἷς τὸ Ρωμαίων πολλάκις κράτος διακινδυνεῦσαν ἐρρύσατό τε καὶ ἀνεσώσατο. Θάρσους γοῦν ἐντεῦθεν ὑποπλησθείς, ὁ τέως φυγὰς ἐπετίμα τοῖς φεύγουσι, καὶ νεανικώτερον ἐκβοῶν ἐπεῖχέ τε τῆς πλάνης, ἑαυτόν τε ἐγνώριζε τῇ τε φωνῇ, τῷ σχήματι, καὶ πολύ τι πλῆθος ἀθρόον συνηθροικὼς, πρῶτα μὲν βάδην μετ' ἐκείνων πρός τινα καταλύει σκηνὴν σχεδιασθεῖσαν αὐτῷ· αὐτοῦ τε ἐναυλισάμενος, εἶτα δή τοι καὶ βραχύ τι ἀναπαυσάμενος, ἅμα πρωῒ τοὺς λογαχοὺς μεταλεσάμενος βουλὴν προτίθεται, τί πρακτέον εἴη αὐτοῖς· πάντων δὲ ἐπὶ τὸ Βυζάντιον ἀναζεῦξαι συμβουλευσάντων, κἀκεῖσε περὶ τῶν συμβεβηκότων θέσθαι διάσκεψιν, τῇ τε ἐκείνων συντιθέμενος ψήφῳ καὶ τὰ συνοίσοντα ἑαυτῷ βουλευσάμενος, ἐπὶ τὴν Κωνσταντινούπολιν ἀνέδραμεν.

Ἐντεῦθεν πλεῖστα εὐθύς τε ἐπεποιήκει μεταμελόμενος, καὶ ἐφ' οἷς ἐπεπόνθει τὴν ψυχὴν ἀλγυνόμενος καθάπαξ ἠλλοίωτο καὶ πρὸς ἀσυνηθέστερον βίον μετέστραπτο. Ἐλπίσας τε ἀπὸ τῆς περὶ τὸν δημόσιον ἐπιμελείας τὰ ἀπολωλότα αὐτῷ ἐν ἴσῳ ἀνακτήσασθαι μέτρῳ, πράκτωρ μᾶλλον ἢ βασιλεὺς ἐγεγόνει, τὰ πρὸ Εὐκλείδου ὅ φασιν, ἀνακινῶν καὶ διερευνώμενος, καὶ ἀφανισθέντων τῇ μνήμῃ πατέρων, τοὺς παῖδας λογιστεύων πικρῶς, οὐ δικάζων τοῖς ἀντιδιατιθεμένοις, ἀλλὰ θατέρῳ μέρει συνηγορῶν, καὶ οὐχ ἑτέρῳ μᾶλ-

λον ἢ αὐτῷ τὰς ἀποφάσεις ποιούμενος. Διήρητο γοῦν τὸ δημοτικὸν σύμπαν· καὶ οἱ μὲν ἐπιεικέστεροι εὐήθειάν τε ἑαυτοῖς καὶ ἀπραγμοσύνην περὶ τὰ κοινὰ προσεπλάττοντο καὶ ἐν καρὸς μοίρᾳ παρὰ τῷ κρατοῦντι ἐλογίζοντο, οἱ δέ γε πάντα ῥᾳδίως τολμῶντες καὶ τὰς ἑτέρων ζημίας οἷον παρακερδαίνοντες, ὕλην πλείονα τὴν ἑαυτῶν κακίαν τῇ τοῦ κρατοῦντος ὑπετίθουν πυρκαϊᾷ· καὶ πάντα ἦν ταραχῆς μεστὰ καὶ συγχύσεως, καὶ τό γε δεινότερον, ὅτι τῶν πλείστων ἐπαμφιεννυμένων [1] καὶ γυμνουμένων, οὐδέν τι τῆς ἐντεῦθεν συνεκφορᾶς ἀπήλαυε [2] τὰ βασίλεια, ἀλλ' ἐφ' ἕτερα οἱ τῶν χρημάτων μετεχετεύοντο ποταμοί. Ὅτι δὲ τοῦτό ἐστιν ὁ λόγος δηλώσει σαφέστερον.

Διεσπουδάζετο τούτῳ δὴ τῷ βασιλεῖ τὸ δοκεῖν εὐσεβεῖν· καὶ ἦν μὲν ἀληθῶς περὶ τὰ θεῖα σπουδάζων, ἀλλ' ἥ γε προσποίησις αὐτῷ πλείων τῆς ἀληθείας οὖσα ἐτύγχανε, καὶ τὸ δοκεῖν τοῦ εἶναι κρεῖττον ἐφαίνετο· διὰ ταῦτα πρῶτα μὲν περιττότερος περὶ τὰ θειότερα τῶν ζητημάτων ἐγένετο, αἰτίας καὶ λόγους ἀνερευνώμενος οὓς οὐκ ἄν τις ἐξ ἐπιστήμης εὕροι, εἰ μὴ στραφείη πρὸς νοῦν, κἀκεῖθεν ἀμέσως τὴν κεκρυμμένων [3] δήλωσιν δέξαιτο· ἀλλ' οὗτος οὐδὲ πάνυ τὰ κάτω φιλοσοφήσας, ἀλλ' οὐδὲ φιλοσόφοις περὶ τούτων διαλεγόμενος, εἰ μὴ ὅσον αὐτοῖς ἐκ τῶν τοῦ Ἀριστοτέλους προθύρων κατεβιάσθη τὸ ὄνομα, περὶ τῶν βαθυτέρων καὶ νῷ μόνῳ ληπτῶν, ὥς τις τῶν καθ' ἡμᾶς εἶπε σοφῶν, διεσκέπτετο. Πρῶτος μὲν οὖν αὐτῷ τῆς εὐσεβείας τρόπος ἐπενοήθη· ἔπειτα δὲ καὶ τῷ Σολομῶντι ἐκείνῳ τῷ πάνυ τῆς τοῦ πολυθρυλλήτου ναοῦ βασκαίνων οἰκοδομῆς, ζηλοτυπῶν δὲ καὶ τὸν αὐτοκράτορα Ἰουστινιανὸν ἐπὶ τῷ μεγάλῳ τεμένει καὶ ἐπωνύμῳ τῆς θείας καὶ ἀῤῥήτου σοφίας, ἀναντοικοδομεῖν ὥσπερ καὶ ἀνθιδρύειν ναὸν τῇ θεομήτορι ἐπεχείρησεν· ἐφ' ᾧ δὴ τὰ πολλὰ ἐκείνῳ διημαρτήθη, καὶ ὁ τῆς εὐσεβείας αὐτῶν [4] σκοπὸς ἀφορμὴ τοῦ κακῶς ποιεῖν καὶ τῶν

1. γρ. ἀπαμφιεννυμένων. 2. χ. ἀπήλαβε. 3. γρ. κεκρυμμένην. 4. γρ. αὐτῷ.

πολλῶν ἐκείνων ἀδικημάτων ἐγένετο· προσετίθη γὰρ ἀεὶ ταῖς ἐπὶ τοῦτο δαπάναις, καὶ τῶν ἡμερῶν ἑκάστη πλέον τι τῶν ἔργων συνηρανίζετο· καὶ ὁ μὲν μέτρον ὁρίζων τῷ πράγματι μετὰ τῶν ἐχθίστων ἐτάττετο, ὁ δὲ ὑπερβολὰς ἀνευρίσκων καὶ ποικιλίας σχημάτων ἐν τοῖς φιλτάτοις εὐθὺς ἐτίθετο. Καὶ πᾶν μὲν οὖν ἐντεῦθεν ὄρος
φ. 335. διώρυκτο, καὶ ἡ μεταλλικὴ τέχνη καὶ πρός γε | αὐτῆς φιλοσοφίας ἐτάττετο, καὶ τῶν λίθων οἱ μὲν ἀπεσχίζοντο, οἱ δὲ ἀπεξέοντο, οἱ δὲ πρὸς γλυφὰς ἐτορεύοντο, καὶ οἱ τούτων ἐργάται μετὰ τῶν περὶ Φειδίαν καὶ Πολύγνωτον καὶ Ζεῦξιν συνηριθμοῦντο, καὶ οὐδὲν ἦν τῶν πάντων ὅπερ αὔταρκες ταῖς οἰκοδομαῖς ἐλογίζετο· πᾶς μὲν βασίλειος πρὸς τὸ ἔργον θησαυρὸς ἀνεῴγνυτο, πᾶν δὲ χρυσοῦν ἐκεῖ εἰσεχεῖτο ῥεῦμα· καὶ πᾶσαι μὲν ἐξηντλοῦντο πηγαί, ὁ δὲ οἰκοδομούμενος οὐκ ἐξεπληροῦτο νεώς [1]· ἄλλο γὰρ ἐπ' ἄλλῳ ἐτίθετο, καὶ ἕτερον ἐφ' ἑτέρῳ συγκατεστρέφετο, καὶ τὸ αὐτὸ ἔργον πολλάκις ἀποθνῆσκον αὖθις ἀνίστατο, ἢ βραχεῖ τινι ὑπερβάλλον μέτρῳ, ἢ περιεργοτέρῳ σχήματι ποικιλλόμενον. Ὥσπερ δὲ τῶν εἰσβαλλόντων εἰς τὴν θάλασσαν ποταμῶν, πρὸ τῆς εἰς ταύτην συνεισβολῆς πλεῖστόν τι τῶν ἠπείρων ἄνω μετοχετεύεται, οὕτω δὴ καὶ τῶν ἐκεῖσε συναγομένων χρημάτων προηρπάζετο τὰ πλεῖστα καὶ διεφθείρετο.

Καὶ περὶ τὸ θεῖον δῆθεν εὐσεβῶν ὁ βασιλεὺς ἀφ' ἑστίας κακουργῶν διεδείκνυτο, ταῖς τῶν ἀλλοτρίων εἰσπράξεσιν εἰς τὴν οἰκοδομὴν τοῦ νεῶ καταχρώμενος. Καλὸν μὲν γὰρ ἀγαπᾶν εὐπρέπειαν οἴκου Κυρίου, κατὰ τὸν ψαλμῳδόν, καὶ σκήνωμα δόξης αὐτοῦ, καὶ πολλάκις αἱρεῖσθαι ἐν τούτῳ παραρριπτεῖσθαι ἢ τὴν ἀφ' ἑτέρων ἔχειν εὐδαιμονίαν· καλὸν μὲν γὰρ καὶ τοῦτο, καὶ τίς ἀντερεῖ τῶν τῷ Κυρίῳ ἐζηλωκότων καὶ τῷ ἐκείνου καταπιμπραμένων πυρί; ἀλλ' ἔνθα μηδὲν εἴη τὸ λυμαινόμενον τὸν εὐσεβῆ τοῦτον σκοπὸν, μηδὲ πολλαὶ ἀδικίαι συντρέχοιεν, μηδὲ συγχέοιτο τὰ κοινὰ καὶ τὸ τῆς πολιτείας σῶμα καταρρηγνύοιτο· ὁ γὰρ πόρνης ἄγαλμα

1. χ. νέως.

ἀπωθούμενος καὶ τὴν τοῦ ἀνόμου θυσίαν ὡς κυνὸς βδελυσσόμενος, οὐκ ἂν προσίοιτο πάντως οὐδὲ πολυτελεῖς καὶ ποικίλας οἰκοδομὰς, πολλῶν τούτων ἕνεκα συμπιπτόντων κακῶν· ἰσότητες δὲ τοίχων καὶ κιόνων περιβολαὶ, καὶ ὑφασμάτων αἰῶραι, καὶ θυμάτων πολυτέλεια καὶ τἆλλα τῶν οὕτω λαμπρῶν τί ἂν συντελοίη πρὸς τὸν θεῖον τῆς εὐσεβείας σκοπόν; ὁπότε πρὸς τοῦτο ἀρκοίη νοῦς μὲν περιβεβλημένος θεότητα, ψυχὴ δὲ τῇ νοερᾷ βεβαμμένη πορφύρᾳ, καὶ ἡ τῶν πράξεων ἰσότης, καὶ ἡ εὐσχημοσύνη τῆς γνώμης, ἢ μᾶλλον τὸ τῆς διαθέσεως ἀσχημάτιστον, δι' ὧν ἕτερός τις ἡμῖν ἔνδον οἰκοδομεῖται νεὼς εὐπρόσδεκτος Κυρίῳ καὶ εὐαπόδεκτος; Ἀλλ' ἐκεῖνος φιλοσοφεῖν μὲν ᾔδει ἐν τοῖς ζητήμασι καὶ [περὶ] συλλογισμοὺς σωρείτας καὶ οὐτιδας, ἐπὶ δὲ τῶν ἔργων τὸ φιλόσοφον ἐπιδείκνυσθαι οὐ πάνυ ἠπίστατο. Ἀλλὰ δέον, εἴ τι καὶ περὶ τοὺς ἐκτὸς κόσμους παρανομεῖν χρὴ, τῶν τε βασιλείων ἐπιμελεῖσθαι καὶ κατακοσμεῖν τὴν ἀκρόπολιν καὶ τὰ διερρωγότα συνάπτειν, πλήρεις τε τοὺς βασιλείους ποιεῖν θησαυροὺς, καὶ στρατιωτικὰ ταῦτα ἡγεῖσθαι τὰ χρήματα, ὁ δὲ τούτου μὲν ἠμέλει, ὅπως δὲ ὁ ναὸς αὐτῷ καλλίων [1] παρὰ τοὺς ἄλλους δεικνύοιτο [2], τἆλλα κατελυμαίνετο. Εἰ δεῖ οὖν, καὶ τοῦτ' εἰπεῖν· ἐμεμήνει περὶ τὸ ἔργον, καὶ πολλάκις τοῦτο καὶ πολλοῖς ἐβούλετο ὁρᾶν ὀφθαλμοῖς· ὅθεν καὶ σχήματα τούτῳ βασιλείων αὐλῶν περιθέμενος, θρόνους [3] τε καθιδρύσας καὶ σκήπτροις κατακοσμήσας, καὶ φοινικίδας παραπετάσας, ἐκεῖσε τὸ πολὺ τοῦ ἔτους ἐποίει, τῷ κάλλει τῶν οἰκοδομημάτων καλλυνόμενός τε καὶ φαιδρυνόμενος. Βουλόμενος δὲ καὶ τὴν θεομήτορα καλλίονι τῶν ἄλλων κατακοσμῆσαι ὀνόματι, ἔλαθεν ἀνθρωπικώτερον ταύτην ἐπονομάσας, εἰ καὶ Περίβλεπτός ἐστι τοὔνομα ὡς ἀληθῶς ἡ περίβλεπτος. Ἐπὶ τούτοις καὶ προσθήκη τις ἑτέρα προσεγεγόνει, καὶ ὁ ναὸς καταγωγὴ γίνεται μοναστῶν· πάλιν οὖν ἑτέρων ἀδικημάτων ἀρχαὶ, καὶ μείζους τῶν προτέρων ὑπερβολαί· καὶ οὐδὲ τοσοῦτον ἐξ ἀριθμητι-

1. χ. καλλείων. 2. δεικνύοιντο. 3. χ. θρόνοις.

κῆς ἡ γεωμετρίας ὤνητο, ἵνα τι ἀφέλοι τοῦ μεγέθους ἢ τοῦ ἀριθμοῦ, ὥσπερ οἱ γεωμετροῦντες τὸ ποικίλον ἀφείλοντο, ἀλλ' ὥσπερ ἐν ταῖς οἰκοδομαῖς ἄπειρον ἐβούλετο τὸ μέγεθος ἔχειν, οὕτω δὴ καὶ ἐν τοῖς μοναστᾶις τὸν ἀριθμὸν παρεξέτεινεν· ἐντεῦθεν οὖν τὰ ἀνάλογα· ὥσπερ ἐκεῖ τῷ μεγέθει τὰ πλήθη, οὕτως ἐνταῦθα τοῖς πλήθεσιν αἱ συνεισφοραί. Ἑτέρα γοῦν τις οἰκουμένη διηρευνᾶτο, καὶ ἡ ἐκτὸς Ἡρακλείων ἀνεζητεῖτο θάλασσα, ἵν' ἐκείνη μὲν ὡραῖα τρωκτὰ, αὕτη δὲ τοὺς πελωρίους καὶ κητώδεις κομίζει ἰχθῦς· καὶ ἐπεὶ ἔδοξεν αὐτῷ ψεύδεσθαι ὁ Ἀναξαγόρας, ἀπείρους ὁριζόμενος κόσμους, τὸ πλεῖστον τῆς καθ' ἡμᾶς ἠπείρου ὑποτεμόμενος [1] καθοσιοῖ τῷ νεῷ· καὶ οὕτω μεγέθη μὲν μεγέθεσι καὶ πλήθη ἐπισυνάπτων πλήθεσι, καὶ τὰς πρώτας ὑπερβολὰς ταῖς δευτέραις νικῶν, καὶ μηδὲν τούτοις ὁρίζων καὶ περιγράφων, οὐκ ἄν ποτε ἔληξεν [2], ἄλλο ἐπ' ἄλλῳ συντιθεὶς καὶ φιλοτιμούμενος, εἰ μὴ τὸ μέτρον αὐτῷ τῆς ζωῆς περιώριστο. Ὁ δὴ καὶ λόγος ἐστὶν ὑποτμηθῆναι αὐτῷ ἐξ αἰτίας τινος, ἣν ἐρεῖν βουλόμενος τοσοῦτον προλέγω. Ἀνεπιτηδείως εἶχεν οὗτος ὁ βασιλεὺς τά τε ἄλλα καὶ πρὸς συμβίωσιν γυναικός· εἴτε γὰρ σωφρονεῖν βουλόμενος τὸ κατ' ἀρχὰς, εἴτε πρὸς ἑτέρους, ὡς ὁ τῶν πολλῶν λόγων, γραφεὶς [3] ἔρωτας, καταπεφρονήκει μὲν τῆς βασιλίδος Ζωῆς, ἀπείχετό τε τῆς πρὸς αὐτὴν μίξεως, καὶ πάντη
φ. 336. ἀποστρόφως πρὸς τὴν | κοινωνίαν εἶχε· τὴν δὲ ἀνερέθιζε [4] μὲν πρὸς μῖσος καὶ τὸ βασίλειον γένος τοσοῦτον ἐπ' ἐκείνῃ καταφρονούμενον, μάλιστα δὲ ἡ περὶ τὴν μίξιν ἐπιθυμία, ἣν εἰ καὶ μὴ διὰ τὴν ἡλικίαν εἶχεν, ἀλλὰ διά γε τὴν ἐν βασιλείοις τρυφήν.

Περὶ τῆς τοῦ Μιχαὴλ πρὸς τὸν βασιλέα εἰσαγωγῆς παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ.

Οὗτος μὲν οὖν ὁ τοῦ λόγου πρόλογος, ἡ δὲ ὑπόθεσις τοιαύτη τις ἐπισυμβεβήκει. Ὑπηρέτουν τῷ βασιλεῖ τούτῳ πρὸ τῆς ἀρχῆς ἄλλοι

1. χ. ὑποτεμόμενον. 2. χ. ἔλιξεν. 3. γρ. στραφεὶς. 4. γρ. ἀνηρέθιζε.

τέ τινες, καί τις ἀνὴρ ἐκτομίας, τὴν μὲν τύχην φαῦλος καὶ καταπεπτωκὼς, ὅσα δὲ ἐς γνώμην ῥέκτης [1] δεινότατος · τούτῳ [2] δὴ καὶ βασιλεὺς [3] ὁ αὐτοκράτωρ οἰκειότατά τε ἐχρῆτο, καὶ ἐκοινώνει τῶν ἀπορρήτων, εἰς ὑπερηφάνους μὲν οὐκ ἀναβιβάσας ἀρχὰς, γνησιώτατα [4] δὲ πρὸς αὐτὸν διακείμενος. Τῷ δὲ ἀδελφός τις ἦν, τὸν μὲν πρὸ τῆς βασιλείας χρόνον ἔτι μειράκιον, τὸ δὲ μετὰ ταῦτα γενειάσας ἤδη καὶ τῆς τελεωτέρας ἡλικίας ἁψάμενος · κατεσκεύαστο δὲ τό τε ἄλλο σῶμα παγκάλως καὶ τὸ πρόσωπον ἐς ἀκριβῆ ὡραιότητα · εὐανθής τε γὰρ ἦν, καὶ τὸ ὄμμα λαμπρῶς [5] καὶ ὡς ἀληθῶς μιλτοπάρῃος [6]. Τοῦτον ὁ ἀδελφὸς τῷ βασιλεῖ τῇ βασιλίδι συγκαθημένῳ, οὕτω δόξαν ἐκείνῳ, εἰσήνεγκεν ὀφθησόμενον · καὶ ἐπειδὴ ἄμφω εἰσεληλυθέτην, ὁ μὲν βασιλεὺς ἅπαξ ἰδὼν καὶ βραχέα ἄττα ἐρωτήσας, ἐξιέναι μὲν παρεκελεύσατο, ἐντὸς δὲ εἶναι τῶν βασιλείων αὐλῶν · ἡ δὲ βασιλὶς, ὥσπέρ τινι συμμέτρῳ φωτὶ τῷ ἐκείνου κάλλει τοὺς ὀφθαλμοὺς ἀναφθεῖσα, ἐαλώκει εὐθὺς, καὶ ἐξ ἀρρήτου μίξεως τὸν ἐκείνου ἐνεκυμόνησεν ἔρωτα · καὶ ἦν τοῦτο τέως ἀπόρρητον τοῖς πολλοῖς. Ὡς δὲ οὔτε φιλοσοφεῖν, οὔτε οἰκονομεῖν τὸν πόθον ἠδύνατο, ἡ πολλάκις ἀποστρεφομένη τὸν ἐκτομίαν, τότε θαμὰ προσήει, καὶ ἄλλοθεν ἀρχομένη, ὥσπερ ἐν παρεκβάσει τῆς ὑποθέσεως εἰς τὸν περὶ τοῦ ἀδελφοῦ λόγον κατέληγε, θαρρεῖν τε ἐκεῖνον παρεκελεύετο καὶ προσιέναι οἱ ὁπότε καὶ βούλοιτο. Ὁ δὲ οὐδὲν τέως τῶν κεκρυμμένων εἰδὼς, γνώμης εὐμένειάν τὸ πρᾶγμα ἐτίθετο · καὶ προσῄει μὲν ὡς κεκέλευτο, ὑφειμένῳ δὲ καὶ πεφοβημένῳ τῷ σχήματι · ἀλλ' ἥ γε αἰδὼς μᾶλλον τοῦτον κατήστραπτε καὶ φοινικίαν ὅλον ἐδείκνυ, καὶ λαμπρῷ κατηγλάϊζε [7] χρώματι. Ἡ δὲ ἀφῄρει τε τοῦτον τοῦ φοβεῖσθαι, ἀπαλώτερόν τε προσγελῶσα καὶ χαλῶσα τὸ βλοσυρὸν τῆς ὀφρύος, καὶ οἷον αἰνιττομένη τὸν ἔρωτα, καὶ πρὸς τὸ θαρρεῖν μετεσκεύαζε · καὶ ἐπειδὴ λαμπρὰς ἐδίδου τῷ ἐρωμένῳ τὰς τοῦ

1. χ. ραίκτης. 2. χ. τοῦτο. 3. γρ. βασιλεύσας. 4. χ. γνησιώτατε. 5. γρ. λαμπρὸς. 6. χ. μιλτοπάριος. 7. χ. κατηγλάϊζες.

ἔρωτος ἀφορμὰς, ἀντερᾷν δὲ καὶ οὗτος [1] ἐπετηδεύετο, τὰ μὲν πρῶτα οὐ πάνυ τεθαρρημένως, μετὰ δὲ ταῦτα ἀναιδέστερόν [2] τε προσιὼν, καὶ τὰ τῶν ἐρώντων διαπραττόμενος · περιχυθεὶς γὰρ ἄφνω ἐφίλησε, καὶ δέρης ἥψατο καὶ χειρὸς, ὑπὸ τοῦ ἀδελφοῦ πρὸς τὴν τέχνην παιδοτριβούμενος. Ἡ δὲ ἔτι μᾶλλον προσεπεφύκει [3], καὶ πρὸς τὴν ἰσχὺν τῶν φιλημάτων ἀντήρειδεν · ἡ μὲν καὶ ὡς ἀληθῶς ἐρῶσα, ὁ δὲ οὐ πάνυ μέν τοι [4] ταύτης παρηκμακυίας ἐπιθυμῶν, τὸν δὲ τῆς βασιλείας ὄγκον εἰς νοῦν βαλλόμενος, καὶ διὰ ταύτην πᾶν ὁ,τιοῦν ποιεῖν τολμῶν τε καὶ ἀνεχόμενος. Οἱ δὲ περὶ τὰ βασίλεια τὰ μὲν πρῶτα τέως ὑπώπτευον [5] καὶ μέχρι τῶν ὑπονοιῶν ἦσαν · ὕστερον δὲ ἀναιδῶς αὐτοῖς ἐκρηγνυμένου τοῦ ἔρωτος, πάντες ἐγνώκεισαν καὶ τῶν γινομένων οὐδέ τις ἦν ἀνεπαίσθητος · ἤδη γὰρ καὶ εἰς συνουσίαν αὐτοῖς κατέληξε τὰ φιλήματα, καὶ πολλοῖς ἐαλώκεισαν ἐπὶ μιᾶς εὐνῆς συγκαθεύδοντες · καὶ ὁ μὲν ἠσχύνετό τε καὶ ἠρυθρία καὶ περιδεὴς ἐπὶ τῷ πράγματι ἦν, ἡ δὲ οὔθ' ὑπεστέλλετο, καὶ προσφῦσα ἐπὶ τοῖς πάντων κατεφίλησεν ὀφθαλμοῖς, καὶ ὄνασθαι τούτου πολλάκις ηὔξατο.

Τὸ μὲν οὖν περικαλλύνειν τοῦτον ὥσπερ ἄγαλμα καὶ καταχρυσοῦν, δακτυλίοις τε περιαστράπτειν καὶ χρυσοϋφέσιν ἐσθήμασιν, οὐκ ἐν θαυμασίοις ἄγω · βασιλὶς γὰρ ἐρῶσα τί οὐκ ἂν τῷ ἐρωμένῳ πορίσαιτο ; ἡ δὲ λανθάνουσα τοὺς πολλοὺς ἔστιν ὅτε καὶ ἐπὶ τὸν βασιλικὸν θρόνον ἐκάθιζεν ἐναλλὰξ, σκῆπτρον ἐνεχείριζε, καί ποτε καὶ ταινίαις ἠξίωσε, καὶ ἐπὶ τούτοις αὖθις ἐπιχυθεῖσα ἄγαλμά τε ἐκάλει καὶ ὀφθαλμῶν χάριν, καὶ κάλλους ἄνθος, καὶ ψυχῆς ἰδίαν ἀναψυχήν. Τοῦτο οὖν πολλάκις ποιοῦσα ἕνα τινα τῶν πανοπτήρων οὐκ ἔλαθεν · ἐκτομίας οὗτος ἦν καὶ τὰς πρώτας τῶν βασιλείων [6] ἐμπεπιστευμένος αὐλῶν, αἰδέσιμός τε ἔκ τε τοῦ σχήματος, ἔκ τε τοῦ ἀξιώματος, καὶ θεράπων αὐτῆς πατρῷος · οὗτος

1. χ. οὔτε. 2. χ. ἀνεδέστερον. 3. χ. προσεπεφήκει. 4. χ. τι. 5. χ. ὑποπτεῦον. 6. χ. βασιλειῶν.

τοίνυν ἰδὼν τὸ καινὸν τοῦ θαύματος μικροῦ δεῖν ἐξεπεπνεύκει, οὕτως αὐτὸν καὶ τὸ σχῆμα κατέπληξεν· ἡ δὲ ἀνεκαλέσατό τε ψυχορραγήσαντα καὶ κατέστησε συγκλονούμενον, καὶ τούτου ἐξαρτᾶσθαι ἐκέλευεν, ὡς νῦν τε ὄντος καὶ ἐσομένου καθαρῶς αὐτοκράτορος.

Καὶ τὸ μηδένα τῶν πάντων λαθὸν εἰς γνῶσιν οὐκ ἐληλύθει τῷ βασιλεῖ· τοσοῦτον αὐτῷ νέφος ὀφθαλμίας ἐπέκειτο· ἐπεὶ δὲ ἡ τῆς ἀστραπῆς ἔκπληξις καὶ τὸ μέγεθος τῆς βροντῆς καὶ τὰς ἐκείνου περιηύγασε κόρας καὶ τὴν ἀκοὴν κατεβρόντησε, καὶ τὰ μὲν εἶδεν αὐτοῖς ὄμμασι, τὰ δὲ ἠκηκόει, ὁ δὲ καὶ αὖθις ὥσπερ ἐκὼν ἐπέμυέ τε τοὺς ὀφθαλμοὺς καὶ τοὺς ὠτων πόρους ἀπέφραττεν· ἀμέλει καὶ συγκαθεύδων πολλάκις τῇ βασιλίδι ἄχρι τῆς ἐν εὐνῇ κατακλίσεως [1], ὑπὸ φοινικίδι περικαλυπτούσῃ μόνον τὰ τοῦτον ἐκάλει | καὶ τῶν ποδῶν ἐπα- φ. 337.
φᾶσθαι καὶ ἀνατρίβειν, καὶ θαλαμηπόλον ἐποίει, καὶ ἐξ ἐπίτηδες, ἵνα τοῦτο ποιεῖ, τὴν γυναῖκα τούτῳ κατεμνηστεύετο. Ἐπεὶ δὲ ἡ ἀδελφὴ Πουλχερία καὶ τῶν περὶ τὸν κοιτωνίσκον τινὲς τὸν κατ' αὐτοῦ συσκευαζόμενον θάνατον ἀπεκάλυψαν [2] καὶ ἐτράνωσαν, καὶ φυλάξασθαι προετρέψαντο· ὁ δὲ ἐξὸν τὸν κεκρυμμένον ἀφανίζειν μοιχὸν καὶ τὸ πᾶν καταλύειν τοῦ δράματος, ἑτέραν μὲν πρόφασιν προβαλλόμενον, ἐκπληροῦντα δὲ τὸ ἐνθύμημα, τοῦτο μὲν οὐκ ἐποίησεν. οὐδέ τινα προσήνεγκε τῷ πράγματι μηχανὴν, ἀλλὰ τὸν ἐραστὴν ἢ ἐρώμενον προσκαλέσας ποτὲ περὶ τοῦ ἔρωτος ἐπυνθάνετο· καὶ ἐπειδὴ μηδὲν εἰδέναι ἐκεῖνος προσεποιήσατο, πίστεις [3] τε εἰσπράττεται καὶ ὅρκους καθ' ἱερῶν [4]· καὶ ἐπειδὴ τὴν πᾶσαν ἐκεῖνος ἐπιορκίαν ἐτέλεσε, τὰς μὲν τῶν ἄλλων φωνὰς συκοφαντίας ἡγεῖτο, αὐτῷ δὲ μόνῳ προσεῖχε τὸν νοῦν, καὶ πιστότατον ἐκάλει θεράποντα. Τούτῳ δὲ καὶ ἄλλο τι συναντελάβετο, ὥστε πόρρω γενέσθαι τῆς κατ' αὐτοῦ ὑπονοίας τὸν αὐτοκράτορα· νόσημα γάρ τι δεινὸν ἀφ' ἥβης τούτῳ περιπεπτώκει εὐθὺς, τὸ δὲ πάθος περιτροπή τις [5] τοῦ ἐγκεφάλου

1. χ. κατακλείσεως. 2. χ. ἀπεκάλυψεν. 3. χ. πίστις. 4. χ. καθιερῶν. 5. χ. περιτροπήν τις.

ἐν περιόδοις ἐτύγχανεν ὄν, καὶ μηδὲ μιᾶς αὐτῷ προσγινομένης τῆς σημειώσεως, αὐτίκα τε ἐτετάρακτο καὶ τοὺς ὀφθαλμοὺς ἔστρεφε. καὶ καταγῆς κατερρήγνυτο, προσούδιζέ τε τὴν κεφαλὴν καὶ ἐπὶ πλεῖστον χρόνον κατακεκλόνητο, εἶτ' εἰς αὖθις ἑαυτοῦ τε ἐγίγνετο, καὶ τὸ [1] βραχὺ πρὸς τὸ σύνηθες βλέμμα ἀποκαθίστατο· ἑωρακὼς γοῦν τοῦτον ὁ αὐτοκράτωρ τούτῳ τῷ πάθει ἑαλωκότα, ᾤκτειρέ τε τοῦ πτώματος, καὶ μανίαν μὲν κατεγνώκει, ἔρωτας δὲ ἀπεγνώκει καὶ χάριτας. Τοῖς δὲ πολλοῖς πρόσχημα τὸ πάθος ἐδόκει καὶ προκάλυμμα τῆς ἐπιβουλῆς· καὶ ἦν ἂν αὐτὴ ἀληθεύουσα ἡ ὑπόνοια, εἰ μὴ καὶ βασιλεὺς γεγονὼς ταύτην ὑφίστατο τὴν περιτροπήν· ἀλλὰ τοῦτο μὲν εἰς τὸν περὶ αὐτοῦ λόγον ἀναβεβλήσθω, ἐκείνῳ δὲ πρὸς τρόπου καὶ τὸ κακὸν ἐγεγόνει καὶ τὸ ἀσχημάτιστον [2] πάθος προκάλυμμα πρὸς τὴν ὑπόθεσιν ἦν.

Τὸ μὲν οὖν τὸν αὐτοκράτορα πεῖσαι τοὺς ἀντερῶντας μὴ ἐρᾶν οὐ μέγα ἔργον ἦν· ῥᾷστα γὰρ καὶ ἐπέπειστο [3]· ὡς δὲ ἐγώ τινος ἤκουσα τῶν τότε περὶ τὰς βασιλείους ἀναστρεφομένων αὐλὰς, ἀνδρὸς ἅπασαν τῆς βασιλίδος τὴν ἐρωτικὴν εἰδότος ὑπόθεσιν καμοὶ τὰς ἀφορμὰς τῆς ἱστορίας διδόντος, ὡς ὁ βασιλεὺς ἐβούλετο μὲν ὡσανεὶ πεπεῖσθαι μὴ ἔχειν τὴν βασιλίδα ἐρωτικῶς πρὸς τὸν Μιχαὴλ, ἤδει δὲ μάλα ἐρῶσαν ὥσπερ δὴ καὶ σφριγῶσαν περὶ τὸ πάθος, καὶ ἵνα μὴ πρὸς πολλοὺς [4] διαχέοιτο, οὐ μάλα τὴν πρὸς ἕνα τῆς γυναικὸς ἐδυσχέραινεν ὁμιλίαν, ἀλλὰ σχηματιζόμενος παρορᾶν ἀπεπλήρου τὸ πάθος τῇ βασιλίδι· ὃ τοίνυν ἄλλως μοι εἴρητο· ὁ μὲν βασιλεὺς εὔκολος πρὸς τὴν ἐρωτικὴν ὑπόληψιν ἢ καταλήψιν ἦν, ἐμεμήνει δὲ ἥ τε ἀδελφὴ Πουλχερία καὶ ὅσοι τηνικαῦτα κοινωνοὶ τῶν ἀπορρήτων ἐκείνων ὄντες ἐτύγχανον. Πρὸς τούτοις [5] οὖν ἡ μάχη καθίστατο, καὶ ἡ παράταξις οὐκ ἀφανὴς, ἐν ὑπονοίαις δὲ συμβεβήκει τὰ τρόπαια· ἥ τε γὰρ ἀδελφὴ οὐ μετὰ πολὺν χρόνον ἐτεθνήκει.

1. χ. τὰ. 2. χ. αὐχημάτιστον. 3. χ. ἐπέπιστο. 4. χ. πολλὰς. 5. γρ. τούτους.

καὶ τῶν περὶ ἐκεῖνον [1] ὁ μὲν τοῦτο ἐπεπόνθει ἀθρόον, ὁ δὲ τῶν ἀνακτόρων ἐξεληλύθει, οὕτω βουληθέντος τοῦ αὐτοκράτορος· τῶν δ' ἄλλων οἱ μὲν συνήνουν τῷ πράγματι, οἱ δὲ τὴν γλῶτταν ἐπεπέδηντο· καὶ ἦν ὁ ἔρως οὐκ ἀφανῶς τελούμενος, ἀλλ' ὥσπερ ἐπὶ νόμοις γινόμενος.

Περὶ τῆς νάσου τοῦ βασιλέως.

Εἶτά τι γίνεται· καταλαμβάνει καὶ τὸν αὐτοκράτορα νόσημα τῶν ἀήθων καὶ χαλεπῶν· ὅλον γὰρ ἀθρόον τὸ σῶμα καὶ κακόηθες αὐτῷ ἐγεγόνει καὶ ὕπουλον· τροφῆς τε γοῦν ἐντεῦθεν οὐ μᾶλλον ἐρρωμένως ἥπτετο, ὅ τε ὕπνος ἄκροις αὐτοῦ τοῖς ὄμμασιν ἐφιζάνων ταχέως ἀφίπτατο [2], καὶ πάντα συνεπεπτώκει αὐτῷ τὰ δυσχερῆ, ἦθους τραχύτης, γνώμη δυσάρεστος, θυμὸς καὶ ὀργὴ καὶ κραυγή, μὴ γνωριζόμενα πρότερον· εὐπρόσιτος γοῦν τὸν ἐκ πρώτης ἡλικίας βίον τυγχάνων, τότε δυσπρόσιτός τε ὁμοῦ καὶ δυσπρόσοδος ἐγεγόνει· ὅ τε γὰρ γέλως αὐτὸν ἀπέλιπε καὶ ἡ τῆς ψυχῆς χάρις καὶ τὸ γλυκὺ τοῦ ἤθους, καὶ οὔτέ τινι τῶν πάντων ἐπίστευεν, οὔτε αὐτὸς ἐδόκει τοῖς ἄλλοις, ἀλλ' ἑκάτεροι ὑπώπτευόν τε καὶ ὑπωπτεύοντο· τὸ δέ γε ἀφιλότιμον τότε μᾶλλον αὐτῷ ἐπετάθη· ἀνελευθέρως γοῦν ἐποιεῖτο τὰς τῶν χρημάτων διανεμήσεις, καὶ πρὸς πᾶσαν μὲν ἱκεσίαν ἐχαλέπαινε [3], πρὸς πᾶσαν δὲ φωνὴν ἐλεεινὴν ἐτραχύνετο· πονήρως δὲ ἄγαν τοῦ σώματος ἔχων, ὅμως οὔτε τῶν συνήθων ἠμέλει, οὔτε τὰς βασιλείους πομπὰς ἐν μηδενὶ λόγῳ ἐτίθετο, ἀλλὰ καὶ στολαῖς κατελαμπρύνετο χρυσοπάστοις καὶ τὸν ἄλλον κόσμον ἠμφίετο, ὥσπερ ἀχθοφορῶν ἐν ἀσθενεῖ σώματι, δυσχερῶς τε ἐπανέστρεφε καὶ πλέον εἶχε κακῶς. Ἐγὼ γοῦν πολλάκις ἐθεασάμην οὕτως ἐν ταῖς πομπαῖς ἔχοντα, οὐκ ἀκριβῶς ἑκκαιδεκέτης τὴν ἡλικίαν ὤν, βραχύ τι τῶν νεκρῶν διαφέροντα· ὅλον γὰρ αὐτῷ ἐξῳδήκει τὸ πρόσωπον,

1. γρ. ἐκείνην. 2. χ. ἐφίπτατο. 3. χ. ἐχαλέπηνεν.

καὶ τὸ χρῶμα οὐδέν τι κάλλιον εἶχε τῶν τριταίων [1] περὶ τὰς ταφάς· ἀπέπνει τε πυκνῶς, καὶ βραχύ τι προβαίνων, αὖθις ἵστατο· τῶν δὲ περὶ τὴν κεφαλὴν | αὐτῷ τριχῶν [2] αἱ μὲν πλείους ὥσπερ ἀπὸ νεκροῦ σώματος ἐπεπτώκεισαν [3], βραχεῖαι δέ τινες καὶ ψιλαὶ ἠτάκτουν περὶ τὸ μέτωπον, τῷ ἐκείνου οἶμαι συγκινούμεναι πνεύματι. Τοῖς μὲν οὖν ἄλλοις ἀπέγνωστο, οὐδὲ [4] οὐ πάνυ τι δυσέλπιστον [5] ἦν, ἀλλ' ἰατρικαῖς τέχναις ἑαυτὸν ἐδεδώκει, κἀκεῖ τὴν σωτηρίαν ἑαυτῷ ἐμνηστεύετο.

φ. 335.

Περὶ τοῦ θανάτου τοῦ βασιλέως.

Εἰ μὲν οὖν ἐδεδράκεισάν τι περὶ αὐτὸν [6] τῶν ἀτοπωτάτων αὐτή τε ἡ ἐρωτικὴ συζυγία καὶ οἱ τοῦ πράγματος κοινωνοί, ἐγὼ μὲν οὐκ ἂν εἴποιμι· οὐ γὰρ ῥᾳδίως οἶδα καταγινώσκειν ὧν οὔπω κατάληψιν εἴληφα· τοῖς δὲ ἄλλοις κοινὸν τοῦτο τέθειται ὁμολόγημα, ὡς τὸν ἄνδρα πρότερον φαρμάκοις καταγοητεύσαντες, μετὰ ταῦτα καὶ ἐλλέβορον [7] ἐκεράσαντο· καὶ οὐ περὶ τούτου νῦν διαμφισβητοῦμαι, ἀλλ' ὅτι τὴν τοῦ θανάτου αἰτίαν ἐκεῖνοι γεγόνασιν. Εἶχε ταῦτα, καὶ τὰ προτέλεια τῆς κοινῆς ἡμῶν ἀναστάσεως ἐτελεῖτο τῷ βασιλεῖ, ὁμοῦ τε ὡς ἐς αὔριον εἰς τὴν πάνδημον πανήγυριν προσελευσόμενος ηὐτρεπίζετο· ἄπεισι γοῦν πρὸ ἡμέρας βαλανείοις χρησόμενος αὐτόθι που περὶ τὰ βασίλεια, οὔτε χειραγωγούμενος ἔτι, οὔθ' ὑπόγυος [8] πρὸς τὸν θάνατον ὤν· διαπρεπῶς γοῦν ἀνῄει ἀλειψόμενος καὶ λουσόμενος καὶ καθαρσίοις περὶ τὸ σῶμα χρησόμενος. Εἴσεισι γοῦν τὸ λουτρὸν, καὶ κεφαλὴν πρῶτα διαρρυφθεὶς [9], εἶτα δὴ καὶ τὸ σῶμα καταντληθεὶς, ἐπειδὴ ἐρρωμένως εἶχε τοῦ πνεύματος, τῇ κολυμβήθρᾳ ἑαυτὸν ἐπιδίδωσιν, ἥτις μέσον ὀρώρυκται· καὶ

1. χ. τριτέων. 2. χ. τῶν τριχῶν. 3. χ. ἀπεπώκεισαν. 4. γρ. ὃ δὲ. 5. γρ. δυσέλπιστος. 6. χ. περὶ αὐτῶν. 7. χ. ἑλέβορον. 8. χ. ὑπόγυ. 9. χ. διαρυφθεὶς.

τὰ μὲν πρῶτα ἡδέως τῷ ὕδατι ἐπενήχετο καὶ ἐλαφρῶς ἐπέπλει, ἀναφυσῶν ὡς ἥδιστα καὶ ἀναψυχόμενος, ἔπειτά τινες καὶ τῶν [1] περὶ ἐκεῖνον εἰσήεσαν ὑπερείσοντες ἐκεῖνον καὶ ἀναπαύσοντες· οὕτω γὰρ ἐδόξεν· ἀλλ' εἴ τι μὲν εἰσελθόντες περὶ τὸν αὐτοκράτορα παρηνόμησαν, οὐκ ἔχω εἰπεῖν ἀκριβῶς. Φασὶ γοῦν οἱ καὶ τ' ἄλλα πρὸς τοῦτο συνείροντες, ὅτι ἐπειδὴ τὴν κεφαλὴν εἰς τὸ ὕδωρ καθῆκεν ὁ αὐτοκράτωρ, τοῦτο γὰρ εἴθιστο ποιεῖν, συμπιέσαντες αὐτοῦ τὸν αὐχένα ἐπέσχον ἐπὶ χρόνον πολὺν, εἶτ' ἀφέντες [2], ἐξεληλύθεσαν· τὸν δὲ τὸ πνεῦμα κουφίσαν ἄπνουν σχεδὸν ἐπεδείκνυ τοῖς ὕδασιν, ὥσπερ φελλὸν ἀλόγως ἐπισαλεύοντα· ὡς δὲ βραχύ τι ἀναπνεύσας ἔγνω ὅπη κακοῦ ἐτύγχανεν [3] ὤν, τὴν χεῖρα προτείνας ἐδεῖτο τοῦ συλληψομένου καὶ ἀναστήσαντος. Εἷς γέ τοι ἐλεήσας τοῦτον καὶ τοῦ σχήματος, τὰς χεῖρας ὑποτείνας καὶ ἐναγκαλισάμενος ἀνηρείσατο [4], καὶ διαβαστάσας ὡς εἶχεν ἐπὶ τῆς στρωμνῆς ἀθλίως κατέθετο. Καὶ βοῆς ἐπὶ τοῦτο γενομένης, ἄλλοί τέ τινες παρῆσαν καὶ ἡ βασιλὶς αὐτὴ ἀδορυφόρητος [5], ὡς ἐπὶ πένθει δεινῷ· καὶ ἰδοῦσα αὖθις ἀπῆλθε, τὸ πιστὸν τῆς τελευτῆς εἰληφυῖα διὰ τῆς ὄψεως. Ὁ δὲ βαρύ τι στενάξας καὶ βύθιον, τῇδε κακεῖσε περιεβλέπετο, φωνῆσαι μὲν μὴ δυνάμενος, σχήμασι δὲ καὶ νεύμασι δηλῶν τὸ βούλημα τῆς ψυχῆς· ὡς δὲ συνελαμβάνετο ἔτι οὐδείς, μύσας τοὺς ὀφθαλμοὺς πυκνότερος αὖθις ἐπήσθμαινεν· εἶτα δὴ ἀθρόον ἀναρραγέντος, ὑπεκχεῖται διὰ τοῦ στόματος μελάντερόν τι τὴν χρόαν [6] καὶ πεπηγὸς, ἐφ' ᾧ δὴ δὶς καὶ τρὶς ἀσθμήνας τὴν ζωὴν ἀπολείπει.

1. χ. καὶ τὸν. 2. χ. εἶ ταφέντες. 3. χ. ἐτύχανεν. 4. χ. ἀνημείσατο. 5. χ. ἀδωρηφόρητος. 6. χ. χρῶαν.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

Οὕτω μὲν δὴ Ρωμανὸς ἐτεθνήκει ἐς πεντάδα χρόνων καὶ ἥμισυ τὴν βασιλείαν κατεσχηκώς· ἡ δὲ βασιλὶς Ζωὴ, ἐπειδὴ τοῦτον ἐμεμαθήκει ἐκπεπνευκότα (οὐδὲ γὰρ παρῆν ἀποπνέοντι), εὐθὺς ὥσπερ δὴ κληρονόμος ἄνωθεν, τῆς ἀρχῆς τῶν ὅλων προΐσταται, μᾶλλον δὲ τοῦ προεστάναι βραχὺ φροντίσασα, ὅπως ἂν παραδῷ τὴν προστασίαν τῷ Μιχαὴλ, περὶ οὗ φθάσας ὁ λόγος διείληφε, διὰ πάσης φροντίδος γίνεται. Οἱ μὲν γὰρ τῶν ἀνακτόρων τοὺς ἐν τοῖς ἀξιώμασι κλήρους διαλαχόντες, ὧν οἱ πλείους αὐτῇ πρῶτοι θεράποντες ὄντες ἐτύγχανον, οἱ δὲ καὶ τοῦ ἀνδρὸς ὁμιληταὶ καὶ εἰς γένος ἐκεῖνο συναφθέντες τοῦ πατρὸς, ἀπεῖργον τοῦ προχείρως περὶ τῶν μεγάλων τι διαπράξασθαι, συνεβούλευόν τε ἐνθυμηθῆναι τὰ κάλλιστα περὶ αὐτῆς καὶ βουλεύσασθαι, καὶ ἕνα τῶν πάντων εἰς τὴν βασιλείαν ἀγαγεῖν τὸν ἐκ πάντων ἐξαίρετον, καὶ συνομολογήσοντα[1] οὐχ ὡς συμβίῳ ἀλλ' ὡς δεσπότιδι ταύτῃ προσενεχθήσεσθαι. Οἱ μὲν οὖν παντοδαπῶς αὐτῇ προσεφέροντο, πεῖσαι τάχα οἰόμενοι καὶ πρὸς τὸ δοκοῦν σφίσι ταύτην μεταλαβεῖν[2]· ἡ δὲ ὅλαις ψήφοις καὶ πάσαις[3] ἐννοίαις ἐπὶ τὸν Μιχαὴλ ἐνενεύκει, οὐ λογισμῷ ἀλλὰ πάθει τὸν ἄνδρα κρίνουσα. Ὡς δὲ καὶ ἡμέραν ἔδει ὁρίσαι καθ' ἣν ἐκεῖνος στεφανηφορήσειν ἔμελλε καὶ τῶν ἄλλων παρασήμων ἀξιωθήσεσθαι, ὁ πρεσβύτερος τοῦ Μιχαὴλ ἀδελφὸς Ἰωάννης ὁ ἐκτομίας, ἀνὴρ δεινότατος περὶ τὰς ἐνθυμήσεις καὶ περὶ τὰς πράξεις δραστήριος, δι' ἀπορρήτων αὐτῇ ἐντυχὼν, καὶ ὡς ἀποθανούμεθα φήσας, εἰ ῥοπὴν τὸ κράτος εἰς ὑπέρθεσιν λήψεται, ὅλην εἰς τὴν οἰκείαν μετατίθησι γνώμην· καὶ εὐθὺς μεταχαλεσαμένη τὸν Μιχαὴλ καὶ τὴν χρυσοϋφῆ στολὴν ὑπενδύσασα, ἔπειτα δὲ καὶ

1. χ. συνομολογήσονται. 2. γρ. μεταβαλεῖν. 3. χ. πάσαι.

τὴν βασιλικὴν στεφάνην τῇ κεφαλῇ προσαρμόσασα, ἐπί τε πολυτελοῦς θρόνου καθίσασα καὶ αὐτὴ παρακαθισαμένη πλησίον ἐν ὁμοίῳ τῷ σχήματι, πᾶσιν ἐπιτάττει ὅσοι τὸ βασίλειον τηνικαῦτα ᾠκουν ἄμφω κοινῇ προσκυνεῖν τε καὶ εὐφημεῖν. Οἱ μὲν οὖν οὕτως ἐποίουν· διαδόσιμον δὲ τὸ πρᾶγμα καὶ τοῖς ἐκτὸς καὶ τῶν ἀνακτόρων καθίστατο, καὶ πᾶσα ἡ πόλις παραλαβεῖν τοῦ συνθήματος τὴν εὐφημίαν ἐβούλετο, τοῦτο μὲν καὶ ψευδομένων τῶν | πλειόνων τὴν p. 339.
εὐφημίαν καὶ κολακευόντων τὸν βασιλεύσαντα, τοῦτο δὲ καὶ ὥσπέρ τι ἄχθος ἀποθεμένων τὸν τελευτήσαντα, καὶ κούφως ἅμα καὶ ἐλαφρῶς σὺν εὐθυμίᾳ καὶ ἡδονῇ ἐκδεξαμένων τὸν Μιχαήλ.

Ἐπεὶ οὖν τοῖς περὶ τὸν βασιλέα ἡ ἐσπέριος ἐκείνη ἐσχηματίσθη ἀνάρρησις, διττὸν εὐθὺς πρόσταγμα ἀφικνεῖται τῷ ἐπάρχῳ τῆς πόλεως, ἀφίξεσθαι ἅμα πρωῒ εἰς τὰ βασίλεια καὶ τοὺς τῆς συγκλήτου βουλῆς, ὁμοῦ τε τῷ νέῳ προσκυνήσοντας βασιλεῖ καὶ τῷ ἀπελληλυθότι τὴν νενομισμένην ποιήσοντας ἐκφοράν· καὶ ἀπήντησαν οὕτω κατὰ τὸ σύνθημα· καὶ καθ' ἕνα εἰσιόντες προκαθημένοις τοῖς βασιλεῦσιν ἐπὶ τῆς γῆς ἐτίθουν τὰς κεφαλὰς, τῇ μὲν βασιλίσσῃ τοῦτο καὶ μόνον ἀφοσιοῦντες, τοῦ δέ γε αὐτοκράτορος καὶ τὴν δεξιὰν προσπτυσσόμενοι χεῖρα. Ἐπὶ τούτοις ὁ μὲν Μιχαὴλ βασιλεὺς αὐτοκράτωρ ἀναρρηθεὶς, περὶ τῶν συνοισόντων τῇ ἀρχῇ φροντίσειν ἔμελλε· τῷ δὲ μετηλλαχότι τὴν ζωὴν Ρωμανῷ, ἐπὶ πολυτελοῦς κλίνης κατατεθέντι, ἡ ἐκφορὰ παρεσκεύαστο, καὶ ἀπῆεσαν ἅπαντες τὰ εἰκότα τὸν ἀποδεδημηκότα βασιλέα τιμήσοντες· μέρος δὲ τῶν [1] τῆς κλίνης προηγουμένων καὶ ὁ τοῦ νέου βασιλέως ἀδελφὸς Ἰωάννης ὁ ἐκτομίας γίνεται, περὶ οὗ ἐν τοῖς καθήκουσι τόποις τῆς παρούσης ἀναγραφῆς ὁ λόγος ἐρεῖ. Καὶ εἶδον κἀγὼ τὴν ἐξόδιον ταύτην πομπὴν τοῦ βασιλέως, οὔπω μὲν γενειάσκων, ἄρτι δὲ παραγγείλας ἐς τοὺς ποιητικοὺς λόγους, καὶ ἀθρήσας [2] τὸν κείμενον οὔπω ἀκριβῶς ἐγνώκειν [3] οὔτε ἀπὸ τοῦ χρώματος, οὔτε

1. χ. τὸν. 2. χ. ἀθροίσας. 3. χ. ἐγνώκει.

ἀπὸ τοῦ σχήματος, εἰ μὴ ὅσον ἐκ τῶν παρασήμων συνεβαλλόμην ὡς ὁ τεθνηκώς ἐστι βασιλεύς· διέφθαρτο μὲν γὰρ αὐτῷ τὸ πρόσωπον, οὐχ ὡς ἐκτετηκὸς[1], ἀλλ' ὡς ἐξῳδηκὸς[2], καὶ τὸ χρῶμα πάντη ἠλλοίωτο οὐχ ὡς νεκρῶδες, ἀλλ' ἐώκει τοῖς ἐκ φαρμακοποσίας ἀνοιδήσασι καὶ ὠχριακόσιν[3], ὥστε μηδὲ δοκεῖν αἵματος αὐτοῖς ὑπεῖναι γένεσιν· τῶν δὲ τριχῶν αἵ τε[4] τῆς κεφαλῆς καὶ ὅσαι περὶ τὸν πώγωνα ἐψίλωντο τοσοῦτον, ἕως ἐοικέναι τὰ διεφθαρμένα μέλη τοῖς ἐξαφθεῖσι λητοῖς, ὧν πόρρωθεν ἡ ψίλωσις καταφαίνεται. καὶ εἴ τις αὐτὸν ἐδάκρυσεν ἐντεῦθεν αὐτῷ κατέρρει τὸ δάκρυον· τὸ γὰρ ἅπαν πλῆθος, οἱ μὲν ὡς πολλῶν ἐξ αὐτῶν[5] μετεσχηκότες κακῶν, οἱ δὲ ὡς οὐδενὸς παραπολαύσαντες ἀγαθοῦ, οὐδὲ σὺν εὐφήμῳ γλώττῃ ἢ ἑώρων ἐκεῖνον ἢ ὁρῶντες παρέπεμπον. Ὁ μὲν οὖν οὕτω βιώσας τοιαύτης καὶ τῆς ἐκφορᾶς ἔτυχε, τοσοῦτον ἀπολαύσας τῶν ἐπὶ τῇ μονῇ πόνων τε καὶ δαπανημάτων, ὁπόσον[6] βραχεῖ τινι τοῦ νεῷ μέρει τὸν ἐκείνου κατατεθῆναι νεκρόν.

Ὁ δὲ Μιχαὴλ τέως μὲν πρὸς τὴν βασιλίδα διάθεσίν τινα καὶ εὐνοίας ὑποκρίνεται ὀφθαλμὸν, εἶτα βραχέος[7] τινὸς διερρυηκότος χρόνου μεταλλάττεται ὅλως, καὶ τῆς πρὸς αὐτὴν εὐνοίας καὶ χάριτος πονηρὰς ἀντιδίδωσιν ἀμοιβάς. Τοῦτο δὲ οὔτε ἐπαινεῖν, οὔτε ψέγειν δεδύνημαι· τὸ μὲν γὰρ μισεῖν τὴν εὐεργέτιδα καὶ ἀγνωμόνως πρὸς ταύτην φέρεσθαι οὐκ ἐν καλοῖς τίθεμαι, τὸ δὲ δεδιέναι περὶ ταύτῃ μὴ τοῖς ἴσοις καὶ τοῦτον περιβάλλει κακοῖς οὐκ ἔχω μὴ ἐπαινεῖν.

Ποιεῖ[8] δέ μοι μάλιστα τὴν ἀμφιβολίαν τῶν λογισμῶν ὁ τοῦ Μιχαὴλ τρόπος· εἰ γάρ τις αὐτὸν ἐξέλοι[9] τούτου μόνου τοῦ πρὸς τὸν Ρωμανὸν ἀδικήματος καὶ τοῦ περὶ τὴν μοιχίαν[10] ἐγκλήματος, καὶ ὧν ἴσως διὰ τὴν τῆς ὑποψίας ἑαλώκει φυγὴν, ἐν τοῖς ἐξειλεγμένοις βασιλεῦσιν οὗτος τετάξεται. Παιδείας μὲν γὰρ ἑλληνικῆς ἄμοιρος παντάπασιν ἦν, ἐρρύθμιστο δὲ τὸ ἦθος μᾶλλον ἢ οἱ κατ'

1. χ. ἐκτικὸς. 2. χ. ἐξοδικὸς. 3. χ. ὠχροι ἀκόσιν. 4. χ. αἵ ται. 5. γρ. αὐτοῦ. 6. χ. ὁπόσων. 7. χ. βραχέως. 8. χ. ποίει. 9. χ. ἐξέλει. 10. γρ. μοιχείαν.

ἐκείνην φιλοσοφήσαντες, καὶ κρείττων [1] ἦν, καὶ σφριγῶν τοῦ σώματος καὶ ἀνθούσης νεότητος, καὶ οὐ τὰ πάθη τὸν ἐκείνου κατῆγε λογισμὸν ἢ ἐκεῖνος τούτων [2] ἐδέσποζεν· εἶχε δὲ οὐ τὸ ὄμμα μόνον γοργὸν, ἀλλὰ καὶ τὴν ψυχὴν, καὶ ἑτοίμην πρὸς εὐφυεῖς ἀντιθέσεις· εὐτρέπιστο δὲ τούτῳ [3] καὶ ἡ γλῶττα οὐχ ὁμαλῶς ξυγκειμένη, ἀλλ' ἐπὶ τροχάδην ἀγορεύουσα καὶ λαμπρόν τι ἠχοῦσα. Ὅσα μὲν οὖν ἐς νόμων ἢ κανόνων ἀναφορὰς ἢ διαιτῶν ἢ ἀποδεικνὺς [4], ἀπόρως εἶχε καὶ οὐ πάνυ τι αὐτῷ ἡ εὐγλωττία ἐλυσιτέλει· εἰ δὲ τῆς ἀπὸ τῶν λογισμῶν διοικήσεως ἐδεῖτο τὸ διαιτώμενον, εὐθὺς πολλαχῶς ἐπεχείρει καὶ ἐνθυμήμασιν ἐνθυμήματα περιέπλεκε καὶ ἐκράτει τῆς ἀσκήσεως ἡ ἐκείνου μεγαλοφυΐα· ἀλλ' οὔπω περὶ τούτων. Ὁ δὲ λόγος εἰς ἀρχὴν αὖθις ἀποκαθιστάσθω καὶ δεικνύτω ὡς ὁ βασιλεὺς εὐθὺς τῆς ἀκριβοῦς τῶν πραγμάτων ἐφρόντισε διοικήσεως.

Φαίνεται μὲν γὰρ ἐξ οὐ καλῆς ὑποθέσεως, ὡς ὁ λόγος φθάσας ἐγνώρισεν, εἰς τὴν βασίλειον ἀρχὴν ἀναχθείς· ἐπεὶ δὲ τοῦ κράτους ἐγκρατὴς ἐγεγόνει, βραχὺν μέν τινα χρόνον τὴν βασιλείαν, ἵν' οὕτως εἴπω, διέπαιζε, τὰ μὲν τῷ καιρῷ διδοὺς καὶ τῇ ἀδοκήτῳ ἐκβάσει τοῦ πράγματος, τὰ δὲ τῇ γυναικὶ χαριζόμενος καὶ οἷον θυμηδίας αὐτῇ καὶ ἀναπαύλας προσμηχανώμενος. Ἐπεὶ δὲ πρὸς τὸ μέγεθος τοῦ κράτους διέβλεψε καὶ τὸ πολυειδὲς τῆς προνοίας διέγνω, καὶ ὁπόσον μέρος τῶν περιστάσεων αἱ περὶ τὰ πράγματα φροντίδες τῷ ὡς ἀληθῶς συλλέγουσι βασιλεῖ, ὅλως [5] ἀθρόως μετήλλακτο, καὶ ὥσπερ ἀνὴρ ἐκ μειρακίου γενόμενος ἀνδρικώτερον ἅμα καὶ γενναιότερον τῆς βασιλείας ἀντείχετο. Καὶ τοῦτο πρῶτον θαυμάζειν ἔχω τοῦ αὐτοκράτορος, ὅτι ἐξ ἐλάττονος τύχης τῆς μεγίστης ταύτης εὐδαιμονίας τυχὼν, οὔτ' ἐξεπλάγη τὸ φρόνημα, οὔτε ἥττων εὑρέθη τοῦ κράτους, ἀλλ' οὔτε τῶν καθεστώτων | ἠλλοίωσε· ἀλλ' ὥσπερ φ. 340.

1. χ. κρεῖττον. 2. χ. τοῦτον. 3. χ. τοῦτο. 4. χ. ἀποδεικνοῖς. 5. γρ. ὅλος.

πρὸς τοῦτο διαμεμελετημένος πόρρωθεν καὶ οἷον ἠρέμα προσεγγίσας τῷ πράγματι, τοιοῦτος εὐθὺς ἐγνώριστο καθ' ἣν ἐβεβασιλεύκει ἡμέραν, ὁποῖος εἰ χθὲς καὶ πρώην διεῖπε τὴν βασιλείαν· οὔτε γὰρ τῶν συνήθως πραττομένων ἐκαινοτόμησεν, οὔτε νόμον ἀνεῖλεν, οὐδ' ἀντίθετον τούτῳ εἰσήνεγκεν, ἀλλ' οὔτέ τινα τῶν τῆς γερουσίας μετήμειψεν, οἷα δὴ φιλεῖ ἐν ταῖς καιναῖς βασιλείαις νεωτερίζεσθαι· εἰ γὰρ καί τινες αὐτῷ συνήθεις πρὸ τοῦ κράτους ἐτύγχανον ὄντες [1], ἢ χάριτάς τισι καθωμολόγησεν, οὐδένα μὲν τούτων διεψεύσατο βασιλεύσας, πλὴν οὐκ εὐθὺς εἰς περιφάνους [2] τούτους ἀρχὰς ἀνεβίβασεν, ἀλλ' οἷον προγυμνάζων πόρρωθεν ταῖς ἥττοσι [3] καὶ ταπεινοτέραις, οὕτω κατὰ βραχὺ προῆγε ταῖς μείζοσι [4]. Καὶ ἀποπεφάνθω μοι περὶ τοῦδε τοῦ ἀνδρὸς, ὡς εἰ [5] μὴ τῶν ἀδελφῶν ἡ μερὶς μοίρᾳ προσεφύη κακῇ, κἀντεῦθεν οὔτε καταλύειν εἶχε τὸ γένος παντάπασιν, οὔτ' ἐπιστρέφειν πρὸς τὸ συμφέρειν [6] διὰ τὴν ἀνωμαλίαν τῶν τρόπων, οὐκ ἄν τις ἐκείνῳ τῶν περιωνύμων βασιλέων ἀντήρεισεν [7]. Ἀλλ' ὥσπερ οὐδένα τῶν ἐπ' ἐμοῦ βεβασιλευκότων ἐθεασάμην (λέγω δὲ πολλοὺς ἐπιμετρῶν τῷ ἐμῷ βίῳ, ὅτι περ οἱ πλείους αὐτῶν ἐνιαύσιοι), ὥσπερ οὖν οὐδεὶς τούτων ἐλευθέρως τὴν βασιλείαν διήνεγκεν, ἀλλ' οἱ μὲν παρὰ τὴν γνώμην κακοὶ, οἱ δὲ παρὰ τὴν πρός τινας ἑταιρίαν, οἱ δὲ δι' ἄλλο τι τῶν εἰωθότων, οὕτω δὴ κἀκεῖνος παρ' ἑαυτὸν μὲν ἀγαθὸς, πρὸς δὲ τοὺς ἀδελφοὺς καὶ λίαν πικρός· ἔοικε γὰρ ἡ γεννησαμένη τούτους φύσις, ἐπειδή περ τῷ Μιχαὴλ πεφιλοτίμηται τὰ χρηστότερα, τὸ λοιπὸν γένος ἐξ ἀντιθέτου προενεγκεῖν. Ἐβούλετο γὰρ ἕκαστος ἐκείνων εἶναι ἀντὶ παντὸς, καὶ μηδένα τῶν ἄλλων ἀνθρώπων μήτε ἐπὶ θαλάττης, μήτε μὴν διάγειν εἰς ἤπειρον, ἀλλὰ μόνος ἐν τῷ παντὶ βιοτεύειν, ὥσπερ ἄνωθεν κατὰ κλῆρον διειληφότες καὶ τὴν γῆν καὶ τὴν θάλασσαν· καὶ πολλάκις μὲν ἐπισχεῖν τούτους ὁ ἀδελφὸς ἐπεχείρησεν, οὐχ οἷον

1. χ. τες. 2. γρ. περιφανεῖς. 3. χ. ἥττωσι. 4. χ. μείζωσι. 5. χ. ἡ 6. γρ. συμφέρον. 7. γρ. ἀντήρισεν.

νομοθετῶν, ἀλλὰ καὶ πικρῶς ἐπιτιμῶν καὶ δριμύτερον καθαπτόμενος καὶ φόβον ἐπισείων σφοδρότερον· ἤνυε δὲ πλέον οὐδέν, τοῦ πρεσβυτέρου τῶν ἀδελφῶν Ἰωάννου ποικιλώτερον μεταχειριζομένου τὰ πράγματα, καὶ τοῦ μὲν τὸν θυμὸν καταπαύοντος, τοῖς δὲ μνηστευομένου ἐλευθερίαν τῶν πράξεων· ἔπραττε δὲ ταῦτα οὐ πάνυ μὲν ταῖς ἐκείνων γνώμαις ἑπόμενος, τοῦ δὲ γένους ὅμως κηδόμενος.

Περὶ δὲ τούτου καὶ πλέον τι ὁ λόγος διελθεῖν βούλεται, ἐρεῖ δὲ οὔτέ τι καινὸν, οὔτε διεψευσμένον· οὐ[1] γάρ τοι γενειῶν[2] αὐτὸν καὶ τεθέαμαι τὸν ἄνδρα, καὶ λέγοντος ἤκουσα, καὶ πράττοντι συνεγενόμην, καὶ ἐχαρακτήρισα ἀκριβῶς, καὶ τὰ μὲν αὐτῷ τῶν ἐπαινουμένων ἐπίσταμαι, τὰ δὲ οὐ πάνυ οἶδα σπουδαῖα. Τέως δὲ ἐκ τῶν τοιούτων ἠθῶν συνεκέραστο· ἕτοιμον εἶχε τὸ φρόνημα, καὶ ἀγχίνους εἰ καί τις ἄλλος ἐτύγχανεν ὤν, κατηγόρει δὲ ταῦτα τούτῳ καὶ αὐτὸς δὴ γοργὸν βλέπων ὀφθαλμός· ἐπιμελῶς δὲ τῶν πραγμάτων ἁπτόμενος καὶ περὶ τὸ μέλος τοῦτο φιλοπονώτατα διακείμενος, ἐμπειρότατος ἐγεγόνει πάντων, καὶ μάλιστα περὶ τὰς δημοσίους συνεισφορὰς ὀξύτατος ὤπτο καὶ ἀγχινούστατος· βουλόμενος δὲ μήτε τινὶ τῶν πάντων γενέσθαι βαρυσυμφορώτατος, μήτε μὴν καταπεφρονῆσθαι παρ' οὑτινοσοῦν, κακὸν μὲν οὐδενὶ διέπραξε, δριμεῖαν δὲ τοῖς πολλοῖς τὴν ὄψιν πλαττόμενος, κἀντεῦθεν αὐτοὺς ἐκφοβῶν, μέχρι τῆς θέας[3] ἐλύπει· οἱ γὰρ πλεῖστοι τὸ εἶδος αὐτοῦ πεφρικότες τῶν πονηρῶν ἀπείχοντο πράξεων. Καὶ ἦν ἐντεῦθεν προπύργιον ὡς ἀληθῶς τοῦ βασιλέως καὶ ἀδελφός· οὔτε γὰρ ἡμέρας, οὔτε νυκτὸς τῶν φροντίδων ἀνεῖτο, ἀλλὰ καὶ χαρίτων ἔστιν οὗ πληρούμενος, καὶ συμποσίοις παραγινόμενος, τελεταῖς τε καὶ πανηγύρεσι, τῆς καθηκούσης οὐκ ἠμέλει σπουδῆς· ἐλάνθανέ τε τοῦτον τῶν πάντων οὐδέν, ἀλλ' οὐδὲ ὃ λαθεῖν βουλόμενος ἦν, παντὸς ἐπτηχότος καὶ τὴν ἐκείνου πεφοβημένου ἐπιστασίαν· ἀωρὶ γὰρ τῶν νυκτῶν ἀθρόον ἐξυπταζόμενος πᾶν ὁτιοῦν μέρος διηρευνᾶτο τῆς

1. γρ. καὶ. 2. γ. τι γεννῶν. 3. γ. θείας.

πόλεως, ἀστραπῆς δίκην πᾶν ὁμοῦ διϊὼν τὸ οἰκούμενον. Τὸ γοῦν ἄριστον αὐτοῦ τῆς ἐπιστασίας ὑποπτεύοντες ἅπαντες κατείχοντό τε καὶ συνεστέλλοντο, καὶ καθ' ἑαυτὸν ἕκαστος διεβίου, τῶν πρὸς ἀλλήλους συλλόγων ἀνηρημένων. Ἃ μὲν οὖν ἄν τις αὐτοῦ ἐπαινεῖν ἔχει τοιαῦτα, τὰ δ' ἀντιθέτως ἔχοντα· ποικίλος ἦν τὴν ψυχὴν καὶ πρὸς πᾶσαν ἰδέαν τῶν ὁμιλούντων μεθαρμοζόμενος, καὶ ἐν τῷ αὐτῷ καιρῷ πολυειδὴς τὴν γνώμην φαινόμενος, καὶ ἑκάστου τῶν προσιόντων αὐτῷ πόρρωθεν καθαπτόμενος, ἐπεὶ δὲ πλησιάσειεν, ὡς νῦν πρώτως ἰδὼν εὐνοϊκώτερον προσιέμενος· κἄν τις αὐτῷ τι προσαγγείλοι νεώτερον καὶ οἷον σώζειν τὴν βασιλείαν δυνάμενον, ἵνα μηδὲν ἀνταμείψοιτο, πάλαι τοῦτο ἐγνωκέναι προσεποιεῖτο, καὶ τῆς βραδυτῆτος τὸν εἰρηκότα ἐμέμφετο· καὶ ὁ μὲν ἀπῄει κατηισχυμένος, ὁ δὲ πρὸς τὴν ὑπόθεσιν διανίστατο, καὶ τὸ ἐπιφυόμενον ἴσως κακὸν κολάζων ἐξέκοπτεν. Ἐβούλετο μὲν οὖν μεγαλοπρεπέστερον διαζῆν καὶ βασιλικώτερον τῶν πραγμάτων ἀντέχεσθαι, ἀντεῖχε δὲ ὅμως πρὸς τοῦτο τὸ ἔμφυτον ἦθος, καὶ ἡ φύσις, ἵν' οὕτως εἴπω, τὴν πρώτην οὐκ ἀπερρίπτει λιχνείαν· διὰ ταῦτα ἅπαξ εἰς πόσιν κατενεχθεὶς (ἥττητο γὰρ τοῦτο τὸ μέρος), εὐθὺς εἰς πᾶσαν ἀσχημοσύνην ἐξεκυλίετο· ἐπελανθάνετο μὲν οὐδ' οὕτω τῶν περὶ τὴν βασιλείαν φροντίδων, κεχάλαστο δ' ὅμως τὸ βλοσυρὸν τῷ θηρὶ, καὶ τὸ ἐπισκήνιον οὐδαμοῦ. Ἐγὼ γοῦν πολλάκις αὐτῷ παρεντυχὼν
φ. 341. συμποσιάζοντι, ἐθαύμαζον ὅπως | τοιοῦτος ἀνὴρ, μέθης ἥττων καὶ γέλωτος, τὸν Ρωμαϊκὸν ἐπιφόρτισται[1] ἄξονα· διήθρει μεθύων ὁπόσα σχηματίζοιτο ἕκαστος τῶν συμπινόντων, καὶ ὥσπερ ἐπ' αὐτοφώρῳ τούτους εἰλημμένους ἔχων, εἰς εὐθύνας ὕστερον καθίστη, καὶ τῶν πραχθέντων παρὰ τὸν τόπον ἢ λεχθέντων ἀνέκρινεν· ὅθεν μᾶλλον αὐτὸν μεθύοντα ἢ νήφοντα ἐδεδοίκεσαν. Καὶ ἦν παμμιγές τι χρῆμα ὁ ἄνθρωπος· μοναδικὸν πάλαι σχῆμα ἐπενδυθείς, τῆς μὲν περὶ τοῦτο εὐσχημοσύνης οὐδ' ἐν ὀνείρασιν ἐπεμέλετο, ὑπέκρινε δὲ ὅμως

1. γρ. ἐπιπεφόρτισται.

εἴ τι καθῆκον τῷ σχήματι νενομοθέτητο ἄνωθεν· καὶ τῶν ἀκολάστως βιούντων κατωλιγώρει [1] παντάπασιν· εἰ δέ τις εὐσχήμονα ζωὴν ἕλοιτο, ἢ ἐλευθεριώτερον ἐν ἀρεταῖς ἔζη, ἢ τῷ ἔξωθεν λόγῳ τὴν ψυχὴν κεκόσμητο, πᾶσιν ὁμοίως ἀντέκειτο, καὶ ἑκάστῳ τι ποιῶν ἠχρείου τὸ σπουδαζόμενον. Πρὸς μὲν τοὺς ἄλλους οὕτως εἶχεν ἀτόπως, πρὸς δέ γε τὸν βασιλέα καὶ ἀδελφὸν μίαν καὶ τὴν αὐτὴν διάθεσιν ἔσωζεν, οὐκ ἐξαλλάττων, οὐδὲ μεταβαλλόμενος, ἀλλὰ διασώζων αὐτῷ τοῦ ἤθους τὴν ὁμοιότητα. Πέντε δὲ ὄντων ἀδελφῶν τῶν ξυμπάντων, ὁ μὲν αὐτοκράτωρ Μιχαὴλ ὥσπερ ἀντίθετος πρὸς τὰς ἐκείνων γνώμας ἐτύγχανεν ὤν, ὁ δέ γε Ἰωάννης ἐκτομίας, περὶ οὗ τὸν λόγον πεποίημαι, τὰ δευτερεῖα μὲν εἶχε τῆς πρὸς τὸν αὐτοκράτορα ἀρετῆς, πρὸς δὲ τοὺς λοιποὺς ἀξύμβλητος καὶ αὐτὸς ἦν. Ὥστε ἵνα τὸν λόγον ἐπανορθώσομαι, τὸ ἀντίθετον τῆς τοῦ αὐτοκράτορος ἕξεως πρὸς τοὺς τρεῖς τῶν ἀδελφῶν ἐτύγχανεν ὤν· συγκρινόμενος δὲ πρὸς ἐκεῖνον ὁ Ἰωάννης, τὸ μὲν ἔλαττον εἶχε παρὰ πολὺ, ὁμοιότητας δ' οὖν ὅμως πρὸς ἐκεῖνον ἀπέφαινε· καὶ οὐδ' αὐτῷ μὲν ἤρεσκεν ἡ πονηρία τῶν ἀδελφῶν, φιλαδελφότατος δὲ εἴ τις ἄλλος τῶν πάντων γενόμενος, εἰς εὐθύνας μὲν ἐκείνους καθιστᾶν ὧν ἐπεπράγεισαν οὐκ ἐβούλετο, περικαλύπτων δὲ τὰς ἀδίκους αὐτῶν πράξεις, ἐλευθερίαν ἔτι μᾶλλον ταῖς γνώμαις αὐτῶν ἐμνηστεύετο, ὡς οὐκ ἂν γνωσθησομένων τῷ αὐτοκράτορι.

Τὰ μὲν οὖν περὶ τῶν ἀδελφῶν ἐν τοσούτῳ κείσθω, ὁ δὲ λόγος εἰς τὸν βασιλέα ἐπαναγέσθω. Οὗτος γοῦν ἄχρι τινὸς διάθεσίν τινα χρηστοτάτην τῇ βασιλίδι διαφυλάξας ταχὺ μεταβάλλεται· ὑποπτεύει γὰρ ταύτην, οἴκοθεν ἔχων τῆς ὑποψίας τὰς ἀφορμὰς, καὶ μετατίθησιν αὐτῇ τῆς ἐλευθερίας τὸ σχῆμα· τῶν τε γὰρ συνήθων προόδων ἀπεῖρξε [2], καὶ τὴν γυναικωνῖτιν αὐτῇ περιέφραξεν, οὐδενὶ διδοὺς εἰς αὐτὴν πάροδον, εἰ μὴ ὁ τὴν φρουρὰν πεπιστευμένος ἐπιτρέψει, δοκιμάσας πρότερον τίς τε εἴη καὶ ὅθεν, καὶ ὅπως πρὸς τὴν

1. χ. κατωλιγόρει. 2. γ. ἀπῆρξε.

βασιλίδα παρεγένετο. Ὁ μὲν οὖν αὐτοκράτωρ τοιαύτην αὐτῇ περιίστησι τὴν φρουράν· ἡ δὲ ἐδριμύττετο μὲν ἐπὶ τούτοις (καὶ πῶς γὰρ οὐκ εἰκός;), ἀντιδόσεις πολὺ τὸ δυσμενὲς ἐχούσας τῶν χρηστοτέρων ἀντιλαμβάνουσα, ἐπεῖχε δ' οὖν ὅμως, καὶ παρακινεῖν οὐκ ἠξίου τὰ δόξαντα, ἄλλως τε οὐδὲ βουλομένη τι ποιεῖν ἀντιπαράττειν δύναμίς τις προσῆν, πάσης μὲν ἐστερημένη [1] δορυφορίας βασιλικῆς, πᾶσαν δὲ ἀφῃρημένη ἰσχύν· ὃ δ' οὖν εἰς γυναικὸς ἀνήκει φύσιν ὀλίγωρον, τὸ μὴ γλῶτταν ἐπέχειν καὶ ἀλύειν ταῖς γνώμαις, τοῦτο ἐκείνη διέδρα· καὶ οὔτε τὸν αὐτοκράτορα τῆς πρώτης ἀνεμίμνησκε φιλίας καὶ πίστεως, οὔτε τοὺς ἀδελφοὺς ἐδυσχέραινεν ἐπικειμένους αὐτῇ καὶ προσονειδίζοντας, οὔτε τὸν φυλάττειν ἐκείνην προστεταγμένον πικρῶς ποτε εἶδεν ἢ ἀπεπέμψατο, ἀλλὰ πρὸς ἅπαντας πρᾴως [2] εἶχε, καὶ ὥσπερ οἱ δεινότατοι τῶν ῥητόρων καὶ τοῖς προσώποις καὶ τοῖς καιροῖς μεθηρμόζετο.

Καὐκείνη μὲν οὕτως· οἱ δὲ οὐδέν τι μᾶλλον πρὸς τὴν γνώμην τῆς γυναικὸς μετηλλάττοντο, ἀλλ' ἐδεδοίκεσαν αὐτὴν σφόδρα ὥσπέρ τινα λέαιναν ἐν καιρῷ μεθηκυῖαν τὸ βλοσυρὸν, καὶ παντὶ μὲν ἔρκει, παντὶ δὲ τείχει [3] κατησφαλίζοντο· οἱ μὲν οὖν ἄλλοι πᾶσιν αὐτὴν ἐτήρουν τοῖς ὄμμασιν, ὁ δέ γε αὐτοκράτωρ κατὰ βραχὺ καὶ τοῦ ὁρᾶν αὐτὴν ὑπεξίστατο. Τούτου δὲ πολλὰς ἐπίσταμαι τὰς αἰτίας· οὔτε γὰρ εἶχεν ἔτι ταύτῃ χρᾶσθαι, ἤδη τοῦ ὑπούλου νοσήματος ἐκραγέντος αὐτῷ (τὴν γὰρ ἕξιν διέφθαρτο!, καὶ πονήρως εἶχε τοῦ σώματος), ἔπειτα καὶ αἰδοῖ τὴν ὄψιν κεκάλυπτο. καὶ οὐκ ἦν ὅπως ἀντοφθαλμίσει αὐτῇ, εἰδὼς ὅπως τὴν πρὸς αὐτὴν φιλίαν ἠρνήσατο, καὶ ἀπωμόσατο μὲν τὴν πίστιν, τὰς δὲ συνθήκας ἠθέτησε· καὶ τρίτον, θείοις ἀνδράσι προσομιλήσας περὶ ὧν τοῦ κράτους ἐποιήσατο ἕνεκα, καὶ σωτηριώδεις δεξάμενος ἐντολὰς, πάσης μὲν ἀκολασίας, ἤδη δὲ καὶ τῆς ἐννόμου αὐτῆς ἀπέσχετο μίξεως· πρὸς τούτοις δὲ καὶ ἄλλο τι δεδιὼς οὐ προσέκειτο τῇ

1. χ. ἐστερημένης. 2. χ. πράος. 3. χ. τείχη.

βασιλίδι· οὐ γὰρ ἐκ μακρῶν τῶν διαλειμμάτων, ὥσπερ δὴ πρότερον, ἡ τοῦ ἐγκεφάλου αὐτῷ περιτροπὴ προσεγίνετο· ἀλλ' εἴτέ τις ἔζωθεν αὐτὴν ἠλλοίου δύναμις, εἴτε πάθος ἔνδοθεν περιέτρεπε, πυκνότερον μετεβάλλετο· καὶ τοὺς μὲν ἄλλους ἐπὶ τῇ περιτροπῇ ταύτῃ ἧττον ἠσχύνετο, τὴν δὲ βασιλίδα καὶ μάλα ἠρυθρία· καὶ ἐπειδὴ ἀορίστως αὐτὸν τὸ πάθος ἐτάραττε, πόρρω που ἑαυτὸν ἐποιεῖτο ἐκείνης, ἵνα μὴ ὁρώμενος καταισχύνοιτο. Διὰ ταῦτα οὔτε προόδοις ἐχρᾶτο πολλαῖς, οὔτε θαρρούντως ὡμίλει τισίν· ἀλλ' ἐπειδὰν ἢ χρηματίζειν ἐβούλετο, ἢ ἄλλο τι τῶν συνήθων τῷ κράτει ποιεῖν, φοίνικας[1] ἑκατέρωθεν παραπεταννύντες οἷς ἐπιτηρεῖν αὐτὸν καὶ φυλάττειν ἐπιτέτραπτο, ὑπηνίκα τοῦτον θεάσαιντο ἢ βραχύ τι παρατραπέντα τὸν ὀφθαλμὸν, ἢ τὴν κεφαλὴν κατασείσαντα, ἢ ὅσοις ἑτέροις σημείοις τὴν πρόοδον τοῦ πάθους ἐχαρακτήρισαν, | αὐτίκα προϊέναι τοὺς εἰσιόντας ἐγκελευσάμενοι, συνέστελλον τὰ παραπετάσματα, καὶ οὕτω περιεῖπον αὐτὸν θαλαμεύσαντα· ὁ δὲ ἔπασχέ τε ἑτοίμως καὶ ἑτοιμότερον αὖθις ἀποκαθίστατο, καὶ οὐδὲν ὅ, τι μετὰ ταῦτα τοῦ πάθους ἐπεῖχεν αὐτὸν, ἀλλ' ἐλευθέρα τούτῳ ἀπεδίδοτο ἡ διάνοια. Πεζῇ δέ ποτε προϊόντι ἢ ἱππαζομένῳ φυλακή τις προσῆν κυκλόθεν, καὶ περιτραπέντα ἀσφαλῶς κυκλωσάμενοι ἐθεράπευον· ὤφθη δὲ καὶ πολλάκις τοῦ ἵππου ῥιφείς· ῥύακα γάρ τινος ὕδατος διαβαίνων τῷ ἵππῳ, ἐπειδὴ τηνικαῦτα τοῦτον τὸ πάθος κατέλαβεν, οἱ δὲ φρουροὶ τέως ἀπῆσαν βραχύ τι θαρρήσαντες, ὁ δὲ ἀθρόως τῆς ἕδρας ἐκκυλισθεὶς αὐτοῦ που κατὰ γῆς ὤφθη τοῖς πολλοῖς σπαρασσόμενος· ἐπεχείρει δὲ οὐδεὶς ἀνελεῖν, ἀλλὰ κατῳκτίζοντο μᾶλλον καὶ τῆς συμφορᾶς ἠλέουν τὸν αὐτοκράτορα. φ. 342.

Τὰ μὲν οὖν τούτοις ἑπόμενα ὁ λόγος αὖθις εἰς τοὺς οἰκείους τόπους καταριθμήσει· ἴδωμεν δὲ ὥσπερ νοσοῦντα τὸν βασιλέα, οὕτω δὴ καὶ ὑγιῶς ἔχοντα· ἐν γέ τοι τοῦ πάθους τοῖς διαλείμμασιν,

1. γρ. φοινικίδας.

ὁπηνίκα αὐτῷ λογισμὸς ἔρρωτο, παντοδαπὸς ἦν περὶ τὴν τῆς ἀρχῆς πρόνοιαν, οὐ μόνον τὰς ἐντὸς τῶν ἡμετέρων ὁρίων πόλεις εὐνομουμένας ποιῶν, ἀλλὰ καὶ τοῖς πέριξ ἔθνεσι τὰς ἐφ' ἡμᾶς ἀναστέλλων ἐφόδους, τοῦτο μὲν πρεσβείαις, τοῦτο δὲ δώροις, τοῦτο δὲ μαχίμων ἐπετείοις[1] ἀποστολαῖς· καὶ οὔθ' ὁ τῆς Αἰγύπτου τὴν ἐξουσίαν λαχὼν τῶν δεδογμένων ἀντεπαρεκίνει, οὔτε ὁ τὰς Περσικὰς ἔχων δυνάμεις, οὔτε μὴν ὁ Βαβυλώνιος, οὔτ' ἄλλ' ἄλλος τις[2] τῶν βαθυτέρων ἐθνῶν τὴν ἑαυτῶν ἐπεγύμνουν δυσμένειαν· ἀλλ' οἱ μὲν[3] καὶ πάντη πρὸς ἡμᾶς διελύοντο, οἱ δὲ τοῦ βασιλέως τὴν ἐπιμέλειαν δεδιότες, φόβῳ τοῦ μὴ παθεῖν εἰς ἑαυτοὺς συνεστέλλοντο. Τὴν μὲν γὰρ τῶν δημοσίων συνεισφορῶν παρατήρησιν καὶ ἀκρίβειαν τῷ ἀδελφῷ παραθέμενος Ἰωάννῃ, καὶ οἷον τὸ πλέον τῆς πολιτικῆς διοικήσεως αὐτῷ ἐγχειρίσας, τἆλλα δὲ εἶπεν αὐτὸς, τοῦτο μὲν καὶ τοῦ πολιτικοῦ κατὰ μέρος ἐπιμελόμενος, τοῦτο δὲ καὶ τὰ νεῦρα Ρωμαίων, τὸν στρατὸν συγκροτῶν καὶ ἐπισχύων εἰς δύναμιν. Καὶ τὸ μὲν πάθος αὐτῷ ἀρξάμενον προῒει ἀκμάζον καὶ κορυφούμενον, ὁ δὲ, ὡς οὐδενὸς αὐτῷ ἐπικειμένου κακοῦ, τῶν πάντων ἀντείχετο. Ἐπεὶ δὲ [ὁ] ἀδελφὸς Ἰωάννης ὑπορρέοντα τοῦτον ἑώρα κατὰ βραχὺ, δείσας περὶ αὐτῷ καὶ ὅλῳ τῷ γένει, μὴ ἐξ ἀνθρώπων γεγονότος τοῦ αὐτοκράτορος λήσηται τοῦτον[4] ἡ βασιλεία διαρρυεῖσα, κἀντεῦθεν πολλοῖς ἐμπεσεῖται πειρατηρίοις, βουλὴν βουλεύεται συνετωτάτην μὲν ὡς ἐδόκει, ἐπισφαλεστάτην δὲ ὡς ἡ τῶν πραγμάτων ἔκβασις ἔδοξεν· ἐκεῖθεν γὰρ αὖτανδρον αὐτοῖς τὸ σκάφος κατέδυ, καὶ ἐξώλεις[5] ἵν' οὕτως εἴπω καὶ προώλεις[6] ἀπώλοντο· ἀλλὰ ταῦτα μὲν ὕστερον. Ὁ δ' οὖν Ἰωάννης ὡς ἀπεγνωκὼς πάντη, κρυφίως τὸν ἀδελφὸν[7] λόγοις αὐτὸν μέτεισι πρὸς τὸ δοκοῦν πιθανωτέροις μᾶλλον ἢ ἀληθεστέροις, καὶ μόνον ποτὲ τῶν ἄλλων ἀπολαβὼν καὶ κύκλῳ τὸν λόγον περιβαλὼν, τοιούτων πρὸς αὐτὸν

1. χ. ἐπετίοις. 2. γρ. ἄλλ' ἄλλως τε. 3. χ. ἄλλοι μὲν. 4. γρ. λύσηται τούτων. 5. χ. ἐξ ὅλης. 6. χ. προ ὅλης. 7. γρ. τῶν ἀδελφῶν.

τῶν προοιμίων κατάρχεται, εἰς ἀνάγκην αὐτὸν προάγων τοῦ ἐρωτᾶν· « ὅτι μὲν οὖν, φησὶν, οὐχ ὡς ἀδελφὸν ἁπλῶς θεραπεύων διατετέλεκά [1] σοι, ἀλλ' ὡς δεσπότην καὶ βασιλέα, οἶδε μὲν οὐρανὸς, οἶδε δὲ καὶ ξύμπασα γῆ, καὶ αὐτὸς δὲ οὐκ ἂν ἄλλως ἔχῃς εἰπεῖν· ὅτι δὲ καὶ τοῦ λοιποῦ γένους ἡμῶν βραχύ τι, ἵνα μετρίως εἴπω, προσέχω τοῖς ἐνθυμήμασι καὶ ταῖς περὶ τοῦ κοινοῦ σκέψεσι καὶ λυσιτελείαις, αὐτὸς ἂν πρὸ πάντων εἰδείης· διὰ ταῦτα γοῦν οὐ τὸ ἐνεστώς σοι θεραπεύω τοῦ θρόνου, ἀλλὰ καὶ τὸ μέλλον ἀνεπιβούλευτον ταμιεύομαι, κἂν τὰς τῶν πολλῶν ἐπισχεῖν οὐ δεδύνημαι γλώσσας, καὶ τοὺς τῶν πάντων ὀφθαλμοὺς ἐπὶ σὲ μόνον ἀπευθύνειν προήρημαι· εἰ μὲν οὖν εὐνοίας τε τῆς πρὸς σὲ καὶ τῆς πρὸς τὰ πράγματα μεταχειρίσεως δεξιὰς ἐγγύας προείληφας παρ' ἐμοῦ, μηδὲ ταυτηνὶ μου τὴν σκέψιν ἀπώσω· εἰ δ' οὖν [2], ἀλλ' ἐγὼ μὲν σιωπήσομαι, ὅπη δὲ τὰ περὶ ἡμᾶς καταντήσῃ οὐκ ἐρῶ τι νῦν, μὴ καὶ λυπήσας ἀπέλθω. » Ἐπὶ τούτοις ὁ αὐτοκράτωρ τὰς γνώμας διασεισθεὶς ἤρετο « τί ποτε ταῦτα βούλοιτο, τίς δὲ καὶ τῆς διαλέξεως ὁ σκοπὸς; τοῦ δέ σου εὔνουν τὸ πρὸς ἐμὲ ὡς ὡμολογημένον τέως ἀφείσθω. » Ὁ δὲ τοῦ λόγου ὀραξάμενος, « μὴ οἷου, φησὶν, ὦ βασιλεῦ, ὅτι τὰς τῶν πολλῶν ἔλαθες ἀκοὰς, ἢ τούς γε ὀφθαλμοὺς αὐτοὺς, ὅτι καὶ προδήλῳ καὶ κρυφίῳ κατέχῃ νοσήματι· καὶ ὅτι μὲν ἐντεῦθεν οὐδὲν πείσῃ δεινὸν, οἶδα σαφῶς, ἀλλ' αἱ τῶν ἀνθρώπων γλῶτται οὐκ ἔστιν ὁπότε σοι οὐ λογοποιοῦσι τὸν θάνατον· δέδοικα οὖν, μὴ ὡς περὶ αὐτίκα τεθνηξομένου διανοησάμενοι, ἐπὶ σὲ νεωτερίσωσι, καὶ ἕνα τῶν πάντων προστησάμενοι τοῦτον δὴ εἰς τὴν σὴν ἀναγάγωσι βασιλείαν· καὶ τὰ μὲν περὶ ἐμὲ καὶ τὸ σύμπαν τοῦ γένους ἡμῶν ἐπ' ἐλάττονος φροντίδος εἰσί μοι [3], περὶ δέ σοι δέδια, μὴ χρηστὸς οὕτω καὶ ἐπιεικὴς αὐτοκράτωρ ἀβουλίας εὐθύνας παράσχῃ· καὶ τὸ μὲν δεινὸν διαδράσει, τὸν δὲ τοῦ μὴ προϊδεῖν τὸ μέλλον οὐκ ἐκφεύξεται ἔλεγχον. » Πρὸς ταῦτα τοίνυν ὁ βασιλεὺς

1. χ. διατέλεκά. 2. γρ. οὔ. 3. χ. εἶμοι.

ἑτοιμότερον ἀποκρίνεται· « καὶ τίς γὰρ, φησὶν, ἡ τούτου πρόνοια; πῶς δὲ καὶ τὰς τῶν πολλῶν γλώττας ἐπίσχωμεν; εἰπεῖν δὲ καὶ τὰς περὶ τὸ τυραννεῖν προθυμίας. »

Περὶ τῆς τοῦ Μιχαὴλ παρὰ τῆς Αὐγούστης υἱοθεσίας, καὶ περὶ τῆς τοῦ Καίσαρος ἀξιώσεως.

« Ῥᾴστη, φησὶν ὁ Ἰωάννης, καὶ ἑτοιμοτάτη· εἰ μὲν γὰρ μὴ ὁ ἀδελφὸς ἡμῶν ἐτεθνήκει, ἐκείνῳ ἂν τὴν δευτέραν ἀρχὴν ἐμνηστεύσω τοῦ Καίσαρος· ἐπεὶ δὲ τοῦτον ὑπεξῆλθεν ὁ θάνατος, ὁ τῆς ἀδελφῆς ἡμῶν παῖς Μιχαὴλ, ὃς δή σοι τῶν σωματοφυλάκων τὰ πρῶτα
φ. 343. πεπίστευται, | ἀξιούσθω τοῦ σχήματος, λατρεύων ἔτι μᾶλλον ἢ πρότερον, καὶ μέχρις ὀνόματος τὴν τύχην ἐπιμετρούμενος, τὰ δ' ἄλλά σοι ἐν ἀργυρωνήτου προσιὼν μέρει καὶ τὴν ἐσχάτην τάξιν πραττόμενος. » Πείθει τοιγαροῦν οὕτω πιθανῶς ἐπιχειρήσας τὸν ἀδελφὸν, καὶ ἐπειδὴ εἰς ταὐτὸν συνῆσαν τῷ βουλήματι, δευτέραν περὶ τοῦ τρόπου βουλὴν διασκέπτονται· εἰσηγεῖται δὲ καὶ ταύτην ὁ Ἰωάννης, καὶ « οἶσθα, φησὶν, ὦ βασιλεῦ, ὅτι κατὰ κλῆρον ἡ βασιλεία τῇ βασιλίδι προῆκται, καὶ τὸ σύμπαν εὐνοϊκώτερον πρὸς αὐτὴν ἔσχηκεν, ἅτε γυναῖκα καὶ κληρονόμον τοῦ κράτους, καὶ τῇ ἀφειδείᾳ τῶν δώρων τὰς τῶν πάντων ὑποποιησαμένην ψυχάς· μητέρα γοῦν αὐτὴν τῷ ἀνεψιῷ ἀναπλάσωμεν, ἐκ χρηστοτέρου τρόπου τὴν πρὸς αὐτὸν σχέσιν λαβοῦσαν, κἀκείνην προάξωμεν ὁμοῦ τε υἱοθετοῦσαν τὸν Μιχαὴλ καὶ εἰς τὸ Καίσαρος ἀνάγουσαν ἀξίωμά τε καὶ ὄνομα· ἀπειθήσει δὲ ἡμῖν οὐδαμῶς, εὔκολός τε οὖσα ταῖς γνώμαις, καὶ μὴ δ' ὁτιοῦν ἀντειπεῖν ἔχουσα. » Ἐπαινεῖ ταῦτα ὁ αὐτοκράτωρ· καὶ τοὺς περὶ τοῦ σκέμματος λόγους τῇ βασιλίδι προσενεγκόντες ῥᾷστά τε πείθουσι, καὶ πρὸς τὸ τοῦ σκοποῦ τέλος εὐθὺς τὸν νοῦν ἀπερείδουσι. Δημοτελῆ γοῦν ἑορτὴν προκηρύξαντες καὶ τοὺς ἐν τέλει ξύμπαντας εἰς τὸν ἐν Βλαχέρναις συνηθροικότες ναὸν, ἐπειδὴ πλήρης ὁ θεῖος σηκὸς, ἅμα τῷ πεπλασμένῳ υἱῷ τὴν

μητέρα καὶ βασιλίδα ἐξαγαγόντες πληροῦσι τὸ σπουδάζον· ἡ μὲν γὰρ ἀπὸ τῶν τοῦ θείου προθύρων βήματος εἰς υἱοῦ τάξιν ἀναλαμβάνει, ὁ δὲ αὐτοκράτωρ ὡς υἱὸν βασιλίδος τιμῶν τε καὶ σεβαζόμενος εἰς τὴν τοῦ Καίσαρος ἀξίαν ἀναβιβάζει· καὶ ἐπεφήμησαν [1] οἱ συνειλεγμένοι. Εἶτα δὴ καὶ τελεῖται ἐπὶ τῷ Καίσαρι ὁπόσα δὴ ἐπὶ τούτῳ τῷ σχήματι λέγεσθαί τε καὶ πράττεσθαι εἴωθεν. Καὶ ὁ σύλλογος διαλύεται. Καὶ ὁ Ἰωάννης ὡς τὸ πᾶν ἠνυκὼς καὶ τὸ κράτος εἰς τὸ γένος περιαγαγών, οὐκ εἶχεν ὅπως τῷ πλήθει χρήσαιτο τῆς χαρᾶς. Ἦν δὲ ἄρα τὸ γεγονὸς ἀρχὴ μεγάλων ἐσομένων κακῶν, καὶ ὁ δόξας θεμέλιος περιτροπὴ ξύμπαντος αὐτοῖς ἐγεγόνει τοῦ γένους, δηλώσει δὲ ὁ λόγος μετὰ ταῦτα. Οἱ μὲν οὖν περὶ τὸν αὐτοκράτορα οὕτω τὸ πρᾶγμα κατασκευάσαντες, καὶ τοῦτον δὴ τὸν νέον καίσαρα ἀγχίθυρον τῇ βασιλείᾳ στήσαντες, ὡς εὐθὺς τὸ κράτος διαδεξόμενον τοῦ κρατοῦντος τῷ κρατήσαντι πάθει καταναλωθέντος, ὡς τὸ ξύμπαν ἑαυτοῖς προδιοικησάμενοι, οὐκέτι περὶ τῆς διαμονῆς τοῦ κράτους ἐφρόντιζον· ὁ δέ γε αὐτοκράτωρ, οὐκ οἶδ' εἴτε μετάμελος εὐθὺς ἐγεγόνει περὶ τῶν πεπραγμένων, εἴτε ἄλλως πως περὶ τὸν ἀνεψιὸν διετίθετο, οὔτε ὡς καίσαρι προσεῖχεν, οὔτε παρὰ τοὺς πολλοὺς εἶχεν, ἀλλ' οὐδὲ τὴν νενομισμένην ἀπεδίδου τιμήν, ἀλλὰ μέχρι τῶν παρασήμων ἐτήρει τοῦ ἀξιώματος. Ἐγὼ γοῦν αὐτὸν ἐθεασάμην ἐν τοῖς βασιλικοῖς ἀξιώμασι πόρρωθεν μὲν ἑστηκότα [2], ὅπως ἂν περὶ ἐκείνου χρηστόν τι τῷ βασιλεῖ προσενέγκαιεν· ἀλλ' οὐδὲ τραπέζης οὗτος ἐκοινώνει τῷ αὐτοκράτορι, εἰ μὴ ὅσον ἐν ταῖς καιναῖς διαστάσεσι [3] τὸν τοῦ καίσαρος τόπον ἀναπληρῶν· εἰ δὲ πού τις καὶ σκηνὴ τούτῳ παραπεπήγει [4] δορυφόρους τε ἔχουσα καὶ εἴδωλόν τι τοῦ καίσαρος ἀποσώζουσα, λανθάνουσά τε ἦν καὶ παρὰ τὴν τοῦ αὐτοκράτορος ἀδελφὴν [5] τὴν προσποίησιν ἔχουσα. Ἐκεῖνοι γὰρ, ἐπειδὴ περὶ τῇ τοῦ ἀδελφοῦ ζωῇ ἔδεισαν

1. γρ. ἐπεφήμισαν. 2. χ. ἑστηκότων. 3. γρ. κοιναῖς διεστιάσεσι. 4. χ. παρακεπήγη. 5. γρ. τὴν τῶν τοῦ αὐτ. ἀδελφῶν.

καὶ περὶ τὸν ἀδελφιδοῦν τὰς ἐλπίδας ἀνήρτησαν, καὶ περι-
ἢ ὑποτρέχοντες θεραπείαν τε ἐκείνῳ βασιλικὴν κατεσκεύα-
τἄλλα ἐποίουν ὁπόσα δὴ τὴν τοῦ μέλλοντος ἑαυτοῖς εἴχεν
μίαν καὶ προδιοίκησιν· ὅθεν καὶ τὰς διατριβὰς τούτῳ οὐ
Κωνσταντίνου ἀπένειμεν[1], ἀλλ' αὐτοῦ που πρὸ τῆς πόλεως
ξαντες, τῷ μὲν δοκεῖν ὡς ἐπὶ σχήματι τῆς μεγίστης τιμῆς
συνεννοήκασι, τῇ δὲ ἀληθείᾳ ὑπερορία τις ἦν τὸ πρᾶγμα ἐπὶ
οὐ γὰρ ὁπότε βούλοιτο, ἀλλὰ κατὰ κελεύσματά τε εἰσήει
αὖθις ἐξήει[3], οὐδ' ὅσον[4] ἐν ὀνείρασι τοῦ θείου καταπολαύων

Ὁ δὲ ἀνὴρ οὗτος, ἵνα καὶ τούτου λόγον ποιήσωμαι, τ
πατρῷον γένος ἀδοξότατος πάντη καὶ ἀφανέστατος καθειστη
ἦν γὰρ οἱ ὁ πατὴρ ἐκ πανερήμου τινὸς ἀγροῦ ἢ τινὸς ἄλλης ἐσχατ
ὡρμημένος, γῆν μὲν οὔτε σπείρων, οὔτε φυτεύων, ἐπεὶ μηδὲ τ
βραχυτάτης εὐπόρει, ἀλλ' οὐδὲ βουκολίῳ ἑπόμενος ἢ ποιμνίοις
στατῶν, ἢ ἀγελαιοκομῶν, οὐδ' ἄλλον τινὰ βίον ἔχων ἢ ἐπιδεικ
ἐπὶ δὲ τὴν θάλατταν τρέψας τὸν νοῦν οὐχ ὥστε ἐμπορεύεσθ
ναυτίλεσθαι, ἢ ἐπὶ μισθῷ ἄγειν τοὺς ἀναγομένους ἢ καταπλέοντ
ἀλλ' ἐπειδὴ τῆς γῆς ἀπεγνώκει καὶ πρὸς τὴν θάλασσαν ἐνενεύ
χρῆμά τι μέγα τῇ ναυτιλίᾳ[5] ὁ ἄνθρωπος ἦν, οὐ δρυοτομῶν, οὐ
ἀποξέων ἐκεῖθεν τὰ ναυπηγήσιμα ξύλα, οὐδ' ἁρμόττων ταῦτα
συμπηγνύμενος, ἀλλ' ἐπειδὴ συμπήξαιεν ἕτεροι, αὐτὸς εὖ μάλα
συμπεπηγμένα τῇ πίσσῃ διέχριε, καὶ οὐκ ἂν ἄλλως ἄρτι συμπη
γνυμένη ναῦς κατήχθη πρὸς θάλασσαν, εἰ μὴ ἐκεῖνος διὰ τῆς τέχν
ἐχειροτόνησεν αὐτῇ τὸ ἐνδόσιμον. Εἶδον τοῦτον κἀγὼ ἤδη μετ
πεπλασμένον καὶ τῆς τύχης γινόμενον παίγνιον, καὶ ἦν αὐτῷ οὐδ
τι τῶν ἐπὶ τῆς[6] σκηνῆς προσαρμόζων[7] ἢ συγκολλῶν, οὐχ ὁ ἵππο
οὐχ ἡ ἐσθὴς, οὐκ ἄλλο τι τῶν τῆς μεταποιήσεως· ἀλλ' ὥσπερ
φ. 344. εἴ τις πυγμαῖος ὢν Ἡρακλῆς εἶναι βούλοιτο, κἂν πρὸς ἐκεῖνον

1. γρ. ἀπένειμαν. 2. χ. εἰσίει. 3. χ. ἐξίει. 4. χ. ὅσην. 5. χ. ναυπλ
6. χ. γῆς. 7. γρ. προσαρμόζον.

τὸν ἐθελήσειε μετασχηματίσασθαι, ἐλέγχεται μᾶλλον τῷ σχή-
τι, περιτρεπόμενος μὲν τῇ λεοντῇ, τῷ δὲ ῥοπάλῳ καταπονού-
νος, οὕτω δὴ κἀκείνῳ πάντα εἰς τοὐναντίον περιΐστατο.

Τὸ μὲν εἰς πατέρα γένος αὐτῷ τοιοῦτον· εἰ δέ τις αὐτὸν καὶ
τρόθεν γενεαλογεῖν [1] βούλοιτο, εἶτα ὑπερβαίη τὸν θεῖον, οὐ πάνυ
τοῦ πατρικοῦ διαστήσειε γένους· ἀλλὰ τοιοῦτος μὲν ἀφ' ὧν
γένοιτο. Αὐτὸς δὲ ὅσα μὲν ἐς φρόνημα φέρει, κατάστασίν τε τὴν
ίστην καὶ τάξιν, ἢ τήν γε ἐν σχήματι, πόρρω ποι τῆς πρὸς τοὺς
ννήτορας ἀπῆν ὁμοιότητος· δεινός δὲ εἴπέρ τις ἀνθρώπων πῦρ μὲν
τὸ σποδιᾷ κρύψαι, γνώμην φημὶ πονηρὰν ὑπ' εὐνοίας προσχήματι,
τοπά τε ἐνθυμηθῆναί τε καὶ βουλεύσασθαι, ἀγνωμονέστατός τε
ρὸς εὐεργέτας καὶ μηδενὶ χάριν εἰδὼς, μήτε φιλίας, μήτε τῆς
ερὶ ἐκεῖνον ἐπιμελείας καὶ θεραπείας· ἀλλ' ἐδύνατο δὴ ταῦτα
άντα συγκαλύψαι ἡ ἐκείνου προσποίησις. Ἐπειδὴ γὰρ εἰς τὴν τοῦ
αίσαρος τύχην ἀνεληλύθει, οὐ βραχὺν ἐνέμεινε χρόνον, καὶ τὸ σχῆμα
ῆς βασιλείας ἑαυτῷ, καὶ τοῦτο [2] λεληθὼς, εἰδωλοποιῶν, καὶ οἷον
τροχαράττων ὅπερ ὕστερον ἐγνώκει ποιήσασθαι, παντὸς μὲν τοῦ
γένους κατέτρεχεν, ἀνελεῖν δὲ ξύμπαντας τοὺς αὐτῷ χαρισαμένους
καὶ συναραμένους τοῦ ἀξιώματος ἐβούλετο· ἐλύττα κατὰ τῆς βασι-
λίδος, τῶν θείων τοὺς μὲν ἀνῄρει, τοὺς δὲ ὑπερώριζε, καὶ ταῦτα
πλάττων ἐν τῇ ψυχῇ ἔτι μᾶλλον τὸ σχῆμα τῆς πρὸς ἐκείνους εὐ-
νοίας ἐπλάττετο. Πρὸς γὰρ τὸν ἐκτομίαν Ἰωάννην, ᾧ δὴ καὶ
μᾶλλον ὑπεκάθητο καὶ ἀπορρήτως ἐπεβουλεύετο, δεινοτέραν μᾶλ-
λον τὴν προσποίησιν κατεσκεύαζεν, ἐκ τοῦ ἐλάττονος προσφερόμενος
καὶ δεσπότην ἀνακαλῶν, καὶ ἐπ' ἐκείνῳ τὰς ἐλπίδας τῆς ζωῆς καὶ
τῆς σωτηρίας τιθέμενος.

Ἀλλὰ τοὺς μὲν ἄλλους ἡ τοῦ καίσαρος τέχνη ἐλάνθανε, καὶ τὸ
ἐμψυχῇ κεκρυμμένον ἀπόρρητον ἦν· ὁ δέ γε Ἰωάννης δεινότερος
ἦν τὴν ἀναθεώρησιν ἢ ὁ καῖσαρ τὴν προσποίησιν, καὶ τὸ πᾶν

1. χ. γεναλογεῖν. 2. χ. τὰ τὸ.

ἑτοιμότερον ἀποκρίνεται· « καὶ τίς γάρ, φησὶν, ἡ τούτου πρόνοια; πῶς δὲ καὶ τὰς τῶν πολλῶν γλώττας ἐπίσχωμεν; εἰπεῖν δὲ καὶ τὰς περὶ τὸ τυραννεῖν προθυμίας. »

Περὶ τῆς τοῦ Μιχαὴλ παρὰ τῆς Αὐγούστης υἱοθεσίας, καὶ περὶ τῆς τοῦ Καίσαρος ἀξιώσεως.

« Ῥᾴστη, φησὶν ὁ Ἰωάννης, καὶ ἑτοιμοτάτη· εἰ μὲν γὰρ μὴ ὁ ἀδελφὸς ἡμῶν ἐτεθνήκει, ἐκείνῳ ἂν τὴν δευτέραν ἀρχὴν ἐμνηστεύσω τοῦ Καίσαρος· ἐπεὶ δὲ τοῦτον ὑπεξῆλθεν ὁ θάνατος, ὁ τῆς ἀδελφῆς ἡμῶν παῖς Μιχαὴλ, ὃς δή σοι τῶν σωματοφυλάκων τὰ πρῶτα
φ. 343. πεπίστευται, | ἀξιούσθω τοῦ σχήματος, λατρεύων ἔτι μᾶλλον ἢ πρότερον, καὶ μέχρις ὀνόματος τὴν τύχην ἐπιμετρούμενος, τὰ δ' ἄλλά σοι ἐν ἀργυρωνήτου προσιὼν μέρει καὶ τὴν ἐσχάτην τάξιν πραττόμενος. » Πείθει τοιγαροῦν οὕτω πιθανῶς ἐπιχειρήσας τὸν ἀδελφὸν, καὶ ἐπειδὴ εἰς ταὐτὸν συνῆσαν τῷ βουλήματι, δευτέραν περὶ τοῦ τρόπου βουλὴν διασκέπτονται· εἰσηγεῖται δὲ καὶ ταύτην ὁ Ἰωάννης, καὶ « οἶσθα, φησὶν, ὦ βασιλεῦ, ὅτι κατὰ κλῆρον ἡ βασιλεία τῇ βασιλίδι προῆκται, καὶ τὸ σύμπαν εὐνοϊκώτερον πρὸς αὐτὴν ἔσχηκεν, ἅτε γυναῖκα καὶ κληρονόμον τοῦ κράτους, καὶ τῇ ἀφειδείᾳ τῶν δώρων τὰς τῶν πάντων ὑποποιησαμένην ψυχάς· μητέρα γοῦν αὐτὴν τῷ ἀνεψιῷ ἀναπλάσωμεν, ἐκ χρηστοτέρου τρόπου τὴν πρὸς αὐτὸν σχέσιν λαβοῦσαν, κἀκείνην προάξωμεν ὁμοῦ τε υἱοθετοῦσαν τὸν Μιχαὴλ καὶ εἰς τὸ Καίσαρος ἀνάγουσαν ἀξίωμά τε καὶ ὄνομα· ἀπειθήσει δὲ ἡμῖν οὐδαμῶς, εὔκολός τε οὖσα ταῖς γνώμαις, καὶ μὴ δ' ὁτιοῦν ἀντειπεῖν ἔχουσα. » Ἐπαινεῖ ταῦτα ὁ αὐτοκράτωρ· καὶ τοὺς περὶ τοῦ σκέμματος λόγους τῇ βασιλίδι προσενεγκόντες ῥᾴστά τε πείθουσι, καὶ πρὸς τὸ τοῦ σκοποῦ τέλος εὐθὺς τὸν νοῦν ἀπερείδουσι. Δημοτελῆ γοῦν ἑορτὴν προκηρύξαντες καὶ τοὺς ἐν τέλει ξύμπαντας εἰς τὸν ἐν Βλαχέρναις συνηθροικότες ναὸν, ἐπειδὴ πλήρης ὁ θεῖος σηκὸς, ἅμα τῷ πεπλασμένῳ υἱῷ τὴν

μητέρα καὶ βασιλίδα ἐξαγαγόντες πληροῦσι τὸ σπουδάζον· ἡ μὲν γὰρ ἀπὸ τῶν τοῦ θείου προθύρων βήματος εἰς υἱοῦ τάξιν ἀναλαμβάνει, ὁ δὲ αὐτοκράτωρ ὡς υἱὸν βασιλίδος τιμῶν τε καὶ σεβαζόμενος εἰς τὴν τοῦ Καίσαρος ἀξίαν ἀναβιβάζει· καὶ ἐπεφήμησαν [1] οἱ συνειλεγμένοι. Εἶτα δὴ καὶ τελεῖται ἐπὶ τῷ Καίσαρι ὁπόσα δὴ ἐπὶ τούτῳ τῷ σχήματι λέγεσθαί τε καὶ πράττεσθαι εἴωθεν. Καὶ ὁ σύλλογος διαλύεται. Καὶ ὁ Ἰωάννης ὡς τὸ πᾶν ἠνυκὼς καὶ τὸ κράτος εἰς τὸ γένος περιαγαγών, οὐκ εἶχεν ὅπως τῷ πλήθει χρήσαιτο τῆς χαρᾶς. Ἦν δὲ ἄρα τὸ γεγονὸς ἀρχὴ μεγάλων ἐσομένων κακῶν, καὶ ὁ δόξας θεμέλιος περιτροπὴ ξύμπαντος αὐτοῖς ἐγεγόνει τοῦ γένους, δηλώσει δὲ ὁ λόγος μετὰ ταῦτα. Οἱ μὲν οὖν περὶ τὸν αὐτοκράτορα οὕτω τὸ πρᾶγμα κατασκευάσαντες, καὶ τοῦτον δὴ τὸν νέον καίσαρα ἀγχίθυρον τῇ βασιλείᾳ στήσαντες, ὡς εὐθὺς τὸ κράτος διαδεξόμενον τοῦ κρατοῦντος τῷ κρατήσαντι πάθει καταναλωθέντος, ὡς τὸ ξύμπαν ἑαυτοῖς προδιοικησάμενοι, οὐκέτι περὶ τῆς διαμονῆς τοῦ κράτους ἐφρόντιζον· ὁ δέ γε αὐτοκράτωρ, οὐκ οἶδ' εἴτε μετάμελος εὐθὺς ἐγεγόνει περὶ τῶν πεπραγμένων, εἴτε ἄλλως πως περὶ τὸν ἀνεψιὸν διετίθετο, οὔτε ὡς καίσαρι προσεῖχεν, οὔτε παρὰ τοὺς πολλοὺς εἶχεν, ἀλλ' οὐδὲ τὴν νενομισμένην ἀπεδίδου τιμήν, ἀλλὰ μέχρι τῶν παρασήμων ἐτήρει τοῦ ἀξιώματος. Ἐγὼ γοῦν αὐτὸν ἐθεασάμην ἐν τοῖς βασιλικοῖς ἀξιώμασι πόρρωθεν μὲν ἑστηκότα [2], ὅπως ἂν περὶ ἐκείνου χρηστόν τι τῷ βασιλεῖ προσενέγκαιεν· ἀλλ' οὐδὲ τραπέζης οὗτος ἐκοινώνει τῷ αὐτοκράτορι, εἰ μὴ ὅσον ἐν ταῖς καιναῖς διαστάσεσι [3] τὸν τοῦ καίσαρος τόπον ἀναπληρῶν· εἰ δὲ πού τις καὶ σκηνὴ τούτῳ παραπεπήγει [4] δορυφόρους τε ἔχουσα καὶ εἴδωλόν τι τοῦ καίσαρος ἀποσώζουσα, λανθάνουσά τε ἦν καὶ παρὰ τὴν τοῦ αὐτοκράτορος ἀδελφὴν [5] τὴν προσποίησιν ἔχουσα. Ἐκεῖνοι γὰρ, ἐπειδὴ περὶ τῇ τοῦ ἀδελφοῦ ζωῇ ἔδεισαν

1. γρ. ἐπεφήμισαν. 2. χ. ἑστηκότων. 3. γρ. κοιναῖς διεστιάσεσι. 4. χ. παραπεπήγη. 5. γρ. τὴν τῶν τοῦ αὐτ. ἀδελφῶν.

καὶ περὶ τὸν ἀδελφιδοῦν τὰς ἐλπίδας ἀνήρτησαν, καὶ περιέποντες ἢ ὑποτρέχοντες θεραπείαν τε ἐκείνῳ βασιλικὴν κατεσκεύαζον καὶ τἆλλα ἐποίουν ὁπόσα δὴ τὴν τοῦ μέλλοντος ἑαυτοῖς εἶχεν οἰκονομίαν καὶ προδιοίκησιν· ὅθεν καὶ τὰς διατριβὰς τούτῳ οὐκ ἐν τῇ Κωνσταντίνου ἀπένειμεν [1], ἀλλ' αὐτοῦ που πρὸ τῆς πόλεως διατάξαντες, τῷ μὲν δοκεῖν ὡς ἐπὶ σχήματι τῆς μεγίστης τιμῆς τοῦτο συνεννοήκασι, τῇ δὲ ἀληθείᾳ ὑπερορία τις ἦν τὸ πρᾶγμα ἐπίδοξος· οὐ γὰρ ὁπότε βούλοιτο, ἀλλὰ κατὰ κελεύσματά τε εἰσήει [2], καὶ αὖθις ἐξήει [3], οὐδ' ὅσον [4] ἐν ὀνείρασι τοῦ θείου καταπολαύων.

Ὁ δὲ ἀνὴρ οὗτος, ἵνα καὶ τούτου λόγον ποιήσωμαι, τὸ μὲν πατρῷον γένος ἀδοξότατος πάντη καὶ ἀφανέστατος καθειστήκει· ἦν γὰρ οἱ ὁ πατὴρ ἐκ πανερήμου τινὸς ἀγροῦ ἢ τινὸς ἄλλης ἐσχατιᾶς ὡρμημένος, γῆν μὲν οὔτε σπείρων, οὔτε φυτεύων, ἐπεὶ μηδὲ τῆς βραχυτάτης εὐπόρει, ἀλλ' οὐδὲ βουκολίῳ ἑπόμενος ἢ ποιμνίοις ἐπιστατῶν, ἢ ἀγελαιοκομῶν, οὐδ' ἄλλον τινὰ βίον ἔχων ἢ ἐπιδεικνύς· ἐπὶ δὲ τὴν θάλατταν τρέψας τὸν νοῦν οὐχ ὥστε ἐμπορεύεσθαι ἢ ναυτίλλεσθαι, ἢ ἐπὶ μισθῷ ἄγειν τοὺς ἀναγομένους ἢ καταπλέοντας· ἀλλ' ἐπειδὴ τῆς γῆς ἀπεγνώκει καὶ πρὸς τὴν θάλασσαν ἐνενεύκει, χρῆμά τι μέγα τῇ ναυτιλίᾳ [5] ὁ ἄνθρωπος ἦν, οὐ δρυοτομῶν, οὐδ' ἀποξέων ἐκεῖθεν τὰ ναυπηγήσιμα ξύλα, οὐδ' ἁρμόττων ταῦτα καὶ συμπηγνύμενος, ἀλλ' ἐπειδὴ συμπήξαιεν ἕτεροι, αὐτὸς εὖ μάλα τὰ συμπεπηγμένα τῇ πίσσῃ διέχριε, καὶ οὐκ ἂν ἄλλως ἄρτι συμπηγνυμένη ναῦς κατήχθη πρὸς θάλασσαν, εἰ μὴ ἐκεῖνος διὰ τῆς τέχνης ἐχειροτόνησεν αὐτῇ τὸ ἐνδόσιμον. Εἶδον τοῦτον κἀγὼ ἤδη μεταπεπλασμένον καὶ τῆς τύχης γινόμενον παίγνιον, καὶ ἦν αὐτῷ οὐδέν τι τῶν ἐπὶ τῆς [6] σκηνῆς προσαρμόζων [7] ἢ συγκολλῶν, οὐχ ὁ ἵππος, οὐχ ἡ ἐσθής, οὐκ ἄλλο τι τῶν τῆς μεταποιήσεως· ἀλλ' ὥσπερ ἂν
φ. 344. εἴ τις πυγμαῖος ὢν Ἡρακλῆς εἶναι βούλοιτο, κἂν πρὸς ἐκεῖνον |

1. γρ. ἀπένειμαν. 2. χ. εἰσίει. 3. χ. ἐξίει. 4. χ. ὅσην. 5. χ. ναυπλία. 6. χ. γῆς. 7. γρ. προσαρμόζον.

ἑαυτὸν ἐθελήσειε μετασχηματίσασθαι, ἐλέγχεται μᾶλλον τῷ σχήματι, περιτρεπόμενος μὲν τῇ λεοντῇ, τῷ δὲ ῥοπάλῳ καταπονούμενος, οὕτω δὴ κἀκείνῳ πάντα εἰς τοὐναντίον περιίστατο.

Τὸ μὲν εἰς πατέρα γένος αὐτῷ τοιοῦτον· εἰ δέ τις αὐτὸν καὶ μητρόθεν γενεαλογεῖν [1] βούλοιτο, εἶτα ὑπερβαίη τὸν θεῖον, οὐ πάνυ τι τοῦ πατρικοῦ διαστήσειε γένους· ἀλλὰ τοιοῦτος μὲν ἀφ' ὧν γεγένοιτο. Αὐτὸς δὲ ὅσα μὲν ἐς φρόνημα φέρει, κατάστασίν τε τὴν ἀρίστην καὶ τάξιν, ἥ τήν γε ἐν σχήματι, πόρρω ποι τῆς πρὸς τοὺς γεννήτορας ἀπῆν ὁμοιότητος· δεινός δὲ εἴπερ τις ἀνθρώπων πῦρ μὲν ὑπὸ σποδιᾷ κρύψαι, γνώμην φημὶ πονηρὰν ὑπ' εὐνοίας προσχήματι, ἄτοπά τε ἐνθυμηθῆναί τε καὶ βουλεύσασθαι, ἀγνωμονέστατός τε πρὸς εὐεργέτας καὶ μηδενὶ χάριν εἰδὼς, μήτε φιλίας, μήτε τῆς περὶ ἐκεῖνον ἐπιμελείας καὶ θεραπείας· ἀλλ' ἐδύνατο δὴ ταῦτα πάντα συγκαλύψαι ἡ ἐκείνου προσποίησις. Ἐπειδὴ γὰρ εἰς τὴν τοῦ καίσαρος τύχην ἀνεληλύθει, οὐ βραχὺν ἐνέμεινε χρόνον, καὶ τὸ σχῆμα τῆς βασιλείας ἑαυτῷ, καὶ τοῦτο [2] λεληθὼς, εἰδωλοποιῶν, καὶ οἷον προχαράττων ὅπερ ὕστερον ἐγνώκει ποιήσασθαι, παντὸς μὲν τοῦ γένους κατέτρεχεν, ἀνελεῖν δὲ ξύμπαντας τοὺς αὐτῷ χαρισαμένους καὶ συναραμένους τοῦ ἀξιώματος ἐβούλετο· ἐλύττα κατὰ τῆς βασιλίδος, τῶν θείων τοὺς μὲν ἀνῄρει, τοὺς δὲ ὑπερώριζε, καὶ ταῦτα πλάττων ἐν τῇ ψυχῇ ἔτι μᾶλλον τὸ σχῆμα τῆς πρὸς ἐκείνους εὐνοίας ἐπλάττετο. Πρὸς γὰρ τὸν ἐκτομίαν Ἰωάννην, ᾧ δὴ καὶ μᾶλλον ὑπεκάθητο καὶ ἀπορρήτως ἐπεβουλεύετο, δεινοτέραν μᾶλλον τὴν προσποίησιν κατεσκεύαζεν, ἐκ τοῦ ἐλάττονος προσφερόμενος καὶ δεσπότην ἀνακαλῶν, καὶ ἐπ' ἐκείνῳ τὰς ἐλπίδας τῆς ζωῆς καὶ τῆς σωτηρίας τιθέμενος.

Ἀλλὰ τοὺς μὲν ἄλλους ἡ τοῦ καίσαρος τέχνη ἐλάνθανε, καὶ τὸ ἐμψυχῇ κεκρυμμένον ἀπόρρητον ἦν· ὁ δέ γε Ἰωάννης δεινότερος ἦν τὴν ἀναθεώρησιν ἢ ὁ καῖσαρ τὴν προσποίησιν, καὶ τὸ πᾶν

1. χ. γεναλογεῖν. 2. χ. τὰ τὸ.

ὑποπτεύσας μεταθέσθαι μὲν εὐθὺς τὸ περὶ ἐκεῖνον σκέμμα οὐκ ἐδοκίμαζεν, εἰς καιροὺς δὲ τὸ ἔργον ἐταμιεύετο· ἐλελήθει δὲ τοῦτο οὐδὲ τὸν καίσαρα. Ὅθεν ἀντεκάθηντο [1] μὲν ἀλλήλοις, ἐν ἀπορρήτοις ἕκαστος τὴν ἐπιβουλὴν ἔχοντες, ἀντεσχηματίζοντο δὲ τὰς εὐνοίας· καὶ ἑκάτερος μὲν λανθάνειν τὸν ἕτερον ᾤοντο, οὐδ' ἕτερος δὲ τῶν ἑτέρου σκεμμάτων ἀμαθέστατος ἦν· πλὴν ἐαλώκει μὴ πάνυ τῇ δεινότητι εἰς τέλος ὁ Ἰωάννης χρησάμενος· τὸν γὰρ καιρὸν ὑπερτιθέμενος τῆς περὶ τὸν καίσαρα μεταβολῆς τε καὶ μεταθέσεως, εἰς αὐτὴ [2] δὲ τὸ κεφάλαιον τῶν οἰκείων ἀπέτισε [3] συμφορῶν, ὡς ὕστερον ὁ λόγος δηλώσει. Ἐγὼ δὲ εἰωθὼς εἰς τὴν τοῦ θείου πρόνοιαν τὰς περὶ τῶν μειζόνων διοικήσεις ἀναγαγεῖν [4], ἢ μᾶλλον καὶ ταῦλλα ἐκείνης ἐξαρτῶν, ὁπόσα μὴ παρατραπείσης ἡμῖν τῆς κατὰ φύσιν ἕξεως γίνεται, καὶ κρείττονος καὶ τοῦτο ἡγοῦμαι προνοίας καὶ διοικήσεως, τὸ μὴ εἰς ἄλλον τινα τῶν τοῦ γένους τὴν τῆς βασιλείας διαδοχὴν πεσεῖν, ἀλλ' εἰς αὐτὸν τὸν καίσαρα δι' οὗ ἤδει τὸ θεῖον τὸ ξύμπαν αὐτοῖς γένος ἀφανισθήσεσθαι· καὶ ταῦτα μὲν μετὰ ταῦτα.

Ὁ δέ γε αὐτοκράτωρ καὶ προδήλως ἤδη τὸν τοῦ σώματος ὄγκον ἐξώγκωτο καὶ ὑδερίων [5] παντάπασι κατάδηλος ἦν· ὅθεν ἄλλα τε ἀποτρόπαια τοῦ νοσήματος ἐποιήσατο, ἱλασμοῖς χρησάμενος καὶ καθάρσεσι, καὶ δὴ καὶ ναὸν τοῖς Ἀναργύροις αὐτοῦ που πρὸ τῶν τειχῶν τοῦ ἄστεως πρὸς ταῖς ἀνατολαῖς τοῦ ἡλίου λαμπρὸν ἐδμήσατο, οὐ πᾶσαν κρηπίδα καταβαλλόμενος, ἀλλὰ μείζονα θεμελίοις περιβαλλόμενος. Ἦν γάρ τις ἐκεῖσε σηκὸς λαμπρότητα μὲν οὐδεμίαν ἔχων, οὐδ' ἐπίσημος τῇ κατασκευῇ· τοῦτον ἐκεῖνος εἰς κάλλιον μεταθέμενος σχῆμα, καὶ περιβολὰς ἔξωθεν ποιησάμενος, τείχεσί τε περιβαλὼν καὶ οἰκοδομημάτων ἀπολαμπρύνας κατασκευαῖς, ἀσκητήριον θεῖον ἀπέδειξε, πᾶσαν σχεδὸν τὴν τῶν προλαβόντων βασι-

1. χ. ἐντεκάθηντο. 2. γρ. αὐτὸν. 3. χ. ἀπαίτησε. 4. χ. ἀναγάγειν. 5. γρ. ὑδεριῶν.

λέων περὶ τὰς τῶν ἱερῶν ναῶν δομήσεις ἀποκρύψας χεῖρα καὶ δύναμιν· ἀναλογίαν τε γὰρ τοῖς βάθεσι πρὸς τὰ ὕψη συνήρμοσε καὶ κάλλος ἁρμήχανον τῇ ἁρμονίᾳ τῶν οἰκοδομημάτων προσέπλασε, λίθων τε τοὺς ἐπισημοτάτους τοίχοις τε προσήρμοσε καὶ ἐδάφεσι, χρυσῇ τε ψηφῖδι τὸν ὅλον νεὼν κατηγλάϊσε καὶ γραφικῇ τέχνῃ, εἰκόσιν ἐμψύχοις εἴποι τις ἂν ὅπη παρείκοι τὸ ἱερὸν κατεκόσμησεν· ἔτι τε λουτρῶν χάριτας καὶ ἀφθονίαν ὑδάτων καὶ λειμώνων εὐπρέπειαν, καὶ ὁπόσα ἄλλα τέρπειν οἶδε τὸν ὀφθαλμὸν καὶ πᾶσαν αἴσθησιν πρὸς τὸ οἰκεῖον κινεῖν αἰσθητὸν τούτῳ δὴ τῷ ναῷ συνῆψε, καὶ συνεκέρασεν ἵν' οὕτως εἴπω.

Ἐποίει δὲ ταῦτα, τοῦτο μὲν καὶ τιμὴν ἀπονέμων [1] τῷ θείῳ, τοῦτο δὲ καὶ ἐξιλεούμενος τοὺς ἐκείνου θεράποντας, ἵν' εἴ πως ἐξῳδηκὸς αὐτοῦ τὸ σπλάγχνον ἰάσωνται· ἀλλ' ἦγε πλέον οὐδὲν, τοῦ μέτρου τῆς ζωῆς αὐτῷ πληρωθέντος καὶ διαλυομένης αὐτῷ τῆς συνθέσεως· ὅθεν ἐπειδὴ ταύτης τῆς ἐλπίδος ἀπεγνώκει παντάπασι, τὸ μέλλον ἑαυτῷ προδιώκει κριτήριον, καὶ καθαρῶς ἐντεῦθεν τῶν προσπλασθέντων τῇ ψυχῇ μολυσμάτων ἀπαλλαγήσεσθαι ἐβουλεύετο. Φασὶ γοῦν τινες τῶν μὴ πάνυ πρὸς τὸ ἐκείνου γένος εὐμενῶς ἐχόντων, ἀλλ' ἐκ διαθέσεως ποιουμένων τὰς κρίσεις, ὅτι πρὶν ἢ τοῦ σκήπτρου τοῦτον ἐπιλαβέσθαι, ἀπόρρητοί τινες τελεταὶ πρὸς τοῦτο ἐνῆγον, καὶ ὄψεις τῶν περὶ τὸν ἀέρα πνευμάτων λανθάνουσαι τὸ κράτος αὐτῷ ἐπηγγέλλοντο, | καὶ μισθὸν αὐτῶν [2] ἀπῃτήκασι τοῦ θείου τὴν ἄρνησιν· τοῦτο γοῦν αὐτὸν στροφοῦσθαί [3] φασι καὶ διακυμαίνειν καὶ πρὸς τοὺς τοιούτους κινεῖν ἐξιλασμούς· εἰ μὲν οὖν ἀληθὴς ὁ λόγος, εἴδειεν ἂν οἱ ἐκείνῳ συντετελεκότες καὶ τὰς ὄψεις παρασκιάσαντες [4], εἰ δὲ ψευδὴς, ὁ ἐμὸς αὖθις νικήσῃ σκοπός. Ἐγὼ γὰρ εἰδὼς, ὅτι τὸ λογοποιεῖν τοῖς ἀνθρώποις σύνηθες, οὐ ταχὺ ταῖς διαβολαῖς συμφέρομαι τῶν πολλῶν, ἀλλὰ βασάνοις διδοὺς τὰ λεγόμενα, ἐκεῖθεν ἐμαυτῷ πιστοῦμαι τὰ πράγματα. p. 345.

1. χ. ἀπονέμω. 2. χ. αὐτὸν. 3. χ. στροφούς τε. 4. γρ. παρασκευάσαντες.

Οἶδα δὲ καὶ τὸν ἄνδρα εὐσέβειαν πᾶσαν μετὰ τὴν βασιλείαν ἐπιδειξάμενον, καὶ οὐ θείοις ναοῖς μόνον προσκείμενον, ἀλλὰ καὶ φιλοσόφοις ἀνδράσι προσανακείμενον καὶ ὑπερφυῶς θεραπεύοντα· φιλοσόφους δὲ φημὶ οὐ τοὺς τὰς οὐσίας τῶν ὄντων διερευνησαμένους, οὐδὲ τὰς ἀρχὰς μὲν τοῦ κόσμου ζητήσαντας, τῶν δὲ ἀρχῶν τῆς οἰκείας σωτηρίας καταμελήσαντας, ἀλλὰ τοὺς κόσμου καταφρονήσαντας καὶ μετὰ τῶν ὑπερκοσμίων ζήσαντας. Τίς γοῦν ἐκείνων [1] τῶν οὕτω βεβιωκότων διέλαθε; ποίαν δὲ οὐ διερευνήσατο γῆν τε καὶ θάλασσαν, πετρῶν τε ῥωγάδας καὶ γῆς ἀποκρύφους ὀπὰς, ἵνα τι [2] τῶν ἐν τούτοις συγκεκαλυμμένων ἐκφήνειεν; εὐρηκὼς δὲ καὶ πρὸς τὰ βασίλεια μετενεγκὼν, ποίαν τούτοις οὐ προσῆγε τιμὴν, ἀπορρύπτων [3] μὲν αὐτῶν τὼ πόδε κεκονιαμένω, ἔπειτα δὲ καὶ περιφὺς [4] καὶ ἡδέως κατασπαζόμενος, ῥάκεσί τε τοῖς ἐκείνων ἐν ἀπορρήτῳ συγκαλυπτόμενος, κἀκείνους μὲν ἐπὶ τῆς βασιλικῆς ἀνακλίνων στιβάδος, ἑαυτὸν δὲ ἐπί τινος χαμαιζήλου [5] καταρρίπτων στρωμνῆς, ἀδρῷ τινι λίθῳ τὴν κεφαλὴν ἀνεχούσης; ὅς γε καὶ ἄλλο τι τῶν θαυμαζομένων ἐποίει· λέγω δὲ οὐκ ἐγκωμιάσαι βουλόμενος, ἀλλ' ἱστορῆσαι τὰ πεπραγμένα.

Ἐπειδὴ γὰρ οἱ πολλοὶ διαφεύγειν εἰώθασι τὰς συνδιατριβὰς τῶν διαλελωβημένων τὰ σώματα, οὗτος μεγαλειότερόν τι ἐποίει πρὸς ἐκείνους φοιτῶν, καὶ τοῖς τῶν σωμάτων ἕλκεσι τὸ ἑαυτῷ ἐπιτιθεὶς πρόσωπον, εἶτα δὴ καὶ ἀγκαλιζόμενος καὶ περιπτυσσόμενος, λουτροῖς τε θεραπεύων, καὶ ὡς δεσπόταις ἐν ἀργυρωνήτου τάξει παρεστηκώς. Ἐμπεφράχθω γοῦν τοῖς παμπονήροις τὰ στόματα καὶ ἐξηρήσθω τῶν διαβολῶν ἐκεῖνος ὁ αὐτοκράτωρ. Καὶ ταῦτα μὲν παρεκβατικώτερον εἴρηται.

Ὁ δ' οὖν αὐτοκράτωρ ἑαυτῷ τὸ θεῖον ἐξιλεούμενος πᾶσαν ἐκίνει πρὸς τοῦτο καὶ πρᾶξιν θεοφιλῆ καὶ ψυχῶν ἱερῶν συντέλειαν·

1. γρ. ἐκεῖνον. 2. γρ. τινὰ. 3. χ. ἀπορύπτων. 4. γρ. περιχυθεὶς. 5. χ. χαμεζήλου.

ἀμέλει οὐκ ἐλάχιστον μέρος τῶν βασιλικῶν θησαυρῶν εἰς πᾶσαν ἐδωρήσατο[1] ἤπειρον, τὰ μὲν μοναστῶν, τὰ δὲ καὶ μοναζουσῶν καταγώγια· εἶτα δὲ καὶ πρυτανεῖον νέον ἐπῳκοδόμησε Πτωχοτροφεῖον τοῦτο ἐπονομάσας, καὶ χρυσοῦ ῥεῦμα ἐντεῦθεν πολὺ τοῖς ἀσκεῖν προαιρουμένοις ἀφῆκεν. Εἶτα ἄλλο ἐπ' ἄλλῳ ἐπινοῶν καί τι τοιοῦτον πρὸς σωτηρίαν τῶν ἀπολλυμένων ψυχῶν ἐπενόησεν· ἐπειδὴ γὰρ πολύ τι κατὰ τὴν πόλιν πλῆθος τῶν ἑταιριζουσῶν ἐπικέχυται γυναικῶν, ἀποτρέπειν μὲν λόγῳ οὐκ ἐδοκίμασε (λασιόκωφον γὰρ δὴ τοῦτο γένος πρὸς σωτηριώδη παραίνεσιν), ἀλλ' οὐδ' ἔργῳ ἐπεχείρησεν ἐπισχεῖν, ἵνα μὴ δόξῃ βίαιόν τι ποιεῖν· ἀσκητήριον δὲ ἐν αὐτῇ βασιλίδι δομήσας τῶν πόλεων, μεγέθει τε μέγιστον καὶ κάλλει λαμπρότατον, οἷα δή τις μεγαλοφωνότατος κῆρυξ ταῖς πωλούσαις τὴν ὥραν τῷ δόγματι ἀνεβόησεν, εἴ τις ἐκείνων ἀποθέσθαι τὴν πρᾶξιν αἱροῖτο ἐπ' ἀφθόνοις[2] τε ζῇν, ἐκεῖσέ τε καταφεύγειν καὶ τὸ θεῖον σχῆμα μεταμφιέννυσθαι, καὶ μὴ ἐπὶ τῷ δεδιέναι τοῦ βίου ἐλλείμματι, ἄσπαρτα γὰρ αὐταῖς[3] καὶ ἀνήροτα[4] τὰ πάντα βλαστήσει. Καὶ πολὺς ἐντεῦθεν ἐσμὸς τῶν ἐπὶ τοῦ τέγους ἐκεῖθεν συνέρρευσεν, ὁμοῦ τε τὸ σχῆμα καὶ τὸν τρόπον μεταβαλοῦσαι καὶ στρατευθεῖσαι θεῷ νεολαία εἰς κατάλογον ἀρετῶν. Καὶ οὐδὲ μέχρι τούτων ἔστη, ἑαυτῷ τὴν σωτηρίαν ὁ αὐτοκράτωρ συνεργαζόμενος, ἀλλὰ καὶ τοῖς ἀνακειμένοις θεῷ καὶ ἐν ἀσκήσει καταγηράσασιν, ὡς θεοῦ ἀμέσως ὁμιληταῖς καὶ πάντα δυναμένοις, ἑαυτὸν ἐγχειρίζει· καὶ τοῖς μὲν πλάττειν ἐδίδου τὴν ἐκείνου ψυχήν, ἢ μεταπλάττειν, τοὺς δὲ καὶ λόγους ἐχεγγύους εἰσπράττεται τῆς πρὸς τὸ θεῖον ὑπὲρ τούτου ἐντεύξεως καὶ τῶν ἐκείνῳ ἡμαρτημένων ἀφέσεως· ὃ δὴ καὶ τῶν κακοηθεστέρων τὴν γλῶτταν ἐπ' ἐκεῖνον ἠκόνησε· μάλιστα δὲ τοῦτο πεποίηκεν ἡ τῶν ἐνίων μοναστῶν περὶ τοῦτο εὐλάβεια· οὐ γὰρ πάντες τὸν λόγον ἐδέξαντο, ἀλλ' οἱ πλείους τούτων ἀπεδυσπέτησαν, δεδοικότες μή τι τῶν ἀπηγορευμένων ὁ βασιλεὺς ἐργασά-

1. χ. ἠδρύσατο. 2. χ. ἀμφθόνοις. 3. χ. αὐτοῖς. 4. χ. ἀνήρωτα.

μενος, ἔπειτα τοῦτο ἐρυθριῶν ἐξειπεῖν, παρὰ τὸν[1] θεῖον λόγον καταβιάζηται. Ἀλλὰ τοῦτο μὲν οὐ μέχρι τοῦ ὑπονοεῖν ἔκειτο, τὸ δὲ φαινόμενον προθυμία τις ἦν καὶ ἔφεσις τοῦ ἐντεῦθεν ἄφεσιν τῶν ἡμαρτημένων λαβεῖν.

Πολλοὶ μὲν οὖν εὖ οἶδ' ὅτι τὸν ἐκείνου βίον εἰς χρονικὰς ἱστορίας ἀνενεγκόντες, ἄλλο τι παρὰ τὴν ἡμετέραν ἴσως γραφὴν ἀφηγήσονται· ἡ γὰρ τοῦ ἐναντίου ὑπόνοια τῆς ἀληθείας μᾶλλον ἐν τοῖς κατ' ἐκεῖνον χρόνοις ἐκράτει· ἀλλ' ἐγὼ ἑαυτοῖς παρεντυχὼν τοῖς πράγμασι, τὰ δὲ καὶ παρὰ τῶν πεπλησιακότων ἐκείνῳ μεμαθηκὼς ὁπόσα ἀπορρητοτέραν ἔχει τὴν ἱστορίαν, δίκαιός εἰμι δικαστὴς, εἰ μή μοί τις τῶν λόγων μέμφοιτο ὧν τε τεθέαμαι καὶ ὧν ἀκηκόειν· πλὴν ἀλλὰ τὰ μὲν πλείω ὧν εἰρήκειν θύραν ἴσως ἀνοίξει γλωσσαλγίας τοῖς κακοήθεσι, περὶ δὲ ὧν μέλλω ἐρεῖν οὐκ οἶδα εἴ τις τῆς ἀληθείας ἀμφισβητήσειεν. Ἀλλ' ὅσα μὲν ἐκεῖνος πρός τε τὰς ἐμφυ-
φ. 346. λίους | στάσεις καὶ τοὺς ἐθνίους πολέμους ᾠκονόμησε καὶ διήτησε μακρὸν ἂν εἴη καταλέγειν· ἐκ[2] δὲ τῶν πάντων ἐκλεξάμενος, φημὶ δὴ τὸν κατὰ τῶν βαρβάρων ἀγῶνα, κεφαλαιώδει τοῦτο ἐπιδραμοῦμαι ἐπιτομῇ.

Τὸ γὰρ δὴ γένος [τῶν Βουλγάρων] πολλοῖς πρότερον κινδύνοις καὶ μάχαις μέρος τῆς Ρωμαίων ἐπικρατείας γενόμενον, Βασιλείου ἐκείνου τοῦ ἐν αὐτοκράτορσι λάμψαντος λείαν [Μουσῶν] ὃ δὴ λέγεται τὰ ἐκείνων ποιησαμένου, καὶ τὸ μὲν κράτος ἀφελομένου, ὥσπερ δὲ παντάπασιν ἠσθενηκὸς τῇ τῶν Ρωμαίων ἰσχύϊ προσερείσαντος[3], βραχύν τινα χρόνον τὴν τοιαύτην ὑπομεμενηκὸς ἦτταν, ἐπὶ τὴν προτέραν ἀλαζονείαν παλινδρομεῖν ἐπεχείρησαν· καὶ τέως μὲν οὐκ ἐν τῷ φανερῷ ἐξέφαινε τὴν ἀποστασίαν· ἐπεὶ δέ τις τῶν ἐξ ἑτοίμου παρακινούντων τὸ ἐκείνων θράσος προσγέγονεν, ἀθρόον εἰς ἀντίπαλον ἑαυτοῖς μοῖραν κατεστήσατο.

Τὸ δὲ κινῆσαν τούτους πρὸς τὴν τοιαύτην ὑπόνοιαν[4], τέρας τι,

1. γρ. παρ' αὐτῶν. 2. γρ. ἓν. 3. χ. προσερείσας. 4. γρ. ἀπόνοιαν.

ὡς ἐκείνοις ἐδόκει, τοῦ γένους αὐτῶν ἀποφύεται· ἀνὴρ τὸ μὲν γένος οὐδ' ὅσον ἀξιοῦσθαι μνήμης, ποικίλος δὲ τὴν γνώμην, καὶ καταπανουργεύσασθαι τοὺς ὁμοφύλους δεινότατος, Δολίανος τὸ ὄνομα, οὐκ οἶδα εἴτε πατρόθεν τῆς τοιαύτης προσηγορίας κληρονομήσας, εἴθ' ἑαυτῷ τὴν κλῆσιν ἐπευφημίσας· οὗτος, ἐπειδὴ τὸ σύμπαν ἔθνος ἀποστῆναι Ρωμαίων βεβουλευμένον διέγνωκεν, ἐρημίᾳ δὲ τοῦ ἄρξαντος καὶ πρὸς τοῦτο χειραγωγήσαντος μέχρι τῶν βεβουλευμένων ἱστάμενον, πρῶτα μὲν ἀξιολογώτατον ἑαυτὸν ἀποδείκνυσι, καὶ πρὸς μὲν βουλὴν συνετώτατον, πρὸς δὲ πολεμικὴν πρᾶξιν ἐπιτηδειότατον. Ἐπεὶ δὲ ἐντεῦθεν τὰς ἐκείνων εἰλήφει γνώμας, καὶ μόνον αὐτῷ γένους ἔδει λαμπροῦ πρὸς τὴν τῆς ἡγεμονίας αἵρεσιν (ἐν ἔθει [1] γὰρ Βουλγάροις τοὺς ἐκ βασιλείου γένους εἰς ἐπιστασίαν τοῦ γένους παραλαμβάνειν), ἐπεὶ τοῦτο ἤδει πάτριόν τε καὶ νόμιμον, εἰς τὸν Σαμουὴλ ἐκεῖνον καὶ τὸν τούτου ἀδελφὸν Ἀαρὼν τοὺς πρὸ μικροῦ τοῦ παντὸς γένους ἄρξαντάς τε καὶ βασιλεύσαντας, ἑαυτὸν ἀναφέρει μόνον, οὐχὶ γνησίους γονὰς τῆς βασιλείου ὀσφύος προσμαρτυρήσας ἑαυτῷ, ἀλλ' οἷον παραβλάστημα τῆς ἐκεῖθεν ῥίζης ἢ πλάσας ἢ ἀποδείξας, πείθει τε εὐφυῶς, καὶ ἐπὶ τῆς ἀσπίδος ἄραντες τὴν ἀρχὴν αὐτῷ ἐγχειρίζουσι· κἀντεῦθεν τὰς μελετωμένας γνώμας δημοσιεύσαντες, περιγράφουσιν ἑαυτοὺς, καὶ τὸν ἐπαυχένιον ζυγὸν τῆς Ρωμαίων ἀρχῆς ἀπορρίψαντες, ἐλευθερίαν ἑαυτοῖς αὐθαίρετον ἐπιγράφουσιν, ἐντεῦθεν ἐπιδρομάς τε καὶ ληστείας [2] κατὰ τῶν Ρωμαϊκῶν χωρίων ποιούμενοι.

Εἰ μὲν οὖν εὐθὺς εἰς τὴν βασίλειον ἀρχὴν ἀναβάντι τῷ αὐτοκράτορι ἡ τοιαύτη τοῖς [3] βαρβάροις ἐτολμήθη ἀπόνοια, ἔγνωσαν ἂν οὐκ εἰς μακρὰν οἷῳ προσκεκρούκασι [4] βασιλεῖ· ἤνθει γὰρ τηνικαῦτα τὸ σῶμα ἐκείνῳ καὶ ῥωμαλέως εἶχε πρὸς τοὺς κινδύνους, καὶ οὐδὲν ἦν ἐκείνῳ πρᾶγμα εὐθύς τε τὰ ὅπλα λαβεῖν καὶ σὺν τοῖς λογάσι τῶν στρατηγῶν ἐπὶ τὴν ἐκείνων ἐληλυθέναι καὶ διδάξαι

1. χ. ἐνέθει. 2. χ. ληστίας. 3. χ. ταῖς. 4. χ. προκεκρούκασι.

μὴ ταχέως Ρωμαίων ἀφίστασθαι· ἐπεὶ δὲ φθίνοντι ἤδη καὶ ἀπεγνωσμένως τοῦ σώματος ἔχοντι, ἡ τῆς ἀποστασίας αὖ[1] ὠδὶς αὐτοῖς ἐξερράγη[2], ὁπηνίκα καὶ ἡ βραχεῖα τούτῳ ἐδυσχεραίνετο κίνησις, καὶ οὐκ ἦν εὐπετῶς τὴν περιβολὴν ἐνεγκεῖν, ἔδοξάν τι[3] ὥσπερ ἐπὶ σκηνῆς βραχύν τινα χρόνον σχηματίσασθαι τὰ τῆς τυραννίδος καὶ ἀπολαῦσαι τῆς ὁμοιώσεως, ἕως ἂν ἐκεῖνον ἡ τῆς ψυχῆς ζέσις, ὁ περὶ τὰ καλὰ ζῆλος ἀπροσδοκήτως ἐπέρρωσαν, καὶ μετάρσιον ἄραντες ἐπ' ἐκείνους ἀπήνεγκαν. Ὡς γὰρ ἠκηκόει τὸ πρᾶγμα, ἐβουλήθη μὲν εὐθὺς πρὶν ἢ τὸν λόγον τῆς ἀγγελίας πέρας λαβεῖν, πόλεμόν τε κατ' ἐκείνων ἐξενεγκέσθαι καὶ αὐτὸν τῆς ὅλης προΐστασθαι παρατάξεως· ἀντεῖχε δὲ τὸ σῶμα, καὶ ἡ νόσος εἰς τοὐναντίον ἀπῆγε τὴν γνώμην, οἵ τε τῆς πρώτης βουλῆς καὶ παντάπασιν ἀπηναντιοῦντο τοῖς ἐκείνου βουλεύμασιν, αἱ δὲ τῶν συγγενῶν παρακλήσεις οὐδ' ὅσον ἐξιέναι ἠξίουν τοῦ ἄστεως. Ὁ δὲ ἀθύμως τε εἶχε καὶ μόνον πρὸς τὸν κατὰ τῶν Βουλγάρων ἐσφάδαζε πόλεμον· δεινὸν γὰρ ἐποιεῖτο, καὶ ὥσπερ ἐκεῖνος εἰώθει λέγειν, εἰ μηδέν τι προσθείη τῇ βασιλείᾳ Ρωμαίων, μέρος τι ταύτης ἀφαιρεθείη, εὐθύνεσθαί τε καὶ παρ' ἀνθρώποις ὑπώπτευε καὶ παρὰ τῷ θεῷ, εἰ ἐπιρραθυμήσας τῷ γεγονότι ἐθελοντὴς ὥσπερ παραχωρήσοι Βουλγάροις τῆς ἀποστασίας Ρωμαίων.

Περὶ τῆς κατὰ τῶν Βουλγάρων ἐκστρατείας[4] τοῦ βασιλέως.

Τοῦτο τὸν αὐτοκράτορα ἐπιμάλιστα τῶν ἀλγεινῶν ἠνία τοῦ σώματος, καὶ ἦν ἐξ ἀντιθέτου τούτων[5] ἡ κάκωσις· τὸ μὲν γὰρ νόσημα ὤγκου τὸ σῶμα, τὸ δ' ἐπὶ τοῖς βεβηκόσιν ἀλγεῖν ἀντέσπα τε καὶ ἐξεκένου, καὶ δυσὶν ἐκεῖνος ἐναντίοις ἐπεμερίζετο πάθεσιν. Νικᾷ γοῦν πρὸ τῶν βαρβάρων τοὺς οἰκειοτάτους, καὶ τρόπαιον καὶ

1. γρ. αὖτη. 2. χ. ἐξερραγεῖς. 3. γρ. τοι. 4. χ. ἐκστρατίας. 5. γρ. τούτῳ.

κατὰ συγγενείας, καὶ κατὰ φιλίας, καὶ καθ' ἑαυτοῦ ἴστησιν· ἐνισχύει γὰρ [τὸ] τοῦ σώματος ἀσθενὲς τῇ τῆς ψυχῆς προθυμίᾳ, καὶ θεῷ ἀφεὶς ἑαυτὸν τὰ πρὸς τὸν πόλεμον ἐξαρτύεται· βουλῆς τε κατάρχει, καὶ σκοπὸν | τίθεται, καὶ πρὸς τοῦτον πάντα ποιεῖ, οὐκ φ. 347.
εὐθὺς ἀσύντακτος δραμών, ἀλλ' ἵνα μὴ καθ' ἑξῆς λέγω, ἀποχρῶσαν πρότερον τὴν τοῦ στρατοῦ παρασκευὴν ἐργασάμενος· καὶ οὐδὲ πᾶσαν τὴν στρατιὰν συγκινεῖ, οὐδὲ θαρρεῖ πλήθεσιν, ἀλλὰ τοὺς λογάδας τῶν στρατευμάτων ἐπιλεξάμενος καὶ τῶν στρατηγῶν τοὺς ἀκριβεστάτους τὴν στρατηγίαν, σὺν τούτοις ἐπὶ τοὺς Σκύθας χωρεῖ, κατὰ τάξιν τε προϊὼν καὶ διατάττων κατὰ στρατηγικοὺς λόγους [1] τὴν [2] φάλαγγα. Ἐπεὶ δὲ πρὸς τοῖς τῶν Βουλγάρων ὁρίοις ἐγένετο, ἐν καλῷ τε στρατοπεδεύεται· καὶ πρῶτον μὲν βουλευμάτων κατάρχει, εἶτα δὲ καὶ πολεμεῖν πρὸς ἐκείνους διέγνωκε, πρᾶγμα τῶν πάνυ ἀπιστουμένων, καὶ περὶ οὗ καὶ αὐτοὶ δὴ οἱ προστυχόντες ἀμφιβόλους εἶχον τὰς γνώμας· νυκτὸς γὰρ νοσοκομούμενος καὶ παρ' ἐνίους ἀναπνοαῖς ζῶν, ἐπεὶ δὲ ἡ ἡμέρα ἐπέφαινεν ἀνίστατό τε ἀθρόον ὥσπερ τινος ἐπιρρωνοῦντος [3], ἀνέβαινέ τε τὸν ἵππον καὶ τῆς ἕδρας εἴχετο καρτερῶς καὶ τῷ χαλινῷ τοῦτον ἐρρύθμιζε δεξιῶς, τὰ δὲ εἵπετο συνδέων τὰ τμήματα, καὶ θαῦμα τοῖς ὁρῶσι γενόμενος.

Περὶ τῆς τοῦ Ἀλουσιάνου πρὸς τοὺς Βουλγάρους ἀποφυγῆς.

Ἔτι δὲ τοῦ πολέμου ἀναβολὴν ἔχοντος, γίνεταί τι τῶν θαυμασιωτάτων, καὶ τοῖς ἐκείνου μικροῦ δεῖν παραπλήσιον· ὁ γάρ τοι χαριέστερος τῶν τοῦ [4] Ἀαρὼν υἱέων (οὗτος δὲ βασιλεὺς ἐγεγόνει τοῦ ἔθνους), Ἀλλουσιάνος τὴν κλῆσιν, τό τε ἦθος ἡδὺς καὶ τὴν γνώμην λαμπρὸς, καὶ τὴν τύχην ἐπίσημος, αἰτιώτατος τῆς νίκης τῷ βασιλεῖ γίνεται, οὐ τοῦτο βουλόμενος, ἀλλὰ πρὸς τοὐναντίον

1. γρ. λόχους. 2. χ. τὸν. 3. γρ. ἐπιρρωννύντος. 4. χ. τῶν τῶν.

ὁρμήσας· ἀλλ' ὁ κινήσας τοῦτον θεὸς ἐκ τῶν ἐναντίων περιποιεῖται τὴν νίκην τῷ βασιλεῖ. Οὗτος γὰρ ὁ Ἀλλουσιάνος οὐ πάνυ τι τῷ βασιλεῖ κατὰ γνώμην γενόμενος, οὔτε βουλῆς μετεῖχεν, οὔτέ τινος ἐκοινώνει λαμπρότητος, ἀλλ' ἦν αὐτῷ προστεταγμένον ἐπ' οἴκου τε μένειν, καὶ μὴ ἄλλως [1] εἰσιέναι εἰς τὸ Βυζάντιον, εἰ μὴ βασιλεὺς αὐτὸς ἐπικελεύσει τὴν εἴσοδον· ἀθύμως οὖν καὶ δυσμενῶς εἶχε τῷ πράγματι, ἀλλ' οὐκ ἦν ὅ,τι καὶ δράσειε τέως. Ἐπεὶ δὲ τὰ περὶ τοῦ ἔθνους ἐγνώκει, καὶ ὅτι ἐρημία τοῦ βασιλείου γένους τὸν νόθον καὶ πεπλασμένον ἑαυτοῖς βασιλεύειν εἵλοντο, τολμᾷ τι νεανικώτερον· καὶ κατολιγωρεῖ μὲν παίδων, στοργὴν δὲ ἀποτίθεται γυναικὸς, καὶ μηδενὶ τούτων θαρρήσας τὸ βούλευμα, ἀλλ' ὀλίγοις τισὶ τῶν [2] περὶ αὐτὸν ὅσους ἤδει ῥέκτας ἀτόπων ἔργων καὶ τολμητίας, ἐξ ἄκρας σχεδὸν ἑῴας ἐπὶ τὴν ἑσπέραν χωρῆσαι τολμᾷ, καὶ ἵνα μηδὲν γνωσθείη, μηδὲ τοῖς ἐν τῇ πόλει κατάδικος [3] γένοιτο, μεταμφιέννυσι παντάπασιν ἑαυτὸν, οὐ τὰ μὲν ἀδελφῶν [4], τὰ δ' ἀφεὶς τῷ σώματι τῆς ἀρχαίας περιβολῆς, ἀλλὰ σχηματισάμενος [5] κατὰ τὸν μισθοφόρων τρόπον τοὺς πάντων διέλαθεν ὀφθαλμούς.

Τῷ γοῦν τοῦ λόγου πατρὶ, ὡς ὕστερόν μοι εἰρήκει, δίς που καὶ τρὶς ἐπὶ τῆς μεγαλοπόλεως προσεγένετο· ἦν γάρ μοι ἐθὰς ὁ ἀνὴρ, καί με ἠσπάζετο εὐμενῶς· ἀλλ' οὐδ' ὡς ἐγνώκειν, ὥσπερ οὐδ' ἄλλος τις οἷς ἐκεῖνος πεπλησίακε. Διέδρα οὖν καὶ τὴν πολυόμματον τοῦ ὀρφανοτρόφου δύναμιν, καὶ οὐδὲ τούτῳ γέγονεν ἁλωτός· καίτοι γε ἀφανὴς ἀθρόον γενόμενος, τὰς τῶν κρατούντων γνώμας διήγειρεν. εἴ πως ἔνεστι τοῦτον εὑρεῖν τε καὶ κατασχεῖν· καὶ ἵν' οὕτως εἴποιμι, πάντας λαθὼν ὀφθαλμοὺς ἐπὶ τῆς τῶν Βουλγάρων γίνεται γῆς, καὶ οὐκ εὐθὺς ἑαυτὸν δῆλον τοῖς πολλοῖς καθιστᾷ, ἀλλ' ἐν μέρει τισὶ προσιὼν, καὶ περὶ τοῦ πατρὸς ὡς περὶ ἀλλοτρίου λόγον ποιούμενος, καὶ τὴν ἐκείνου γενεὰν αἴρων, καὶ λαμβάνων διάπει-

1. χ. ἄλλος. 2. χ. τὸν. 3. γρ. κατάδηλος. 4. γρ. ἀφελῶν. 5. χ. ἀλλ' ἀσχηματισάμενος.

ραν ὡς εἴ γέ τις τῶν ἐκείνου παίδων ἐνταυθοῖ ἐγεγόνει, πότερον ἀνθείλοντο οἱ ἀποστατήσαντες τοῦ νόθου τὸν γνήσιον, ἢ ἐπειδὴ οὗτος τῶν ὅλων προέστη ἐν καρὸς ἐκεῖνος ἐλογίσθη μοίρᾳ;

Ἐπειδὴ πάντας ἑώρα τοῦ ἀμφιβόλου τὸν ἀποδεδειγμένον προκρίνοντας, τολμᾷ πως ἐνὶ τούτων, ὃν μᾶλλον ἐγνώκει περὶ τὸ γένος θερμότερον, ἑαυτὸν μυστηριωδῶς ἀνειπεῖν· ὁ δὲ τοὺς ὀφθαλμοὺς ἐπερείσας εὐθὺς πρὸς ἐκεῖνον, ἦν γὰρ ἀκριβῶς αὐτὸν ἐπιστάμενος, καὶ τὸ εἶδος ἀναλαβών, προσπίπτει τοῖς ἐκείνου γόνασι καὶ τοὺς πόδας καταφιλεῖ, ἔπειτά τι καὶ κρύφιον ἀπαιτεῖ γνώρισμα, ἵνα παντάπασιν ἀνενδοίαστος μένῃ· τὸ δὲ ἦν χρῶμά τι μέλαν τοῦ δεξιοῦ καταχυμένον[1] ἀγκῶνος τριχὶ δασείᾳ ἐξηνθηκός· ὡς δὲ καὶ τοῦτο εἶδεν, ἔτι μᾶλλον προσφὺς τὸν τράχηλόν τε τούτου καὶ τὸ στῆθος καταφιλεῖ, καὶ δεξιῶς ἄμφω τὸ ἔργον μεταχειρίζονται· ἑκάστοις γοῦν προσιόντες ἐν μέρει τὴν φήμην ἐπηύξησαν, καὶ πρὸς τὸ γνήσιον οἱ πλεῖστοι σπέρμα τὰς γνώμας μετέθεσαν. Γέγονεν οὖν ὡσανεὶ πολυαρχία ἡ μοναρχία, τῶν μὲν τοῦτον, τῶν δὲ ἐκεῖνον αἱρουμένων· εἶτα δὴ καὶ πρὸς ἀλλήλους σπένδονται, καὶ τοὺς ἡγεμόνας ἀλλήλοις καταλλάττουσι, κἀντεῦθεν ὁμοδιαιτώμενοι ἴστησιν, ἀλλήλοιν δὲ διελεγέσθην, πλὴν ἄτερος τὸν ἄλλον ὑπώπτευεν.

Ἀλλὰ φθάνει τὴν τοῦ Δολιάνου ὁ Ἀλουσιάνος ἐπιβουλήν, καὶ συλλαβὼν ἀθρόον τῆς τε ῥινὸς καὶ τῶν ὀφθαλμῶν ἀφαιρεῖται, μαγαρικῇ σφραγίδι ἄμφω συνεζελών, καὶ περιΐσταται τὸ Σκυθικὸν εἰς μίαν αὖθις ἀρχήν· καὶ ὁ Ἀλουσιάνος οὐκ εὐθὺς τῷ βασιλεῖ προσχωρεῖ, ἀλλὰ τὰς δυνάμεις λαβὼν κατ' ἐκείνου χωρεῖ, καὶ προσβαλὼν ἡττᾶται, καὶ φυγὼν σώζεται· εἶτα δὴ γνοὺς ὡς οὐκ ἂν ἐκ τοῦ ῥᾴστου τῷ βασιλεῖ Ρωμαίων ἀντιπαρατάξαιτο, μνήμην καὶ τῶν φιλτάτων λαβών, δι' ἀπορρήτων γνωρίζει τῷ βασιλεῖ, ὡς εἴ γε καὶ εὐμενείας τύχοι καὶ τῆς ἄλλης λαμπρότητος, ἑαυτόν τε ἐκείνῳ κατὰ ταὐτὸν[2] ἐγχειρίσοι πράγματα. Δέχεται τὸν λόγον ὁ βασι-

1. γρ. κατακεχυμένον. 2. γρ. καὶ τὰ αὐτοῦ.

λεὺς, καὶ αὖθις ἀπορρητοτέρως αὐτῷ ὡς ἐβούλετο διαλέγεται· καὶ
φ. 348. οὕτω | δὴ τὸ δεύτερον ὡς παραταξάμενος προσιὼν, ἀθρόον τὴν ἰδίαν μεθίησι φάλαγγα καὶ τῷ βασιλεῖ προσχωρεῖ. Καὶ τοῦτον[1] μὲν τῆς πρώτης τιμῆς ἀξιώσας ὁ αὐτοκράτωρ ἀναπέμπει εἰς τὸ Βυζάντιον, τὸ γέ τοι ἔθνος, διαφόροις πολέμοις διεσπασμένον ἤδη καὶ οὔπω τετυχηκὸς ἄρχοντος, τρέπεταί τε καὶ καταπολεμεῖ καὶ ὑπήκοον αὖθις τῆς ἀφ' ἧς ἀπεστάτησε τίθησι, καὶ λαμπρὸς εἰς τὰ βασίλεια ἀναζεύγνυσιν, αἰχμαλώτους τε ἄγων πολλοὺς, καὶ δῆτα τοὺς παρ' ἐκείνοις σεμνοτάτους, καὶ αὐτὸν δὴ τὸν νόθον ἐκείνοις ἀρχηγὸν, τήν τε ῥίναν[2] διαλελωβημένον καὶ ἀπεστερημένον τῶν ὀφθαλμῶν.

Εἴσεισι γοῦν τὸ ἄστυ λαμπρὸς, ἁπάσης προχυθείσης αὐτῷ τῆς πόλεως· ἐθεασάμην γοῦν τοῦτον ἐγὼ τηνικαῦτα ὥσπερ ἐν ἐκφορᾷ ἐπὶ τοῦ ἵππου σαλεύοντα· οἱ γοῦν τὸν χαλινὸν κατέχοντες τούτῳ δάκτυλοι τοῖς τῶν γιγάντων ἐῴκεισαν, βραχίονος γὰρ ἕκαστος ἀπέσωζε πάχος καὶ μέγεθος (εἰς τοσοῦτον γὰρ αὐτῷ τὸ σπλάγχνον κεκάκωτο[3])· τὸ δὲ πρόσωπον οὐχ ἰδνός[4] τι τῆς ἀρχαίας αὐτῷ ἔσωζεν ὁμοιότητος. Καὶ οὕτως δὴ ἀποκομισθεὶς εἰς τὰ ἀνάκτορα, θρίαμβον κατάγει λαμπρὸν, ἐπὶ μέσου θεάτρου τοὺς αἰχμαλώτους διαβιβάσας, καὶ δείξας Ρωμαίοις, ὅτι προθυμία νεκροὺς ἀνίστησι, καὶ ὁ περὶ τὰ καλὰ ζῆλος τὴν τοῦ σώματος ἀτονίαν νικᾷ. Ἀλλ' οὐκ ἦν μέχρι παντὸς ἐγκρατὴς εἶναι τῆς φύσεως, οὐδὲ τοῦ νοσήματος κρείττων καὶ ἰσχυρότερος· ὃ δὴ κρυφίως καὶ κατὰ βραχὺ προσέρπον εἰς αὐτὴν τὴν λύσιν ἀπήντησε τοῦ δεσμοῦ· ἀλλ' οἱ περὶ τὸν αὐτοκράτορα τέως μὲν κρύπτειν ἐπεχείρουν τὸ κατ' αὐτὸν, καὶ βουλὴν ἐποιοῦντο περὶ καταστάσεως, ἵνα μή τι νεωτερισθείη τοῖς πράγμασιν· ἐπεὶ δὲ πανταχῇ τὸ πάθος ἐξήγγελτο καὶ ἡ φήμη τὴν ξύμπασαν πόλιν κατέλαβεν, οὐδ' αὐτοῖς ἔτι ἐμεμενήκει τὰ δόξαντα, ἀλλὰ τοῦ πῶς ἂν μὴ ἐκφύγοι[5] τούτους τὰ τῆς βασιλείας

1. χ. τοῦτο. 2. γρ. ῥίνα. 3. χ. καὶ κάτωτο. 4. γρ. ἴχνος. 5. χ. ἐκφυγοῖ.

πράγματα ἐφρόντιζόν τε καὶ ἐβουλεύοντο. Καὶ οὗτοι μὲν ἐν τούτοις.

Περὶ τῆς τοῦ βασιλέως[1] ἀποχάρσεως.

Ὁ δέ γε αὐτοκράτωρ πρὸ τῆς ἐκ τοῦ σώματος μεταθέσεως ἑτέραν ζητεῖ πνευματικωτέραν μετάθεσιν· καὶ καταφρονεῖ μὲν βασιλείας, ἧς καὶ μετὰ βραχὺ ἀπαλλαγήσεσθαι ἔμελλε, κρείττων[2] δὲ ξυμπάσης γίνεται σχέσεως καὶ πρὸς τὸν θεὸν μετατίθεται· ἵνα δὲ μὴ ὀχλοῖτο μετατιθέμενος καὶ τὰς ὁμολογίας διδοὺς τῷ θεῷ, τῶν βασιλείων ἀπάρας ἐφ' ὅπερ αὐτὸς ἱδρύσατο μοναστήριον παραγίνεται, μᾶλλον δὲ τοῖς ἀχθοφοροῦσι μετακομίζεται· καὶ ἐπειδὴ ἐντὸς ἐγεγόνει τοῦ φροντιστηρίου καὶ τοῦ νεὼ, ἐρείσας ἐδάφει ἱκετηρίαν τίθεται τῷ θεῷ, εὐπρόσδεκτον αὐτὸν φανῆναι θῦμα καὶ καθαρὸν δεχθῆναι μετὰ τὴν τελείωσιν. Οὕτω τοίνυν ἐξιλεωσάμενος ἑαυτῷ τὸ θεῖον καὶ ἐξευμενίσας, τοῖς θύταις ἑαυτὸν καὶ σφαγιασταῖς τοῦ ἐθελοθύτου καλλιερήματος[3] δίδωσιν· οἱ δὲ περιστάντες αὐτὸν ἑκατέρωθεν καὶ τὰς πρωτουργοὺς εὐχὰς τοῦ θύματος τῷ κρείττονι ἐξυμνήσαντες, περιδύουσι μὲν αὐτὸν τὴν βασίλειον ἐσθῆτα καὶ περιπόρφυρον, καὶ ἐπενδύουσι τὸ ἱερὸν δέρας Χριστοῦ, τήν τε καλύπτραν τῆς κεφαλῆς ἀφελόμενοι τὴν τοῦ σωτηρίου περικεφαλαίαν ἐπιτιθέασιν· εἶτα δὴ καὶ τῷ σταυρῷ καθοπλίσαντες στήθη τε καὶ μετάφερνα[4] καὶ ἀνδρικῶς περιζώσαντες κατὰ τῶν πνευμάτων τῆς πονηρίας ἀφίασι. Τό γ' οὖν ὅσον ἐπὶ τῇ ἐκείνου προθυμίᾳ καὶ τῷ βουλήματι.

Ὁ μὲν οὖν ὡς ἐκ κρείττονος[5] ζωὴν μεταθέμενος ἔχαιρέ τε καὶ ἠγαλλιᾶτο, καὶ οἷον κοῦφος καὶ εὔδρομος πρὸς τὴν πορείαν ἐγεγόνει τοῦ πνεύματος· τὸ [δὲ] περὶ αὐτὸν οἰκίδιον, καὶ μάλιστα ὁ πρεσβύ-

1. χ. βασιλείου. 2. χ. κρείττω. 3. χ. καλλη ἐρίματος. 4. γρ. μετάφρενα. 5. γρ. εἰς κρείττονα.

τερος ἀδελφὸς[1], νέφος πάντας ἀθυμίας κατέσχεν, ὥστε μὴ δύνασθαι κατασχεῖν τοὺς ἐκ συμπαθείας ὀλοφυρμούς. Ἀλλ' οὐδ' ἡ βασιλὶς κρείττων ἐγεγόνει τοῦ πάθους, ἀλλ' ἐπειδή περ τοῦτο παρά του μεμαθήκει, κατατολμᾷ μὲν πάσης ἄρρενος ὄψεως, τὴν δὲ φύσιν παραβιάζεται καὶ πεζὴ πρὸς ἐκεῖνον ἄπεισιν· ὁ δὲ εἴτ' αἰσχυνόμενος οἷων αὐτῇ κακῶν αἴτιος ἐγεγόνει, ἢ λήθην καὶ ταύτης διὰ τὴν πρὸς τὸν θεὸν μνήμην λαβόμενος, οὐ συγχωρεῖ ταύτῃ τὴν πρὸς αὐτὸν εἴσοδον.

Καὶ ἡ μὲν αὖθις ἀπῆλθε πρὸς τὰ βασίλεια· ὁ δὲ, ἐπειδὴ καιρὸς εὐχῆς ἐκάλει καὶ πρὸς τοὺς συνήθεις ἦν ἀπαντᾷν ὕμνους, ἠρέμα τῆς κλίνης ὑπεξανίστατο[2], καὶ μέλλων ἤδη τοὺς πόδας ὑποδεδέσθαι[3], ἐπειδὴ μὴ παρεσκεύαστο τούτῳ τὰ συνήθη τοῖς μοναχοῖς τῶν ὑποδημάτων σκύτη, ἀλλ' ἀμετάλλακτα[4] ἦν τὰ τῆς προτέρας σκηνῆς, δυσχεραίνει τὸ ἀπαράσκευον, καὶ γυμνοῖς τοῖς ποσὶ βαδίζει πρὸς νεὼν, ἐπερειδόμενος ἑκατέρωθεν, ἀσθμαίνων ἤδη καὶ τὰς ἐσχάτας ἀναπέμπων ἀναπνοάς. Οὕτω τοιγαροῦν αὖθις ἐπὶ τὴν εὐνὴν ὑποστρέψας καὶ κατακλιθεὶς, εἶτα δὴ καὶ βραχύ τι κατασιγάσας, ἅτε τῆς φωνῆς ἐπισχεθείσης αὐτῷ καὶ ἐκλελοιπότος τοῦ πνεύματος, ἀφῆκε τὴν ψυχὴν τῷ θεῷ, πλεῖστα μὲν ἐπὶ τῆς βασιλείας καὶ πράξας καὶ βουλευσάμενος, οὐ πλειόνων δὲ διαμαρτίαν ἐσχηκώς· ἃ δὴ καὶ αὐτὸς ἀντεξετάζων καὶ παράλληλα κρίνων, πλείω τὰ κατωρθωμένα τῶν διημαρτημένων[5] εὑρίσκω· καὶ οὔ μοι δοκεῖ τὸν ἄνδρα ἐκεῖνον καὶ τῆς κρείττονος διημαρτηκέναι, ἀλλ' ἀμείνονος ἐπιτυχεῖν λήξεως. Τελευτᾷ γοῦν ἐπὶ μεγάλῳ κατορθώματι τὸν βίον, ἑπτὰ ἔτη τὴν βασιλείαν κατεσχηκὼς, καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ καθ' ἣν τῆς κρείττονος τετύχηκε μεταθέσεως, καὶ τῷ φυσικῷ τῆς ζωῆς τελειωθεὶς πέρατι, ἐκφορᾶς ἢ ταφῆς περιττοτέρας οὐ γενομένης αὐτῷ· τέθαπται δὲ ἐν αὐτῷ τῷ νεῷ εἰσιόντι κατὰ τὴν λαιὰν πλευρὰν ἔξωθεν τοῦ βήματος.

1. γρ. τὸν πρεσβύτερον ἀδελφόν. 2. γρ. ὑπεξανίσταται. 3. χ. ὑποδέδεσθαι. 4. χ. ἀλλὰ μετάλλακτα. 5. χ. διημαρτημάτων.

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.

Βασιλεύει δὲ μετ' αὐτὸν ὁ ἐκείνου ἀνεψιὸς, περὶ οὗ πλεῖστα ὁ λόγος φθάσας ἐδήλωσε· ἐπειδὴ γὰρ οἱ τοῦ αὐτοκράτορος ἀδελφοὶ μεταθησόμενον | αὐτὸν εὐθὺς ἔγνωσαν, καὶ ἀνέλπιστον αὐτῷ τὴν ζωὴν κατειλήφασαν[1], ἵνα μὴ ἀποδράσῃ τούτους τὰ πράγματα, μὴ δ' ἐφ' ἕτερον γένος ἡ βασιλεία μετατεθείη, πρὶν ἢ τὸν ἀδελφὸν ἀπολιπεῖν τὴν ζωὴν, πρόσταγμά τι δῆθεν βασίλειον τὴν εἰς ἀνάκτορα μετάβασιν ἐπιτρέπον ἐκπέμπουσι· καὶ ὁ μὲν αὐτοκράτωρ ἐξήσει τῶν βασιλείων, ὡς ὁ λόγος εἰρήκει, τελεσθησόμενος, ὁ δὲ πρὸς αὐτὰ ἀντεισήει. φ. 349.

Τριῶν δὲ ὄντων τῶν τοῦ αὐτοκράτορος ἀδελφῶν, ὁ μὲν ὀρφανοτρόφος Ἰωάννης, ὃς δὴ καὶ τὸ ξύμπαν κράτος τηνικαῦτα διώκει καὶ μᾶλλον τῶν ἄλλων ἠγαπήκει τὸν ἀδελφὸν, οὐδὲ θανόντος[2] ἐκείνου εὐθὺς ἀπαλλάττεται, ἀλλ' ὥσπερ ζῶντι τριταῖος συνῴκει τῷ τεθνεῶτι, οἱ δὲ περιλειπόμενοι δύο τῷ Καίσαρι ἀνεψιῷ εἰς τὰ βασίλεια συναπαίρουσι, τὸ μὲν ὡς φυλάξοντες ἐκεῖνον καὶ θεραπεύσοντες, τὸ δὲ ὡς πλείονα κτησόμενοι τὴν παρ' ἐκείνου εὐμένειαν· ἀλλ' οὐκ ἦν ἄνευ τοῦ μείζονος καὶ κρείττονος τὴν φρόνησιν ἀδελφοῦ γενναῖόν τι ἐκείνους ἢ περὶ τῆς βασιλείας ἐνθυμηθῆναι, ἢ περὶ τῆς τοῦ κοινοῦ καταστάσεως, ὅθεν οὐδὲν ἢ ὅτι μὴ συνῆσαν[3] ἐκείνῳ εὔνοιαν παραδεικνύντες συγγενικήν. Ἐπεὶ δὲ ἀρκούντως εἶχε τὸν θρῆνον ὁ Ἰωάννης, μᾶλλον δὲ ἐπειδὴ κἀκεῖνον ὑπέθραττε μὴ πολυήμερος ἡ ἀναβολὴ γενομένη τῆς ἀναρρήσεως τὰς πάσας αὐτοῖς συνεξαφανίσῃ ἐλπίδας, ἐπὶ τὰ βασίλεια μεταβαίνει.

Ταῦτα δὲ αὐτὸς ἑωράκειν, καὶ τοῖς ὀφθαλμοῖς τὴν ἀλήθειαν εἰληφὼς τῶν πραγμάτων ἀμεταποιήτως τῇ γραφῇ δίδωμι[4]. Ὡς γοῦν ἠκηκόεισαν ὅτι τὴν αὔλιον οὗτος καὶ βασιλικὴν εἰσελήλυθεν

1. γρ. κατειλήφεσαν. 2. χ. θάνατος. 3. χ. συνῶσαν. 4. χ. δίδωσι.

εἴσοδον, ὥσπερ θεῷ ὑπαντήσειν μέλλοντες παρεσκευασμένως [1] τούτῳ προσίεσαν, καὶ περιστάντες ἄλλος ἄλλο τι κατεφίλουν τῶν ἐκείνου μελῶν· ὁ δέ γε ἀδελφιδοῦς καὶ τὴν δεξιὰν ὑποσχὼν ἐπερείσασθαι ταύτῃ ἐδίδου, ἵνα τινὸς ἁγιάσματος ὥσπερ ἐκ τῆς ἐπαφῆς τύχοι· καὶ ἐπεὶ ἄλλως τὰ τῆς κολακείας ἔδοξε, κατάρχειν [2] τούτοις συντωτάτου βουλεύματος εὐθὺς, καὶ μηδὲν τῆς βασιλίδος ἄτερ ποιεῖν προτρέπεται, ἀλλ' ἐπ' αὐτῇ τιθέναι τοὺς θεμελίους καὶ τοῦ κράτους καὶ τῆς ζωῆς, καὶ πάντα ποιεῖν οἷς ἂν ἐκείνην ὁρῶσιν εὐάγωγον. Καὶ αὐτίκα κοινῇ συμπαραταξάμενοι, ταῖς μηχαναῖς τῶν ἐνθυμημάτων τὴν εὐάλωτον ἐκείνης πολιορκοῦσι ψυχὴν, καὶ ἀναμνήσαντες τῆς υἱοθεσίας, ὑπὸ τῇ μητρὶ καὶ δεσπότιδι τὸν παῖδα τιθέασι καὶ ἐπιρρίπτουσιν αὐτῇ τοῖς ποσὶ, πᾶσαν ὀνομάτων λατρείαν πρὸς τὸν καιρὸν συναριθμήσαντες, καὶ πείσαντες ὡς ὁ μὲν ἀδελφιδοῦς τοῦ τῆς βασιλείας καὶ μόνον ὀνόματος τεύξεται, ἡ δὲ πρὸς τούτῳ καὶ τὴν πατρῴαν ἕξει κατάσχεσιν· καὶ εἰ μὲν [3] βούλεται αὐτὴ τῶν ὅλων ἀνθέξεται, εἰ δ' οὖν, ἐγκελεύσει τε τούτῳ καὶ ἐπιτάξει καὶ ὡς ἀργυρωνήτῳ βασιλεῖ χρήσεται, ἀρρήτους τε ταύτῃ ὅρκους ὀμνύουσι, καὶ τὴν καθ' ἱερῶν δόντες πίστιν θηρῶσιν ὅλην εὐθύς· καὶ τί γὰρ ἦν πράττειν ἄλλο, ἐν ἐρημίᾳ τε οὖσαν τοῦ βοηθήσαντος [4], καὶ τοῖς γοητεύμασιν ἐκείνων καταθελχθεῖσαν, ἢ μᾶλλον ταῖς μηχαναῖς τούτων καὶ τοῖς κλέμμασι κλαπεῖσαν καὶ συνειληθεῖσαν [5] καὶ πρὸς τὰ ἐκείνων μετατεθεῖσαν θελήματα;

Περὶ τῆς τοῦ Μιχαὴλ ἀναγορεύσεως.

Ἐπιτρέπει γοῦν αὐτοῖς τὸ κράτος, καὶ τέως μετέωρον οὖσαν τὴν πόλιν ἐπὶ τῷ ἐκείνης βουλήματι κατευνάζει τῇ προτροπῇ, καὶ τελεῖται ἐπὶ τῷ Καίσαρι τὸ τῆς βασιλείας μυστήριον, ἡ προ-

1. χ. παρασκευασμένως. 2. γρ. κατάρχει. 3. χ. ἤμὲν. 4. χ. βουηθήσαντος. 5. χ. συνηληθεῖσαν.

πομπὴ, ἡ ἐπὶ τὸν νεὼν εἴσοδος, ἡ τοῦ ἀρχιερέως εὐχὴ, ἡ στεφανηφορία καὶ ὅσα τούτοις ἐπακολουθεῖν εἴωθε. Καὶ τήν γε πρώτην ἡμέραν οὐκ ἐπιλήσμων ὁ βασιλεὺς οὔτε τῶν οἰκείων λόγων, οὔτε τῶν ἔργων ἐγένετο· πολὺ γοῦν παρ' αὐτῷ τὸ, ἡ βασιλὶς, καὶ ἡ ἐμὴ δεσπότις, καὶ ὡς ἐώνημαι ταύτῃ, καὶ ἦν ἂν θεῖτο [1] ψῆφον [2].

Οὐδὲν δὲ ἧττον καὶ τὸν Ἰωάννην τοιούτοις κατέθελγε ῥήμασι, ὁ ἐμὸς γὰρ φησι δεσπότης, καὶ θρόνον ἐδίδου ἐγγὺς καθέζεσθαι, καὶ νεῦμα ἐζήτει παρ' ἐκείνου λαβεῖν εἰ λαλεῖν βούλοιτο, καὶ ὡς ὄργανόν ἐστι τῷ τεχνίτῃ, καὶ ὡς οὐχὶ τῆς κιθάρας τὸ μέλος, ἀλλὰ τοῦ τὴν κιθάραν μουσικῶς κρούοντος. Ἐτεθήπεσαν γοῦν ἅπαντες τὸ τοῦ ἀνδρὸς εὔγνωμον, καὶ ὡς οὐ διημαρτήκει τῶν ἐλπίδων ὁ Ἰωάννης ἐθαύμαζον. Τοὺς μὲν οὖν ἄλλους ἐλάνθανε τὸ κλέμμα τῆς ἐκείνου ψυχῆς· ὁ δέ γε θεῖος ἤδει μὲν ἀκριβῶς ὅτι μέχρι τῆς γλώττης αὐτῷ ἡ λειότης, τὸ δὲ τραχὺ τοῦ φρονήματος ἔνδον ὑποκρύπτεται καὶ ὑποτύφεται, καὶ ὅσῳ μᾶλλον ἐκεῖνος ὑπεδίδου ταῖς μηχαναῖς, τοσοῦτον οὗτος ὑπώπτευε καὶ τῆς γνώμης αὐτῷ τὸ ὕπουλον κατεμάνθανεν, ἀλλ' οὐκ εἶχεν ὅ,τι καὶ δράσειεν ἢ ὅπως ἂν αὐτὸν ἐκ τοῦ ῥᾴστου ἀφέληται τὴν ἀρχὴν, ἅπαξ ἀποσφαλεὶς τοῦ τοιούτου σκοποῦ, ὁπότε καὶ μάλιστα ὁ καιρὸς ἐδίδου τὴν χείρησιν· ὁ μὲν οὖν ἡσύχαζε τέως, οὐ πάντη ἀφεὶς τὸ ἐνθύμημα, ἀλλ' ὡς ἐπιχειρήσων εἴ τι ἐκεῖνος παρανομεῖν ἐπ' αὐτὸν ἄρξεται. Ὁ δὲ ἐξ ὑπερβαλλούσης εἰς ἐκεῖνον τὰ πρῶτα αἰδοῦς κατὰ βραχύ τι παρήλλαττε, νῦν μὲν τὴν τούτου γνώμην οὐκ ἀναμένων ἐν ταῖς βασιλικαῖς πράξεσι, νῦν δ' ἄλλο τι ποιῶν καὶ λέγων οἷς ἐκεῖνον μὴ ὑπενεγκεῖν ἠπίστατο. Γέγονε δὲ τούτῳ προσθήκη πρὸς τὴν τοῦ θείου διαβολὴν [3] καὶ ὁ ἀδελφὸς Κωνσταντῖνος, ὃς δὴ πρὸ πολλοῦ ἦν τῷ Ἰωάννῃ βασκαίνων, ὅτι δὴ μόνος παρὰ τοὺς ἀδελφοὺς τῶν πραγμάτων εἶχε διοίκησιν, καὶ οἷον δεσπότης αὐτῶν, ἀλλ' οὐχ

1. χ. ἀνθεῖ τὸ ψῆφον. 2. πιθανῶς παρελείφθη τὸ [προσεδέχετο.]. 3. χ. διαβουλὴν.

φ. 350. ὁμογενὴς [1] ἦν, τότε μὲν | οὐχ οἷός τε ἦν τὸ μῖσος εἰς προὔπτον ἐξενεγκεῖν· ὁ γάρ τοι ἀδελφὸς ἐκείνων καὶ βασιλεὺς τὸν μὲν Ἰωάννην, ὡς καὶ τῶν ἄλλων πρεσβύτατον καὶ συνετώτατον ἄνδρα καὶ διεξητασμένον ἐν τῇ τῶν κοινῶν πραγμάτων ἐπιμελείᾳ, ὑπερηγάπα καὶ ἔστεργε, τὸ δὲ λοιπὸν γένος ὡς μήτε τὰ μέτρια ἠγαπηκότας, μήτέ τι ἐκείνῳ λυσιτελοῦντας εἰς τὴν τῆς βασιλείας διοίκησιν, ἐμίσει καὶ ἀπεστρέφετο· ὅθεν καὶ χαλεπαίνοντος κατ' ἐκείνων τοῦ αὐτοκράτορος, οὗτος αὐτοῖς διέλυε τὴν ὀργὴν καὶ τὸν ἀδελφὸν εἰς εὐμένειαν μετερρύθμιζεν· εἰ τοίνυν καὶ ἐβάσκαινον αὐτῷ τῆς δόξης [οἱ] ἀδελφοί, καὶ μάλιστά γε ὁ Κωνσταντῖνος, ἀλλὰ τολμῆσαί τι κατ' ἐκείνου καὶ πρᾶξαι ἀδύνατον αὐτοῖς ἦν.

Ἐπεὶ δὲ ὁ ἀδελφὸς ἐτεθνήκει, μεταπεπτώκει δὲ εἰς τὸν ἀνεψιὸν ἡ τοῦ κράτους διαδοχή, εὔκαιρον κατὰ τοῦ Ἰωάννου ὁ Κωνσταντῖνος ἔσχηκεν ἀφετήριον· ἦν γὰρ καὶ προτεθεραπευκὼς τὸν αὐτοκράτορα ὑπηνίκα τὴν τοῦ καίσαρος εἶχε τιμήν· ἐδίδου γὰρ αὐτῷ τῶν οἰκείων ἀπαντλεῖν θησαυρῶν ὁπόσα καὶ ἐβούλετο, καὶ ἦσαν ἐκείνῳ τὰ τούτου χρήματα ἀντὶ πρυτανείου καὶ ταμιείου· ἐξωνεῖτο γοῦν αὐτὸν ἐντεῦθεν, καὶ ὡς ἐπὶ προδήλῳ τῇ τύχῃ τὴν ἐκείνου γνώμην προκατελάμβανεν, ἐκοινώνουν τε ἀπορρήτων ἄμφω ἀλλήλοις, καὶ διαβεβλημένως ἤστην πρὸς τὸν Ἰωάννην, ὡς ἀντεπιχειροῦντα τοῖς δόξασι, καὶ συγγενεῖ ἑτέρῳ τὴν ἀρχὴν μνηστευόμενον. Ὁ τοίνυν καῖσαρ ὁμοῦ τε βασιλεὺς ἀνηγόρευται, καὶ ἐς τὴν τοῦ νοβελλισίμου τιμὴν ἀνάγει τὸν Κωνσταντῖνον, ὁμοδίαιτόν τε ποιεῖ, καὶ λαμπρὸν ἀπεδίδου τῆς προλαβούσης εὐνοίας τὰς ἀμοιβάς.

Μικρὸν δὲ ἐντεῦθεν τὴν τοῦ λόγου ἐκκόψας διήγησιν περὶ τῆς τοῦ βασιλεύσαντος γνώμης τε καὶ ψυχῆς πρότερον ἀφηγήσομαι, ὅπως ἂν μὴ θαυμάζητε ὑπηνίκα τι περὶ τῶν ἐκείνου πράξεων λέγοιμι, ὅπως αὐτὰς ἐξ οὐδὲ μιᾶς ἀρχῆς ἐσχεδίαζεν ὡρισμένης. Ὁ

1. χ. ὁμονογενὴς.

γὰρ ἀνὴρ οὗτος χρημά τι ποικίλον ἐγεγόνει τῷ βίῳ, καὶ ἦν αὐτῷ χαρακτὴρ τῆς ψυχῆς τὸ πολύμορφον καὶ πολύστροφον· εἶχε δὲ καὶ τὴν γλῶτταν πρὸς τὴν καρδίαν ἀντίθετον, καὶ ἄλλο τι βουλευσάμενος ἑτέρας ἠφίει φωνάς, καὶ δυσόργως ἔχων πολλοῖς εὐνοϊκώτερον προσωμίλει, ἀρρήτους ὅρκους τοῖς λόγοις ἐπιτιθείς, ὡς ἐνστερνίζοιτο τούτους καὶ ἥδιστα διαλέγοιτο· πολλοὺς δὲ ὧν ἐβούλετο κατὰ τὸ περίορθρον ἐσχάταις τιμωρίαις ὑποβαλεῖν, ἑσπέρας κοινωνοὺς ἐποιεῖτο τοῦ δείπνου καὶ τοῦ αὐτοῦ τούτοις ἐκοινώνει κρατῆρος· τὰ γέ τοι τῆς συγγενείας ὀνόματα [1], μᾶλλον δὲ ἡ κοινωνία τοῦ γενικοῦ [2] αἵματος παιδιά [3] τις ἐδόκει τούτῳ, καὶ οὐδὲν αὐτῷ πρᾶγμα εἰ πάντας ἓν κῦμα ἐκάλυψε κατασχόν· ἐβάσκαινε δὲ τούτῳ ὁ [4] βασιλείας μόνον, τοῦτο γὰρ μέτριον, ἀλλὰ καὶ πυρὸς καὶ ἀέρος, καὶ τύχης ἁπάσης· κοινωνεῖν δὲ αὐτῷ τοῦ κράτους μικρὸν μὲν ἢ μηδένα τῶν ἁπάντων ἐβούλετο, ὃ δ' οἶμαι καὶ κρείττονι φύσει βασκαίνων ἦν· τοσοῦτον ἦν αὐτῷ τὸ κατὰ πάντων ἐν ἅπασιν ἀπόστροφόν τε καὶ ὕποπτον· δουλοπρεπὴς δὲ εἰ καί τις ἄλλος περὶ τὰς τῶν καιρῶν ἐναντιότητας ὢν [5] τε καὶ λέγων, ἀνελευθέρως [6] τε ψυχῇ χρώμενος, ἐπειδὰν βραχεῖα τούτῳ μεταβολὴ πραγμάτων προσμειδιάσειεν [7], ὁ δὲ εὐθὺς τὰ τῆς σκηνῆς σκεδαννὺς καὶ τὸ ὑποβολιμαῖον εἶδος ἀποδυόμενος, θυμοῦ τε εὐθὺς ἐνεπίμπλατο, καὶ τὰ μὲν τῶν δεινῶν ἐποίει, τὰ δὲ εἰς τὸ μέλλον ἐταμιεύετο· ὀργῆς τε γὰρ ἥττων ἦν, καὶ ἄνθρωπος εὐμετάβολος, καὶ τὸ τυχὸν πρᾶγμα εἰς μῖσος αὐτὸν καὶ ὀργὴν ἀνερρίπιζεν. Ἐντεῦθεν μῖσος αὐτῷ κατὰ τοῦ γένους παντὸς ὑπετύφετο· διαλύειν [8] δὲ αὐτοὺς εὐθὺς οὐκ ἐπεχείρησεν, ἔτι δεδιὼς τὸν θεῖον, ὃν ἤδει πατρὸς λόγον πρὸς τὸ συγγενὲς ἐπέχοντα.

Ἐπεὶ δέ μοι ἡ προθεωρία τῆς ἀφηγήσεως ἐπιτέτμηται, ἐπ' αὐτήν εἰμι πάλιν τὴν τῶν γεγονότων διήγησιν. Ὁ τοίνυν Κων-

1. χ. ὀνόματος. 2. χ. γεννικοῦ. 3. χ. παιδειά. 4. γρ. οὐ. 5. χ. ὢν. 6. γρ. ἀνελευθέρᾳ. 7. χ. προμηδιάσειεν. 8. χ. δι' ἀλλύειν.

Τῷ δὲ κρατοῦντι οὐχ οὕτως ἥδιστον ἐδόκει τὸ ἐκεῖνον τῶν πραγμάτων ὑπεξελθεῖν, ὅσον λυπηρὸν καὶ ὕποπτον κατεφαίνετο τὸ πολὺ τῆς πόλεως πλῆθος ἐκεῖσε συρρέον, δεδιότι μή τι καὶ νεώτερον [1] ἐπ' αὐτῷ δράσειαν· διὰ ταῦτα ὑπούλως ἄγαν καὶ κακοήθως προσονειδίζει τι τούτῳ διὰ γραμμάτων τὴν τοιαύτην ὑπεροψίαν καὶ μετακαλεῖται ὡς κοινωνήσων τῶν ἀπορρήτων τούτῳ· ὁ δ' εὐθὺς ἀφικνεῖται, δόξαν ἐντεῦθεν εἰληφὼς, ὡς προϋπαντήσοι αὐτῷ, καὶ τά τε εἰκότα προσφθέγξοιτο καὶ τὰ εἰωθότα διαπράξοιτο. Ὁ δὲ, ἐπειδὴ περὶ ἡμέραν θεάτρου ὁ καιρὸς ἦν, οὐκ ἀναμείνας τὸν θεῖον ἰδεῖν, πρωϊαίτερον [2] ἀνελήλυθει, οὐδέν τι σύνθημα ἐκείνῳ λιπών· ὁ δὲ, ὡς τοῦτο μεμαθήκοι, ἔτι μᾶλλον ὑβρίσθαι δόξας καὶ ἠθετῆσθαι σὺν πολλῷ τῷ θυμῷ εὐθὺς ἐπαναστρέφει, οὐκ ἔτι ἐπενδυάζων ἐπὶ τῇ τοῦ βασιλεύοντος γνώμῃ, ἀλλ' ὅτι δυσμενῶς αὐτῷ ἔχει ἀπὸ τῶν πραγμάτων ἠκριβωκώς. Διαλέλυτο γοῦν αὐτοῖς παντάπασιν ὁ τῆς φιλίας θεσμὸς καὶ ἄτερος θατέρῳ ἀντεπιβουλεύει, μᾶλλον δὲ ὁ μὲν, ἅτε ἐν ἰδιώτου τελῶν σχήματι, κρυφίως [3] καὶ λανθανόντως αὐτὸν μετιέναι διενοεῖτο· ὁ δὲ τῇ βασιλικῇ ἀποχρώμενος ἐξουσίᾳ, καθαρῶς ἤδη πρὸς ἀπέχθειαν ἀναρρήγνυται· προστάττει γοῦν αὐτῷ εἰς ναῦν [4] τε ἐμβῆναι καὶ ἀφικέσθαι ἀπολογησομένῳ, διότι τε ἐκείνου καταφρονεῖ [5] καὶ οὐ πάνυ ἐθέλει πείθεσθαι.

Ὁ μὲν οὖν τὸν πλοῦν πρὸς αὐτὸν ἐποιεῖτο, ὁ δὲ ἀπὸ μετεώρου τῶν βασιλείων βλέπων εἰς θάλασσαν, ἐπειδὴ τῷ μεγάλῳ λιμένι ἡ φέρουσα τὸν θεῖον προσορμίσειν ἔμελλε ναῦς, σύνθημά τι δοὺς ἄνωθεν τοῖς καταπλέουσιν, ὅπερ δὴ καὶ προείρητο αὐτοῖς, ἐπιστρέφειν τὴν ναῦν, κατόπιν δὲ ἑτέρα τριήρης πρὸς ἀναγωγὴν ἕτοιμος τὴν προτέραν ἐπικαταλαβοῦσα, τοῦτον εἰς ὑπερορίαν ἄγει μακράν. Οὐδὲ τοσοῦτον γοῦν αὐτῷ ὁ δι' ἐκείνου τε καῖσαρ πρῶτον καὶ βασιλεὺς

1. χ. καινεώτερον. 2. χ. προϊαίτερον. 3. χ. κρυφύως. 4. χ. ναῦ. 5. χ. καταφρονεῖν.

γεγονὼς ὕστερον τοῦ προτέρου σεβάσματος διεφύλαξεν, ὥστε μετά τινος μετρίας [1] αἰδοῦς τὴν τιμωρίαν τούτῳ ποιήσασθαι· ἀλλ' εἰς χῶρον ἐλαύνει ὃς δὴ τοῖς λῃστεύσασι μόνοις ἀφώρισται, εἰ καὶ μετὰ ταῦτα βραχύ τι ἀνεθέντος αὐτοῦ τοῦ θυμοῦ, βραχείας τινὸς παραμυθίας ἠξίωσεν. Ὁ μὲν οὖν ἀπῆλθεν οὐ μόνον ταύτην ἀπαντλήσων τὴν δίκην, ἀλλὰ πολλὰς ἐπὶ πολλαῖς συμφοραῖς θεασάμενος· οὐ γὰρ ἔστη ἡ λαχοῦσα τούτῳ τῆς προνοίας μερὶς, οὕτω γὰρ εἰπεῖν μετριώτερον, πολλαῖς καὶ συνεχέσι κακώσεσι διαμείβουσα, ἄχρις ἂν αὐτῷ καὶ δημίου χεῖρα τοῖς ὀφθαλμοῖς ἐπαφῆκε καὶ δεινὸν ἐξ ὑπογυίου [2] καὶ βιαιότατον θάνατον. Ἐπεὶ δὲ ὁ δεινὸς ἐκεῖνος ἀνὴρ, ὡς τοῖς ὦμοις αὐτῷ μοναρχίαν κατεσκευάκει, οὐδὲν τῶν | μετρίων περὶ τὴν πολιτείαν διενοεῖτο, ἀλλ' εὐθὺς ἐπεβάλλετο μεταθήσειν πάντα καὶ μεταστήσειν πρὸς ἅπερ αὐτὸς ἐβούλετο, οὐδενὶ γοῦν τῶν ἐν τέλει εὔνουν ἐδίδου τὸ βλέμμα ἢ τὴν ψυχὴν, ἀλλ' ἐξεδειμάτου πάντας τυραννικοῖς ὁμοῦ καὶ λόγοις καὶ νεύμασι· ἐβούλετο δὲ αὐτὸ [3] τοῦτο ὑπήκοον ὡς ἀληθῶς ἐνδείξασθαι τὸ ἀρχόμενον, καὶ τοὺς μὲν πολλοὺς τῶν ἐν τέλει παῦσαι τῶν συνήθων ἐξουσιῶν, ἐλευθερίαν δὲ τῷ δήμῳ μνηστεύεσθαι, ἵνα τοῖς πολλοῖς μᾶλλον ἢ τοῖς ὀλίγοις δορυφοροῖτο· τὴν δὲ τοῦ σώματος φρουρὰν ἐς Σκυθικὰ μεταθήσειν ἐπεχείρει μειράκια, ἅπερ αὐτῷ ἐώνητο πρὸ πολλοῦ, ἀποτετμημένα πάντα καὶ τὴν ἐκείνου γνώμην εἰδότα, καὶ πρὸς τὴν ὑπηρεσίαν ὧν ἐβούλετο εὐπρεπῆ· ἐθάρρει γὰρ ταῖς εὐνοίαις αὐτῶν, ἐπειδὴ καὶ ἀξιώμασι τῶν ὑψηλοτέρων τετίμηκε· καὶ τὰ μὲν περὶ τὸ σῶμα εἶχε, τὰ δ' ἄλλο τι τούτῳ τῶν βουλητῶν διηκόνει [4].

φ. 352.

Ἀλλὰ τὰ μὲν βουλεύματα οὕτω ἐπιτελῆ καθεστήκει, τὸν δ' ἀπόλεκτον δῆμον τῆς πόλεως καὶ ὅσοι τῆς ἀγοραίου τύρβης ἢ τῶν βαναύσων τεχνῶν ᾠκειοῦτο, ταῖς εὐμενείαις τὰς τῶν πολλῶν προκαταλαμβάνων γνώμας, ἵν' ἔχοι [5] πρὸς τὰ μελετώμενα, εἰ δεήσοι,

1. χ. μετρίους. 2. χ. ὀξυπογυίου. 3. αὐτῶ. 4. χ. διοικόνει. 5. χ. ἔχει.

βοήθειαν· οἱ δὲ ἐξῆρτό γε ἐκείνου, καί τισι φαινομέναις εὐνοίαις τὰς γνώμας ἐγνώριζον, οὐδὲ προβῆναι ἐῶντες [1] ἐπὶ ψιλοῦ τοῦ ἐδάφους, ἀλλὰ δεινὸν ἄλλως ποιούμενοι, εἰ μὴ δι' ὑφασμάτων προΐοι καὶ ἐπιτρυφῶν αὐτῷ ὁ ἵππος τοῖς σηρικοῖς καταστρώμασι. Τούτοις γοῦν ἐπαρθεὶς ἐκεῖνος τὸ τῆς ψυχῆς ἀνακαλύπτειν ἀπάρχεται βούλευμα· τῇ γὰρ βασιλίδι καὶ παρὰ τὸν προσήκοντα λόγον ἐκείνου μητρὶ ἐμεμήνει μὲν καὶ πρότερον ἡνίκα ὑπ' ἐκείνης τοῦ κράτους ἔτυχε, καὶ ὅτι δεσπότιν προειρήκει ποτὲ, ἐβούλετο καὶ τὴν γλῶτταν τεμεῖν τε τοῖς ὀδοῦσι καὶ ἀποπτύσαι τὸ μέλος.

Περὶ τοῦ πρὸς τὴν Αὐγούσταν μίσους καὶ φθόνου τοῦ βασιλέως.

Ἐπεὶ δὲ ἐν ταῖς κοιναῖς εὐφημίαις προλαμβανόμενον τὸ ταύτης ἐνωτίζοιτο [2] ὄνομα, οὐδὲ καθεκτὸς ἦν ἔτι· ὅθεν τὰ μὲν πρῶτα παρηγκωνίζετο ταύτην καὶ ἀπεστρέφετο, οὔτε βουλευμάτων αὐτῇ κοινωνῶν, οὔτε μήν τε μέρος τῶν βασιλείων διδοὺς θησαυρῶν, ἀλλὰ πάντα κατολιγωρῶν, εἰπεῖν δὲ καὶ καταγελῶν, τειχήρη τε οἷα δὴ πολεμίαν τηρῶν, καὶ φρουρᾷ καταλαμβάνων ἀτιμοτάτῃ, τάς τε θεραπαινίδας αὐτῆς οἰκειούμενος, καὶ τὴν γυναικωνῖτιν [3] διερευνώμενος, καὶ μηδενὸς [4] τῶν συντεθειμένων πρὸς ταύτην ἐπιστρεφόμενος. Ἐπεὶ δὲ οὔπω τούτων κεκόρεστο, τὴν ὑστάτην αὐτῇ ἐφίστησι συμφορὰν, καὶ βούλεται ἀπελάσαι τῶν βασιλείων, οὐδὲ μετ' εὐσεβοῦς σχήματος, ἀλλὰ μετά τινος αἰσχίστου καὶ ψευδοῦς πλάσματος, ἵν' ἔχοι μόνος ὁ θὴρ ἐν τοῖς βασιλείοις αὐλίζεσθαι· τοῦτο γοῦν ἅπαξ ἐν τῇ ψυχῇ θέμενος, πάσης μὲν ἄλλης καταπεφρονήκει βασιλικῆς πράξεως, ὅπως δὲ ἐπιτελὲς ποιήσει τὸ τόλμημα πᾶσαν ἐκίνει καὶ γνώμην καὶ μηχανήν.

Πρῶτα μὲν οὖν κοινοῦται [5] τὸ βούλευμα τῶν οἰκειοτέρων τοῖς

1. χ. ἐῶνται. 2. χ. ἐνωπίζοιτο. 3. χ. γυναικωνίτην. 4. χ. μὴ δενῶς. 5. χ. κινοῦται.

θρασυτέρους, ἔπειτα δὲ προϊὼν κατολίγον καὶ τῶν ἄλλων ἀπεπειρᾶτο ὁπόσους ἤδει καὶ φρονήματος ἀκριβοῦς καὶ τῆς ἄλλης μετεσχηκότας συνέσεως· ὧν οἱ μὲν ὑπεκίνουν καὶ ποιήσειν τὰ δόξαντα συνεβούλευον, οἱ δὲ παντάπασιν ἀπειρήκεσαν, οἱ δὲ εἰς ἀκριβεστέραν μελέτην θεῖναι τὸ πρακτέον παρήνουν, τοῖς δὲ ἐδόκει εἰς μαθητικὴν [1] πρόγνωσιν ἀναθεῖναι τὸ βούλευμα καὶ γνῶναι εἰ εὔθετος πρὸς τὴν κατάπραξιν ὁ καιρὸς, καὶ μή τι σχῆμα τῶν οὐρανίων ἐμποδίζοι τῷ ἐγχειρήματι· ὁ δὲ τούτων ἁπάντων σεμνὸς ἀκροατὴς προκαθήμενος, πράξειν [2] μὲν οὐδ' ὁτιοῦν ἔμελλε τῶν φερόντων εἰς ὄνησιν (ἐκ παντὸς γὰρ τρόπου πρὸς τὸ βεβουλευμένον ἠπείγετο), ὅμως δ' οὖν τοῖς τῶν ἄλλων λόγοις χαίρειν εἰπὼν, τὸ ἐσόμενον διὰ τῶν ἀστρονομούντων ἐμάνθανεν. Ὑπῆρχε δὲ τηνικαῦτα μοῖρα οὐκ ἀγενὴς τῆς περὶ ταῦτα μαθήσεως, ἄνδρες οἷς κἀγὼ συνωμίλησα, τῶν μὲν περὶ τὴν σφαῖραν τάξεων καὶ κινήσεων ἔλαττον πεφροντικότες τὸν νοῦν· οὔτε γὰρ γεωμετρικαῖς τὴν περὶ ταῦτα ἀπόδειξιν προειλήφεισαν, οὔτε μὴν προέγνωσαν, ἀλλ' ἁπλῶς οὕτως [3] τὰ κέντρα ἱστῶντες, εἶτα δὴ τὰς ἀναφορᾶς τε καὶ ἀποκλίσεις [4] τοῦ ζωηφόρου κύκλου καταμανθάνοντες καὶ τὰ ἄλλα ὅσα τούτοις ἕπεται, οἰκοδεσπότας [5] φημὶ καὶ σχημάτων τύπους καὶ ὅρια, καὶ ὁπόσα μὲν τούτων κρείττω, ὁπόσα δὲ χείρω προὐλέγοντο [6] τοῖς πυθομένοις περὶ ὧν ἐπηρωτήκεσαν· καὶ γέ τινες αὐτῶν κατευστόχουν τῶν ἀποκρίσεων. Λέγω δὲ ταῦτα, τὴν μὲν ἐπιστήμην καὶ αὐτὸς εἰδὼς, ἐκ πολλοῦ μελετήσας καὶ πολλοῖς ἐκείνων λυσιτελήσας εἰς τὰς τῶν σχημάτων κατανοήσεις, οὐ μέντοιγε [7] πειθόμενος ὡς ἄγοιτο ταῖς τῶν ἄστρων κινήσεσι τὰ ἡμέτερα· ἀλλὰ τοῦτο μὲν ὡς πλείους τὰς ἀντιρρήσεις ἔχον, ἐξ ἑκατέρου ἀνακινεῖσθαι [8] εἰς ἕτερον ἔλεγχον.

Ὁ γοῦν τηνικαῦτα βασιλεύων τὸ τῆς πράξεως ἀποκρύψας εἶδος, ἀόριστον πρὸς αὐτῶν [9] τὴν πεῦσιν ποιεῖται, τοῦτο μόνον προσθεὶς,

1. γρ. μαθηματικὴν. 2. χ. πράξιν. 3. χ. οὕτων. 4. χ. ἀποκλείσεις. 5. χ. οἰκοδεσπόταις. 6. χ. προὐλέγοντι. 7. χ. μὲν τόγε. 8. χ. ἀνακιεῖσθαι. 9. χ. αὐτὸν.

εἰ τῷ μεγάλῳ τολμήσαντι οὐκ ἐμπόδιον τὰ οὐράνια καθεστήκοι
φ. 353. σχήματα · οἱ δ' ἐποπτεύσαντες καὶ πᾶσαν πρὸς τὸν καιρὸν | κρίσιν ἀκριβωσάμενοι, ὡς ἑωράκεσαν ἅπαντα αἵματος πλήρη καὶ κατηφείας, ἀπαγορεύουσι τὴν πρᾶξιν τῷ βασιλεῖ, καὶ οἵ γε δεινότεροι τούτων εἰς ἕτερον καιρὸν τὸ ἔργον ἀνατιθέασιν · ὁ δὲ πλατὺν αὐτῶν καταχέας τὸν γέλωτα καὶ τῆς ἐπιστήμης καταμωκώμενος ὡς ψευδοῦς, « ἀλλ' ὑμεῖς μὲν, φησὶ, ἔρρετε, ἐγὼ δὲ κρείττονι τόλμῃ τῆς ὑμετέρας ἐπιστήμης τὸ ἀκριβὲς ὑπερβήσομαι. » Λυτίκα γοῦν ἐν ἔργοις ἦν, καὶ εὐθὺς ἀναρρήγνυται, καὶ λόγους τινὰς συμπλάσας ὁ ἀθλιώτατος παῖς κατὰ τῆς μηδὲν ἐπιβουλευσάσης μητρὸς, ὡς φαρμακίδα τὴν βασιλίδα καταδικάζει, καὶ μηδὲν τέως τῶν τολμωμένων εἰδυῖαν ἐξάγει τοῦ κοιτωνίσκου τὴν ἐγγενῆ ὁ ἀλλότριος καὶ τὴν εὐγενεστάτην ὁ δυσγενέστατος, καί τινας ἐπ' αὐτὴν λογοποιοὺς καθιεὶς, ἀνακρίνει τε περὶ ὧν οὐκ ᾔδει, καὶ ὑπ' εὐθύνην ἄγει, καὶ τιμωρεῖται ὡς καταπραξαμένην τὰ ἀτοπώτατα.

Εἰς ναῦν οὖν εὐθὺς ἐμβιβάζει καί τινας συμβιβάσας [1] αὐτῇ οἷς προὐτέτραπτο τὰ ἐπ' ἐκείνῃ τολμηθησόμενα, ἀπελαύνει τῶν βασιλείων καὶ εἰς μίαν τούτων δὴ τῶν πρὸ τῆς πόλεως νήσων καθίζει, ἥ δὴ Πρίγκιπος ὄνομα. Ὡς δ' ἐγώ τισιν ὕστερον τῶν ἀπαγαγόντων αὐτὴν συνωμίλησα, φασὶν, ὡς ἤδη πρὸς τὸν ἀπόπλουν τῆς νηὸς ἀναχθείσης, ἡ βασιλὶς πρὸς τὰς βασιλείους αὐλὰς ἀναβλέψασα, ὥσπερ τινὰ προσλαλιὰν [2] θρηνώδη πρὸς τὰ ἀνάκτορα ἐποιήσατο, καὶ τοῦ γε πατρὸς μνησθεῖσα καὶ τῶν ἄνω τοῦ γένους, ἐκ γὰρ πενταγονίας [3] ὁ βασίλειος αὐτῇ κλῆρος κατήγετο, ἐπειδὴ τοῦ θείου ἐπεμνήσθη καὶ βασιλέως, λέγω δὲ Βασίλειον ἐκεῖνον τὸν ὑπὲρ πάντας αὐτοκράτορας λάμψαντα, τὸ πολυτελὲς ἀγαθὸν χρῆμα τῇ Ρωμαίων ἀρχῇ, ἀθρόον δάκρυσι τοὺς ὀφθαλμοὺς ἐπιτέγξασα · « σὺ μὲν, ἔφη, ὦ θεῖε καὶ βασιλεῦ, βασιλικοῖς γεννηθεῖσαν εὐθὺς σπαργάνοις ἐκόσμησας, καὶ τῶν ἀδελφῶν μᾶλλον ἔστερξας καὶ ἐτίμη-

1. χ. συμβηβάσας. 2. χ. προλαλιὰν. 3. χ. πενταγωνίας.

σας, ὅτι σοι καὶ τὴν θέαν εἶχον παρόμοιον, ὡς τῶν ἑωρακότων ἠκηκόειν πολλάκις· ἀλλὰ καὶ σύ με ὡς ἤδη γε καταφιλῶν καὶ ἀγκαλιζόμενος, σώζοιο, ἔλεγες, παιδίον καὶ ἐπὶ μήκιστον [1] ζήσαις τοῦ τε ἡμετέρου γένους ζώπυρον καὶ τῇ βασιλείᾳ θεοπρεπέστατον ἄγαλμα! ἀλλὰ σὺ μὲν οὕτως ἔτρεφες καὶ ἀνέτρεφες, καὶ μεγάλας ἐπ' ἐμοὶ τὰς τῶν πραγμάτων ἐκβάσεις ἐκέκτησο, ἐψεύσθης [2] δὲ τῶν ἐλπίδων! αὐτή τε γὰρ ἠτίμωμαι καὶ τὸ σύμπαν μου γένος ἠτίμωκα, ἐπὶ τοῖς αἰσχίστοις κατακριθεῖσα καὶ τῶν βασιλείων ἀπελαθεῖσα, καὶ οὐκ οἶδ' εἰς ἥντινα γῆν ἀπαγομένη κατάκριτος· δέδοικα γὰρ μὴ καὶ θηρσὶ βρῶμα προθήσουσιν, ἢ κύματα θαλασσίων [3] καλύψουσιν· ἀλλ' ἐφορᾷς ἄνωθεν, καὶ παντὶ σθένει τὴν σὴν σώζοις ἀνεψιάν!» Ἀλλ' ἐπειδή περ τὸ περιγράφον αὐτὴν ὅριον τὴν νῆσον κατέλαβε, βραχύ τι τῶν πονηρῶν ἀνεπεπνεύκει προσδοκιῶν, καὶ ὅτι ζῴη ἀνθωμολογεῖτο θεῷ, καὶ θυσίας εὐθὺς καὶ εὐχὰς ἀπεδίδου τῷ σώσαντι.

Ἡ μὲν οὖν οὐδέν τι πολυπραγμονήσειν ἔμελλε, καὶ πῶς γὰρ ἐνῆν σὺν μιᾷ θεραπαινίδι [4] εἰς ὑπεροπίαν διάγουσα; ὁ δὲ δεινὸς ἐκεῖνος ἀνὴρ ἔτι μᾶλλον ἐπιβουλεύει τῇ βασιλίδι, καὶ ἄλλας ἐπ' ἄλλαις προστίθησι συμφοράς· τέλος δὲ πέμπει τοὺς ἀποκεροῦντας ἐκείνην, ἢ ἀποκτενοῦντας εἰπεῖν οἰκειότερον, καὶ ὁλοκάρπωμα, οὐκ οἶδα μὲν εἰ τῷ Κυρίῳ, τῷ δὲ θυμῷ τοῦ ἐπιτάττοντος βασιλέως ποιήσοντας. Ἐπεὶ δὲ αὐτῷ καὶ τοῦτο ἐτετέλεστο [5] τὸ ἐνθύμημα, ἐκείνην μὲν ὡς ἤδη κατεργασθεῖσαν ἀφίησι, προσωποιεῖται δὲ τὴν πρᾶξιν καὶ εἰσάγ' εἰς σκηνήν, καὶ τῇ συγκλήτῳ βουλῇ ἀνακαλύπτει ὅθεν τὰ παρ' ἐκείνης κατ' αὐτοῦ μελετώμενα, καὶ ὡς ὑπώπτευε μὲν καὶ πόρρωθεν, μᾶλλον δ' ἐπεφωράκει πολλάκις, ἐπεκάλυπτε δὲ τὸ δεινὸν αἰδοῦς τε τῆς πρὸς αὐτοὺς ἕνεκα· καὶ τοιαῦτά τινα συμπλάσας καὶ φλυαρήσας, καὶ τὰς ἐκείνων γλώσσας κερδήσας πρὸς τὸν καιρὸν παραφθεγξαμένας, ἐπειδὴ τούτοις ἀπολελόγητο ἱκανῶς, καὶ τοῦ

1. χ. μήκεστον. 2. ἐψεύθης. 3. γρ. θαλάσσια. 4. χ. θεραπαίνιδι. 5. χ. ἐτέλεστο.

δημοτικοῦ πλήθους ἀποπειρᾶται, καί τινας ἐκ τούτων εὐηχέστατα πρὸς ἃ ἐβούλετο κατεσκευακὼς[1] ὄργανα, τὰ μὲν εἰρήκει, τὰ δὲ παρ' αὐτῶν ἠκηκόει· καὶ εὐνοϊκῶς καὶ τούτους πρὸς τὴν πρᾶξιν ὑπειληφὼς ἔχοντας[2], διέλυσε καὶ τοῦτον τὸν σύλλογον, καὶ ὥς τινα ἆθλον τῶν ὑπερφυεστάτων τετελεκὼς[3], τοῦ τε πολλοῦ καμάτου ἀναπεπνεύκει, καὶ πρὸς ἱλαρὰς[4] παιδιὰς[5] ἑαυτὸν ἐπαφῆκε, μόνον οὐκ ἐπορχούμενος, οὐδὲ τοῦ ἐδάφους ὑπεραλλόμενος. Ἔμελλε δὲ ἄρα οὐκ εἰς μακρόν τινα χρόνον, ἀλλ' εὐθὺς καὶ ἐξ ὑπογυίου δίκας τοῦ τυραννικοῦ δώσειν φρονήματος.

Τὰ δὲ ἐντεῦθεν καὶ ὁ λόγος ἐλάττων πρὸς τὴν τῶν πεπραγμένων διήγησιν, ὅ τε νοῦς οὐ χωρεῖ τῆς προνοίας τὸ μέτρον· λέγω δὲ τοῖς ἐμοῖς κατὰ[6] τῶν ἄλλων κρίνων· οὔτε γὰρ ἂν ποιητὴς θεόπνουν τὴν ψυχὴν ἔχων καὶ τὴν γλῶτταν αὐτὴν θεοφόρητον, οὔτέ τις ῥήτωρ ἄκραν εὐτυχήσας ψυχῆς τε εὐφυΐαν καὶ εὐγλωττίαν, πρὸς δὲ καὶ τέχνῃ κατακοσμήσας τὴν ἔμφυτον δύναμιν, οὔτε μὴν φιλόσοφος προνοίας καὶ λόγους ἠκριβωκὼς, ἢ εἴ τι ἄλλο τῶν ὑπὲρ ἡμῶν μεμαθηκὼς διὰ πλῆθος συνέσεως, εἰπεῖν τι μετρίως τῶν τηνικαῦτα
φ. 354. πραχθέντων ἰσχύσειαν, ὁ μὲν | οἷον σκηνοβατῶν τὴν ἀφήγησιν καὶ ποικίλως μεταμορφούμενος, ὁ δὲ μεγαλοφυέστερον τοὺς λόγους πράττων καὶ ἁρμονικῶς συντιθεὶς καίπερ ἰσάζων τῷ μεγέθει τῆς πράξεως, ὁ δ' οὐκ[7] αὐτοματίζων τὸ γεγονὸς, ἀλλ' αἰτίας τινάς προθεὶς ἔμφρονας, ἀφ' ὧν τὸ μέγα ἐκεῖνο καὶ δημοσιώτατον ἀπετελέσθη μυστήριον (οὕτω γὰρ εἰπεῖν οἰκειότερον)· ὅθεν κἂν ἀπεσιώπησα τὴν μεγάλην ἐκείνην φορὰν καὶ συγκίνησιν, εἰμή γε ἤδειν τὸ καιριώτατον τῆς χρονογραφίας κατασιγάσας· ὅθεν ἐπὶ μικρᾶς σχεδίας μέγα περαιώσασθαι τετόλμηκα πέλαγος. Λέξω γοῦν ὡς ἂν οἷός τε ὦ, ὁπόσα μετὰ τὴν τῆς βασιλίδος ὑπερορίαν[8] ἡ θεία δίκη τῷ τε καιρῷ καὶ τοῖς πράγμασιν ἐκαινοτόμησεν.

1. χ. κατασκευακὼς. 2. χ. ἔχοντα. 3. χ. τετελευκὼς. 4. χ. ἱλαρᾶς. 5. χ. παιδείας. 6. γρ. καὶ τὰ. 7. χ. ὀκ. 8. χ. ὑπερορίκ.

Ὁ μὲν γὰρ βασιλεὺς τέως ἐτρύφα καὶ πλήρης καθειστήκει φρονήματος, ἡ δέ γε ξύμπασα πόλις, λέγω δὲ πᾶν γένος καὶ τύχην καὶ ἡλικίαν, ὥσπερ λυθείσης αὐτῇ τῆς συμφυοῦς ἁρμονίας, κατὰ[1] μέρη τινὰ συγκινεῖσθαι καὶ διαταράττεσθαι ἤρχετο, καὶ οὐκ ἦν τῶν πάντων οὐδεὶς ὃς οὐχὶ τὰ πρῶτα μὲν ὑπετονθόρυζε τῇ γλώττῃ, καὶ δεινότερον τῇ καρδίᾳ περὶ τοῦ πράγματος ἐβυσσοδόμευε, καὶ τῇ γλώττῃ τοῦ λέγειν ἐδίδου ἐλευθερίαν. Ὡς γὰρ ἡ φήμη ἁπανταχοῦ τῆς περὶ τὴν βασιλίδα καινοτομίας, πενθοῦσαν ἦν ὁρᾷν τὴν πόλιν ξύμπασαν· καὶ ὥσπερ ἐπὶ ταῖς μεγάλαις κινήσεσι τοῦ παντὸς σκυθρωπάζουσιν ἅπαντες τὰς ψυχὰς καὶ οὐκ ἔχουσιν ὅπως ἂν ἑαυτοὺς ἀνακτήσαιντο, τὰ μὲν τῶν δεινῶν ὑπομεμνηκότες, τὰ δὲ ἐλπίζοντες, οὕτω δὴ καὶ τότε πᾶσαν ψυχὴν κατήφειά τις κατειλήφει δεινὴ, καὶ ἀπαραμύθητος συμφορὰ, καὶ εἰς δευτέραν ἡμέραν οὐδεὶς τέως ἐπεῖχε τὴν γλῶτταν, οὐ τῶν ἐν τέλει, οὐ τῶν τοῦ βήματος, ἀλλ' οὐδ' ὅσον ἐκείνου συγγενικὸν καὶ οἰκίδιον· οἱ δ' οὖν ἐπὶ τῶν ἐργαστηρίων καὶ πρὸς μεγάλας τόλμας παρεσκευάζοντο· ἀλλ' οὐδ' ὅσον ξενικόν τε καὶ συμμαχικὸν εἰώθασι παρατρέφειν οἱ βασιλεῖς, λέγω δὲ τοὺς περὶ τὸν Ταῦρον Σκύθας, ἢ ἕτεροί[2] τινες, κατέχειν ἠδύναντο τὰς ὀργὰς, ἀλλὰ πάντες καταθύειν ὑπὲρ τῆς βασιλίδος ἐβούλοντο τὰς ψυχάς. Τὸ δ' ἀγοραῖον γένος καὶ ἄφετον ἤδη που καὶ παρεκεκίνητο ὡς ἄρτι τυραννῆσον τῷ τυραννεύσαντι· τὸ δὲ θῆλυ γένος, ἀλλὰ πῶς ἂν τοῦτο τοῖς οὐκ εἰδόσιν[3] ἀφηγησαίμην; ἐγὼ γοῦν πολλὰς ἑωράκειν, ἃς οὐδεὶς ἄχρι τότε τῆς γυναικωνίτιδος ἔξω τεθέαται, δημοσίᾳ τε προϊούσας, καὶ βοώσας τε καὶ κοπτομένας, καὶ δεινὸν ἀπολοφυρομένας ἐπὶ τῷ πάθει τῆς βασιλίδος, αἱ δὲ λοιπαὶ Μαινάδων δίκην ἐφέροντο καὶ τάγμα οὔ τι μικρὸν ἐπὶ τὸν ἁλιτήριον[4] συνεστήκεσαν, ποῦ ποτὲ βοῶσαι, ἡ μόνη καὶ τὴν ψυχὴν εὐγενὴς, καὶ τὴν μορφὴν εὐειδὴς! ποῦ ποτε ἡ μόνη τῶν πασῶν ἐλευθέρα, ἡ τοῦ ξύμπαντος γένους δεσπότις, ἡ τὸν κλῆρον τῆς βασιλείας ἐννομώτατα

1. χ. καὶ τὰ. 2. χ. ἕτερον. 3. χ. οἰδόσιν. 4. χ. τὴν ἁλητήριον.

ἔχουσα, ἧς καὶ ὁ πατὴρ βασιλεὺς καὶ ὁ ἐκεῖνον φὺς, καὶ ὁ τοῦτον αὖθις ἀποτεκών! πῶς δ' ἄρα καὶ ὁ δυσγενὴς τῆς εὐγενοῦς κατετόλμησε, καὶ τοσοῦτον ἐπ' ἐκείνην ἐνθύμημα, ὁπόσον οὐδὲ μία ψυχὴ τῶν πάντων ἐχώρησε! Ταῦτ' ἔλεγον [1] καὶ συνέθεον ὡς ἐμπρήσουσαι τὰ βασίλεια· ὡς δ' οὐκ ἦν ἔτι τὸ κωλῦσον οὐδένα, πάντων ἤδη ἐπὶ τὴν τυραννικὴν ἀναρραγέντων ψυχὴν, τὰ μὲν πρῶτα καταμέρος καὶ ὥσπερ κατὰ σύστημα ἐπὶ τὸν πόλεμον κατεστρατοπεδεύοντο [2], ἔπειτα ὅλῃ τῆς πόλεως κατ' αὐτῶν [3] συνεστρατήγουν τῇ φάλαγγι.

Ἕκαστος γοῦν τῶν πάντων καθώπλιστο, ὁ μὲν πέλεκυν διηκαλισμένος, ὁ δὲ ῥομφαίαν τινὰ κραδαίνων τῇ χειρὶ βαρυσίδηρον, ἕτερος [4] δὲ τόξον μετακεχείριστο, καὶ ἄλλος δόρυ, ὁ δὲ πολὺς ὄχλος τῶν ἀδροτέρων [5] λίθων, τοὺς μὲν κολπωσάμενοι, τοὺς δ' ἐν χεροῖν ἔχοντες, ἀτακτότερον ἔθεον. Ἐγὼ γοῦν τηνικαῦτα πρὸ τῶν βασιλείων εἱστήκειν εἰσόδων, πόρρωθεν ὑπογραμματεύων τῷ βασιλεῖ, καὶ ἀντιμεμυημένος τὰ προεισόδια· καί με εἶχεν ἡ ἔξω στοὰ γραφάς τινας τῶν μυστικωτέρων ὑπαγορεύοντα· ἀθρόον δὲ βοή τις ἡμῖν προβάλλει [6] ὥσπερ ἱππόκροτος [7], καὶ διέσεισε τὰς τῶν πολλῶν ὁ ἦχος ψυχάς· ἔπειτά τις ἦκεν ἀγγέλλων, ὡς ὁ δῆμος ἅπας ἐπὶ τὸν βασιλέα κεκίνηται καὶ ὥσπερ ὑφ' ἑνὶ συνθήματι πρὸς τὴν αὐτὴν γνώμην συνείλεκται. Τοῖς μὲν οὖν πολλοῖς καινοτομία τις ἄλογος τὸ πραττόμενον ἔδοξεν, ἐγὼ δὲ συνιεὶς [8] ἐξ ὧν πρότερον τὰ μὲν ἑωράκειν, τὰ δὲ ἠκηκόειν, ὡς εἰς πυρκαϊὰν ὁ σπινθὴρ [9] ἀνεφλέχθη καὶ δεῖ πολλῶν ποταμῶν καὶ ἐπιφόρου τοῦ ῥεύματος ὥστε ἀποσβεσθῆναι, αὐτίκα τὸν ἵππον ἀναβὰς διαμέσης ἦειν τῆς πόλεως, καί γε τοῖς ὀφθαλμοῖς αὐτοῖς ἑωράκειν περὶ ὧν νῦν ἔπεισί μοι ἀμφισβητεῖν. Ὥσπερ γάρ τινος ξύμπαντες κρείττονος μετεσχηκότες πνεύματος, οὐκ ἔτι ἐπὶ τῶν προτέρων ἑωρῶντο τῆς ψυχῆς καταστάσεων, ἀλλ' οἵ τε δρόμοι αὐτῶν μανικώτατοι καὶ αἱ χεῖρες ἐρρωμενέστεραι, καὶ

1. χ. λέγον. 2. κατεστρατοπαιδεύοντο. 3. γρ. αὐτοῦ. 4. χ. ἕτεροι. 5. χ. ἀνδροτέρων. 6. γρ. προσβάλλει 7. χ. ἱππόκρατος. 8. χ. συνεὶς. 9. χ. πινθὴρ.

τῶν ὀφθαλμῶν αἱ βολαὶ πυρώδεις τε καὶ ἐνθουσιῶσαι [1], οἵ τε τοῦ σώματος τόνοι ῥωμαλεώτεροι, μεταρρυθμίζεσθαι δὲ πρὸς τὸ εὐσχημονέστερον ἢ μετατίθεσθαι τῶν βουλευμάτων οὐδεὶς τῶν πάντων ἐβούλετό γε, ἢ | τοῦ συμβουλεύοντος ἦν. φ. 355.

Δόξαν δὲ αὐτοῖς τὰ πρῶτα ἐπὶ τὸ γένος ἐκείνου χωρεῖν καὶ τοὺς σεμνοὺς ἐκείνων οἴκους καταστρέφειν καὶ ὑπερόγκους, ἔργου τε εἶχοντο, καὶ ὁμοῦ προσέβαλλον, καὶ τὸ ξύμπαν εἰς ἔδαφος κατερρήγνυτο, καὶ τῶν οἰκοδομημάτων τὰ μὲν ἐπικεκάλυπτο, τὰ δ' ἀνακεκάλυπτο [2]· ἐκαλύπτοντο μὲν ὀροφαὶ εἰς γῆν πίπτουσαι, ἀνεκαλύπτοντο δὲ κρηπῖδες γῆθεν ἀναρρηγνύμεναι, ὥσπερ αὐτῶν [3] τῆς γῆς τὸ ἄχθος ἀποφορτιζομένης καὶ ἀπορριπτούσης τοὺς θεμελίους· κατέστρεφον δὲ τὰ πλείω οὐ χεῖρες ἡβώντων ἢ ἀκμαζόντων ἀνδρῶν, ἀλλὰ καὶ μείρακες καὶ εἴ τις ἑτέρα ἀτελὴς ἡλικία ἐξ ἑκατέρου γένους, ἀπάσης κατασκευῆς ἀποδιδούσης ταῖς πρώταις εὐθὺς ἐπαφαῖς· τὸ δὲ διαρραγὲν ἢ καταστραφὲν ὁμαλῶς ὁ καταστρέψας ἀπεφορτίζετο, καὶ εἰς ἀγορὰν προὐτίθη, μὴ διαμφιβάλλων περὶ τοῦ πλείονος.

Ἡ μὲν οὖν πόλις ἐν τούτοις ἦν, καὶ οὕτω ταχὺ τὸ σύνηθες αὐτῇ σχῆμα μετήλλακτο· ὁ δὲ καθῆτο [4] ἐν τοῖς βασιλείοις, τὰ μὲν πρῶτα οὐ πάντως τι πρὸς τὸ συμβὰν ταραττόμενος, ὅθεν ἐβούλετο ἀναιμωτὶ τὸν πολιτικὸν καταλῦσαι πόλεμον· ἐπεὶ δὲ ἤδη λαμπρὰ ἡ ἀποστασία ἐγένετο, καὶ ὁ δῆμος κατὰ λόχους συνήεσαν, καὶ ἀξιόλογος ἡ παραβολὴ ἐγεγόνει, τότε δὴ δεινῶς τε ἐστρέφετο τὴν ψυχὴν καὶ ἅπερ πολιορκούμενος οὐκ εἶχεν ὅ,τι καὶ δράσειεν· ἐδεδίει [5] τε γὰρ προϊέναι, καὶ τὴν προσεδρείαν οὐδὲν ἧττον ὑπώπτευε, συμμαχία τε αὐτῷ οὔτε ἐν τοῖς βασιλείοις ἦν, οὔτε ἐξῆν μεταπέμψασθαι· καὶ αὐτὸ [6] γὰρ τὸ παρατρεφόμενον ἐν ταῖς αὐλαῖς ξενικὸν, οἱ μὲν ἀμφίβολοί πως ἦσαν ταῖς γνώμαις καὶ τοῖς κελεύσμασιν οὐ

1. χ. ἐνθυσιῶσαι. 2. χ. ἀνακάλυπτο. 3. χ. αὐτῶ. 4. γρ. καθῆστο. 5. χ. ἐδεδίε. 6. χ. αὐτῷ.

πάντως πειθόμενοι, οἱ δὲ ἀντεκάθηντό γε προδήλως καὶ ἀπερρωγότες τοῖς πλήθεσι συνερρώγεσαν.

Παντάπασι γοῦν ἀπορουμένῳ, σύμμαχος αὐτῷ ἐφεστήκει ὁ νωβελλίσιμος· ἔτυχε μὲν γὰρ τηνικαῦτα τῶν βασιλείων ἀφεστηκὼς, ἐπεὶ δὲ τὸ δεινὸν ἐμεμαθήκει, δείσας περὶ τὸ γενόμενον, τὰ μὲν πρῶτα ἀπρόϊτος οἴκοι διέτριβε, τὸν[1] ἐφεστηκότα πρὸ θυρῶν ὄχλον οὐχ ἥκιστα δεδιὼς[2], ὡς αὐτίκα τεθνηξόμενος εἰ προΐοι· εἶτα δὴ ξύμπαν καθοπλίσας[3] αὐτὸ[4] τὸ οἰκίδιον καὶ αὐτὸς οὐδὲν φραξάμενος, ἀθρόον ὠσάμενοι καὶ λαθόντες τὴν ἔξοδον, πυρὸς δίκην διὰ τῆς πόλεως εἶεσαν, ἐγχειρίδια[5] κατέχοντες ταῖς χερσὶν, ὡς εἴ τις αὐτοῖς ἀπαντιάσοι[6] εὐθὺς ἀναιρήσοντες· καὶ οὕτω διαδραμόντες, τάς τε βασιλείους προσαράξαντες πύλας εἰσίασι τῷ κινδυνεύοντι βασιλεῖ βοηθήσοντες· ὁ δὲ ἀσμένως τε τούτους εἰσδέχεται, καὶ μικροῦ δεῖν τὸν θεῖον καταφιλεῖ ὅτι συναπολωλέναι ἐκείνῳ προείλετο. Βουλεύονται γοῦν τὴν μὲν βασιλίδα εὐθὺς τῆς ὑπερορίας ἀνακαλέσασθαι, δι' ἣν ἀνερρώγει τὸ πλῆθος καὶ συνεστήκει ὁ πόλεμος, αὐτοὺς δὲ πρὸς τὸ κατεπεῖγον τὸν ἐν τοῖς βασιλείοις ὄχλον, ἀκοντιστὰς καὶ λιθοβόλους, ἐπιστῆσαι πρὸς τοὺς ἀναιδῶς αὐτοῖς παρεμβάλλοντας· οἳ δὴ καὶ κρύβδην ἀπὸ τῶν μετεώρων σφενδονῶντές τε καὶ τοξεύοντες οὐκ ὀλίγους τε ἀνῃρήκασι καὶ τὴν πεπηγυῖαν διέρρηξαν φάλαγγα· ἀλλὰ γνόντες[7] ἀνεκάλεσάν τε ἑαυτοὺς αὖθις καὶ ἀρραγέστερον συνειστήκεσαν.

Ἐν τοσούτῳ δὲ καὶ ἡ βασιλὶς ἐν τοῖς ἀνακτόροις[8] κομίζεται, οὐ μᾶλλον χαίρουσα τοῖς ἐπ' αὐτῇ τελουμένοις παρὰ τοῦ κρείττονος, ἢ περιδεῶς ἔχουσα μὴ πάθοι παρὰ τοῦ πονηροῦ βασιλέως δεινότερον. Ὅθεν οὐδὲ τοῦ καιροῦ γίνεται, οὐδὲ ὀνειδίζει τῷ τυράννῳ τὴν συμφοράν, οὐδὲ μεταλλάττει τὸ σχῆμα, ἀλλὰ καὶ συναλγεῖ καὶ ἀφίησι δάκρυον ἐπ' αὐτῷ· ὁ δὲ, δέον αὐτῇ τὸ σχῆμα μετα-

1. χ. τῶν. 2. χ. δεδειὼς. 3. χ. καθωπλίσας .4. γρ. αὐτῷ. 5. χ. ἐγχειρίδια. 6. χ. ἀπαντήσοι. 7. χ. γνῶντες. 8. χ. ἀνακτώροις.

βαλεῖν καὶ τὴν περιπόρφυρον ἐσθῆτα περιβαλεῖν [1], καὶ ἐγγύας αὐτὴν εἰσπράττεται, μὴ ἂν ἄλλως βιῶναι τῆς τρικυμίας κατευνασθείσης ἢ ὡς ἔχει σχήματος, καὶ ἀγαπήσῃ [2] τοῖς ἐπ' αὐτῇ δόξασιν· ἡ δὲ πᾶν ὁτιοῦν ἐπαγγέλλεται, καὶ τὴν συμμαχίαν ἐπὶ τοῖς δεινοῖς τιθέασι. Καὶ οὕτως αὐτὴν ἐπὶ μετεώρου τοῦ μεγάλου θεάτρου ἀναγαγόντες τῷ στασιάσαντι δήμῳ δεικνύουσιν, ἀξιοῦντες λῆξαι τούτοις τὰ τοῦ θυμοῦ πνεύματα, ἀνακομισθείσης [3] αὐτοῖς τῆς δεσπότιδος· οἱ δὲ οὐκ ἔφθασάν γε εἰδέναι τὴν δεικνυμένην, ὅσοι δὲ καὶ ἐγνώκεισαν ἔτι μᾶλλον τὴν τοῦ τυράννου γνώμην ἐμίσησαν, μηδὲν τοῖς δεινοῖς ἀποθεμένην τὸ ἄγριον καὶ κακόηθες.

Ἐξήφθη γοῦν αὐτῷ μᾶλλον ἐπὶ πλέον ὁ πόλεμος· εἶτα δὴ δείσαντες μὴ μετὰ τῆς βασιλίδος ὁ τυραννεύων τούτους κατατροπώσηται, καὶ ἐνδοῖεν οἱ πλεῖστοι τοῖς ἐκείνης [4] λόγοις πειθόμενοι, ἐφ' ἑτέραν βουλὴν τρέπονται, ἥτις δὴ καὶ μόνη πρὸς τὰς τυραννικὰς ἀντήρκεσε [5] μηχανάς.

Βραχὺ δὲ τούτου προαφηγήσασθαι βούλομαι, ἵνα καθ' ὁδὸν ἡμῖν ὁ λόγος προΐοι· καί μοι τῶν προτέρων ἀναμνηστέον καὶ συναπτέον ἐκείνοις τὸν λόγον. Οὐ μία τοῦ [6] Κωνσταντίνου θυγάτηρ, ὥς μοι προλέλεκται, ἀλλὰ τρεῖς ἐγεγόνεισαν· τούτων οὖν ἐτεθνήκει μὲν ἡ πρεσβυτέρα, ἡ δέ γε νεωτέρα βραχύν τινα μὲν χρόνον συνῆν βασιλευσάσῃ τῇ ἀδελφῇ καὶ τρόπον τινὰ συμβεβασιλεύκει· τῆς μὲν γὰρ εὐφημίας [7] ἐκείνῃ οὐκ ἐκοινώνει, διαφερόντως δ' ἐτετίμητο, καὶ τοῖς ἐν τοῖς βασιλείοις μετά γε τὴν ἀδελφὴν μετεῖχε | λαμπρότητος· ἐπεὶ δὲ οὐκ αὔταρκες ἡ συγγένεια, οὐδὲ τῶν ἐκ τῶν αὐτῶν προελθεῖν ὠδίνων εἰς βασκανίας ἀποτροπὴν, βασκαίνει καὶ τῆς ἐλάττονος τιμῆς τῇ Θεοδώρᾳ ἡ βασιλεύουσα (τοῦτο γὰρ ἦν τῇ ἀδελφῇ ὄνομα), ἅμα δὲ καί τινων λογοποιῶν ἐπ' αὐτὴν διαυχώντων [8] τὸ στόμα, πείθει τὸν αὐτοκράτορα μεταστῆσαι τῶν βασι- φ. 356.

1. χ. περιβαλλεῖν. 2. χ. ἀγάπη. 3. χ. ἀνακοσμισθείσης. 4. χ. ἐκείνοις. 5. χ. ἀντήρκεσαι. 6. χ. τῶν. 7. χ. ἰφημίας. 8. χ. διαυχόντων.

λείων τὴν Θεοδώραν, τάς τε τρίχας κεῖραι, καὶ φυλακὴν ταύτῃ ὥσπερ εὐπρεπεστάτην τῶν σεμνοτέρων καὶ βασιλείων οἴκων ποιήσασθαι· γίγνεται γοῦν εὐθὺς ταῦτα, καὶ φθόνος τὰς ἀδελφὰς διελὼν. τὴν μὲν ἐν μείζονι, τὴν δὲ ἐλάττονι μέν, σεμνοτέρῳ δ' ὅμως κατέσχε προσχήματι.

Ἔστεργε γοῦν ἡ Θεοδώρα τὰ δόξαντα καὶ οὔτε τὴν μεταμφίασιν ἐδυσχέραινεν, οὔτε τὸ πρὸς τὴν ἀδελφὴν ἀκοινώνητον. Ὁ μέντοι γε αὐτοκράτωρ οὐ παντάπασι ταύτην τῆς προτέρας ἀπῆγεν αἰδοῦς, ἀλλὰ καί τινος αὐτὴν βασιλικῆς μέτοχον ἐποιεῖτο χάριτος. Ἐπεὶ δὲ οὗτος μὲν ἐτεθνήκει, ὁ δὲ Μιχαὴλ τῶν σκήπτρων ἐπείληπτο, τῆς τε βασιλίδος, ὡς ὁ λόγος ἐγνώρισε, βραχύν τινα χρόνον ἀναμείνας ἐπιλέληστο, καὶ τῆς ἀδελφῆς παντάπασι κατολιγωρεῖ· ἐπεὶ δὲ καὶ οὗτος τὸν εἱμαρμένον [1] αἰῶνα πληρώσας ἀπῆλθεν, ὁ δὲ ἀνεψιὸς ἐλελήφει [2] τὸ κράτος, οὐδ' ἥτις ἐστὶν ἡ Θεοδώρα ἐγνώκει, οὐδ' εἰ [3] βασιλείου ῥίζης ἐβλάστησεν, ἀλλὰ τό γε καθ' ἑαυτὸν οὐδ' εἰ ἐγεγόνει αὖτη, οὐδ' εἰ ἐνταῦθα παρεληλύθει. Ἡ δὲ καὶ αὖθις [4] ἔχουσα, μᾶλλον δὲ οὕτως ἐχόντων αὐτῇ τῶν αὐτοκρατόρων, οὐδέν τι πρὸς τὰς ἐκείνων ἀντεκίνει γνώμας, οὐ τυραννουμένη μᾶλλον ἢ ἑκοῦσα. Ἡ μὲν οὖν προαφήγησις τῆς ὑποθέσεως αὕτη.

Περὶ τῆς τοῦ ὄχλου ἀπαγωγῆς πρὸς τὴν Αὐγούσταν Θεοδώραν.

Ὁ τοίνυν δῆμος, ὥς μοι λέλεκται, κατὰ τοῦ τυραννεύσαντος στασιάσας καὶ δεδιὼς μή τι ἄλλως [5] τὰ πράγματα ἔξουσι, καὶ ἡ τυραννικὴ αὐτοῦ κατισχύσει χεὶρ, καὶ οὐδέν τι πλέον τοῦ θορύβου γενήσεται, ἐπειδὴ τὴν πρώτην βασιλίδα ἑλεῖν οὐχ οἷός τε ἦν, τοῦ τυράννου ταύτην προκατασχόντος καὶ οἷον ἐλλιμενίσαντος, ἐπὶ τὴν ἀδελφὴν τρέπεται, ὡς δεύτερον αἷμα βασίλειον, οὐ ταραχωδῶς [6]

1. χ. ἡμαρμένον. 2. χ. ἐλελήχει. 3. χ. ἡ. 4. γρ. οὕτως. 5. χ. ἄλλω. 6. χ. ταρ' ἀχ δοῦς.

οὐδὲ συγκεχυμένως, ἀλλ' ἕνα τῶν πατρώων αὐτῇ θεραπόντων ὥσπερ τινὰ στρατηγὸν τῆς ἑαυτοῦ προστήσας τάξεως, ἄνδρα τὸ μὲν γένος οὐχ Ἕλληνα, τὸ δὲ ἦθος τοῦ καλλίστου γένους, ἡρωϊκὸν δὲ τὸ εἶδος, καὶ τὸ σεβάσμιον ἐξ ἀρχαίας εὐτυχίας κεκτημένον, φάλαγξιν ὅλαις [1] σὺν φαλαγγάρχῃ γενναίῳ ἐπὶ τὴν Θεοδώραν ἀπῄει. Ἡ δὲ τῷ ἀπροσδοκήτῳ καταπλαγεῖσα, τήν τε πρώτην πεῖραν ἀνένδοτος διαμεμενήκει, καὶ ἐν τοῖς ἀδύτοις ἑαυτὴν κατασχοῦσα ἀνήκοος πρὸς πᾶσαν διαμεμενήκει φωνήν· ἀλλὰ τὸ πολιτικὸν στράτευμα, ἀπογνόντες [2] πρὸς τὴν πειθῶ, τὴν βίαν ἐπῆξεν αὐτῇ, καί τινες σπασάμενοι ἐγχειρίδια ὡς ἀναιρήσοντες ταύτην ὥρμησαν, εἶτα δὴ καὶ τολμήσαντες ἀποσπῶσι [3] μὲν τοῦ ἀδύτου, ἐξάγουσι δὲ εἰς τὸ ὕπαιθρον, καί τινα τῶν λαμπροτέρων στολῶν ἐπενδύσαντες ἐφ' ἵππου τε καθίζουσι καὶ πρὸς τὸν μέγαν ναὸν τῆς τοῦ θεοῦ Σοφίας κύκλωσε [4] συγκινούμενοι ἄγουσιν. Ἐντεῦθεν οὐχ ἡ τοῦ δήμου μόνη μερὶς, ἀλλὰ καὶ ἡ ἔκκριτος ξύμπασα συνεπινενεύκει τῇ Θεοδώρᾳ, καὶ πάντες τοῦ τυράννου πάντη κατολιγωρήσαντες [5] βασιλίδα τὴν Θεοδώραν εὐφήμῳ στόματι κατωνόμασαν.

Περὶ τῆς τοῦ βασιλέως καὶ τοῦ θείου αὐτοῦ ἀποφυγῆς, καὶ περὶ τῆς αὐτῶν [6] ἐκτυφλώσεως.

Ὡς δὲ τοῦτο ἐγνώκει ὁ τύραννος, δείσας μὴ ἀθρόον ἐπελθόντες αὐτοῦ που ἐν τοῖς ἀνακτόροις διαχειρίσονται, εἰς ναῦν τινα τῶν βασιλικῶν ἑαυτὸν ἐμβιβάσας καὶ τὸν θεῖον παραλαβὼν πρὸς τὴν ἱερὰν τῶν Δίου [7] καταίρει μονήν, τό τε σχῆμα μεταβαλὼν ἱκέτου σχῆμα μεταλαμβάνει καὶ πρόσφυγος. Ὡς δὲ δῆλον ἐγεγόνει τοῦτο τῇ πόλει, εὐθὺς αἴρεται πᾶσα ψυχὴ μέχρι τούτου πεφοβημένη καὶ φρίττουσα· καὶ οἱ μὲν σῶστρα θεῷ ἀνετίθουν, οἱ δὲ ἀνευφήμουν [8]

1. χ. φάλαγξας ὅλη. 2. χ. ἀπογνῶντες. 3. χ. ἀποσπώση. 4. γρ. κυκλόσε. 5. χ. κατωλιγορήσαντες. 6. χ. αὐτῶ. 7. γρ. τοῦ Στουδίου. 8. χ. ἀνεφήμου.

τὴν βασιλίδα, τὸ δ' ὅσον δημῶδες καὶ ἀγοραῖον χορούς τε συνίστασαν καὶ ἐπετραγῴδουν τοῖς γεγονόσιν, αὐτόθεν τὰ μέλη ποιούμενοι [1]· οἱ δέ γε πλείους ἐπ' αὐτὸν δὴ τὸν τύραννον ἀκαθέκτῳ δρόμῳ συνέθεον, ὡς κατακόψαντες, ὡς σφάξαντες.

Καὶ οἳ μὲν οὕτως· οἱ δὲ περὶ τὴν βασιλίδα Θεοδώραν φρουράν τινα ἐπ' αὐτὴν [2] ἀφίασι καὶ φρούραρχόν τινα τῶν γενναίων [3], ᾧ κἀγὼ συνειπόμην ἐγγύθεν, φίλος τε ὢν ἐκείνῳ, καὶ εἰς βουλὴν ἅμα καὶ πρᾶξιν τῶν ἐγνωσμένων παραληφθείς· ἐπεὶ δὲ πρὸς ταῖς πύλαις τοῦ νεὼ ἐγεγόνειμεν [4], ἑτέραν αὐτοκέλευστον ὁρῶμεν φρουράν, δημώδη φάλαγγα κύκλωσε τὸν ἱερὸν περιειληφότας οἶκον καὶ μονονοὺ διορύξαι τοῦτον ἐθέλοντας· ὅθεν οὐδ' ἀπράγμων ἡμῖν ἡ πρὸς τὸν ναὸν ἐγένετο εἴσοδος· ὁμοῦ δὲ καὶ πολύ τι πλῆθος συνερρύησαν, τοῦ ἀλιτηρίου [5] καταβοῶντες καὶ πᾶσαν κατ' αὐτοῦ φωνὴν ἀφιέντες ἀσχήμονα.

Τέως δὲ καὶ αὐτὸς οὐ πάνυ τι συνεληλύθειν ἐπιεικῶς [6], οὐ γὰρ ἦν ἐπὶ τῇ βασιλίδι ἀνάλγητος, ἀλλὰ κἀμὲ βραχύς τις ἐπ' ἐκεῖνον ὑπεκίνει θυμός· ἐπεὶ δὲ πρὸς τῷ ἱερῷ βήματι γεγονὼς, οὗ ἐκεῖνος ἐτύγχανεν ὤν, ἐθεασάμην ἄμφω τὼ [7] πρόσφυγε, τὸν μὲν βασιλεύσαντα αὐτῆς ἐπειλημμένον τῆς ἱερᾶς τοῦ λόγου τραπέζης, τὸν δέ
φ. 357. γε νωθελλίσιμον [8] ἐπὶ τοῦ δεξιοῦ ἑστηκότα | μέρους, μεταβεβλημένω καὶ τὸ σχῆμα καὶ τὴν ψυχὴν καὶ κατῃσχυμένω [9] παντάπασι, θυμοῦ δὲ οὐδ' ὁτιοῦν ἴχνος ἐφύλαξα τῇ ψυχῇ, ὥσπερ δὲ τυφῶνι βληθεὶς αὖθις [10] εἱστήκειν καὶ ἀχανὴς, πρὸς τὴν καινοτομίαν μεταβεβλημένος τοῦ πράγματος· εἶτα δὴ συλλεξάμενος τὴν ψυχὴν, ἐπηρασάμην τῆς ἡμετέρας ζωῆς, δι' ἣν εἰῶθε συμβαίνειν τὰ καινὰ ταῦτα καὶ ἄτοπα· εἶτα δὴ ὥσπέρ τινος ἔνδοθεν ἀναρρυείσης [11] πηγῆς, δακρύων ῥοῦς ἀκατάσχετος προεχεῖτο τῶν ὀφθαλμῶν, τε-

1. χ. ποιούμενος. 2. χ. αὐτὸν. 3. χ. γεννέων. 4. χ. ἐγεγόνει μὲν. 5. χ. ἀλητηρίου. 6. χ. ἐπὶ εἰκὸς. 7. χ. τὸ. 8. χ. νωθελίσιμον. 9. χ. κατῃσχυμμένω. 10. χ. αὖθης. 11. φ. ἀναρρυήσεις.

λευτῶντι δέ μοι καὶ εἰς στεναγμοὺς τὸ πάθος ἀπετελεύτησε. Τὸ μὲν οὖν εἰσεληλυθὸς πλῆθος κύκλωσε περιστάντες τὼ [1] ἄνδρε, ὥσπερ δή τινες θῆρες καταδαίσασθαι τούτους ἐβούλοντο· ἐγὼ δὲ πρὸς τῇ δεξιᾷ τοῦ βήματος κυκλίδι ἑστὼς [2] ἐποιούμην τὸν θρῆνον. Ὡς δέ με εἶδον ἄμφω περιπαθῶς ἔχοντα καὶ οὐ πάντη ἐκπεπολεμωμένον [3] ἐκείνοις, ἀλλὰ δεικνῦντά τι τοῦ ἐπιεικοῦς σχήματος, πρός με ἄμφω συνεληλυθέτην· κἀγὼ βραχύ τι μεταβαλὼν, πρῶτα μὲν κατητιώμην ἠρέμα τὸν νωβελλίσιμον ἐπ' ἄλλοις τε δὴ καὶ ὅτι συγκοινωνεῖν τῷ βασιλεῖ εἵλετο ἐπὶ τῆς [4] βασιλίδι κακώσεως, ἔπειτα καὶ αὐτὸν δὴ τὸν εἰληφότα τὸ κράτος ἠρώτησα ὅ,τι δήποτε πεπονθὼς παρὰ τῆς μητρὸς καὶ δεσπότιδος τοιοῦτον ἐκείνῃ πάθος ἐπετραγῴδησε. Καὶ ἄμφω δή μοι ἀπεκρινάσθην· ὁ μὲν νωβελλίσιμος, ὡς οὔτε τῆς ἐπὶ τούτῳ βουλῆς τῷ ἀνεψιῷ ἐκοινώνησεν, οὔτ' ἄλλως προὐτρέψατο· ἐπισχεῖν δέ φησιν, εἴ γε βουληθείην, κακοῦ τινος παραπολελαύκειν· οὕτω γὰρ ἦν ἀκατάσχετος οὗτος, πρὸς ἐκεῖνον ἐπιστραφεὶς, πρὸς ὃ βουληθείη καὶ ἐφ' ὅπερ ὁρμήσειεν· εἰ γὰρ οἷός τε ἦν ὁρμὴν αὐτοῦ ἀνακόψαι, οὐκ ἂν δή μοι τὸ γένος ξύμπαν ἐκέκοπτο καὶ πυρὸς καὶ σιδήρου ἔργον ἐγένετο!

Τοῦτο δὲ τί ποτέ ἐστι, βραχύ τι διακόψας τὸν λόγον ἐρεῖν βούλομαι· ἐπειδὴ τὸν ὀρφανοτρόφον ὁ βασιλεύων ἀπήλασεν, ὥσπερ δὴ τὸν τοῦ γένους στύλον κατενεγκὼν, τὸ ξύμπαν ἐκθεμελιοῦν ἠπείγετο, καὶ τὸ συγγενὲς ἅπαν, τοὺς πλείω εἰς ἡλικίας ἐληλυθότας ἀκμὴν καὶ ἀκριβῶς γενειάσαντας, πατέρας τε γεγονότας, καὶ τάξεις ἐμπιστευθέντας τῶν σεμνοτέρων ἀρχῶν, τῶν παιδογόνων μορίων ἀποτεμὼν ἠμιθανεῖς ἀφῆκε τῷ βίῳ· τὸν γὰρ προῦπτον ἐπ' αὐτοὺς αἰδούμενος θάνατον, ἐπιεικεστέρᾳ τομῇ [5] ἐβούλετο ἀνελεῖν.

Ὁ μὲν οὖν νωβελλίσιμος τοιούτῳ με λόγῳ ἠμείψατο· ὁ δὲ τυραννεύσας ἠρέμα τὴν κεφαλὴν ἐπισείσας καὶ μογισμὸν [6] καὶ δάκρυον

1. χ. τῶ. 2. χ. εστῶς. 3. χ. ἐκπεπολεμωμένων. 4. χ. τῆ. 5. χ. τὸ μὴ. 6. χ. μόγισμου.

τῶν ὀφθαλμῶν ἐπαφεὶς, ἀλλ' οὐκ ἄδικος ὁ θεὸς, οὕτως εἰπὼν, καί με ἡ δίκη [1] τῶν πεπραγμένων ποινὰς εἰσπράττεται! καὶ εἰπὼν αὖθις τῆς θείας τραπέζης ἐδράξατο· ἔπειτα δὴ καὶ τὴν τοῦ σχήματος ἐννόμως μεταμφίασιν ἐπ' αὐτῷ γενέσθαι καταξιοῖ. Καὶ τελοῦνται ἄμφω τῆς μεταμφιάσεως τὸ μυστήριον· καὶ ἦστην ὁμοῦ συντετριμμένω καὶ δειλιῶντε [2] καὶ τὴν τοῦ δήμου πεφοβημένω φοράν. Ἐγὼ μὲν οὖν ὤμην ἄχρι τούτου τὸν ταραχώδη προβήσεσθαι, καὶ τήν γε σκηνὴν ἀπεθαύμαζον, καὶ τὴν τῶν παθημάτων χορείαν [3] ἐξεπλητττόμην· τὸ δὲ ἦν ἄρα βραχύ τι προοίμιον χειρόνων τραγῳδιῶν· εἰρήσεται δὲ κατὰ μέρος ταῦτα.

Ἤδη γὰρ κλινούσης ἡμέρας ἐφίσταταί τις ἀθρόον τῶν ἄρτι τὰς εὐχὰς [4] κληρουμένων, ὡς ἀπὸ τῆς Θεοδώρας προστεταγμένον αὐτῷ ἐφ' ἕτερόν τινα τόπον μεταστῆσαι τοὺς πρόσφυγας, εἴπετο [5] δὲ αὐτῷ καὶ πληθὺς [6] πολιτική τε καὶ στρατιωτική· καὶ προσπελάσας τῷ βήματι οὗ ἐκεῖνοι καταπεφεύγασιν, ἰταμωτέρᾳ φωνῇ τὴν ἔξοδον αὐτοῖς προὔτρεπεν· οἱ δὲ, ὡς τό τε πλῆθος ἑωράκεισαν δημίων λόγους ἐπέχοντας καὶ τὸν ἄγοντα τεθέανται [7] παραδεικνῦντά τι τοῦ καιροῦ καὶ παρὰ τὸ ἦθος μεταβαλόντα [8] πρὸς τὸ θρασύτερον, οὔτ' ἔφασαν ἐξελεύσεσθαι, καὶ τῶν ἀνεχόντων τὴν ἱερὰν τράπεζαν κιόνων ἐδράξαντο εὐσθενέστερον· ὁ δὲ τοῦ θράσους ἀφέμενος ἐπιεικέστερον αὐτοῖς προσωμίλει, καθ' ἱερῶν τε ὀμνὺς, καὶ πάντα λόγον κινῶν, ὡς οὔτε [9] κακοῦ τινος πειραθήσονται, οὔτε βαρύτερος αὐτοῖς ὁ πεμφθεὶς γενήσεται τοῦ καιροῦ· οἱ δ' ἅπαξ ἀποδειλιάσαντες καὶ πᾶσαν ἐκ τῶν παρόντων συμφορὰν ὑποπτεύσαντες, ἐξεκεκώφεισαν ἐν τοῖς ἀδύτοις τυθήσεσθαι μᾶλλον ἑλόμενοι, ἢ ὕπαιθροι [10] γεγονότες πάσης ἐπιεικείας τυχεῖν. Ἐντεῦθεν ἐκεῖνος τῆς διὰ τῶν λόγων [11] πειθοῦς ἀπογνοὺς, ἐπὶ τὴν βίαν ἐλήλυθεν· ὡς δὲ προστά-

1. χ. ἠδίκη. 2. χ. δειλιῶνται. 3. χ. χορήαν. 4. γρ. ἀρχὰς. 5. χ. εἶπε. 6. χ. πληθοὶς. 7. χ. τεθέαντα. 8. χ. μεταβαλλόντα. 9. χ. οὔται. 10. χ. ὕπεθροι. 11. τὸν λόγον.

ξαντος, χεῖρας ἐπ' αὐτοὺς τὸ πλῆθος ἀνέτειναν, καὶ ἤδη καὶ παρανομεῖν ἐπεχείρησαν, ὡς θῆρες αὐτοὺς τῶν ἱερῶν ἀπελαύνοντες, ἐντεῦθεν ἐκεῖνοι πᾶσαν γοηρὰν[1] ἀφιέντες φωνὴν πρὸς τὴν ἱερὰν ποίμνην ἀπέβλεψαν, προσλιπαροῦντες μὴ ἐκπεσεῖν τῶν ἐλπίδων, μηδὲ προσπεφευγότας[2] θεῷ, ἐκεῖθεν ἀπελαθῆναι πικρῶς· καὶ οἵ γε πλείους πρὸς τὸ ἐκείνων πάθος ἐδυσωπήθησαν, καὶ ἐναντιωθῆσεσθαι μὲν τῇ τοῦ καιροῦ φορᾷ παντάπασιν οὐκ ἐτόλμησαν, ὁμολογίας δὲ παρὰ τοῦ πλήθους προσειληφότες καὶ τοῖς τοῦ ἄγοντος ὅρκοις πιστεύσαντες, ὡσπερεὶ συνθήκας ποιούμενοι, ἐκείνους τε τούτῳ παρέθεσαν, καὶ αὐτοὶ συνείποντο τούτοις, ἵν' οὕτως | εἴπω, φ. 358.
ἀπεληλαμένοις ἐπικουρήσαντες· ἀλλ' ἦν ἄρα οὐδὲν τὸ βοηθῆσον ἐκείνοις, οὕτω τῶν πραγμάτων ἀντιπεριστάντων καὶ πᾶσαν ψυχὴν ἐπ' ἐκείνους ἐρεθισάντων[3].

Οἱ γὰρ περὶ τὴν Θεοδώραν τὸ τῆς ἀδελφῆς εἰδότες ζηλότυπον, καὶ ὡς βούλοιτ' ἂν ἀσμένως τῶν περὶ τὸν ἱππῶνά τινα ἐπὶ τοῦ βασιλείου θρόνου θεάσασθαι ἢ τὴν ἀδελφὴν κοινωνήσουσαν αὐτῇ τῆς ἀρχῆς, καὶ λογισμὸν εἰκότα λαβόντες, μὴ διὰ ταῦτα τῆς μὲν κατολιγωρήσοι, ἐκεῖνον δὲ λαθραίως εἰς τὴν βασιλείαν αὖθις ἀναβιβάσοι, μίαν ἅπαντες ψῆφον τιθέασιν, ἐκ μέσου τὸν πεφευγότα ποιήσασθαι. Τὸ μὲν οὖν θάνατον τούτου καταψηφίσασθαι οὐ πάνυ[4] τοῖς ἐπιεικεστέροις ἤρεσκε, τὸ δ' ἄλλως πως ἀποσβέσειν αὐτοῖς τὰς ἐλπίδας μελετῶσί τε καὶ συντίθενται· καὶ ἀποστέλλουσιν ὅτι τάχιστα ἄνδρας ἰταμοὺς καὶ θρασεῖς, ἐγκεκελευσμένους, ἐπειδ' ἂν τούτους[5] θεάσονται ἔξω τοῦ θείου γεγονότας σηκοῦ, σιδήρῳ τοὺς ὀφθαλμοὺς ἐξελεῖν.

Οἱ μὲν οὖν ἤδη[6] ἐξήεσαν τοῦ νεώ, πομπὴ δὲ αὐτοὺς ὑποδέχεται ἄτιμος· ἡ γὰρ πληθὺς προσπαίξαντες τούτοις ὁπόσα[7] εἰκὸς τῷ καιρῷ, καὶ τὰ μὲν σὺν γέλωτι τούτοις ἐπισκιρτῶντες, τὰ δὲ ὑπο-

1. χ. γοϊράν. 2. χ. προσπεφευγέτας. 3. χ. αἱρεθισάντων. 4. χ. πάνοι. 5. χ. τούτοις. 6. χ. ἤδει. 7. χ. ὁπῶσα.

κινοῦντος αὐτοὺς τοῦ θυμοῦ, ὡς διὰ μέσης τῆς πόλεως ἐξάγουσιν ἄξοντες· οὔ πω δὲ πολλὴν προϊοῦσιν ὁδὸν, ὑπαντιάζουσιν αὐτοῖς οἷς ἐτέταλτο[1] ἐναποσβέσαι τούτοις τὰ ὄμματα. Καὶ δήλην τὴν ψῆφον πεποιηκότες, οἱ μὲν ἐπὶ τούτῳ παρεσκευάζοντο καὶ τὸ σιδήριον ἔθηγον· τοῖς δὲ, ἐπειδὴ τὸ κακὸν εἰς ὦτα[2] ἐλήλυθε καὶ οὐδὲ μία τις καταφυγὴ ἤλπιστο, τῶν μὲν ἀνευφημησάντων[3] ἐπὶ τοῖς δόξασι, τῶν δὲ μὴ ἀντεπιχειρούντων τοῖς ψηφισθεῖσιν, ἐπεσχέθη τε εὐθὺς ἡ φωνὴ καὶ μικροῦ δεῖν ἐτεθνήκεσαν, εἰ μή τις ἀνὴρ αὐτοῖς[4] ἐκ τῆς γερουσίας ἐγγύθεν συμπαραστὰς παρεμυθεῖτο τὴν συμφορὰν καὶ ἀνεκαλεῖτο καταβραχὺ ἀπαγορεύσασαν τὴν ψυχήν.

Ἀλλ' ὁ μὲν βασιλεὺς ἥττων καὶ τοῦ καιροῦ καὶ τῶν συμφορῶν γεγονὼς[5] τὴν αὐτὴν διὰ παντὸς τοῦ κακοῦ ἐδείκνυ διάθεσιν τῆς ψυχῆς, τὰ μὲν οἰμώζων, τὰ δ' ἐπικοπτόμενος τὴν φωνὴν, καὶ προσλιπαρῶν[6] εἴ πού τις αὐτῷ προσέλθοι, ἐπιεικῶς θεοκλυτῶν, χεῖρας ἱκέτιδας αἴρων πρὸς οὐρανὸν, πρὸς νεὼν[7], πρὸς ὀντινασοῦν. Ὁ δὲ γε θεῖος τοῖς αὐτοῖς μὲν καὶ οὗτος ἐχρῆτο πρότερον, ἐπεὶ δὲ παντάπασιν ἀπέγνω τὴν σωτηρίαν, ἦν δὲ καὶ τὸ ἦθος ἐμβριθέστερός τε καὶ εὐσταθέστερος καὶ πρὸς τὸ ῥεῦμα τῆς ψυχῆς ἀντιφερόμενος, ἐπιρρωσάμενος ἑαυτὸν καὶ οἷον πρὸς τὴν τῆς συμφορᾶς ἀνθοπλίσας φορὰν γενναιότερον ἐφεστήκει τοῖς πάθεσι· καὶ ἐπειδὴ τοὺς δημίους τεθέαται ἱκανῶς ἐπὶ τοῦργον παρασκευασθέντας, πρῶτον ἑαυτὸν τῇ τιμωρίᾳ ἐπιρρίπτει καὶ ταῖς φονώσαις πρόσεισι χερσὶν ὁμαλῶς· ἐπεὶ δὲ οὐκ ἦν ὅλως μεταίχμιον[8] τῆς πολιτικῆς ἐκείνης φάλαγγος, ἀλλ' ἕκαστος τῶν παραγενομένων πρῶτος ἐβούλετο θεωρὸς τῶν τιμωρουμένων γενέσθαι, ὁ νωθελλίσιμος ἀτρέμα τοὺς ὀφθαλμοὺς ἐπιστρέψας εἴ που ἴδοι τὸν ἐπιτετραμμένον τὴν τραγῳδίαν, « ἀλλὰ σύ γε, φησὶ, τὴν φάλαγγά μοι διάστησον, ὅπως ἄν σοι γενναιότερον φανείην τὴν συμφορὰν ὑφιστάμενος ». Ἐπεὶ δὲ καὶ ὁ δῆμος[9]

1. γρ. ἐνετέταλτο. 2. χ. ὦτα. 3. χ. ἀνεφημησάντων. 4. χ. αὐτῆς. 5. χ. γεγονὸς. 6. χ. πρὸς λιπαρῶν. 7. χ. νέων. 8. χ. μετάγχμι. 9. γρ. δήμιος.

καταδεσμήσειν αὐτὸν ἐπεχείρει, ὅπως ἂν μὴ κινοῖτο τυφλούμενος, « σὺ δέ φησιν, ἀλλ' ἦν ἴδῃς οὕτω ποιοῦντα, καὶ προσπατάλευσον! » Καὶ εἰπὼν ὑπτιάζει τῇ γῇ, μήτέ τι τοῦ χρώματος ἀλλοιώσας, μήτε φωνὴν ἀφιεὶς, μήτε στεναγμὸν ἀποπέμψας, ἀλλὰ μὴ δ' ὅτι ζῇ πιστευόμενος. Τῷ[1] μὲν οὖν καταμέρος οἱ ὀφθαλμοὶ διεκόπτοντο· ὁ δὲ βασιλεὺς, ἐφ' ἑτέρῳ πάσχοντι τὴν οἰκείαν προτυπούμενος συμφορὰν, τὸ ἐκείνου πάθος ἐπλήρου ἐν ἑαυτῷ, τὼ χεῖρε κροτῶν, μᾶλλον δὲ ταῖς χερσὶ τύπτων τὸ πρόσωπον καὶ μυκώμενος[2] γοερῶς.

Ὁ μὲν οὖν τοὺς ὀφθαλμοὺς ἐκκοπεὶς ἀνέστη τε τοῦ ἐδάφους καί τινι τῶν οἰκειοτάτων ἐπερεισθεὶς, τοῖς τε προσιοῦσιν ὡμίλει θαρραλεώτερον, καὶ ὡς οὐδὲν ἦν αὐτῷ εἰ καὶ τεθνήξαιτο, τοῦ καιροῦ γίνεται δυνατότερος. Τὸν δὲ βασιλεύσαντα, ἐπειδὴ ἀποδειλιάσαντα ὁ τιμωρὸς ἐθεάσατο καὶ πρὸς λιπαρήσεις ἀποκλιθέντα, δεσμεῖ ἀσφαλέστερον καὶ κατέχει ῥωμαλεώτερον[3], ὅπως ἂν μὴ σπαράττοιτο τιμωρούμενος· ἐπεὶ δὲ τούτῳ οἱ ὀφθαλμοὶ ἐξερρυήκεσαν, λήγει τοῖς πολλοῖς τὸ πολὺ θράσος ἐκεῖνο καὶ ἡ ἐπ' ἐκείνους ὁρμή. Καὶ τοὺς μὲν αὐτοῦ που προαναπαύουσιν, αὐτοὶ δὲ πρὸς τὴν Θεοδώραν καὶ αὖθις συνώρμησαν· καὶ δυοῖν βασιλίδαιν τὴν μὲν ἡ βασίλειος εἶχεν αὐλὴ, τὴν δὲ ὁ μέγας τῆς θείας Σοφίας περίβολος.

Οἱ δὲ τῆς πρώτης βουλῆς οὐκ εἶχον ὅπη μᾶλλον προνεύσειαν[4]· τὴν μὲν γὰρ ἐπὶ τῶν βασιλείων διὰ τὴν πρεσβυγένειαν κατεσέβοντο, τὴν δ' ἐπὶ τοῦ νεὼ, ὅτι δι' αὐτῆς ἡ τυραννὶς καταλέλυτο, καὶ αὐτοὶ τὰς τῆς σωτηρίας ἐλπίδας οὐκ ἀπεγνώκεισαν. Ἀμφήριστον[5] οὖν αὐταῖς ἐγεγόνει τὸ κράτος· ἀλλ' ἡ τὴν ἡλικίαν πρεσβεύουσα ἀδελφὴ λύει τούτοις τὸ τῆς γνώμης ἀμφίβολον, καὶ τὴν ἀδελφὴν τότε πρῶτον ἀσπάζεται καὶ ἀγκαλίζεται[6] εὐμενῶς, καὶ τὸν τῆς βασιλείας κλῆρον ἑαυτῇ τε κἀκείνῃ συνδιαιρεῖ· καὶ οὕτως αὐτῇ

1. χ. τὸ. 2. χ. μυκόμενος. 3. χ. ρωμαλαιότερον. 4. γρ. προσνεύσειαν. 5. χ. ἀμφίρηστον. 6. χ. ἐγκαταλίζεται.

συνομολογήσασα τὰ πρὸς τὴν ἀρχὴν, σὺν λαμπροτάτῃ πομπῇ ἐφ'
φ. 359. ἑαυτὴν προσκαλεῖται, καὶ κοινωνὸν | τοῦ κράτους ποιεῖται. Καὶ ἡ μὲν οὕτως· ἡ δέ γε Θεοδώρα οὐ πάντη τὴν πρὸς τὴν ἀδελφὴν αἰδῶ ἀποτίθησιν, οὐδὲ τὸ πρεσβεῖον ἀφαιρεῖται τοῦ ἀξιώματος, ἀλλὰ τοῦ σεμνοτέρου ταύτῃ παραχωρεῖ σχήματος, ἵν' ὁμοῦ καὶ συμβασιλεύει καὶ ὑπόκειται τῇ ἀδελφῇ.

ΤΟΜΟΣ ΕΚΤΟΣ.

Περιΐσταται οὖν ἡ βασιλεία ταῖς δυσὶ ἀδελφαῖς, καὶ τότε πρῶτον ὁ καθ' ἡμᾶς χρόνος τεθέαται γυναικωνῖτιν [1] μετασχηματισθεῖσαν εἰς βασιλικὸν βουλευτήριον, καὶ τό τε πολιτικὸν πλῆθος, τό τε στρατιωτικὸν συμφωνοῦντας ὑπὸ δεσπότισι, καὶ μᾶλλον αὐταῖς πειθομένους, ἢ εἴ τις βλοσυρὸς [2] αὐτοῖς προσεκάθητο καὶ ἐπέταττε σοβαρώτερον. Οὐ γὰρ οἶδα εἴ τι ἕτερον γένος ὡς τὸ περὶ ἐκείνας ἠγάπηται τῷ θεῷ, καὶ θαυμάζω κατανοῶν, ὅτι μὴ ἐννόμως αὐταῖς τῆς ῥίζης παγείσης καὶ φυτευθείσης, ἀλλὰ φόνοις καὶ αἵμασιν, οὕτω τὸ φυτευθὲν ἐξηνθήκει καὶ τοσαύτας προὐβάλλετο βλάστας, καὶ ἑκάστην μετὰ τοῦ βασιλείου καρποῦ, ὡς μὴ ἔχειν ἑτέρας ἀντισυγκρίναι ταύταις, οὔτε πρὸς κάλλος, οὔτε πρὸς μέγεθος· ἀλλὰ τοῦτο μὲν ὡς λόγος ἕτερος παρεμβέβληται τῷ συγγράμματι.

Αἱ γοῦν ἀδελφαὶ μόναι τέως βασιλεύειν ἐλόμεναι, οὔτε διὰ νέων προστατῶν καθίστασαν τὰ βασίλεια, οὔτε καινοτομεῖν ἀθρόον τὰ ὑπάρξαντα ἐπεχείρησαν, ἀλλὰ μόνους τοὺς ἀπὸ τοῦ τυραννικοῦ γένους μεταστησάμεναι, τοῖς ἄλλοις, ὡς πιστοτάτοις καὶ πατρῴαν

1. χ. γυναικωνίτην. 2. χ. βλωσυρὸς.

αὐταῖς [1] τηροῦσιν εὔνοιαν, ἐχρῶντο πρὸς τὰς ἀρχάς· οἱ δεδιότες [2] μή τινα ἑαυτοῖς ἐς τὸν μέλλοντα χρόνον προενεχθείη ἐγκλήματα, ἢ τῆς τῶν καθηκόντων [3] καινοτομίας, ἢ βουλευμάτων ἀλογίστων, ἢ πράξεων ἀθεμίτων, περὶ πάντων ἠκρίβουν στρατιωτικῶν τε ὁμοῦ καὶ πολιτικῶν πραγμάτων, καὶ ὡς ἐνὸν ἀμφοτέραις τὸ καθῆκον ἀπένειμον. Σχῆμα δὲ βασιλείας ταῖς ἀδελφαῖς ἐποιοῦντο ὁποῖον καὶ τοῖς φθάσασιν εἴθιστο αὐτοκράτορσι· προκάθηντο γὰρ ἄμφω τοῦ βασιλικοῦ βήματος ἐπὶ μιᾶς ὥσπερ γραμμῆς βραχύ τι πρὸς τὴν Θεοδώραν παρεγκλινούσης, καὶ ἀγχοῦ μὲν οἱ ῥαβδοῦχοι καὶ ξιφηφόροι καὶ τὸ γένος ὅσοι τὸν πέλεκυν ἀπὸ τοῦ δεξιοῦ ὤμου κραδαίνουσι· τούτων δὲ ἐνδοτέρω μὲν τὸ ἄγαν εὐνούστατον καὶ οἱ διαχειριζόμενοι τὰ καθήκοντα· περιεστεφάνου δὲ αὐτὰς ἔξωθεν ἑτέρα τις δορυφορία δευτέραν ἔχουσα τάξιν τῆς πιστοτέρας, σὺν αἰδοῖ ζύμπαντες καὶ βλέμματι ἀπερειδομένῳ πρὸς τὴν γῆν· μεθ' οὓς ἡ πρώτη βουλὴ καὶ ἡ τάξις ἡ ἔκκριτος, καὶ ἐφεξῆς οἱ τὰ δευτερεῖα λαχόντες καὶ αἱ τριττύες [4], στιχηδὸν πάντες καὶ συνηρμοσμένοι ἐκ διαστήματος· καὶ ἐπὶ τούτοις τἆλλα ἐγίνετο, δικῶν διαλύσεις, δημοσίων ἀμφισβητήσεις, ἢ συνεισφοραὶ, χρηματισμοὶ πρέσβεων, ἀντιλογίαι, ἢ συνομολογίαι, καὶ τἆλλα ὁπόσα τὴν βασιλείαν οἶδε πληροῦν. Καὶ ὁ μὲν πλείων λόγος παρὰ τῶν τὴν ἀρχὴν διατιθεμένων ἐγίνετο, δεῆσαν δέ ποτε καὶ αἱ βασιλίδες ἠρεμαίᾳ φωνῇ προσέταττον, ἢ ἀπεκρίνοντο, τὸ μέν τοι καὶ διδασκόμεναι καὶ παρὰ ξυνιέντων λαμβάνουσαι, τὸ δέ τοι [5] καὶ τοῖς οἰκείοις λογισμοῖς ἀποχρώμεναι.

Ἵνα δέ τι καὶ περὶ τῶν ἠθῶν ταῖν [6] βασιλίδαιν ἀναδιδάξω τοὺς οὐκ εἰδότας, ἡ μὲν πρεσβυτέρα τὴν ἡλικίαν Ζωὴ ἑτοιμοτέρα ἦν τὴν ψυχὴν πρὸς ἐνθύμημα, βραδυτέρα δὲ τὴν γλῶτταν πρὸς ὁμιλίαν· τῇ δέ γε Θεοδώρᾳ ἄμφω ἀντίστροφα, οὔτε γὰρ ταχὺ

1. χ. αὐτοῖς. 2. χ. οἱ δὲ διότες. 3. χ. καθ' ἡκότων. 4. χ. τριτύαις. 5. χ. τι. 6. χ. τῶν.

ἐπεδείκνυ τὸ βούλευμα τῆς ψυχῆς, καὶ ἅπαξ εἰς ὁμιλίαν [1] ἑαυτὴν ἀφιεῖσα ἐστωμύλετο δοκίμῳ καὶ διεγειγερμένῃ φωνῇ· καὶ ἡ μὲν Ζωὴ ἐπιρρεπὴς ἦν πρὸς ὅ τι καὶ βουληθείη, καὶ τὴν χεῖρα πρὸς ἄμφω ἡτοίμαστο κατὰ τὸ ἴσον ὀξύτατα, θάνατον φημὶ καὶ ζωήν, καὶ ἐῴκει κατὰ τοῦτο τὸ μέρος κύμασι θαλαττίοις καὶ ἀπαιωροῦσι τὴν ναῦν καὶ αὖθις βαπτίζουσιν· οὐ μέντοι γε ἐκ τοιούτων ἡ Θεοδώρα κεχαρακτήριστο, ἀλλ' ὁμαλὸν εἶχε τὸ φρόνημα καὶ καθ' ἕτερον μέρος, ἵν' οὕτως εἴπω ἀμβλύ· καὶ ἡ μὲν ἀφειδὴς ἦν τὴν χεῖρα καὶ οἷα [2] θάλατταν αὐθημερὸν ἐξαντλῆσαι ψιγμάτων χρυσῶν περιπλήθουσαν, ἡ δὲ ἠρίθμει τοὺς στατῆρας διδοῦσα, τὸ μέν τοι [3] οὐδ' ἔχουσα τῶν πηγῶν ἀπαντλεῖν ἀφθόνως, τὸ δὲ καὶ ἐγκρατεστέραν πως περὶ τούτῳ κληρωσαμένη ψυχήν. Καὶ ἵνα γε μηδὲν περικαλυψάμενος εἴπω, οὐ γὰρ ἐγκωμιάζειν νῦν [4] ἐπιβέβλημαι, ἀλλ' ἱστορίαν ἀκριβῆ ξυντιθέναι, οὐδὲ μιᾷ τὸ φρόνημα πρὸς ἀρχὴν αὔταρκες· οὔτε γὰρ οἰκονομεῖν εἴδεσαν [5], οὔτε στερροτέροις λογισμοῖς χρῆσθαι περὶ τὰ πράγματα, τὰ πλεῖστα δὲ τὰ τῆς γυναικωνίτιδος παίγνια τοῖς βασιλικοῖς κατεκίρνων σπουδάσμασι· καὶ αὐτὸ [6] δὲ τὸ τῆς πρεσβυτέρας τῶν ἀδελφῶν παρὰ πολλοῖς τήμερον εὐφημούμενον, ὅτι δὴ πολλοῖς καὶ ἐπὶ πολλοῖς χρόνοις ἀφθόνως διδοῦσα ἐξήρκεσε [7], τοῖς μὲν εἰληφόσιν ἤδη ἐξ ὧν εὐπεπόθεσαν εἰς ἔπαινον καθέστηκεν ἀφορμὴ, τὸ δὲ τὰ πάντα διαλυμηνάμενον καὶ τὴν Ρωμαίων τύχην εἰς τὸ ὕστατον καθελὸν [8], οὐδὲν ἄλλο ἢ τοῦτο πρωταίτιον γέγονε· χαρακτηριστικωτάτη μὲν γὰρ τὸ εὐεργετεῖν τοῖς βασιλεύουσιν ἀρετὴ, ἀλλ' εἰ μὲν συγκρίσει τὸ πρᾶγμα γίνοιτο καὶ παραλαμβάνοιτο καιρός τε καὶ τύχη καὶ ἡ τῶν προσώπων διαφορὰ, ἡ πρᾶξις ἀξιοζήλωτος, τούτων δὲ μὴ
φ. 360. διακρινομένων | , ἡ δαπάνη κενόσπουδον.

Τοῖς τε ἤθεσιν οὕτως αἱ ἀδελφαὶ διηροῦντο, καὶ τὴν μορφὴν ἐπὶ

1. χ. ὁμολία. 2. χ. οἶα. 3. χ. τι. 4. χ. ὖν. 5. χ. ἤδεσαν. 6. χ. ἀτὸ. 7. ἐξήρκεσαι. 8. καθελὼν.

πλέον παρήλλαττον· ἡ μὲν γὰρ τῷ χρόνῳ πρεσβεύουσα περιπληθεστέρα τὴν φύσιν ἐτύγχανεν οὖσα, καὶ τὴν ἡλικίαν οὐ πάνυ ἀναδεδράμηκεν, ὀφθαλμός τε αὐτῇ μέγας ὑπὸ βλοσυρᾷ [1] τῇ ὀφρύϊ [2] διέσχιστο, καὶ ἡ ῥὶς ἀπεκρέμματο [3] βραχύ τι καμπτομένη καὶ ὅσον μὴ κάμπτεσθαι, τήν τε κόμην εἶχε ξανθὴν, καὶ τὸ σῶμα δι' ὅλου λάμπον [4] λευκότητι· αἱ δὲ τῶν χρόνων αὐτῇ περίοδοι ἐν ὀλίγοις τισὶ συμβόλοις ἀπεσημαίνοντο· εἰ δέ τις αὐτῇ τὴν εὐρυθμίαν τῶν μελῶν διαθρήσειε, μήπω εἰδὼς ὅ τι ὁρῴη, ἠδῶσαν ἄρτι προσεῖπεν· ἐρρυσσοῦτο γὰρ οὐδὲν αὐτῇ μέρος τοῦ σώματος, ἀλλὰ λεῖον τὸ ξύμπαν καὶ ἀποτεταμένον, καὶ ῥυτὶς οὐδαμοῦ χαλαρά. Ἡ δέ γε Θεοδώρα ἐπιμηκεστέρα τε τὴν ἡλικίαν ἐτύγχανεν οὖσα, καίπερ ὠπτισμένη τὸ σῶμα, τό τε πρόσωπον ἐνδεῶς ἔχουσα καὶ πρὸς τὸ λοιπὸν σῶμα ἀσύμμετρον, ἑτοιμοτέρα δὲ καὶ τὴν φωνὴν ὥς μοι εἴρηται καὶ τὴν κίνησιν· καὶ γοργὸν μὲν οὐχ ὁρῶσα, ἐπίχαρες [5] δὲ καὶ σὺν γέλωτι, καὶ πρὸς πᾶσαν φωνὴν ἐπιτρέχουσα.

Τοιαῦτα μὲν ἀμφοῖν καὶ τὰ φρονήματα καὶ τὰ σώματα· τὸ δὲ τῆς ἀρχῆς ἀξίωμα ἐδόκει μὲν τηνικαῦτα σεμνότερον ἀποδεικνύεσθαι καὶ πρὸς ἀξίωσιν αἴρεσθαι, τῶν πλειόνων ἀθρόως ὥσπερ ἐν σκηνικοῖς σχήμασι μεταμορφουμένων πρὸς τὸ λαμπρότερον, τό τε τῶν ἐπιδόσεων μέγεθος οἷον οὐδέ ποτε, τῆς βασιλίδος μάλιστα Ζωῆς οὐ τὰς πηγὰς μόνον ἀναστομούσης τῶν βασιλικῶν θησαυρῶν, ἀλλὰ καὶ εἴ τις λιβὰς ἐν αὐτοῖς κατέκρυπτο καὶ ταύτην προχεούσης ἐκτός· τὰ δὲ οὐδὲ παρείχετο, ἀλλ' ἐσυλᾶτο, ἢ διηρπάζετο· ἦν δ' ἄρα τὸ ξύμπαν καὶ ὁ ἐς τὸ ἄγαν μετεωρισμὸς ἀρχὴ τῆς τῶν πραγμάτων ἐς τὸ ἀντίθετον καταγωγῆς τε καὶ ταπεινώσεως· ἀλλὰ τοῦτο μὲν οἷον ἐν μαντίαις καὶ τῶν συνετωτέρων ταῖς ὑπολήψεσι. Τὰ μέντοι γὰρ τῶν στρατιωτῶν ἆθλα καὶ οἱ τῆς στρατηγίας πόροι ἐφ' ἑτέρους οὐδὲν δέον μετεκινοῦντο καὶ μετετίθεντο (πλῆθος

1. χ. βλοσυρῷ. 2. χ. ὀφρύϊδι. 3. γρ. ὑπεκρέματο, 4. λάμπων. 5. γρ. ἐπίχαρις.

οὗτοι κολάκων καὶ ἡ τηνικαῦτα τῶν βασιλίδων δορυφορία), ὥσπερ ἐπὶ τούτοις τοῦ αὐτοκράτορος Βασιλείου τοὺς βασιλείους θησαυροὺς χρημάτων ἐμπεπληκότος.

Τοῖς μὲν οὖν πολλοῖς δοκεῖ νῦν πρῶτον τὰ πέριξ ἡμῶν ἔθνη ἐπὶ τὰ Ρωμαίων κεχύσθαι ὅρια ἀθρόον καὶ παρ' ἐλπίδα ἐπεισκωμάσαντα[1], ἐμοὶ δὲ τότε τὸ δωμάτιον καταλέλυται, ὁπηνίκα καὶ οἱ περισφίγγοντες τοῦτο δεσμοὶ διαλύονται· εἰ δὲ[2] οἱ πολλοὶ μὴ ἠσθάνοντο[3] τὴν ἀρχὴν τοῦ κακοῦ, ἀλλ' ἐκεῖνό γε ἐκ τῆς πρώτης ἐκείνης ὑποθέσεως ἐπεφύετο καὶ συνίστατο, καὶ ἡ τηνικαῦτα τῶν νεφῶν συνδρομὴ τὸν μέγαν νῦν προκατεσκεύακεν ὑετόν· ἀλλ' οὔπω περὶ τούτων.

Περὶ τῆς βουλῆς τῆς Ζωῆς τοῦ τίνα ἂν ἀγάγοι[4] εἰς τὴν βασιλείαν.

Εἰρήσεται δὲ ἐν τοῖς ἑξῆς ἀληθέστερόν τε καὶ συνετώτερον. Ἔδει μὲν γὰρ εὐθὺς τοῖς πράγμασι γενναίας καὶ ἔμφρονος διοικήσεως καὶ ἐπιστασίας ἀνδρὸς, καὶ κατὰ χεῖρα γενναίου καὶ δοκιμωτάτου τοῖς πράγμασι, μὴ τὸ ἐνεστὼς μόνον ὁρῶντος, ἀλλὰ καὶ εἴ τι ἀλόγιστον παρελήλυθεν καὶ ὅ,τι ἐκεῖθεν ἀναφυήσεται, καὶ προσεπιχειρεῖν τοῦ μέλλοντος καὶ πόρρωθεν ἵστασθαι καὶ πρὸς πᾶσαν ἐμβολήν τε καὶ ἔφοδον· ἀλλὰ τὸ φίλαρχον ἢ τὸ ἄναρχον, καὶ ἡ δοκοῦσα ἐλευθερία, καὶ τὸ μὴ ὑπὸ λογισμοῖς[5] εἶναι, καὶ ἡ τοῦ πλείονος ἔφεσις τὸν βασιλικὸν ἀνδρῶνα γυναικωνῖτιν πεποίηκεν. Ἀλλ' οὐδὲ οὕτω τοῖς πολλοῖς ἤδραστο τὰ βουλεύματα· ἀλλ' ἐπειδὴ ἄλλη τις ἐπ' ἄλλῃ φήμη διεθρυλλεῖτο[6], ἢ συμβαίνουσα ἢ ἐναντίως ἔχουσα· οἱ μὲν γὰρ τῇ Θεοδώρᾳ τὴν ἀρχὴν προσήκειν ἐνόμιζον, ἅτε καὶ αἰτίῳ τῆς τῶν πολλῶν σωτηρίας καὶ οὔπω εἰς πεῖραν

1. χ. ἐπισκωμάσαντα. 2. χ. οἱ δὲ. 3. χ. ἠσθάνατον τὸ. 4. χ. ἀγάρι. 5. χ. ὑπολογισμοῖς. 6. χ. διεθρηλλεῖτο.

ἐλθούσῃ ἀνδρὸς, τοῖς δὲ ἡ ἑτέρα τῶν ἀδελφῶν καταλληλοτέρα [1] ἐδόκει τῷ κράτει, ὡς καὶ τὸ σεμνότερον ἤδη προειληφυῖα, καὶ τὸ φιλότιμον ἀνυπέρβλητον ἔχουσα.

Ἐπεὶ τοιγαροῦν οὕτω τοῖς πολλοῖς αἱ φῆμαι διεμερίζοντο, προλαμβάνει τὰς τῶν πολλῶν δόξας ἡ πρεσβεύουσα ἀδελφὴ καὶ εἰς αὐτὴν αὖθις ὅλην ἀναρτᾷ τὴν ἀρχήν· εἶτα δὴ ἐσκοπεῖτο καὶ ἐκρίνετο ὁ καὶ τῷ γένει λαμπρότερος καὶ τὴν τύχην ἐπισημότερος, εἴ τε ἐκ τῶν συγκλητικῶν θρόνων οὗτος εἴη, εἴ τε τῶν στρατιωτικῶν καταλόγων. Ἦν δέ τις ἀνὴρ τὸ τηνικαῦτα μετὰ τῶν ἄλλων, καὶ τὸ εἶδος οἷος οὐκ ἄλλος, ᾧ πατρὶς μὲν ἡ Θάλασσα, χωρίον ἐπισημότατον, Κωνσταντῖνος δὲ τοὔνομα, ὥσπερ εἰς ἀρχικὸν ὄγκον παρεσκευασμένος παρὰ τῆς φύσεως· οὔπω γὰρ δεκαέτης ἐγεγόνει καὶ ἡ φήμη τοῦτον εἰς τὴν κρείττονα ἦρεν ὑπόληψιν· ἐδεδοίκεσαν γοῦν τὸν ἄνδρα οἱ βασιλεύοντες καὶ πάντες αὐτῷ τὴν εἰς τὰ βασίλεια πορείαν ἀπέφραττον, ὁ δέ γε Παφλαγὼν Μιχαὴλ καὶ κατακλείσας εἶχεν, οὐ μᾶλλον ἐκεῖνον δεδιὼς ἢ [2] τοὺς πολλοὺς ἐπ' αὐτῷ· ὀρθὴ γὰρ ἡ πόλις ἐγεγόνει ἰδοῦσα τὸν ἄνδρα, καὶ μετεώριστο ὡς αὐτίκα τι ὑπὲρ αὐτοῦ διαπράξασα· ἀλλ' ὁ μὲν ἐν φρουρίῳ καθειρξας ἐφύλαττεν· ὁ δέ γε μετ' ἐκεῖνον βασιλεύσας ἀνεψιὸς, ὁμοῦ τε τοῖς βασιλικοῖς θρόνοις ἐγκαθιδρύθη, καὶ σβεννύει τούτῳ τὴν τῆς βασιλείας ὑπόληψιν· μετασχηματίζει | γὰρ αὐτῷ τὴν περι- φ. 381.
βολὴν, καὶ μετὰ τῶν μελαμφορούντων ἱστᾷ [3], οὐχ ὡς εὔνους συμβιβάζων θεῷ, ἀλλ' ὡς δύσνους ἀπάγων τοῦ ὑπονοουμένου σκοποῦ· ἀλλ' ὁ μὲν ἔστεργε τὴν ψυχὴν, ὁ δὲ καιρὸς τοῦτον ἐκάλει πρὸς τὴν ἀρχὴν, καὶ εἶχε τοῦ τὸ σχῆμα μεταβαλεῖν ἐγγὺς τὸ [4] παράδειγμα· ἡ γὰρ βασιλὶς τὸ πρῶτον παθοῦσα, ἐπεποιήκει τὸ δεύτερον· καὶ προήχθη ταύτῃ ἐπ' ἄλλο τι μεταβεβλημένος· ἀποτομώτερον δὲ τοῖς λόγοις χρησάμενος καὶ γενναιοτέρων ἐνθυμημάτων περὶ τῆς βασιλείας ἁψάμενος, καὶ μηδέν τι τοῦ γενναίου καθυφεὶς

1. χ. καταλληλωτέρα. 2. χ. ἡ. 3. χ. ἱστᾷ. 4. χ. τῷ.

λήμματος, δυστυχέστερος τοῖς πολλοῖς ἔδοξε καὶ τὸ ἦθος βαρύτερος, καὶ τῶν προσδοκιῶν ἀπώσθη ὑποπτευθείς.

Αὖθις οὖν αἱ ψῆφοι μετεκυβεύθησαν· ἀνὴρ οὗτος τὴν μὲν τύχην οὐ πάνυ διάσημος, τὸ δὲ εἶδος ἀξιωματικὸς καὶ λαμπρός· ὑπογραμματεύων δὲ τῷ βασιλεῖ Ρωμανῷ, οὐκ ἐκείνῳ μόνῳ προσηκων ὥπτο τοῖς πράγμασιν, ἀλλὰ καὶ τῇ βασιλίδι ἐρασμιώτατος ἔδοξεν, ἔνθεν τοι καὶ αἰτίαν ἔσχεν, ὡς λεληθότως τῷ ἀνδρὶ πλησιάζοι. Ὁ μὲν οὖν Ρωμανὸς οὐ πάνυ ζηλότυπος ὢν [1], καὶ πρὸς τὴν τοιαύτην φήμην λασιόκωφος γέγονεν· ὁ δέ γε Μιχαὴλ μεθιστᾷ τοῦτον τῶν βασιλείων, καὶ σχήματι σεμνοτέρας ἀρχῆς ἀπάγει τῆς πόλεως· ἐνενεύκει γοῦν πρὸς τοῦτον ἡ βασιλὶς, καὶ μετάκλητος γεγονὼς ὡμίλησε τῇ βασιλίδι, πρὸς τὸ ἐκείνῃ ἀρέσκον τὸ ἦθος μεταμορφώσας· καὶ ἤδη που πρὸς αὐτὸν πάντες ἐπιρρεπεῖς ἐγεγόνεισαν, ἀλλ' ἀφαρπάζει νόσος [2] ἀθρόον καὶ τῶν ἐλπίδων ἐπάγει. Ἔμελλε δ' ἄρα τῶν σκήπτρων ἐγκρατὴς ἔσεσθαι ὁ τοῦ Θεοδοσίου παῖς Κωνσταντῖνος, ῥίζης ἀρχαίων [3] τῶν Μονομάχων τελευταῖος κατὰ τὴν οἰκείαν τάξιν βλαστὸς, περὶ οὗ πολὺς ἡμῖν ἐπιρρεύσει λόγος, ἐπειδὰν εἰς τὸ τῆς ἡγεμονίας ἐκείνου πέλαγος ἀφῶμεν αὐτούς· χρόνον τε γὰρ πλείω τῶν μετὰ τὸν [4] Βασίλειον ἀρξάντων βεβασιλεύκει, καὶ πλεῖστα τῶν ἄλλων ἐπεπράχει, τὰ μὲν ἐκείνων κρείττονα, τὰ δὲ καὶ χείρω καταπολύ· τί γὰρ δεῖ μὴ τ' ἀληθῆ λέγειν; ἐγώ τε εὐθὺς ἐκείνῳ βεβασιλευκότι ὑπηρετηκὼς [5] διὰ πάντων καὶ εἰς τὴν κρείττω [6] τάξιν ταχθεὶς, πιστευθείς τε τὰ τιμιώτατα, ὥστε μηδὲν ἀγνοεῖν [7] μεθ' ὧν εἰς προὔπτον ἐτετελέκει, μεθ' ὧν ἀφανῶς πεποιήκει, τὸ μέτρον εἰκότως τῶν εἰς τοὺς ἄλλους βασιλέας λόγων ὑπερβήσομαι.

1. χ. ὤν. 2. χ. ἀφαρπάζειν δσος. 3. γρ. ἀρχαίας. 4. χ. μετὰ τῶν. 5. χ. ὑπηρετικῶς. 6. χ. κρίττω. 7. ἀγνω εἶν.

Περὶ τοῦ πῶς καὶ τίνι τρόπῳ ὁ βασιλεὺς Κωνσταντῖνος ἀνήχθη παρὰ τῆς Αὐγούστης εἰς τὰ βασίλεια.

Ἀλλ' οὔπω μὲν περὶ τούτων· εἰρήσθω δὲ ὅπως κἀκ τίνων αἰτιῶν, τίσι τε χρησάμενος τύχαις ἐπὶ τὸ βασιλεύειν ἐλήλυθεν. Οὗτος γὰρ γένους ἕνεκεν τὰ πρῶτα τῆς βασιλείας φερόμενος, πολλῷ τε πλούτῳ κομῶν, καὶ κάλλει διαπρεπὴς ὤν, ἀμφήριστος εἰς κηδείαν ταῖς ὑπερτίμοις ἔδοξε γενεαῖς, καὶ κηδευθεὶς τὰ πρῶτα τῷ πρώτῳ τῶν ἐπισήμων ἀνδρῶν, ἐπειδὴ νόσῳ τὴν γυναῖκα ἀπέβαλεν, εἰς δεύτερον κῆδος αὖθις ἁρπάζεται· ὁ γὰρ αὐτοκράτωρ Ρωμανὸς εἰς τὸν ἰδιωτικὸν βίον ἔτι τελῶν, ἐπισημότατος δὲ παρὰ πᾶσιν ὢν ἀξιώματος ἕνεκα καὶ τῆς κρείττονος[1] ὑπολήψεως, ἠγαπήκει τὸν ἄνδρα τοῦ τε ἄνθους τῆς ἡλικίας καὶ τῆς τοῦ γένους μεγαλοπρεπείας, καὶ ἐγκεντρίζει τοῦτον τῷ γένει νεόφυτον κάλλιστον εἰς πιστότατον καλλιέλαιον· τὸ δὲ ἦν ἡ τῆς ἀδελφῆς ἐκείνου Πουλχερίας θυγάτηρ, ἥτις πάλαι Βασιλείῳ τῷ Σκληρῷ συζευχθεῖσα, ὃν ὕστερον ἡ τύχη τῶν ὀφθαλμῶν ἀπεστέρησε, μονογενοῦς θυγατρὸς ἐγεγόνει[2] μήτηρ. Ἐπεὶ δὲ συνήφθη ταύτῃ ὁ Κωνσταντῖνος, τῷ μὲν γένει ὑπὲρ τοὺς ἄλλους διέλαμπεν, οὕπω δὲ τῶν ὑπερηφάνων τετυχήκει ἀρχῶν· οἱ γὰρ περὶ τὸν αὐτοκράτορα Βασίλειον ἐμεμήνεσαν[3] τούτῳ, μίσους ἕνεκα πατρικοῦ· ὁ γάρ τοι πατὴρ ἐπὶ τυραννικαῖς αἰτίαις ἁλοὺς, μῖσος παρὰ τῶν βασιλέων ὥσπερ κληροδοτεῖ τῷ παιδί· διὰ ταῦτα οὔθ' ὁ αὐτοκράτωρ Βασίλειος, οὔθ' ὁ Κωνσταντῖνος ταῖς πολιτικαῖς τοῦτον προῆγον ἀρχαῖς, ἀλλ' ἀφωσιοῦντο, δεινὸν μὲν οὐδὲν τούτῳ ἐπάγοντες, ἀλλ' οὐδὲ τῆς κρείττονος ἀξιοῦντες μοίρας. Ἐπεὶ δὲ ὁ Ρωμανὸς βεβασιλεύκει, οὐδ' οὗτος[4] μεγαλοπρεπές τι ἐπ' αὐτὸν ἐπεπράχει, οἷος ἐκεῖνος διημαρτημένος περὶ τὰς κρίσεις, ἀλλ' οὖν ἔν τε ταῖς βασιλείοις εἶχεν αὐλαῖς, καὶ εἰ δι' ἄλλο μηδὲν

1. χ. κρίττονος. 2. χ. ἐγεγόνε. 3. ἐμεμίνεσαν. 4. χ. οὕτως.

διά γε τὴν πρὸς τὸν Ρωμανὸν ἀγχιστείαν ἐπισημότατος ἦν. Ἐπεὶ δὲ ἀνθοῦν εἶχε τὸ πρόσωπον καὶ οἷον ἐαρινή τις ὀπώρα τῷ καθ' ἡμᾶς βίῳ ἐχρημάτιζε, χάριτός τε ἔμπλεω τὴν ὁμιλίαν ἐκέκτητο, ἐστωμύλετό τε ὑπὲρ τοὺς ἄλλους, ἠγαπήκει τοῦτον ἡ βασιλὶς καὶ πολλάκις ἐβούλετο ὁμιλεῖν· καὶ ὃς παντοδαπὸς εἰς αὐτὴν γενόμενος, καὶ οἷς ἐκείνην χαίρουσαν ἴδοι χρώμενος δεξιῶς, ὅλην εἰσποιεῖται, καὶ διὰ ταῦτα βασιλικῶν χαρίτων τῶν παρ' ἐκείνης[1] ἀπήλαυε· τοῖς δέ γε πολλοῖς καὶ λοιδορίας κατ' αὐτῶν βέλος[2] ἐπέμπετο, καὶ οὐ πάνυ τι τούτου[3] ἡ κρύφιος ἔστιν οὗ προσλαλιὰ ἤρεσκεν. Ἐντεῦθεν γοῦν καὶ πρὸς τὸ κράτος ἐπίδοξος ἔδοξε, καὶ ὑπώπτευε[4] τοῦτον ὁ Μιχαὴλ, ὃς δὴ μετὰ Ρωμανὸν εἰς τὸ κράτος ἀναβεβήκει· ἔνθεν τοι καὶ βασιλεύσας οὐδ' οὕτω τὸ κατ' ἐκείνου ἀφῆκε ζηλότυπον, ἀλλὰ τὰ μὲν πρῶτα εὐμενῶς εἶδεν, εἶθ' ὕστερον αἰτίας τινὰς ἐπ'
φ. 362. ἐκεῖνον πλασάμενος | καί τινας σχεδιάσας λογοποιοὺς, ἀπελαύνει τῆς πόλεως καὶ περιγραπτοῖς τοῦτον ὁρίοις κολάζει· ἡ νῆσος δὲ Μυτιλήνη τὸ ὅριον, ἔνθα δὴ ἐπταετῆ διήθλησε συμφορὰν, τὸ μέτρον τῆς τοῦ Μιχαὴλ βασιλείας[5] διηνυκώς· κληρονομεῖ[6] δὲ τὸ κατ' αὐτοῦ μῖσος καὶ ὁ δεύτερος Μιχαήλ.

Ἐπεὶ δὲ εἰς τὴν εὐγενῆ βασιλίδα τὸ κράτος ἀπονενεύκει, πρῶτα μὲν ἥδ', ὥς μοι προείρηται, τὴν τοῦ καιροῦ εὐλαβουμένη ὀξύτητα οὐ πόρρωθεν, ἀλλ' ἐγγύθεν τὴν ἰσχὺν ἑαυτῇ ἐμνηστεύετο· ἐπεὶ δὲ ὁ μὲν διὰ τύχην ἠτίμαστο[7], ὁ δὲ διὰ γένος καταπεφρόνητο ἀκλεὲς, ὁ δὲ ὡς δεινὸς ὑπωπτεύετο, καὶ ἄλλος ἐπ' ἄλλῳ λόγῳ ἐπλάττετο, ἀπογνοῦσα πάντων ἡ βασιλὶς ἀνατυποῖ τὸν Κωνστάντῖνον τοῖς λογισμοῖς, ἀνακαλύπτει δὲ καὶ τῇ γλώττῃ πρὸς τὸ περὶ ἑαυτὴν δορυφορικὸν καὶ οἰκίδιον, καὶ ἐπειδὴ πάντας ὡς ἀπὸ συνθήματος εἶδεν εἰς τὸ κράτος τὸν ἄνδρα ψηφιζομένους, καταγγέλλει καὶ τῇ ἐκκρίτῳ[8] τὸ δόξαν βουλῇ· φανέντος δὲ καὶ παρ' αὐτοῖς θεοκινή-

1. χ. ἐκείνοις. 2. χ. βέλλος. 3. χ. τούτους. 4. χ. ὑπόπτευε. 5. χ. βασιλέως. 6. χ. τὸ κληρονομεῖ. 7. χ. ἠτοίμαστο. 8. χ. τὴν ἐκκρίτω.

του[1] τοῦ δόγματος, μετακαλεῖται τῆς ὑπερορίας ὁ Κωνσταντῖνος ἐκεῖθεν μὲν οὕτω λαμπρῶς· ἐπεὶ δὲ ἐγγὺς ἐγεγόνει τῆς πόλεως πολυτελεστέρα τε αὐτῷ καταγωγὴ εὐτρεπίζεται, καὶ βασιλικὴ μὲν σκηνὴ πήγνυται, βασιλικὴ δὲ περιΐσταται δορυφορία, καὶ μεγαλοπρεπὴς λαμπρότης πρὸ τῶν βασιλείων ὑπαντᾷ τῷ ἀνδρὶ, πάσης ἡλικίας καὶ τύχης, ἄλλων ἐπ' ἄλλοις ἐπιρρεόντων αὐτῷ καὶ φωναῖς ἀνακηρυττόντων εὐφήμοις· ἐώκει δὲ ἡ πόλις δημοτελῆ ἐπιτελοῦσα πανήγυριν, μᾶλλον δὲ πρὸς τῇ πρώτῃ καὶ βασιλίδι καὶ δευτέρα τις ἐσχεδίαστο· τὸ γὰρ ἐξ ἐκείνου τῶν τειχῶν ἄχρι πλῆθός τε ἀστικὸν, καὶ πανηγύρεις καὶ ἀγοραί· ἐπεὶ δὲ πάντα προκαθειστήκει, καὶ ἡτοίμαστο ὡς ἔδει τὰ προεισόδια, ἐγκελεύεται τούτῳ τὸ σύνθημα τῆς εἰσόδου, καὶ σὺν λαμπρᾷ τῇ πομπῇ εἰς τὰ βασίλεια εἴσεισιν ἄδυτα.

Ἐπεὶ δὲ τοῖς κοινοῖς[2] ἔδει περὶ τὴν συνάφειαν ἀποχρήσασθαι νόμοις, εὐλαβεῖται τούτους ὁ πατριάρχης Ἀλέξιος, καὶ συγχωρεῖ μὲν τῷ καιρῷ, εἰπεῖν δὲ καὶ τῷ θεῷ ὁπόσα βούλοιτο, αὐτὸς δὲ τὴν χεῖρα τοῖς στεφανουμένοις οὐκ ἐπιτίθησι, συζυγέντας δὲ καὶ στεφανωθέντας ἀσπάζεται· τοῦτο δὲ οὐκ οἶδα εἴθ' ἱερατικὸν, εἴτε κολακικὸν καὶ πρὸς τὸν καιρόν. Καὶ γίνεται ταῦτα ταῖς μὲν βασιλίσσαις τέλος τοῦ δι' ἑαυτῶν τι ποιεῖν καὶ αὐτοκρατεῖν ἐν τοῖς πράγμασιν, ἀρχὴ δὲ τῷ Μονομάχῳ Κωνσταντίνῳ καὶ πρώτη τῆς βασιλείας κατάστασις. Αἱ μὲν οὖν τρίτον μῆνα συνάρξασαι παύονται τῆς ἀρχῆς, ὁ δέ γε Κωνσταντῖνος, ἀλλὰ μή πω περὶ αὐτοῦ, βραχέα δέ τινα καθίσταμαι πρὸς τὴν φιλήκοον ἀκοήν.

Πολλοί με πολλάκις πρὸς τήνδε τὴν ξυγγραφὴν κατηνάγκασαν, οὐ τῶν ἐν τέλει μόνον καὶ τῶν πρώτων τῆς γερουσίας, ἀλλὰ καὶ τῶν ἄλλων εἰς τὰ τοῦ λόγου τελούντων μυστήρια, καὶ τῶν ὅσοι θειότεροι καὶ ὑπερτελεῖς τὴν ψυχήν· ἐπειδὴ γὰρ χρόνῳ ἤδη τὸν λόγον ἡ τῆς ἱστορίας συναγωγὴ ἐπιλέλοιπεν, ὡς κινδυνεύειν τε[3]

1. χ. θεοκτήτου. 2. χ. τῆς κοινῆς. 3. χ. τα.

μακρῷ τῷ χρόνῳ καλυφθῆναι τὰ πράγματα, καὶ ὅσον ἐπὶ τούτῳ τῷ μέρει τοὺς ἄνω χρόνους μὴ ἐσχηκέναι ὑπόστασιν, διὰ ταῦτά με βοηθῆσαι ἠξίουν τῇ φύσει τοῦ πράγματος, καὶ μὴ τὰ μὲν ἄνω που πρὸ ἡμῶν ἀναγραφῆς παρὰ τῶν μεταγενεστέρων ἠξιῶσθαι, τὰ δὲ ἐφ' ἡμῶν πεπραγμένα λήθης[1] καλυφθῆναι βυθοῖς· οἱ μὲν οὖν οὕτως καὶ μετὰ τοιούτων λογισμῶν πρὸς τὸ πρᾶγμα ὑπῆγον, ἐγὼ δὲ οὐ πάνυ τι τὴν τοιαύτην πραγματείαν ὑπεδεχόμην, οὐ καθυφεὶς τὴν ὑπόθεσιν ῥᾳθυμίᾳ, ἀλλὰ δυοῖν θατέρῳ δεδιὼς διακινδυνεῦσαι· ἢ γὰρ ὑπερβὰς δι' ἃς αἰτίας ἐρῶ τὰ πεπραγμένα τισὶν, ἢ μεταβάλλων ἑτέρως, οὐχ ἱστορίαν ποιῶν, ἀλλὰ πράττων ὥσπερ ἐπὶ σκηνῆς πράγματα ᾠμην ἁλώσεσθαι, ἢ τὸ ἀληθὲς ἐκ παντὸς τρόπου θηρώμενος ἀφορμὴ σκώμματος τοῖς φιλαιτίοις γενήσεσθαι, καὶ οὐ φιλίστωρ, ἀλλὰ φιλολοίδορος νομισθήσεσθαι. Ἔνθεν τοι οὐ πάνυ τι περὶ τὰς καθ' ἡμᾶς ὑποθέσεις ἐσπούδασα, καὶ μάλισθ' ὅτι περ ἐν πολλοῖς τοῦ αὐτοκράτορος Κωνσταντίνου καθάψεσθαι ᾔδειν, ὑπὲρ οὗ αἰσχυνοίμην[2] ἄν, εἰ μὴ πᾶσαν εὐφημίαν τούτῳ συνεισενέγκαιμι· ἀγνώμων γὰρ ἂν εἴην[3] καὶ πάντη ἀλόγιστος, εἰ μὴ ὧν ἐκεῖθεν τὰ μὲν ἐν αὐτοῖς ἔργοις, τὰ δὲ εἰς ἀφορμὴν κρειττόνων ἔσχηκα, πολλοστὸν ἀντιδοίην[4] μέρος, τὴν διὰ τῶν λόγων εὐγνωμοσύνην· διὰ τοῦτον γοῦν ἐγὼ τὸν ἄνδρα τὴν ἱστορίαν ἀπεπεμπόμην ἀεὶ, ἥκιστα βουλόμενος προστρίψασθαί τινα μῶμον αὐτῷ, καί τινα τῶν οὐ καλῶς αὐτῷ πεπραγμένων καὶ ἃ λανθάνειν καλὸν ἀνακαλύψαι τῷ λόγῳ, καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς διεφθορυῖαν πιστεῦσαι διήγησιν, καὶ ὧν ὑπόθεσιν εἰς λόγους ἔσχηκα κρείττονας, τοῦτον εἰς χείρονας κτήσασθαι ἀφορμὴν, καὶ ἣν ἐκάθηρα γλῶτταν ἀφ' ὧν ἐκεῖνός με πρὸς τοῦτο παρώρμησε, ταύτην ἐπ' αὐτῷ θήξασθαι. Εἰ γὰρ καὶ φιλοσόφῳ ἀνδρὶ καταπεφρόνηται πᾶν τὸ ἐνταῦθα περιττὸν καὶ περίεργον, καὶ ὅρος αὐτῷ τῆς ζωῆς ἡ τῶν ἀναγκαίων τῇ φύσει πλήρωσις, τὰ δ' ἄλλα προσήρτηται ἔξωθεν τῇ τοιαύτῃ ζωῇ, ἀλλ'

1. χ. λήθοις. 2. χ. αἰσχυνήμην. 3. χ. εἴη. 4. χ. ἀντιδοίη.

ἐμοὶ οὐ διὰ ταῦτα ἀγνωμονητέον τῷ ὑπερβαλλόντως τετιμηκότι [1] καὶ ὑπὲρ τοὺς ἄλλους ὑψώσαντι· τὸ μὲν οὖν βουλόμενόν μοι ἦ ἐν τοῖς κρείττοσι λόγοις ἐκείνου μεμνῆσθαι, ἢ σεσιγῆσθαι τὰ ἐκείνου εἰ μὴ ἀπὸ τῆς κρείττονος ὥρμηνται ὑποθέσεως· ἀλλ' εἰ μὲν πρὸς θέμενος [2] τὸν ἐκείνου βίον ἐγκωμιάζειν, εἶτα τὰς τῶν κρειττόνων ἀφεὶς ἀφορμὰς, τὰς τῶν χειρόνων ὑποθέσεις ἐφαινόμην | συνειληχὼς, φ. 363.
κακοηθέστατος ἂν εἴην [3], ὥσπερ δὴ ὁ τοῦ Λύξου [4] τὰ χείριστα τῶν Ἑλλήνων ἐν ταῖς ἱστορίαις παραλαμβάνων. Εἰ δὲ τοῦτο μὲν οὐκ ἐργάζομαι νῦν, ἱστορεῖν δὲ τοὺς τῶν αὐτοκρατόρων ἐμβέβλημαι βίους, πῶς ἃ τῶν ἱστοριῶν ἐστιν ὑπερβαίνων, ἃ τῶν ἐγκωμίων ἐστιν ἐργάσωμαι, ὥσπερ ἐπιλαθόμενος τῆς ἐπιχειρήσεως, ἢ διαγράφων τὴν τέχνην, μὴ διακρίνων τὰς ὑποθέσεις, ἀλλ' εἰς ταὐτὸ τέλος συνελαύνων, ὧν διάφοροι οἱ σκοποί; ἐπεὶ τοί γε πρὸ τῆσδε τῆς πραγματείας πολλοὺς ἐκείνῳ καὶ καλοὺς [5] λόγους πεποίημαι, καὶ τάς γε ὑπερβολὰς τῶν ἐγκωμίων ἐθαύμασαν οἱ πολλοὶ, καὶ οὐκ ἐψευσάμην τὸν ἔπαινον, ἀλλὰ τοὺς ἄλλους ἔλαθον οὕτω ποιῶν. Οἱ μὲν γὰρ, ἀνάμιξιν [6] ἐχόντων τῶν πραγμάτων τοῖς βασιλεῦσι, καὶ διαπεπλεγμένων αὐτοῖς χειρόνων τε καὶ κρειττόνων πράξεων, οὔτε ψέγειν καθαρῶς ἴσασιν, οὔτε εἰλικρινῶς ἐπαινεῖν, ἀλλ' ἐξαπατᾷ τούτους ἡ τῶν ἐναντίων γειτνίασις, ἐγὼ δὲ ψέγειν μὲν ἀφωσιωσάμην, εἰ μὴ ὅσον ἐμπλάσμασιν ἐπαίνου ξυντιθεὶς, οὐκ ἐξ ἁπάντων ἅπαντα συλλαμβάνειν εἴωθα, ἀλλ' ἀφεὶς μὲν τὰ χείρονα, ἀφαιρούμενος δὲ τὰ κρείττονα, ξυναρμόζω ταῦτα κατὰ τὴν οἰκείαν τάξιν καὶ ξυγκολλῶ καὶ διὰ μιᾶς τῆς ἀρίστης ποιότητος ἐξυφαίνω τὴν εὐφημίαν. Εἰ μὲν οὖν τοῖς πρὸς ἐκεῖνον ἐγκωμίοις οὕτω τοῦ ὑπὲρ αὐτοῦ λόγου ξυντέθεικα, ἱστορεῖν δὲ ἐπιβεβλημένος ἐκεῖνον, οὐκ ἂν δυναίμην οὕτω ποιεῖν· οὐ γὰρ ἂν ψευσαίμην τὴν ἱστορίαν [7], ἧς τὸ κράτιστον ἡ ἀλήθεια, τῆς τῶν πολλῶν ἕνεκα δυσφημίας, εὐλαβούμενος μή με

1. χ. τετιμηκότως. 2. γρ. προθέμενος. 3. χ. εἴη. 4. γρ. Λύκου. 5. χ. κακούς. 6. χ. ἀνάμιξον. 7. χ. τὸν ἱστορίαν.

λοίδορος γλῶσσα αἰτιάσαιτο, ὅτι εὐφημεῖν δέον κατηγορῶ· ἀλλ' οὐ κατηγορία τοῦτο, οὐδὲ γραφή, ἀλλ' ἀληθῶς ἱστορία. Ἔπειτα εἰ μὲν ἑώρων, ὅτι τῶν ἄλλων αὐτοκρατόρων ἀπὸ τῆς κρατίστης ἕξεως πάντα διαπεπραχότων καὶ ἐν πᾶσιν εὐδοκιμηκότων, τούτῳ μόνῳ ἡ βασιλεία ἀπὸ τῶν ἐναντίων κεχαρακτήρισται, ὑπερέβην ἂν τὸν[1] ὑπὲρ ἐκείνου λόγον· ἐπεὶ δὲ οὐδείς ἐστι τῶν πάντων ἀνάλωτος, ἀλλ' ὁ χαρακτὴρ ἑκάστῳ ἀπὸ τοῦ πλείονος, πῶς ἂν ἐξειπεῖν αἰσχυνθείην εἴ τι μὴ καὶ τούτῳ δικαίως καὶ προσηκόντως εἴργασται;

Οἱ μὲν οὖν πολλοὶ ταῖς τῶν βασιλέων προεσχηκότες ἀναγραφαῖς, θαυμάζουσιν ὅτι μηδεὶς[2] αὐτῶν διὰ τέλους εὐδόκιμος, ἀλλὰ τῷ μὲν οἱ ἄνω χρόνοι καλλίους, τῷ δὲ ἡ πρὸς τῷ τέλει βελτίων ζωή[3]· καὶ οἱ μὲν τὸν ἀπολαυστικὸν εἵλοντο βίον, οἱ δέ τι καὶ φιλοσοφεῖν ἐπεβάλοντο, ἔπειτα συνέχεον τὰς αἱρέσεις σὺν οὐδενὶ κόσμῳ καὶ τοὺς βίους ἀκαταλλήλως ἀπέδοσαν· ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἂν ἀγασθείην, τὸ δ' ἐναντίον εἴ τῳ συμβέβηκεν· ἰδιώτην μὲν γὰρ βίον ἴσως εὕροι τις ἐκ πρώτης τῆς ἀρχῆς εἰς ἔσχατον τέλος διὰ μιᾶς καὶ τῆς αὐτῆς ἀπευθυνθέντα γραμμῆς, καὶ τοῦτο ἐν ὀλίγοις τοῖς παραδείγμασιν, ἀνὴρ δὲ ἡγεμονικὴν τάξιν παρὰ τοῦ κρείττονος εἰληχὼς[4], εἶτα δὴ καὶ πλείους χρόνους ἐπιδιοὺς, οὐκ ἄν ποτε δυνηθείη διὰ τῶν καλλίστων ἁπάντων τὴν ἀρχὴν τελεώσασθαι· τῷ μὲν γὰρ ἰδιώτῃ αὐτάρκες ἴσως εἰς ἀρετὴν ἥ τε τῆς ψυχῆς φύσις καὶ ἡ πρώτη τοῦ βίου ἔνστασις, ὅτι μὴ πολλὰ τούτῳ τὰ ἀντιπίπτοντα ἔξωθεν, μηδ' ἀλλοιοῖ τὴν ψυχὴν τὰ συμβαίνοντα, βασιλεῖ δὲ τοῦτο πῶς δώσομεν, ᾧ μηδὲ τὸ βραχύτατον μέρος τῆς οἰκείας ζωῆς τῶν ὀχλούντων ἐστέρηται; ἀλλ' ὥσπερ θάλασσα βραχὺ μὲν κατεστόρισται[5] καὶ γαληνιᾷ, τὰ δ' ἄλλα τοῦτο μὲν πλημμυρεῖ, τοῦτο δὲ τινάσσεται κύμασι, νῦν μὲν βορείου διαταράττοντος, νῦν δ' ἀπαρκτίου, νῦν δ' ἄλλου τινὸς τῶν ἐγειρόντων κλυδώνιον, ὅπερ αὐτὸς ἐπὶ πολλοῖς ἐωράκειν· διὰ ταῦτα γοῦν, ἢ γλυκυθυμίας αὐτοῖς

1. χ. τῶν. 2 χ. μὴ δεὶς. 3. χ. ζωῆς. 4. χ. εἰληχῶς. 5. γρ. κατεστόρεσται

δεῆσαν, εὐθὺς ἐπιλήψιμον τουτὶ τὸ μέρος αὐτοῖς, ἢ φιλανθρωπία τι καθυφεῖσιν ἀνεπιστημοσύνη προστρίβεται, ἢ διεγερθεῖσι πρὸς ἐπιμέλειαν ἡ φιλοπραγμοσύνη προσάπτεται, ἢ κινηθεῖσι πρὸς ἄμυναν καί τι τῶν αὐθεκάστων πεποιηκόσιν, ὀργὴ τὸ σύμπαν καὶ θυμὸς τὸ λοιδόρημα, κἂν εἴ τι τῶν κρυφιωτέρων ἐπιχειρήσωσι διαπράξασθαι, μᾶλλον ἂν λάθοι τοὺς πολλοὺς ὁ Ἄθως, ἢ τὸ πεπραγμένον ἐκείνοις. Οὐδὲν οὖν θαυμαστὸν εἰ μηδενὶ τῶν βασιλέων ὁ βίος ἀνέγκλητος. Ἐγὼ μὲν γὰρ ἐβουλόμην, εἰ καὶ μηδέ τῳ τῶν πάντων, ἀλλὰ τῷ γε ἐμῷ αὐτοκράτορι τοῦτο προσεῖναι τὸ μέρος, ἀλλ' οὐχὶ κατὰ τὰς ἡμεδαπὰς αἱρέσεις αἱ τῶν πραγμάτων ἀκολουθίαι· διὰ ταῦτα ἵλεά μοι τὰ παρὰ σοῦ εἴη, θειοτάτη ψυχή! κἂν μὴ μετρίως περὶ τῶν χρόνων εἴποιμι, ἀλλ' ἀνεπικαλύπτως καὶ ἀληθῶς, σύγγνωθί[1] μοι καὶ τοῦτο! ὥσπερ γὰρ οὐδέν σοι τῶν κρειττόνων συνεπικρύψομαι, ἀλλ' εἰς τοὐμφανὲς ἄξω, οὕτως εἴ τί[2] σοι μὴ ἀπὸ τῆς αὐτῆς εἴρηται ἕξεως καὶ τοῦτο δὴ τῷ λόγῳ δῆλον ποιήσομαι. Καὶ τὰ μὲν πρὸς ἐκεῖνον ὧσι τοιαῦτα.

Παραλαβὼν δὲ ὁ ἀνὴρ οὗτος τὸ κράτος, οὔτε ἐγκρατῶς, οὔτε εὐλαβῶς εἶχε περὶ τὰ πράγματα, ἀλλ' ὡς ἔοικεν, εὐδαιμονίαν καινήν τινα καὶ συνήθη τῷ βίῳ ἀναπλαττόμενος πρότερον, καὶ πραγμάτων ἀθρόαν μετάθεσιν καὶ μεταποίησιν σὺν οὐδενὶ λόγῳ καὶ τάξει, ἐπειδὴ βασιλεύειν ἔλαχεν, ἔργῳ τὰς ἀναπλάσεις ποιεῖν εὐθὺς ἐπεχείρησε. Δύο τοίνυν τούτων τὴν Ρωμαίων συντηρούντων ἡγεμονίαν, ἀξιωμάτων φημὶ καὶ πραγμάτων, καί τινος ἔξω τρίτου, ἔμφρονος περὶ ταῦτα ἐπιστασίας, καὶ τοῦ λογισμῷ χρῆσθαι περὶ τὰς διανεμήσεις, οὗτος τοὺς μὲν τῶν χρημάτων θησαυροὺς αὐτόθεν ἐκχεῖν ἐπιβέβλητο, ὡς μηδὲν τοῖς πυθμέσι καταλιπεῖν τι· τιμῶν δὲ | καὶ πλεῖστοι μὲν ἀλόγως εὐθὺς παραπήλαυον, μάλιστα δὲ οἵ τε φορτικώτερον[3] καταδυσωποῦντες τὸν ἄνδρα, καὶ οἱ πρὸς τὸν καιρόν τι παραφθεγξάμενοι, ὥστε ἐκεῖνον κινῆσαι πρὸς γέλωτα· ἀμέλει

φ. 384.

1. χ. συγγνῶθι. 2. χ. τις. 3. χ. φορτικώτεροι.

τοι τάξιν ἐχούσης τῆς τιμῆς ἐν τῷ πολιτικῷ δήμῳ, καὶ ὅρου τινὸς ἐπικειμένου ἀμεταθέτου τῆς ἀναβάσεως, οὗτος ἐκεῖνον μὲν συγχέας, τοῦτον δὲ ἀφελὼν, μικροῦ δεῖν τὸν ἀγοραῖον καὶ ἀγύρτην δῆμον ξύμπαντα κοινωνοὺς τῆς γερουσίας πεποίηκε, καὶ τοῦτο οὔ τισιν ἢ πλείοσι χαρισάμενος, ἀλλ' εὐθὺς ἀπὸ μιᾶς φωνῆς ἅπαντας εἰς τὰς ὑπερηφάνους μετενεγκὼν ἀρχάς· τοῦτο μὲν οὖν τηνικαῦτα τελετὰς καὶ πανηγύρεις ἀπέτεκε, καὶ ἡ πόλις ξύμπασα μετεώριστο, ὡς φιλοτιμοτάτου βασιλέως ἐπιστάντος τοῖς πράγμασι, καὶ ἀσύγκριτα τὰ παρόντα ἐδόκει τοῖς πρότερον· τὸ γὰρ αἰσθανόμενον τῆς τῶν ὅλων συνέσεως ἐν πόλει τρυφῶσι βραχὺ, καὶ οἱ τὴν σύνεσιν δὲ ἔχοντες ἀμελοῦσι τῶν καθηκόντων ἐν οἷς ὢν ἐρῶσιν ἐπιτυγχάνουσι. Κατὰ βραχὺ δὲ διηλέγχθη τὸ πρᾶγμα, ὁπηνίκα τῶν πάλαι ζηλωτῶν ἀδιορίστως ὑπερχυθέντων ἡ σεμνότης ἀφῃρέθη τοῖς κτησαμένοις· ἀλλὰ τοῦτο οὔπω τηνικαῦτα εἰς γνῶσιν ἐγίνετο τοῖς πολλοῖς· διὰ ταῦτα πάντ' ἐσπαθᾶτο καὶ ἀνηλίσκετο εἰς οὐδὲν δέον· καὶ οὐκ ἀγνοῶ, ὅτι τισὶ ὕστερον συγγραφεῦσιν ἀφορμὴ τοῦτο ἐγκωμίου γενήσεται τῷ ἀνδρί· ἀλλ' ἔμοιγε ἐν πᾶσιν εἴθισται οὔτέ τι τῶν δόκησιν ἐχόντων καλοῦ, οὔτε τῶν καλῶς οἰομένων πεπράχθαι ἕκαστον ἀφ' ἑαυτοῦ μόνον σκοπεῖν, ἀλλὰ καὶ τὰς αἰτίας ζητεῖν καὶ πρὸς ὅ τι τὸ γινόμενον ἀποτελευτήσοι, καὶ μάλιστα εἰ καὶ ὁ τὰς ὑποθέσεις χορηγῶν ἐπὶ τοιούτων λογισμῶν ἵσταται· ὅτι δὲ ἐμοὶ κάλλιον τοῦτο ἠκρίβωται, ἢ ἐκείνοις ἴσως λελέξεται, ἡ πεῖρα παρέστησε. Τοῦτο μὲν οὖν πρῶτον ἐκείνου, ἵν' οὕτως εἴποιμι νεάνευμα, δεύτερον δὲ, ὃ καὶ αὐτὸς καὶ τότε ἐπαινῶν οἶδα καὶ νῦν δὲ οὐδὲν ἧττον ἐν καλοῖς τίθεμαι, οὔτε ἀλαζὼν ὤφθη τισὶν, οὔτε βαρὺς τὴν ὀφρὺν, ἀλλ' οὐδ' ὑπέρογκόν τι σεμνολογούμενος, οὐδὲ μνησικακήσας ἐκείνοις παρ' ὧν οὔτέ τι πρότερον πρᾴτερον ἔσχηκεν, ἀλλὰ καὶ πρὸς τὸ κράτος οὐ τῶν μετρίων τετύχηκεν, ἀλλὰ πᾶσι τὰ πρὸς αὐτὸν ἐγκλήματα παρεικὼς, ἐκείνοις μάλιστα σπένδεται οἷς καὶ μᾶλλον ἐδόκει ἐν ἅπασι μηνιεῖν.

Εὐφυέστατος δὲ εἴπερ τις ἄλλος εἰς ἑαυτὸν μεταθεῖναι τὸ ὑπή-

κοον γεγονὼς, οἰκείοις ἕκαστον ἥρει οἷς ἥδει θηρώμενον, καὶ ῥᾷστα μετεποικίλετο, οὔτε κατασοφιζόμενος, οὔτε μὴν εἰρωνευόμενος πρὸς τὸν ἁλισκόμενον, ἀλλὰ φιλαλήθως σπεύδων ἑλεῖν ἕκαστον ἀφ' ὧν χαριεῖσθαι ἐκείνῳ ἠσπάσατο. Εἶχε δὲ καὶ τὴν γλῶτταν χαρίτων μεστὴν, εὐκίνητός τε ἦν πρὸς μειδίαμα, καὶ ἱλαρὸν εἶχε τὸ πρόσωπον, οὐκ ἐν παιδιαῖς μόνον ὁπότε αὐτῷ καὶ τούτου ἐδέησεν, ἀλλὰ καὶ ἐν οἷς σπουδάζων ἐδείκνυτο, καὶ τῶν ἠθῶν δ'[1] ἐκείνοις συνανεκίρνατο ὁπόσοις ἡ ἁπλότης συνέπρεπε καὶ τὸ δεινὸν κατεστοιβασμένον οὐκ ἦν· εἰ δέ τις αὐτῷ προσήει, σύννους ἐπιδεικνὺς τὴν ψυχὴν, ὡς δ' εἴ τι[2] πλέον τῶν ἄλλων ὁρῶν καὶ ὡς ἥκοι φροντίσων ἐκείνῳ καὶ συνδιασκεψόμενος περὶ τῶν συνόντων, τοῦτον δὴ κακοηθέστατόν τε ᾤετο καὶ ἐναντιώτατον πρὸς τὸ ἦθος αὐτοῦ διαπεπλασμένον· ἔνθεν τοι εἰς τὴν αὐτὴν τῆς γνώμης ἰδέαν οἱ ὁμιλοῦντες ἐκείνῳ μετεποιήθησαν· κἂν εἴ τις[3] σπούδασμά τι γενναῖον ἐβούλετο παρεισενεγκεῖν, οὐκ εὐθὺς τοῦτο προὐτίθει, ἀλλ' ἤ τινὰς παιδιὰς προλαμβάνων, ἤ ταύταις τούτῳ συναναπλέκων, ὥσπέρ τινι[4] κακοσίτῳ ἡδύσμασί τισι καταμεμιγμένον τὸ καθάρσιον πόμα ἐπώρεγεν· ἐδόκει γὰρ ἐκ κυμάτων πολλῶν καὶ κλύδωνος, φημὶ δὴ τῶν ἐν τῇ ὑπερορίᾳ δεινῶν, εἰς τοὺς λιμένας τῶν βασιλείων κατάραι, καὶ διὰ τοῦτο πάσης μὲν ἀναπαύλης, πάσης δὲ ἐδεῖτο ἀναψυχῆς, καὶ κεχαρισμένος αὐτῷ ὁ τὰς ὀφρῦς διαλελυμένος, καὶ εἰπεῖν μέν τι[5] τῶν καθηδυνόντων ψυχὴν πρόχειρος, περὶ δὲ τῶν μελλόντων πραγμάτων τὰ χαριέστερα προμαντεύσασθαι. Λόγοις δὲ οὐ πάνυ καθωμιληκὼς, οὐδέ τινα ἕξιν κτησάμενος λογιότητος, ἀλλ' ὅμως ἐζήλου τοῦτο τὸ μέρος, καὶ τοὺς ἐλλογιμωτέρους πανταχόθεν συνήνεγκεν εἰς τὰς βασιλείους αὐλὰς, ὧν οἱ πλείους ἐν ἐσχάτῃ εἴδοντο[6] πολιᾷ.

Ἐγὼ δὲ τηνικαῦτα εἰκοστὸν πέμπτον ἔτος ἄγων τῆς ἡλικίας τοῖς σπουδαιοτέροις προσανεῖχον μαθήμασι· περὶ δύο γὰρ ταῦτα

1. χ. δι'. 2. χ. δ' ἤτι. 3. χ. τι. 4. χ. τινα. 5. χ. τοι. 6. γρ. ἤδοντο.

ἐσπουδακὼς, ῥητορικοῖς μὲν λόγοις τὴν γλῶτταν πλάσασθαι πρὸς εὐπρέπειαν, καὶ φιλοσοφίᾳ καθάραι τὸν νοῦν, τοὺς μὲν ῥητορικοὺς λόγους οὐ πάλαι ἠκριβωκὼς, ὥστε καὶ διελεῖν δύνασθαι τὸ ἄρθρον[1] τῆς ὑποθέσεως καὶ τοὺς πρώτους καὶ δευτέρους λόγους εἰς τοῦτο συνενεγκεῖν, καὶ μὴ πάντα τὴν τέχνην δεδιέναι, μηδ' ἔπεσθαι ταύτῃ ὥσπερ τι θρέμμα ἐν ἅπασιν, ἀλλὰ καὶ πλέον τι συνεισενεγκεῖν ἐν τοῖς μέρεσι φιλοσοφίας εἰχόμην, καὶ τοῦ συλλογίζεσθαι ἱκανῶς ἔχων, ἢ ἄνωθεν καὶ ἀμέσως, ἢ ἐκ τῶν μετέπειτα καὶ παντοδαπῶς, τῶν τε φυσικῶν λόγων ἠψάμην καὶ πρὸς τὴν πρώτην φιλοσοφίαν διὰ τῆς μέσης ἀνεπτερούμην γνώσεως. Καὶ εἰ μὴ μέ τις φορτικὸν ἐντεῦθεν νομίζοι, ἀλλὰ συγχωρεῖ δὴ[2] τῷ λόγῳ, καὶ τοῦτο δὴ τῶν ἐμῶν προθήσω[3], ὃ δὴ καὶ μόνον μάλιστα εἰς εὐφημίαν τοὺς σπουδαιοτέρους κινήσει· καί μοι συμμαρτυρήσετε[4] οἱ τήμερον τὸν λόγον ἀναγινώσκοντες, ὅτι ἐκπνεύσασαν τὴν σοφίαν |
φ. 365. καταλαβὼν ὅσον ἐπὶ τοῖς μετέχουσιν, αὐτὸς ἀνεζωπύρησα οἴκοθεν, οὔτε διδασκάλοις ἀξιολόγοις περιτυχὼν, οὔτε σπέρμα σοφίας ἐν τῇ Ἑλλάδι ἢ τῇ βαρβάρῳ τὸ ξύμπαν διερευνησάμενος εὑρηκώς· ἀλλ' ἐπειδὴ μέγα τι περὶ φιλοσοφίας ἐν τῇ Ἑλλάδι ἀκούων, ἐν φωναῖς τισὶν ἁπλαῖς καὶ προτάσεσι κατεμάνθανον, καὶ ἦν ταῦτα ὡσανεὶ στῆλαι καὶ ὅρια, καταγνοὺς τῶν περὶ ταῦτα σμικρολογουμένων ἐζήτησά τι πλέον εὑρεῖν· ὡς δέ τισι τῶν ἐξηγησαμένων τὴν ἐπιστήμην ἐνέτυχον, τὴν ὁδὸν παρ' αὐτῶν ἐδιδασκόμην τῆς γνώσεως, καί με ἄλλος εἰς ἄλλον παρέπεμπον, ὁ χείρων πρὸς τὸν κρείττονα, κἀκεῖνος αὖθις εἰς ἕτερον, καὶ οὗτος εἰς Ἀριστοτέλη καὶ Πλάτωνα, ὧν δὴ καὶ οἱ πρὸ ἐκείνων ἠγάπησαν εἰ εὐθὺς τὰ δευτερεῖα μετ' ἐκείνους εἰλήχασιν. Ἐντεῦθεν οὖν ὁρμηθεὶς αὖθις ὥσπερ περίοδον ἐκπληρῶν ἐς Πλωτίνους καὶ Πορφυρίους καὶ Ἰαμβλίχους κατῄειν, μεθ' οὓς ὁδῷ προβαίνων εἰς τὸν θαυμασιώτατον Πρόκλον ὡς ἐπὶ λιμένα μέγιστον κατασχὼν, πᾶσαν ἐκεῖθεν ἐπιστήμην τε καὶ νοή-

1. χ. ἄθρον. 2. χ. δὲ. 3. γρ. προσθήσω. 4. χ. συμμαρτυρήσεται.

σεων ἀκρίβειαν ἔσπεισα[1]· μέλλων δὲ μετὰ ταῦτα ἐπὶ τὴν πρώτην ἀναβαίνειν φιλοσοφίαν καὶ τὴν καθαρὰν ἐπιστήμην μυεῖσθαι, τὴν περὶ τῶν ἀσωμάτων θεωρίαν προὔλαβον ἐν τοῖς λεγομένοις μαθήμασιν, ἃ δὴ μέσην τινὰ τάξιν τετάχαται, τῆς τε περὶ τὰ σώματα φύσεως καὶ τῆς ἀσχέτου πρὸς ταῦτα νοήσεως, καὶ αὐτῶν δὴ τῶν οὐσιῶν, αἷς[2] ἡ καθαρὰ συμβαίνει νόησις, ἵν' ἐντεῦθεν εἴ τι καὶ ὑπὲρ ταῦτα ὑπὲρ νοῦν ἢ ὑπερούσιον καταλήψομαι.

Διὰ ταῦτα ἀριθμῶν τε μεθόδοις ἑαυτὸν ἐντείνας καὶ γεωμετρικὰς ἀποδείξεις ἀναλαμβάνων, ἃς ἀνάγκας τινὲς ὀνομάζουσιν, ἔτι τε μουσικοῖς καὶ ἀστρονομικοῖς ἐνδιδοὺς λόγοις καὶ εἴ τινες ἄλλαι μαθήσεις ταύταις ὑπόκεινται, οὐδὲ τούτων οὐδὲ μίαν ἀπολείπων, καὶ πρῶτα μὲν κατὰ μίαν ἑκάστην διεξιὼν, εἶθ' ἁπάσας συνάψας, ὡς δι' ἀλλήλων ἠκούσας εἰς ἓν, ὡς ἡ ἐπινομὶς βούλεται, οὕτω διὰ τούτων τοῖς ὑψηλοτέροις ἐπέβαλλον. Ἐπεὶ δὲ τῶν τελεωτέρων ἠκηκόειν φιλοσόφων, ὅτι ἔστι τις καὶ ὑπὲρ τὴν ἀπόδειξιν σοφία, ἣν[3] μόνος εἶδεν ὁ σωφρόνως ἐνθουσιάζων νοῦς, οὐδὲ ταύτην παρέδραμον, ἀλλά τισι βιβλίοις ἀρρήτοις ἐντετυχηκὼς, ὁπόσον εἰκὸς καὶ ἡ φύσις μοι ἔρρωτο καὶ ταῦτ' εἰσεδεξάμην. Τὸ γὰρ δι' ἀκριβείας ταῦτα εἰδέναι, οὔτ' ἂν αὐτὸς περὶ ἑαυτοῦ σεμνολογήσαιμι, οὔτ' ἄλλα[4] πιστεύσαιμι λέγοντι, τὸ δὲ μίαν τῶν πασῶν ἐπιστήμην ὥσπερ ἑστίαν φίλην ἑαυτῷ πεποιηκότα τινὰ, ἐντεῦθεν οἱονεὶ καθ' ἱστορίαν ἐξιόντα καὶ τῶν ἄλλων ἐν περινοίᾳ γίγνεσθαι, καὶ αὖθις ἐπαναστρέφειν ἀφ' ἧς κεκίνηται, τοῦτο δὴ οὐ πάνυ τι τὴν φύσιν ἡμῶν ὑπεράλλεται. Ἑωρακὼς δὲ ὅτι δύο μερίδες τῶν λόγων εἰσὶ, καὶ τὴν μὲν ἡ ῥητορικὴ συμπληροῖ, τὴν δὲ φιλοσοφία ἀπέτεμε, καὶ ἡ μὲν οὐδέν τι τῶν σεμνοτέρων εἰδυῖα καχλάζει μόνον τῷ μεγάλῳ τῶν λέξεων ῥεύματι, καὶ περὶ τὴν συνθήκην τῶν τοῦ λόγου μορίων στρέφεται, καί τινας λόγους ἀναπτύξεων τῶν πολιτικῶν ὑποθέσεων καὶ διαιρέσεων προβέβληται, καὶ κοσμεῖ τὴν

1. χ. ἔσπευσα. 2. χ. οἷς. 3. χ. ὃν. 4. γρ. ἄλλῳ.

γλῶτταν, καὶ ὅλως διαπρεπής ἐστιν ἐν τοῖς πολιτικοῖς λόγοις, ἡ δὲ φιλοσοφία τοῦ περιπτυσσομένου τὸν λόγον κάλλους ἧττον φροντίζουσα, τάς τε φύσεις ἀνιχνεύει τῶν ὄντων καὶ τὰς ἀρρήτους θεωρίας παρίστησι, καὶ οὐδὲ μέχρις οὐρανοῦ ὑψηλολογουμένη προβαίνει, ἀλλὰ καὶ εἴ τις ἐκεῖθεν κόσμος, καὶ τοῦτον ἐξυμνεῖ ποικιλώτερον, οὐκ ὠήθην[1] δεῖν, ὥσπερ δὴ οἱ πλεῖστοι πεποιήκασιν ἢ πεπόνθασιν, ἢ τὴν τέχνην ξυνειλοχότα τῆς ἐπιστήμης καταμελεῖν, ἢ ταύτην διαμελετῶντα καὶ ἐν θαυμασίοις πλουτοῦντα νοήμασι, τῆς τῶν λέξεων κατολιγωρεῖν ἄνθης καὶ τῆς κατὰ τέχνην διαιρέσεώς τε καὶ τάξεως· διὰ ταῦτα, καὶ ὅπερ ἤδη μοι πολλοὶ προσωνείδισαν, καὶ ῥητορικὴν ὑπόθεσιν μελετῶν, ἔστιν οὗ καὶ ἀπόδειξίν τινα ἐπιστήμονα οὐκ ἀκόμψως εἰσάγω, καὶ αὖθις φιλόσοφόν τι ἀποδεικνύων θέλημα, καθωραΐζω τοῦτο ταῖς τεχνικαῖς χάρισιν, ἵνα μὴ πρὸς τὸ μέγεθος τοῦ νοήματος ἡ τοῦ ἀναγινώσκοντος ψυχὴ δυσπαραδεκτήσασα τοῦ φιλοσοφουμένου λόγου στερίσκοιτο.

Ἐπειδὴ δὲ ἐστί τις καὶ ὑπὲρ ταύτην ἑτέρα φιλοσοφία, ἣν τὸ τοῦ καθ' ἡμᾶς λόγου μυστήριον συμπληροῖ, καὶ τοῦτο δὲ διπλοῦν καὶ φύσει καὶ χρόνῳ μεμερισμένον, ἵνα μὴ τὴν ἑτέραν λέγω διπλόην τήν τε ἐν ἀποδείξεσι καὶ ὅση ἐξ ἐπινοίας καὶ τεθειασμένης ἐγγίνεταί τισι γνώσεως, περὶ ταύτην μᾶλλον ἢ περὶ τὴν ἑτέραν ἐσπούδασα, τὰ μὲν τὰ ἐκπεφασμένα περὶ ταύτης τοῖς μεγάλοις πατράσιν ἑπόμενος, τὰ δὲ καὶ αὐτός τι τῷ θείῳ συνεισφέρων πληρώματι· καὶ εἴ μέ τις, λέγω δὲ ἁπλῶς καὶ οὐ κομψευόμενος, ἐπαινεῖν ἐπὶ τοῖς λόγοις βούλοιτο, μή με ἐντεῦθεν, μηδ' ὅτι πολλοῖς βιβλίοις ὡμίλησα, οὐ γὰρ ἐκ φιλαυτίας ἠπάτημαι, οὐδὲ τὸ ἐμὸν μέτρον ἠγνόηκα, ὅτι πολλοστόν ἐστι τῶν ὑπὲρ ἐμὲ σοφιστευσάντων ἢ φιλοσοφησάντων, ἀλλ' ὅτι μὴ ἐκ ῥεούσης πηγῆς[2] εἴ τί μοι σοφίας μέρος συνείλεκται ἠρανισάμην, ἀλλ' ἐμπεφραγμένας εὑρηκὼς ἀνεστόμωσά τε καὶ ἀνεκάθηρα, καὶ ἐν βάθει που τὸ νάμα[3] κείμενον

1. χ. ὀήθειν. 2. χ. πιγῆς. 3. χ. τὴν ἅμα.

σὺν πολλῷ ἀνείλκυσα πνεύματι. Νῦν γὰρ οὔτε Ἀθῆναι, οὔτε ἡ Νικομήδεια, οὔτε ἡ πρὸς Αἰγύπτῳ Ἀλεξάνδρεια, οὔτε Φοινίκη, οὔτε μὴν ἑκατέρα Ρώμη, ἥ τε πρώτη καὶ ἥττων καὶ ἡ μετ' ἐκείνην καὶ κρείττων, οὔτ' ἄλλη τις πόλεων ἐπί τινι τῶν λόγων σεμνύνεται τανῦν, ἀλλὰ καὶ αἱ χρυσίτιδες φλέβες καὶ αἱ μετ' ἐκείνας καὶ ἀργυρίτιδες, καὶ εἴ τινες ἄλλαι τῆς ἀτιμοτέρας τούτων ὕλης, ἐμπεφραγμέναι ξύμπασαι πᾶσι τεθέαται· | ὅθεν μὴ αὐτοῖς δὴ τοῖς φ. 366.
ζῶσι νάμασιν[1] ἐντυχεῖν ἔχων, ταῖς εἰκόσιν ἐκείνων προσεσχηκὼς, εἴδωλα ἄττα καὶ αὐτὰ δεύτερα τῇ ἐμῇ συνεσπασάμην ψυχῇ, καὶ συλλαβὼν οὐδενὶ τούτων ἐβάσκηνα, ἀλλ' ἃ δὴ πόνῳ συνειλήχειν πολλῷ, τούτων πᾶσιν μετέδωκα, οὐ μισθοῦ τοῖς λόγοις[2] πωλῶν[3], ἀλλὰ καὶ πρὸς ἐπιδιδοὺς εἴ τε[4] λαμβάνειν ἐβούλετο· ἀλλὰ ταῦτα μὲν ὕστερον.

Ἐμοὶ δὲ καὶ πρὸ τοῦ τελείου καρποῦ ἡ ἄνθη τὸ μέλλον προεμαντεύετο· καὶ ὁ μὲν βασιλεὺς οὔπω ἐγνώκει, ἡ δὲ περὶ ἐκεῖνον δορυφορία ξύμπασά με ᾔδει, καὶ ἄλλος ἄλλο τι[5] τῶν ἐμῶν διηρίθμει τῷ βασιλεῖ, προστιθέντες ὅτι μοι καὶ χάρις διαπρέπει τοῖς χείλεσιν. Ἐρῶ δὲ καὶ περὶ τούτου τοῦ μέρους· φυσικαί τινες ἀρεταὶ, ἢ τοὐναντίον, τῇ γενέσει ἡμῶν συνεκδίδονται· λέγω δὲ ἀρετὴν ἐνταῦθα, οὔτε τὴν ἠθικὴν, οὔτε τὴν πολιτικὴν, οὔθ' ἥ τις ὑπὲρ ταύτας καὶ ἄχρι τοῦ παραδείγματος, ἢ τῆς δημιουργικῆς τελειότητος· ἀλλ' ὥσπερ τὰ τῶν γινομένων σώματα, ἃ μὲν μεθ' ὥρας εὐθὺς ἀποτίκτεται, τοῖς δὲ ἡ φύσις σπίλους τινὰς ἐξ ἀρχῆς καὶ ῥυτίδας ἐντέθεικεν, οὕτω δὴ καὶ τῶν ψυχῶν ἡ μέν τις εὐθὺς χαριεστάτη καὶ ἱλαρωτάτη διέγνωσται, ἡ δὲ συννεφὴς[6] καὶ πολλήν τινα τὴν ἀχλὺν ἐπισύρουσα· καὶ τοῦ χρόνου δὲ προϊόντος ταῖς μὲν χάριτες συνεκφαίνονται, ταῖς δὲ τά τε ἄλλα ἐξήμβλωται καὶ οὐδὲ τὰ περὶ τὸν λόγον εὐθὺς εὖ διωργάνωται. Ἐπιμαρτύρεται

1. χ. ζῶσιν ἄμασιν. 2. γρ. λόγους. 3. χ. πολῶν. 4. γρ. τις. 5. χ. ἄλλως ἀλλ' ὅτι. 6. χ. συνεφής.

γοῦν ἐμοὶ ὅτι μοι ἡ γλῶττα κἂν ταῖς ἁπλαῖς διήνθισται προφοραῖς, καὶ οὐδὲν ἐπιτηδευομένῳ φυσικαί τινες ἐκεῖθεν ἡδύτητες ἀποστάζουσιν· ἐγὼ γοῦν οὐκ ἂν τοῦτο [1] εἰδείειν, εἰ μή με πολλοὶ προσεῖπον διαλεγόμενον, καὶ διακέχυντο οἵτινες [2] τῶν ἐμῶν λόγων ἀκούσειαν. Τοῦτο [3] μὲν τοίνυν πρῶτον εἰς βασιλέα συνίστησι, καὶ ἡ πρόδρομος χάρις τῆς γλώττης προτέλεια ἐκείνῳ καὶ περιρραντία τῶν ἐμῶν ἀδύτων ἐγένετο.

Καὶ εἰρήκειν [4] μὲν εἰσιὼν τὴν πρώτην οὔτε στωμύλον, οὔτε κομψὸν, ἀλλ' ἐγὼ μὲν τὸ γένος κατέλεγον καὶ οἷαις ἐχρησάμην περὶ τοὺς λόγους παρασκευαῖς, ὁ δὲ, ὥσπερ οἱ θεοφορούμενοι ἀδήλως τοῖς ἄλλοις ἐνθουσιῶσιν, οὕτω δὴ κἀκείνῳ αἰτίαν οὐκ εἶχεν ἡδονὴ, καὶ μικροῦ με δεῖν κατεφίλησεν, οὕτω μου τῆς γλώττης εὐθὺς ἀπηώρητο. Τοῖς μὲν οὖν ἄλλοις καιρὸν εἶχε καὶ μέτρον ἡ πρὸς αὐτὸν εἴσοδος, ἐμοὶ δὲ καὶ αἱ τῆς καρδίας αὐτῷ πύλαι ἀντεπετάνυντο [5], καὶ κατὰ βραχὺ προϊόντι ξύμπαντα ἐπεδείκνυτο. Καὶ μή μέ τις αἰτιάσαιτο, εἴ τι βραχὺ τὸν τοῦ λόγου σκοπὸν παραβέβηκα [6], μηδὲ περιαυτολογίαν [7] οἰηθείη τὴν παρέκβασιν· εἰ γάρ τι καὶ τοιοῦτον εἴρηται, ἀλλὰ πρὸς τὸν εἰρμὸν [8] τοῦ λόγου πάντα ξυμβέβληται· τοῦτο δὲ οὐκ ἦν ἄλλως ἐνδείξασθαι μὴ τὴν αἰτίαν προειρηκότι, ταύτην δὲ βουλόμενος προειπεῖν, ἀναγκαῖον καὶ τῶν κατ' ἐμὲ μνημονεῦσαί τινα· διὰ ταῦτά μοι τὰ πολλὰ ἐκεῖνα προείρηται, ἵνα μοι [9] προχωροίη κατὰ τέχνην ὁ λόγος εἰς ἀρχήν τε ἀναβαίνοντι, καὶ προκαθεστῶν [10] καὶ τὰ ἑξῆς συμπεραίνοντα [11]. Ἐπειδὴ οὖν ἐμαυτὸν τούτῳ [12] δὴ τῷ μέρει τῆς ἱστορίας ἀκριβῶς ἀνεβίβασα, ἐρῶ οὐδέν τι διαψευδόμενος· ἀλλ' εἴ τι μὲν οὐ λεχθήσεται, ἀποκέκρυπται, τῶν δὲ ῥηθησομένων οὐδέν τι εἴη ἀμφισβητήσιμον πρὸς ἀλήθειαν.

Οὐ πάνυ τι τὴν φύσιν τῆς βασιλείας ὁ αὐτοκράτωρ οὗτος κα-

1. χ. τούτῳ. 2. γρ. αἵ τινες. 3. χ. τούτῳ. 4. χ. εἰρήκει. 5. γρ. ἀνεπετάννυντο. 6. γρ. παρεκβέβηκα. 7. χ. περ αὐτολογίαν. 8. χ. ἠρμόν. 9. χ. μή. 10. γρ. προκαθιστῶν. 11. γρ. συμπεραίνοντι. 12. χ. τοῦτο.

τείληφεν, οὔθ' ὅτι λειτουργία τίς ἐστι λυσιτελὴς εἰς τὸ ὑπήκοον, οὔθ' ὅτι ἐγρηγορίας δεῖται ἀεὶ ψυχῆς πρὸς τὴν βελτίονα τῶν πραγμάτων διοίκησιν, ἀλλὰ κόπων ἀνάπαυσιν καὶ ἐφετοῦ [1] ἀποπλήρωσιν, καὶ συντονίας ἀνάπαυσιν τὴν ἀρχὴν ἡγησάμενος, καὶ ὥσπερ ἐπὶ τούτῳ καταπλεύσας ἵνα μηκέτι τὰ τῆς κυβερνήσεως ἐνεργοίη, ἀλλ' ἀπολαύει [2] τῶν ἡσυχίας καλῶν, τὸ μὲν ὅσον ἐστὶ τὴν δημοσίου ὁρᾷν [3] ἐπιμέλειαν, τό τε τοῦ δικάζειν καὶ τὸ τῶν καταλόγων ἐπιμελεῖσθαι ἑτέροις φέρων ἀνέθετο, βραχεῖάν τινα τούτων μερίδα ἀποτεμόμενος [4] ἑαυτῷ· τὸν δὲ φιλήδονον καὶ ἀπολαυστικὸν βίον ὥσπέρ τινα οἰκειότατον κλῆρον ἀπεμερίσατο ἑαυτῷ· ἔτυχε μὲν γὰρ καὶ τοιοῦτον ἔθος κεκληρωμένος παρὰ τῆς φύσεως, μᾶλλόν γε μὴν τοῦτο ἐπέτεινεν, ἀποχρῶσαν ὕλην πρὸς τοῦτο τὴν ἡγεμονίαν λαχών. Ὥσπερ δὲ ἐρρωμένον ζῶον καὶ τοῖς πᾶσι ἰσχυρῶς ἔχον [5] οὐκ ἀθρόον ἀλλοιοῦσιν αἱ τῶν μελλόντων παθημάτων ἀρχαὶ, οὕτω δὴ καὶ τούτῳ [6], οὐ πάνυ τι δυσθανατούσης τῆς βασιλείας, ἀλλ' ἔτι πνεῦμα καὶ τόνον ἐχούσης, βραχύ τι τὸ κατολιγωρεῖν διεφαίνετο [7], ἕως ἂν κατὰ βραχὺ τὸ κακὸν αὐξηθὲν καὶ κορυφωθὲν τὸ πᾶν ἀνέτρεψε καὶ συνέχεεν· ἀλλ' οὔπω τοῦτο· καὶ ὁ βασιλεὺς φροντίδων μὲν ὀλίγων μεταλαγχάνων, πλειόνων δ' ἐρασμῶν [8] τε καὶ ἀπολαύσεων, πολλὰ δὴ νοσοποιὰ αἴτια τῷ τότε ὑγιεῖ τῆς βασιλείας προκατεβάλλετο σώματι. Γεγόνασι δὲ τούτῳ μερὶς οὐ μετρία πρὸς τὴν τοιαύτην ἀμετρίαν τὰ ῥᾴθυμα τῶν βασιλίδων ἤθη, καὶ τὸ κατ' ἐκείνας ἐθέλειν εἰς τρυφὰς ἀνεῖσθαι καὶ γέλωτας· τὴν γοῦν κοινωνίαν τῶν ἀπολαύσεων θεραπείαν ἐκεῖνος ὠνόμαζε, καὶ ἐβούλετο μὲν οὐδὲν ἐκείναις ἐναντιώσασθαι, ἀλλὰ πᾶσαν ταύταις εἰσάγειν γλυκυθυμίαν, ἀφορμῆς δέ τινος προηγησαμένης, προκεκρούκει [9] ταύταις εὐθὺς, εἰ μὴ καὶ οὕτω τῇ ὁμευνέτιδι ἔδοξεν, εἴτε ἀποκρυψαμένη τὸ ζηλότυπον, εἴτε διὰ τὴν ἡλικίαν τοῦτο ἀφαιρεθείσῃ.

1. χ. ἀφετοῦ. 2. χ. ἀπολάβει. 3. χ. τοῦ δημοσίου ὁρᾷ. 4. χ. ἀποτεμόμενον. 5. χ. ἔχων. 6. χ. τοῦτο. 7. χ. κατολιγωρεῖ δι' ἐφαίνετο. 8. χ. πλείων δὲ ραμῶν. 9. γρ. προσκεκρούκει.

Πῶς καὶ τίνι τρόπῳ ἡ σεβαστὴ Σκλήραινα εἰσήχθη εἰς τὴν βασιλεύουσαν.

Ἐγεγόνει γὰρ τοιοῦτον· τῆς δευτέρας τετελευτηκυίας τῷ βασιλεῖ γαμετῆς ἦν ἐκ τοῦ τῶν Σκληρῶν ἐπιφανεστάτου γένους ἠγάγετο, εἰς τρίτους μὲν ἀποκλίναι γάμους οὕτως ἰδιωτεύων ἔτι ἠσχύνετο [1], ἅτε μηδὲ τοῖς Ρωμαίων νόμοις δοκοῦν, χείρονι δὲ πράγματι, τῷ συγκεχωρημένῳ εἰ λαθεῖν τις αἱροῖτο, ἠλλάξατο· τὴν γάρ τοι τῆς μετηλλαχυίας ἀνεψιὰν, ὡραίαν τε οὖσαν καὶ τἆλλα σώφρονα, εἰς παρανομωτάτην ἑαυτῷ μετῆξε συμβίωσιν, ἢ δώροις πείσας, ἢ λόγοις θέλξας ἐρωτικοῖς, ἢ τισὶν ἑτέραις δυνάμεσι πρὸς τοῦτο χρησάμενος. Εἰς τοσοῦτον δὲ ἔρωτος ἀλλήλοις ἀνεκεράσθησαν, ὡς μηδένα θατέρου μέρους ἐστερῆσθαι βούλεσθαι, μήτε ἐν οἷς κακοδαιμονεῖν ἐδόκουν φ. 367. | καιροῖς· καὶ ὑπερορίῳ γὰρ γεγονότι τῷδε τῷ βασιλεῖ, ὡς ὁ λόγος φθάσας ἱστόρησε, συμπαρῆν ἡ γυνὴ, τά τε ἄλλα ὑπερθεραπεύουσα καὶ τὰ ἑαυτῆς προτιθεῖσα ἐκείνῳ, καὶ πάντα τρόπον παραμυθουμένη τοῦτον καὶ τῆς συμφορᾶς τὸ πλεῖστον ἀποφορτίζουσα· ὑπέθαλπον γὰρ κἀκείνην ἐλπίδες ἡγεμονίας, καὶ τοῦ συμβασιλεύειν ὕστερον τῷ ἀνδρὶ τἆλλα ἐτίθετο δεύτερα· τηνικαῦτα γὰρ ᾤετο καὶ τὸν γάμον αὐτοῖς ἐπιτελῆ ἔσεσθαι, καὶ τἆλλα γενήσεσθαι ὁπόσα βούλοιντο, τυραννήσαντος τοὺς νόμους τοῦ βασιλείου σκοποῦ. Ἐπεὶ δὲ θάτερον μὲν ἐγεγόνει τῶν ἠλπισμένων, φημὶ δὲ τὸ [1] βασιλεῦσαι τὸν Κωνσταντῖνον, θάτερον δὲ οὐκ ἔδωκεν ὁ καιρὸς, ἀλλ' ἡ βασιλὶς Ζωὴ τὴν ἐξουσίαν πᾶσαν συνείληφεν, ἡ μὲν παντάπασιν ἀπεγνώκει οὐ τὰς χρηστοτέρας μόνον ἐλπίδας, ἀλλὰ δὴ καὶ τὴν σωτηρίαν, ἐδείμαινε γὰρ τὴν βασιλίδα καὶ βαρυμηνιεῖν ἐπ' αὐτῇ ᾤετο.

Ἀλλ' ὅ γε αὐτοκράτωρ οὐδ' ἐν αὐτῇ τῇ πρὸς τὴν βασιλείαν εἰσόδῳ τῆς γυναικὸς ἐπιλέληστο, ἀλλὰ τοῖς μὲν αἰσθητοῖς ὄμμασι

1. χ. ἰσχύνετο. 2. χ. τὸν.

τὴν βασιλίδα τεθέαται, τὴν δὲ ἐκείνης μορφὴν τοῖς ἀπὸ τῆς ψυχῆς συνήθρει καὶ συνελάμβανε, καὶ τὴν μὲν ἠγκάλιστο, τὴν δὲ ἐγκόλπιον εἶχεν ἐν τῇ ψυχῇ. Καὶ οὔτε τὸν καιρὸν δείσας, οὔτε τὸ [1] τῆς βασιλίδος ζηλότυπον, οὔτε τινὸς παραινέσεως ἐντρεπόμενος, ἀλλὰ πᾶσαν συμβουλὴν ἐν δευτέροις τιθέμενος τοῦ βουλεύματος, τῆς ἀδελφῆς μάλιστα Εὐπρεπείας, συνετωτάτης τῶν καθ' ἡμᾶς γυναικῶν, ἀντιπραττούσης αὐτῷ καὶ τὰ συνοίσοντα βουλευομένης, πάντων οὖν κατολιγωρήσας, εὐθὺς ἐκ πρώτης συνοπίας τῇ βασιλίδι περὶ τῆς γυναικὸς διαλέγεται, οὐχ ὡς περὶ γαμετῆς, οὐδ' ἄλλως παλλακευθησομένης αὐτῷ, ἀλλ' ὡς χρησαμένης πολλαῖς μὲν ταῖς ἐκ τοῦ γένους συμφοραῖς, πολλαῖς δὲ ταῖς ἐφ' ἑαυτοῦ, καὶ ἠξίου ἀνακλήσεώς τε ταύτην ἀξιοῦσθαι, καὶ τῶν μετρίων τυχεῖν. Πείθεται γοῦν αὐτίκα ἡ βασιλὶς, οὐκ ἔτι γὰρ αὐτῇ ἐτρέφετο τὸ ζηλότυπον, πολλοῖς ἤδη καταπονηθείσῃ κακοῖς, καὶ δὴ καὶ τὴν ἀπὸ τοῦ χρόνου ἡλικίαν ἐχούσῃ οὐκ ἔτι τὰ τοιαῦτα πάθη προσδεχομένην. Ἡ μὲν οὖν προσεδόκα τὰ δεινότατα πείσεσθαι· ἀθρόον δὲ οἱ μετακαλέσοντες ταύτην εἰς τὸ Βυζάντιον μετὰ βασιλικῆς δορυφορίας ἐφίστανται, γράμματα ταύτῃ διδόντες τὰ μὲν ἐκ τοῦ αὐτοκράτορος, τὰ δ' ἐξ αὐτῆς τῆς βασιλίδος, εὐμενῆ τε αὐτῇ ψυχὴν ὑπισχνούμενα καὶ παραθαρρύνοντα πρὸς τὴν εἴσοδον. Καὶ οὕτως ἤδε [2] πρὸς τὴν βασιλίδα τῶν πόλεων ἀφικνεῖται.

Τὰ μὲν οὖν πρῶτα εὐτελεστέρας ἀξιοῦται καταγωγῆς, καὶ δορυφορίας οὐ πάνυ λαμπρᾶς. Ἵνα δὲ πρόφασις εἴη τῷ βασιλεῖ ἐκεῖσε φοιτᾷν, οἶκον ἑαυτοῦ πεποίηται τὴν σκηνὴν, καὶ ἵνα δὴ μεγαλοπρεπὴς γένηται [3] καὶ πρὸς βασιλικὴν ὑποδοχὴν ἐπιτήδειος, θεμελίους [4] τε ἔξωθεν μείζονας καταβάλλεται καὶ πρὸς λαμπροτέρας ἑτοιμάζει τοῦτον οἰκοδομίας.

Προσεποιεῖτο γοῦν ἑκάστοτε ὅ,τι δήποτε τῶν οἰκονομουμένων, καὶ τοῦ μηνὸς πολλάκις ἀπῄει, πρόφασιν μὲν ὀψόμενός τι τῶν γιγνο-

1. χ. τὸν. 2. χ. ἤδη. 3. χ. γένοιτε. 4. χ. θεμελείους.

μένων, τὸ δ' ἀληθὲς τῇ γυναικὶ συνεσόμενος. Ἐπεὶ δὲ καὶ τῶν ἐκ τῆς ἑτέρας μερίδος τούτῳ παρείποντο, οἷς, ἵνα μὴ περιεργότεροι[1] εἶεν, τράπεζάν τε ἐτίθει πολυτελῆ ἔξωθεν καὶ συμποσιάζειν ἠξίου, καὶ ὅ,τι δήποτε πρότερον ἀξιούμενον τούτοις ἦν, τηνικαῦτα τέλος ἐλάμβανε· καὶ οὗτοι τὸν σκοπὸν τῶν τελουμένων ἐπιστάμενοι[2], οὐ μᾶλλόν τι περὶ τῇ δεσπότιδι ἐδυσχέραινον ἢ περὶ ἑαυτοῖς ἠγαλλίων ἐπιτυγχάνουσιν ὧν ἐσπούδαζον, καὶ ὁπηνίκα γνοῖεν σφαδάζοντα μὲν ἐκεῖσε ἀπιέναι τὸν αὐτοκράτορα, ἀποκνοῦντα δὲ τὴν πρόοδον καὶ δὴ αἰσχυνόμενον[3] τὰ πολλὰ, ἄλλος ἄλλο τι πλαττόμενοι ἐξωμάλιζον τούτῳ τὴν πρὸς τὴν ἐρωμένην[4] ὁδὸν, καὶ τούτῳ[5] τῷ τρόπῳ μάλιστα ἑαυτοῖς ᾠκειοῦντο τὸν βασιλέα. Τὰ μὲν οὖν πρῶτα οὕτως τὰ πρὸς τὴν γυναῖκα ἐπλάττετο, καὶ ἦν τέως οὐκ ἀνερυθρίαστος ὁ ἔρως[6] αὐτῷ· κατὰ βραχὺ δὲ προϊὼν ἀφαιρεῖται τὴν αἰδῶ καὶ τὸ διεσχηματισμένον ἀνακαλύπτει, καὶ τὴν σκηνὴν καταστρέψας εἰς ὕπαιθρον αὐτῇ, ὁσάκις βούλοιτο, παρεγίγνετό τε καὶ συνεγίγνετο· καὶ ἵνα δὴ πάντα τὸν περὶ ταύτης προλάβω λόγον, τῶν ἀπίστων ἐδόκει τὸ πρᾶγμα ὁρώμενόν τε καὶ ἀκουόμενον· οὐκ ἔτι γὰρ αὐτῇ ὡς παλλακῇ προσεφοίτα, ἀλλ' ὡς καθαρῶς ὁμευνέτιδι.

Ἐξήντλει δὲ αὐτῇ τῶν βασιλικῶν θησαυρῶν ὁπόσα καὶ βούλοιτο· πίθον οὖν χαλκὸν ἐν τοῖς βασιλείοις ἐφευρηκὼς, ἔξωθεν καταπεποικιλμένον τύποις δή τισι καὶ γλύμμασι, τοῦτον χρημάτων πεπληρωκὼς δῶρον ἀποστέλλει τῇ γυναικί· ἐποίει δὲ ταῦτα οὐκ ἐκ διαστημάτων μακρῶν, ἀλλὰ συνεχῶς ἄλλα ἐπ' ἄλλοις τῇ ἐρωμένῃ ἀπεκομίζοντο.

1. χ. περιεργότερον. 2. χ. ἐπισταμένοι. 3. χ. δι' ἐσχυνόμενον. 4. χ. ἐρρωμένην. 5. χ. τοῦτο. 6. χ. ἔρος. 7. χ. καταπεποικιλμένοις.

Περὶ τοῦ πῶς ἀνήχθη ἡ Σεβαστὴ ἐπὶ τὰ βασίλεια.

Τέως μὲν οὖν ἡμιφανῶς ἡ ἐρωτικὴ αὕτη ὁμιλία ἐπράττετο· ἐπεὶ δὲ προϊὼν ὁ χρόνος τὸ κεκρυμμένον κατὰ βραχὺ ἀνεκάλυπτε, δημοσιεύει εἰς προὖπτον τὸν ἔρωτα, καὶ ποικιλώτερον ὁμιλήσας τῇ βασιλίδι, τὴν μετ' αὐτῆς αἱρεῖσθαι πείθει συμβίωσιν· καὶ ἐπεὶ κατανεύσασαν ἔσχεν, οὐ μέχρι τούτου τὸ τῆς ψυχῆς ἱστᾷ βούλημα, ἀλλὰ καὶ συγγραφὰς φιλίας ποιεῖται, καὶ σκηνὴν ἐπὶ τούτῳ βασιλικὴν διατίθεται· καὶ οἱ μὲν προὐκάθηντο, ἡ δὲ σύγκλητος ἐπὶ τῷ καινῷ εἰσήεσαν γράμματι, ἐρυθριῶντες μὲν καὶ τὰ πολλὰ ὑποτονθορύζοντες, ἐπαινοῦντες δὲ ὅμως τὴν συγγραφὴν ὡς ἐξ οὐρανίων καταχθεῖσαν δέλτον, κρατῆρά τε φιλίας ταύτην κατονομάζοντες καὶ τἄλλα τῶν ἡδίστων ὀνομάτων ὁπόσα δὴ κολακεύειν ἢ ἐξαπατᾶν εἴωθεν ἐλαφρὰν καὶ κούφην ψυχήν. Ἐπεὶ δὲ ἡ σπονδὴ ἐγεγόνει, καὶ ἀπετελέσθη τὰ ὅρκια, ἐντὸς τῶν βασιλικῶν ἀδύτων ἡ τέως ἐρωμένη εἰσάγεται, οὐ τοῦτο μετὰ ταῦτα καλουμένη τὸ ὄνομα, ἀλλὰ δεσπότις καὶ βασιλὶς ἄντικρυς, καὶ τό γε θαυμασιώτατον, ὅτι οἱ μὲν[1] πλείους πεπληγότες ἐτύγχανον τὰς ψυχὰς ἐφ' οἷς ἡ βασιλὶς ἐξαπατηθεῖσα | παρῳπτό τε καὶ καταπεφρόνητο, ἡ δὲ φ. 368.
οὐδέν τι μᾶλλον ἠλλοίωτο, ἢ μειδιῶσα πᾶσι καθωρᾶτο καὶ ἐπαγαλλομένη τῷ πράγματι· κατεφίλησε γοῦν πολλάκις προσφῦσα τὴν συμμερῖτιν[2] τοῦ κράτους, καὶ ἄμφω δὴ παρεγενέσθην τῷ βασιλεῖ καὶ περὶ τῶν αὐτῶν διελεγέσθην πραγμάτων. Ὁ δὲ νῦν μὲν ἐπίσης ἀμφοῖν ἐζυγοστάτει τοὺς λόγους, ἔστι δ' οὗ τὸ πλέον τῇ δευτέρᾳ βασιλίδι ἀπένεμε.

Τὸ μὲν οὖν εἶδος αὐτῇ οὐ πάνυ θαυμάσιον, ἀλλ' οὐδὲ πρόχειρον εἰς κακήγορον γλῶτταν καὶ λοίδορον, τὸ δέ γε ἦθος καὶ τὸ τῆς ψυχῆς φρόνημα, τὸ μὲν καὶ θέλξαι λίθους δυνάμενον, τὸ δὲ πρὸς

1. χ. ὁ μέν. 2. χ. συμμερίτην.

πᾶσαν ἐπιβολὴν[1] πραγμάτων ἀξιολογώτατον, τὸ δὲ φθέγμα οἷον οὐκ ἄλλο· λεπτὸν γὰρ αὐτῇ τοῦτο καὶ διηνθισμένον, καὶ σοφιστικὴν ἀρετὴν ἔχον ἐν τοῖς ῥυθμοῖς· ἐπέτρεχε δέ τις τῇ γλώττῃ καὶ γλυκεῖα λέξις αὐτόματος, διηγουμένην δὲ ἀδιήγητοι χάριτες περιέθεον. Ἐμὲ γοῦν ἦρει ἐπανερωτῶσα πολλάκις μύθους ἑλληνικούς, καὶ αὐτὴ προστιθεῖσα εἴ τινος τῶν ἀκριβούντων περὶ ταῦτα ἀκήκοεν· εὐήκοος δὲ εἰ καί τις ἄλλη γυναικῶν ἐγεγόνει, τοῦτο δὲ οἶμαι αὐτῇ οὐ παρὰ τῆς φύσεως προσεκτήθη, ἀλλ' ἐπειδὴ πάσας ἤδει γλώσσας ἐπ' αὐτὴν φερομένας, καὶ τὸ ὑπ' ὀδόντα τινὰ γρύξαι λαλιὰν ἐκείνῃ ἐποίει, καὶ εἴκαζε τὸ τονθορυζόμενον εἰς τὸ ἔργον τῆς ὑπολήψεως.

Ἀμέλει τοι συνειλεγμένων ποτὲ τῶν ὑπογραμματευομένων ἡμῶν, πομπὴν αἱ περὶ τὴν βασιλίδα ἐποιοῦντο· προῄεσαν δὲ αὐτή τε καὶ ἡ ἀδελφὴ Θεοδώρα, καὶ μετ' ἐκείνην ἡ Σεβαστή (τούτῳ γὰρ αὐτὴν τῷ καινῷ ἀξιώματι αἱ βασιλίδες, δόξαν οὕτω τῷ αὐτοκράτορι, τετιμήκεσαν)· ὡς δ' οὖν προῄεσαν, ἦγε δὲ αὐτὰς ἡ πομπὴ ἐπὶ θέατρον, καὶ τότε ταύτην οἱ πολλοὶ πρώτως ἐθεάσαντο συμπαριοῦσαν ταῖς βασιλίσι, τῶν τις περὶ τὴν κολακείαν πολὺς τοῦτο δὴ τὸ ποιητικὸν ἠρέμα πως ἀπεφθέγξατο, τὸ, οὐ νέμεσις, περαιτέρω μὴ συντείνας τὸ ἔπος· ἡ δὲ τότε μὲν οὐδὲν πρὸς τὸν λόγον ἐπεσημήνατο, ἐπεὶ δὲ ἡ πομπὴ ἐτελέσθη, διέκρινέ τε τὸν εἰρηκότα, καὶ τὸν λόγον ἀνέκρινε, μηδὲν ὑποσολοικίσασα τὴν φωνὴν, ἀλλ' ὀρθοεπήσασα τὸ ὄνομα ἀκριβῶς· ὡς δ' ὁ εἰρηκὼς τὴν ἱστορίαν τῷ ἀκριβοῦντι κατέλεξε, καὶ οἱ πολλοὶ ἅμα τῷ λόγῳ πρὸς τὴν ἑρμηνείαν κατένευσαν, φρονήματος αὐτίκα ἐκείνη πλησθεῖσα, ἀμείβεται τοῦ ἐγκωμίου τὸν ἐπαινέτην οὐκ ὀλίγοις τισὶν, οὐδὲ φαύλοις, ἀλλ' οἷς ἐκείνη κεχρῆσθαι καὶ ἀμείβεσθαι εἴωθε. Καὶ ἵνα γε αὐτῇ οἵ τε ἄλλοι καὶ αἱ βασιλίδες συμπνείωσι[2] μάλιστα, τὸ ἑκάστῳ ἢ ἑκάστῃ οἰκεῖον ἐδίδου παρέχειν ὁ αὐτοκράτωρ.

1. χ. ἐπηβολὴν. 2. χ. συμπνίωσι.

Ἐπεὶ δὲ τῶν δυοῖν ἀδελφῶν, ἡ μὲν χρυσίου πολλοῦ ἥττητο, οὐχ ἵνα ἔχοι ἢ θησαυρίζοι, ἀλλ' ἵνα εἰς ἄλλους μετοχετεύοι τὸ ῥεῦμα, καὶ τούτων δὴ τῶν ἰνδικωτάτων ἀρωμάτων τῶν τε ἄλλων καὶ μάλιστα τῶν ἐστίτην[1] φυσικὴν λιβάδα μὴ ἀπολειπόντων ξύλων, ἐλαῶν τέ τινων σμικροτάτων καὶ δαφνείων καρπῶν λευκοτάτων, ἡ δ' ἑτέρα καὶ νεωτέρα δαρεικῶν ὁσημέραι μυρίων, ὧν δὴ καὶ θήκας χαλκὰς ἐπεποίητο, ἑκάστῃ τούτων κατάλληλος ἔδοξε τὰ ἁρασμιώτερα διανέμουσα. Ἡ μὲν γὰρ πρώτη βασιλὶς τὸ ζηλότυπον ἤδη διὰ τὴν τῆς ἡλικίας παρακμὴν καταλύσασα, οὐκ ἔτι πρὸς αὐτὴν ἐμηνία, οὐδὲ δυσόργως εἶχε τὸ πάθος τῆς βασκανίας, ὑποσυληθεῖσα τῷ χρόνῳ· καὶ ἡ ἀδελφὴ δὲ ἀπολαύουσα ὧν ἐβούλετο, τῆς ἀδελφῆς ἐφρόντιζεν ἔλαττον. Ἔνθεν τοι ἃ πολλοῖς ἱδρῶσι καὶ πόνοις ὁ βασιλεὺς Βασίλειος ἐν τοῖς βασιλείοις ἀπεθησαύρισε, ταῦτα εἰς ἱλαρὰν ἐκείναις προέκειτο παιδιάν[2]· ἄλλα γὰρ ἐπ' ἄλλοις ἠμείβετό τε καὶ ἀντεδίδοτο, τὰ δὲ καὶ εἰς ἑτέρους μετωχετεύετο, καὶ ὀλίγου χρόνου ἀνηλώθη πάντα καὶ διεφθάρη· ἀλλ' οὔ πω νῦν ὁ λόγος εἰς τοῦτο κατέληξε, συμπληρούτω δὲ τὴν ὑπόθεσιν. Διανειμάμενοι δὲ τὰς οἰκήσεις, ὁ μὲν βασιλεὺς τὸ μέσον ἔλαχε τῶν τριῶν, αἱ δὲ πέριξ ἐσκήνουν, τὸ δὲ ἄδυτον εἶχεν ἡ Σεβαστή· καὶ ἡ βασιλὶς οὐκ ἄλλως προσεφοίτα τῷ αὐτοκράτορι, εἰ μὴ μεμαθήκοι πρότερον ὡς ἐφ' ἑαυτοῦ σκηνοῖτο καὶ πόρρω που καθῆστο τῆς ἐρωμένης, εἰ δ' οὔ, τὸ ἑαυτῆς ἔπραττε· τί ποτε τοῦτο;

Ἐκείνη γυναικείων μὲν παντάπασιν ἔργων ἀπείχετο, οὔτε γὰρ ἀτράκτῳ ποτὲ τὰς χεῖρας ἠσχόλησεν, οὔτε ἱστουργεῖν[3] ἐπεβάλλετο[4], οὔτέ ἄλλου τινὸς ἐπεβάλλετο· κατωλιγώρει δὲ καὶ βασιλείων καλλωπισμῶν, εἰ μὲν καὶ ἐν ὥρᾳ τῆς ἀκμῆς οὐκ οἶδα, παρηκμακυῖα δ' οὖν τὸ φιλότιμον ἅπαν κατέλυσε· περὶ τοῦτο δὲ μόνον ἐπόνει καὶ τὴν πᾶσαν πραγματείαν συνέτεινε, τὰς τῶν ἀρωμάτων

1. γρ. ἑστῖτιν. 2. χ. παιδίαν. 3. χ. ἰσουργεῖν. 4. γρ. ὑπεβάλλετο.

φύσεις μεταβάλλειν, καὶ μυρεψεῖν, τὰ δὲ πλάττειν τε καὶ τυποῦν, τὰ δ' ἄλλως ἐργάζεσθαι, καὶ ὁ ἀποτετμημένος [1] αὐτῇ οἶκος εἰς εὐνὴν οὐδέν τι σεμνότερος ἦν τῶν ἐπὶ τῆς ἀγορᾶς ἐργαστηρίων, ἐφ' ὧν αἱ βάσανοι τῶν τεχνῶν καὶ ἐμπύριοι τὴν ξυντέλειαν [2] ἔχουσι· πυρὰ γοῦν πολλὴ [3] πέριξ τοῦ δωματίου αὐτῆς ὑπενήπτετο, καὶ τῶν ἀμφιπόλων ἑκάστη ἡ μὲν τὰ μεγέθη τῶν ἀρωμάτων διήρει, ἡ δὲ ταῦτα συνέπλαττεν, ἡ δ' ἄλλο τι τοιοῦτον εἰργάζετο· τοῦ μὲν οὖν χειμῶνος ἐδόκει τι πρὸς ἐκείνης εἶναι τὰ ὑπουργούμενα, καὶ τὸ πολὺ πῦρ τὸν ψυχρὸν ἐκείνῃ ἀέρα διήμειβε, θερείας δὲ οὔσης τῆς ὥρας τοῖς μὲν ἄλλοις βραχύ τι καὶ ἀγχοῦ παριέναι ἐκεῖσε ἐδόκει, ἡ δὲ ὥσπερ ἀναισθήτως τοῦ καύματος ἔχουσα ὑπὸ πολλοῖς ἐδορυφορεῖτο πυρσοῖς· ἀλλόκοτος γὰρ αὐτῇ τε καὶ τῇ ἀδελφῇ ἡ φύσις ἐδόκει· ὀλιγώρως εἶχον καὶ εὐπνουστέρου ἀέρος, καὶ οἰκήματος λαμπροτέρου, καὶ λειμώνων, καὶ παραδείσων, καὶ οὐδὲν αὐτὰς τῶν τοιούτων ἔθελγεν, εἰ δὲ ἔνδον εἶεν τῶν ἀποτετμημένων [4] αὐταῖς οἰκημάτων, καὶ ἡ μὲν τὸ χρυσοῦν ῥεῦμα ἐπισφραγίζοι, ἡ δὲ τὴν ὁδὸν διακαθαίρει τῷ ῥεύματι, τοῦτο αὐταῖς ἀντὶ πάσης ἀπολαύσεως ἦν.

Τὰ μὲν οὖν ἄλλα τῆς πρώτης βασιλίδος, λεγέσθω γάρ τι πλέον περὶ αὐτῆς, ἕως ἂν τῇ Σεβαστῇ αὐτοκράτωρ συναναπαύηται, οὐ λίαν ἐπαινεῖν ἔχων, ἐν τοῦτο θαυμάζων διατελῶ [5], ὅτι δὴ φιλοθεΐᾳ πάσας μὲν γυναῖκας, πᾶσαν δὲ φύσιν ὑπερεβάλλετο ἄρρενα· ὥσπερ γὰρ οἱ ἀνακραθέντες διὰ | θεωρίας θεῷ, μᾶλλον δὲ οἱ καὶ ὑπὲρ τοῦτο γεγονότες καὶ ἀκριβῶς ἐνθεάσαντες, τοῦ τελείου μόνον ἐφετοῦ ἔχονται, κἀκεῖθεν ἠώρηνται, οὕτω δὴ καὶ ταύτην τὸ περὶ τὸ θεῖον θερμότατον σέβας τῷ πρώτῳ καὶ ἀκραιφνεστάτῳ φωτὶ ἀκριβῶς, ἵν' οὕτως εἴπω, συνεκέρασεν· οὐδὲν γὰρ ὅτι μὴ τὸ τοῦ θεοῦ ὄνομα διὰ παντὸς ἐπὶ γλώττης ἐκείνῃ.

p. 369.

1. χ. ἀποτεμνήμενος. 2. χ. ξυντελείαν. 3. χ. πολλαί. 4. χ. ἀποτεττημένων. 5. χ. διὰ τελῶς.

Περὶ τοῦ Ἀντιφωνητοῦ [1].

Ἀμέλει τοι καὶ τὸν ἐκείνης, ἵν' οὕτως εἴποιμι, Ἰησοῦν διαμορφώσασα ἀκριβέστερον, καὶ λαμπροτέρᾳ ὕλῃ ποικίλασα, μικροῦ δεῖν ἔμπνουν εἰργάσατο τὸ εἰκόνισμα· ἐπεσημαίνετο γὰρ τοῖς χρώμασι τὰ αἰτούμενα, καὶ ἐδήλου τὰ μέλλοντα ἡ χροιά· πολλὰ γοῦν ἐκείνη ἐντεῦθεν τῶν ἐσομένων κατεμαντεύετο· εἴ τε γοῦν τι θυμῆρες προσεγεγόνει αὐτῇ, εἴ τε δυσχερές τι προσεπεπτώκει, εὐθὺς ἀφικνεῖτο πρὸς τὴν εἰκόνα, τὰ μὲν ἀνθομολογουμένη, τὰ δὲ ἐξιλεουμένη. Ἐγὼ γοῦν ἐθεασάμην αὐτὴν πολλάκις ἐπὶ δυσχερεστέρων καιρῶν, νῦν μὲν τὴν θείαν ἀγκαλιζομένην εἰκόνα καὶ καταθεωροῦσαν ταύτην, καὶ ὡς ἐμψύχῳ διαλεγομένην καὶ [τὰ] κάλλιστα τῶν ὀνομάτων συνείρουσαν, νῦν δὲ ἐπ' ἐδάφους κειμένην καὶ δάκρυσι μὲν τὴν γῆν πιαίνουσαν, τυπερὶς δὲ τὰ στέρνα διασπαράττουσαν· καὶ ἦν [2] μὲν ὠχριακότα ἴδοι, ἀπῄει στυγνάζουσα, εἰ δὲ πυράζοντα καὶ φανοτάτῃ αἴγλῃ καταλαμπόμενον, διήγγελλέ τε αὐτίκα τῷ βασιλεῖ τὸ πρᾶγμα καὶ προκατήγγειλε τὸ ἐσόμενον. Οἶδα μὲν ἀναγνοὺς λόγους ἑλληνικοὺς, ὡς ὁ ἀναπεμπόμενος εἰς ἀέρα τῶν ἀρωμάτων ἀτμὸς ἀπελαύνει μὲν τὰ πονηρὰ πνεύματα, ἐπεισκρίνει δὲ ταῖς ὑποκειμέναις ὕλαις τὰς τῶν κρειττόνων παρουσίας, ὅπερ δὴ ἐπ' ἄλλοις καὶ λίθοι καὶ πόαι καὶ τελεταὶ τὰς θεοφανίας ἐνδείκνυνται· οὔτε δὲ πρῶτον ἀναγνοὺς προσηκάμην τὸν λόγον, καὶ μετὰ ταῦτα οὐκ ἔργοις πιστεύσας, ἀλλὰ βαλὼν λίθοις ἀπήλασα· ἐκείνη δὲ οὔτε ἑλληνικώτερον, οὔτ' ἄλλως περιεργότερον τὴν περὶ τὸ θεῖον ἐποίει τιμὴν, ἀλλὰ τὸν τῆς ψυχῆς πόθον ἐπιδεικνυμένη, καὶ καθοσιοῦσα θεῷ τῶν παρ' ἡμῖν δοκούντων ἀγαθῶν τὰ τιμιώτερα καὶ σεμνότερα. Ἐς τοσοῦτον γοῦν τῇ βασιλίδι ἀγαγόντες τὸν λόγον, ἐπανακαλέσωμεν αὖθις εἰς τὴν Σεβαστὴν καὶ τὸν αὐτοκράτορα, καὶ εἰ δοκεῖ

1. χ. ἀντιφωνιτοῦ. 2. χ. ἦν.

διεγείρωμέν τε καὶ διέλωμεν, καὶ τὸν μὲν ἐς τὸν μέλλοντα λόγον ταμιεύσωμεν, τῇ δὲ διὰ τοῦ παρόντος συνέλωμεν τὴν ζωήν.

Περὶ τῆς τελευτῆς τῆς Σεβαστῆς.

Ὁ μὲν γὰρ αὐτοκράτωρ ἴσως[1], καὶ λόγος περὶ τούτου διέρρει πολὺς, μέλλουσαν αὐτῇ βασιλείαν προεμνηστεύετο, οὐκ οἶδ' ὅπως γενησομένην, ἀλλ' ὅμως ἐτρύφα τοῖς λογισμοῖς· τὸ δὲ ἐκείνῳ τε τὰς ἐνθυμήσεις, κἀκείνῃ τὰς ἐλπίδας διέτεμε, καὶ νόσος ἀθρόον αἱρεῖ πρὸς πᾶσαν παρασκευὴν καὶ τέχνην ἀντίθετος· πρὸς γὰρ πᾶσαν παραγωγὴν θεραπείας ἀνένδοτος ἦν, ἀλγεινῶς τε εἶχε τοῦ θώρακος, καὶ τὸ ἄσθμα ἐνόσει δεινῶς, καὶ προαναρπάζεται τῶν ἐλπίδων ἡ τέως φαντασθεῖσα τὰ μείζονα. Ὁπόσα μὲν οὖν ἐπὶ τῷ ἐκείνης θανάτῳ ἐπεποιήκει ὁ αὐτοκράτωρ, τούς τε θρήνους οὓς ἀπωδύρατο καὶ τὰς πράξεις ἃς κατεπράξατο, ὅσα τε τῷ πάθει νικώμενος μειρακιωδῶς ἀνωλοφύρατο, παρέλκον ἂν εἴη εἰς τὴν τῆς ἱστορίας καταλέγειν ὑφήν· τὸ γὰρ ἐφ' ἑκάστῳ τῶν πραττομένων ἢ λεγομένων σμικρολογεῖσθαι καὶ οἷον λεπτολογεῖν, οὐχ ἱστορούντων ἐστὶν ἀλλ' ἢ καταιτιωμένων εἰ φαῦλα τὰ σμικρολογούμενα εἴη, ἢ ἐγκωμιαζόντων εἰ τόπους ἐγκωμίων ἐπέχοιεν· εἰ δ' αὐτὸς ἐνιαχοῦ τοιούτοις ἐχρησάμην οἷς ἀποτρέπομαι μὴ κεχρῆσθαι τοὺς ἱστοροῦντας, θαυμάζειν οὐ χρή· ὁ γὰρ τῆς ἱστορίας λόγος οὐχ οὕτως ὥρισται, ὡς ἀπεξέσται[2] πέριξ παντάπασιν, ἀλλ' ὅπη παρείκοι καὶ διεκδρομάς τινας ἔχειν καὶ παρεκβάσεις· δεῖ δὲ τὸν ἱστοροῦντα ταχὺ αὖθις ἐπανακαλεῖν διαδραμὸν[3] μέρος, καὶ τοῖς μὲν ἄλλοις ἐν παρέργοις χρᾶσθαι, πάντα δὲ πρὸς τὴν ὑπόθεσιν συμπεραίνειν.

Τὰ μὲν οὖν ἄλλα ἐάσειν μοι δοκῶ, τὸ δέ γε κεφάλαιον τῶν ἐκείνου παθῶν, ἣν δὴ πραγματείαν ἐπὶ τῷ ἐκείνης τάφῳ πεποίηται, νῦν μὲν ἀναβάλλομαι, ποιήσομαι δὲ ἐν καιρῷ, προϊστορήσας ὁπόσα

1. χ. ἴσος. 2. γρ. ἀπεξέσθαι. 3. χ. διαδραμών.

τῆς ὑποθέσεως ταύτης προγέγονεν· ὁ γάρ τοι λόγος τοῦ περὶ τὴν Σεβαστὴν ἁψάμενος πράγματος, καὶ φιλοτιμηθεὶς δι' ὅλου τὴν περὶ ταύτης ἱστορίαν ἐμφανηθῆναι, πολλὰ τῶν ἄνω ταύτης ἀξιολογουμένων παρῆκεν, ἵνα μὴ καθ' ἕκαστον τῶν πεπραγμένων μνημονεύειν ἐκείνης ἐπαναγκάζομαι καὶ τὸ συνεχὲς διακόπτειν τῶν ὑποθέσεων· ὁ μὲν οὖν περὶ ἐκείνης λόγος εἰς αὐτὸ δὴ τὸ μέρος τῆς ἐκείνης κατέληξε[1] λήξεως· ἐπανιῶμεν οὖν αὖθις ἐπὶ τὸν αὐτοκράτορα, ὃν δὴ καὶ ὑπόθεσιν τοῦ παρόντος μέρους τῆς ἱστορίας ποιούμεθα.

Ἐβούλετο μὲν οὖν οὗτος, ὥσπερ δὴ πολλάκις μοι εἴρηται, ἐκ πολλοῦ κλύδωνος εἰς ἀλύπους ἀκτὰς καὶ λιμένας ἀκλύτους τῆς βασιλείας καθορμισάμενος, μὴ πάλιν ἀφεῖναι[2] πρὸς πέλαγος· τοῦτο δέ ἐστιν εἰρηνικῶς, ἀλλ' οὐ πολεμικῶς τὴν ἀρχὴν διεξάγειν, ὅπερ δὴ καὶ τῶν ἄνωθεν αὐτοκρατόρων οἱ πλεῖστοι διενοήθησαν· ἀλλ' ἐπειδὴ μὴ κατὰ τὰς ἡμεδαπὰς αἱρέσεις τὰ πράγματα ἀπαντᾷν εἴωθεν, ἀλλ' ἐφειστήκει τις ἔξωθεν κραταιοτέρα ἀρχὴ κινοῦσα τὸν βίον ὅπως ἂν ἐθέλοι, τὰ μὲν ὁμαλῶς, τὰ δὲ καὶ πρὸς ἀνωμάλους ἀνακυκλήσεις, οὐδ' ἐκείνῳ κατὰ σκοπὸν συμβεβήκει τὰ πεπραγμένα, ἀλλ' ἐπ' ἄλλοις ἄλλα διεκυμάνθησαν· νῦν μὲν γὰρ ἐμφύλιοι πόλεμοι τὴν ἀρχὴν διετάραξαν, αὖθις δὲ βαρβαρικαί τινες ἐπιδρομαὶ τὰ πλεῖστα τῶν ἡμετέρων ληϊσάμεναι, παντοδαπὰς ὠφελείας καὶ λείαν ὅσην ἐβούλοντο περιβαλλόμεναι ἀπήλασαν εἰς τὰ σφέτερα[3].

Τὰ μὲν οὖν ἐφ' ἑξῆς πάντα διεξιέναι, ἕκαστόν τε ἐξακριβοῦσθαι ἀφ' οἵων ἀρχῶν εἰς οἷα τέλη κατήντησε, συντάξεις τε καταλέγειν καὶ στρατοπαιδείας[4], ἀκροβολισμούς[5] τε καὶ ἀψιμαχίας καὶ τἆλλα ὁπόσα εἴθισται λέγειν τοῖς ἀκριβέσι τῶν συγγραφέων, ὡς μακροῦ καιροῦ καὶ λόγου δεόμενα εἰς τὸ παρὸν ἀναβάλλομαι· οὐ γάρ με τὴν[6] | συγγραφὴν, φίλτατε πάντων ἀνδρῶν, φιλοτιμοτέραν[7], ἀλλὰ φ. 370.

1. χ. κατάληξε. 2. χ. ἀφῆναι. 3. χ. σφαίτερα. 4. γρ. στρατοπεδείας. 5. χ. ἀκριβολισμούς. 6. χ. μετῆν. 7. χ. φιλιτιμοτέραν.

κεφαλαιωδεστέραν ἀπήτησας· διὰ τοῦτό σοι κἀγὼ πολλὰ τῶν ἀξίων εἰρῆσθαι παρῆκα τῇ ἱστορίᾳ [1], μήτε πρὸς ὀλυμπιάδα ἐτῶν ταύτην ἀναμετρήσας, μήθ' ὡς ὁ συγγραφεὺς [2] πεποίηκεν εἰς τὰς τοῦ ἔτους ὥρας αὐτὴν διελόμενος, ἀλλ' ἁπλῶς οὑτωσὶ τὰ ἐπικαιρότατα ταύτης ὑπαγορεύσας καὶ ὁπόσα μοι ἱστοροῦντι κατὰ μνήμην συνήθροισται· ἀλλ' ὅπερ εἴρηκα, τὸ μὲν πᾶσαν πρᾶξιν λεπτολογεῖν ἀφίημι νῦν, μέσην δὲ ὁδὸν βαδίζειν προῄρημαι τῶν τε ἀρχαιολογησάντων τὰς τῆς πρεσβυτέρας Ῥώμης ἡγεμονίας τε καὶ πράξεις καὶ τῶν εἰωθότων ἐν τοῖς καθ' ἡμᾶς χρόνοις χρονογραφίας συντίθεσθαι, οὔτε τὸ περιῤῥέον ἐκείνων ἐν τοῖς λόγοις ζηλώσας, οὔτε τὸ συντετμημένον τῶν λοιπῶν μιμησάμενος, ἵνα μήτε κόρον [3] ἔχοι τὸ σύγγραμμα, μήτε παραλίποι τὰ καίρια. Καὶ τοῦτο μὲν ἐς τοσοῦτο εἰρήσθω [4]· ὁ δὲ λόγος τῆς ἀκολουθίας τῶν πεπραγμένων ἐχόμενος τὸν πρώτως συστάντα τῷ αὐτοκράτορι πόλεμον πρῶτον τῆς ἱστορίας τῶν ἄλλων ποιήσεται· μικρὸν δὲ καὶ τούτου ἄνωθεν ἀναδραμοῦμαι, κεφαλὴν ὥσπερ τῷ ὑφαινομένῳ παρεχόμενος σώματι. Χαλεπὰ τὰ καλά, φασὶν οἱ παροιμιαζόμενοι, ἀλλὰ καὶ οὕτως ἐχόντων ἕρπει καὶ κατὰ τῶν ὀλίγων ὁ φθόνος, καὶ εἴ πού τις ἄνθη, λέγω δὴ ἐν πᾶσι τὸ πλεῖστον καιροῖς, ἢ γονίμου ἀναβλαστήσειε φύσεως, ἢ φρονήσεως ἀκριβοῦς, ἢ μεγαλοφυΐας, ἢ ψυχῆς καρτερᾶς καὶ ἀνδρείας, ἢ ἀγαθῷ τινος ἄλλου, εὐθὺς ἐφέστηκεν ὁ τομεύς, καὶ τοῦτο μὲν τὸ μέρος τῆς βλάστης ἐκκέκοπται, παραβλαστάνουσι δὲ τὰ ὑλώδη καὶ ἄκαρπα, καὶ ὑλομανεῖ ἐπὶ πλέον ἡ ἄκανθα· καὶ οὐ τοῦτο δεινόν, εἴ τις ἔλαττον ἔχων τῶν θαυμασίων φύσεων, ἔπειτα τούτοις βασκαίνειν εἴωθεν. Ἀλλ' ὁρῶ τὸ πάθος καὶ βασιλέων ἀπτόμενον· οὐ γὰρ ἀρκεῖ τούτοις ἡ ταινία [5] καὶ ἀλουργὶς, ἀλλ' ἦν μὴ τῶν σοφῶν σοφώτεροι εἶεν καὶ τῶν ἀκριβούντων δεινότεροι, καὶ ἁπλῶς εἰπεῖν ὑπερτελεῖς κορυφαὶ τῶν ἁπασῶν ἀρετῶν, ἐν δεινῷ ποιοῦνται

1. χ. παρῆκάστη. 2. χ. σὺν γραφεὺς. 3. χ. κόρο. 4. χ. ἐρήσθω. 5. χ. τενία.

τὸ [1] πρᾶγμα· καὶ εἰ μὴ ὡς θεοὶ ἡμῖν ἐφεστήκοιεν, οὐκ ἂν ἄλλως ἄρχειν ἐθέλωσιν· ἐνίους δὲ αὐτὸς καθεώρακα ὡς ἐθέλουσιν ἥδιστ' ἂν ἀποθανεῖν, μὴ συμμαχούντων ἐνίων αὐτοῖς, ἢ δι' ἐκείνους κρατύνεσθαι· καὶ δέον σεμνύνεσθαι ὅτι χείρων αὐτοῖς βοήθεια παρὰ θεοῦ πέπλασται, οἱ δ' ἀποτέμνειν [2] ταύτην αἱροῦνται, ὅτι παρ' αὐτοῖς βεβοήθηται. Πεπροοιμίασται δέ μοι ταυτὶ τὰ πολλὰ ἀφορῶντι πρὸς τὸν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀνθήσαντα καὶ δείξαντα ὁπόση [3] μὲν ἡ στρατηγία δεδύνηται, οὐδὲν δὲ ἧττον καὶ στρατιωτικαῖς τόλμαις καὶ ἐμπειρίαις τὰς μὲν τῶν βαρβάρων ὁρμὰς πεδήσαντα, τοῖς δέ γε Ρωμαίοις ἐλευθερίαν ἀκίνδυνον μνηστευσάμενον.

Περὶ τῆς τοῦ Μανιάκη ἀποστασίας.

Ὁ Μανιάκης οὗτος Γεώργιος οὐκ ἀθρόον ἀπὸ τῶν σκευοφόρων εἰς τὸ στρατηγεῖν παρεληλυθὼς, οὐδὲ χθὲς μὲν [4] τῇ σάλπιγγι χρώμενος καὶ τὴν τοῦ κήρυκος τάξιν ἀναπληρῶν, σήμερον δὲ τὴν φάλαγγα πιστευθεὶς, ἀλλ' ὥσπερ ἀπὸ σημείου ἀρξάμενος καὶ κατὰ βραχὺ προϊὼν καὶ τοὺς βαθμοὺς βραβευόμενος, ἕως δὴ πρὸς τὸ κεφάλαιον τῆς στρατηγικῆς ἀπήντησε τάξεως· ἀλλ' ὁμοῦ τι κατώρθου, καὶ στεφανηφορῶν αὖθις δεσμὰ περιέκειτο, ἐπανῄει νικηφόρος τοῖς βασιλεῦσι καὶ ᾤκει τὸ δεσμωτήριον, προεπέμπετο στρατηγήσων καὶ τῆς ὅλης ἀρξόμενος δυνάμεως καὶ ἐκ θατέρου πλευροῦ παρειστήκεισαν οἱ τῶν κορυφαίων τοῦ στρατεύματος ὑπογενειάζοντες καὶ κινοῦντες οὐχ ὅπη δέον χωρεῖν, ἀλλ' ἔνθα πρὸς τοὐναντίον ἡμῖν τε κακείνῳ χωρήσει τὰ πράγματα. Ἔδεσαν ἥλω, καὶ ἐν γραφαῖς ἦν, Σικελίαν αἱρήσων ἐπέμπετο, καὶ ἵνα μὴ παρ' ἐκείνου ἁλοίη, ἀτίμως αὖθις ἀνεκαλεῖτο.

Τοῦτον ἐγὼ τὸν ἄνδρα καὶ τεθέαμαι καὶ τεθαύμακα· συνενήνοχε γὰρ αὐτῷ ἡ φύσις ὁπόσα συμπρέπει τῷ στρατηγήσοντι· ἦν γὰρ τὴν

1. χ. τῶ. 2. χ. ἀποτέμνην. 3. γρ. ὁπόσα. 4. χ. μὴν.

ἡλικίαν εἰς δέκατον ἀνεστηκὼς πόδα, καὶ οἱ πρὸς αὐτὸν ὁρῶντες ὥσπερ εἰς κόλωνον ἢ κορυφὴν ὄρους ἀνέβλεπον· τὸ δὲ εἶδος αὐτῷ οὐ τρυφερὸν καὶ ἐπιτερπὲς, ἀλλ' οἷον ἐοικὸς πρηστῆρι· ἐβρόντα δὲ καὶ τῷ φθέγματι, αἵ τε χεῖρες οἷαι διασεῖσαι τείχη καὶ πύλας συντρίψαι χαλκὰς, τὸ δὲ ὅρμημα τούτῳ ὁποῖον λέοντος, καὶ τὸ ἐπισκήνιον βλοσυρόν· καὶ τἄλλα δὲ τῷ ἀνδρὶ συνῳδὰ τούτοις καὶ σύνδρομα, καὶ ἡ φήμη πλείων τῶν ὁρωμένων, καὶ πᾶς ἐδεδίει τὸν ἄνδρα βάρβαρος, ὁ μὲν καὶ ἰδὼν καὶ θαυμάσας, ὁ δὲ τῶν ἱστορούντων ἐκεῖνον ἀκούσας καὶ ἐκπλαγείς. Ἐπεὶ δὲ τὴν Ἰταλίαν ἀποσεσυλήμεθα [1] καὶ τὸ σεμνότατον τῆς ἀρχῆς ἀφῃρήμεθα μέρος, πέμπει τοῦτον ὁ δεύτερος Μιχαὴλ πολεμήσοντα μὲν τοῖς ἡρπακόσιν αὐτὴν, τῷ δὲ κράτει τὸ μέρος ἐπανασώσαντα· λέγω δὲ νῦν Ἰταλίαν, οὐ τὴν ἀκτὴν ξύμπασαν, ἀλλὰ μόνον δὴ τὸ πρὸς ἡμᾶς τμῆμα τὸ κοινὸν ἰδιωσάμενον [2] ὄνομα. Ὁ μὲν οὖν τοῖς ἐκεῖσε μέρεσι μετὰ παντὸς ἐπιστὰς τοῦ στρατεύματος, πᾶσιν ἐχρᾶτο τοῖς στρατηγήμασι, καὶ δῆλος ἦν τοὺς μὲν κατασχόντας ἀπελάσων, τὴν δὲ αὐτοῦ χεῖρα ἀντ' ἄλλου τινὸς ἐρύματος ἀντιστήσων ταῖς ἐκείνων ἐπιδρομαῖς.

Ἐπεὶ δὲ ὁ μὲν Μιχαὴλ ἐξώσθη τοῦ κράτους, εἰς δὲ τὸν αὐτοκράτορα Κωνσταντῖνον, περὶ οὗ γράφειν προῄρημαι, τὰ τῆς ἀρχῆς ἀπεῖδε πράγματα, δέον εὐθὺς πάσαις ἀποστολιμαίαις [3] ἐκεῖνον καταγεραίρειν γραφαῖς καὶ στεφάνοις ἀναδεῖσθαι μυρίοις καὶ τἄλλα ποιεῖν ὁπόσα δὴ ἐκεῖνον θεραπεύσειν ἔμελλεν, ἀλλ' ὅ γε αὐτοκράτωρ παντάπασι τούτου κατολιγωρήσας τοῦ μέρους, ἐκείνῳ τε ὑποψίας κατέσπειρεν ἀφορμὰς, καὶ τῇ βασιλείῳ πόρρωθεν κατεβάλλετο πράγματα· ἐπεὶ δέ ποτε καὶ εἰς μνήμην αὐτοῦ ἐλήλυθεν ὁ ἀνὴρ καὶ ἐν κακοῖς ἐγνωρίζετο, τυραννικά τε φρονῶν ἐγινώσκετο, οὐδ' οὕτω [4] δεξιῶς τὰ πρὸς ἐκεῖνον μετεχειρίσατο· οὐ γὰρ προσ-

1. χ. ἀποσεσυλόμεθα. 2. χ. ἰδιοσάμενον. 3. χ. ἀποστιλμαίαις. 4. χ. ὅττω.

προιεῖται τὸ τέως μελετώμενον ἀγνοεῖν, ἀλλ' ὡς | πρὸς ἤδη τυραν- p. 371.
νήσαντα ἀναρρήγνυται· πέμπει γοῦν πρὸς αὐτὸν οὔτε τοὺς θεραπεύσοντας, οὔτε τοὺς ἄλλως ἐξομαλίσοντας καὶ πρὸς τὸ δέον μεταρρυθμίσοντας, ἀλλ' ἵν' οὕτως εἴποιμι τοὺς ἀποκτενοῦντας, ἢ τό γε μετριώτερον, ἐξονειδίσοντας αὐτῷ τὴν δυσμένειαν καὶ μονονοὺ μαστιγώσοντας καὶ δεσμήσοντας καὶ τῆς πόλεως ἐξελάσοντας· καὶ ὁ κορυφαῖος τῶν πρέσβεων οὐ τῶν ἐν τοιούτοις ἐξητασμένων, οὐδὲ τῶν προλαβόντων τῷ χρόνῳ πολιτικῶν ἢ στρατιωτικῶν πραγμάτων ἐπιμέλειαν, ἀλλὰ τῶν ἐκ τριόδων ἀθρόον ἐπιπεσόντων εἰς τὰ βασίλεια.

Καταπλεύσας γοῦν πρὸς τὸν τέως τυραννεῖν ἐπειλημμένον[1], στρατευμάτων ἤδη κατάρχοντα, καὶ τὴν ἐκείνου ὑποπτεύσαντα ἄφιξιν, οὔτε προδιασαφεῖ τούτῳ ὡς εἰρηνικὰ ἀπαγγέλλων ἐλήλυθεν, οὔθ' ὅλως πρὸς διαγγέλλει ὅτι ἐλήλυθεν, ἀλλ' ὥσπερ λαθὼν τὴν ἔφοδον ἱππότης αὐτῷ ἀθρόον προσήλασε, καὶ τῶν ἐξομαλιζόντων οὐδὲν εἰρηκὼς, οὐδὲ τοιοῦτόν τι προοιμιασάμενος δι' οὗ καταστήσειν ἑαυτῷ τὴν πρὸς τὸν ἄνδρα ἐντυχείαν ἔμελλε, παίει αὐτίκα λαμπρῶς τοῖς ὀνείδεσι καὶ ἐπαπειλεῖται[2] τὰ χαλεπώτατα. Ὁ δὲ τοῦτο αὐτὸ ἤδη κατειληφὼς ὅπερ ὑπώπτευεν, εἶτα δὴ καὶ δείσας περὶ τῶν λανθανόντων, διαπυροῦται τῷ θυμῷ καὶ ἐπανατείνει τὴν χεῖρα τούτῳ, οὐχ ὡς πλήξων, ἀλλ' ὡς φοβήσων· ὁ δὲ ὥσπερ ἐπ' αὐτοφώρῳ τοῦτον ἐντεῦθεν ἐλὼν τύραννον, διεμαρτύρατο τὴν θρασύτητα, καὶ προστίθησιν ὡς οὐκ ἀποφεύξεται ἐπὶ τηλικούτοις ἁλούς· ἀπογνωσίαι[3] γοῦν τούτῳ τε καὶ τῷ μετ' αὐτοῦ στρατῷ τὰ πράγματα ἔδοξε, καὶ συγκινηθέντες, τὸν μὲν πρεσβευτὴν ἀναιροῦσιν, ὡς δ' οὐκ ἂν ἄλλως αὐτοῖς χρησομένου τοῦ αὐτοκράτορος, τυραννεῖν ἤδη κατάρχονται[4]. Οἷα δὴ ἀνδρὶ γενναίῳ καὶ κορυφαίῳ τὴν στρατηγικὴν[5] τέχνην, πολλοὶ συνερρυήκεσαν, οὐχ ὅσοι στρατεύσιμον εἶχον τὴν ἡλικίαν, ἀλλ' ἤδη καὶ οἱ ἐφ' ἑκάτερα τῆς ἀκμῆς· ὁ·

1. χ. ἐπειλημμένων. 2. χ. ἐπαπειλεῖτε. 3. γρ. ἀπογνωστέα. 4. χ. κατάρχοντα. 5. τρατηγικήν.

δὲ, ἐπειδὴ μὴ τοῖς πλήθεσιν, ἀλλὰ ταῖς τέχναις καὶ ταῖς ἐμπειρίαις ἤδει τὰ τρόπαια κατορθούμενα, τοὺς ἐμπειροτάτους πρὸς πόλεμον συλλεξάμενος καὶ μεθ' ὧν ἐκεῖνος πολλὰς μὲν διεπόρθησε πόλεις, πλειόνων δὲ χρημάτων τε καὶ σωμάτων γέγονεν ἐγκρατὴς, ἅμα τούτοις συντεταγμένος, ἐπὶ τὴν ἀντιπέρας[1] γίνεται ἤπειρον, πάντας μὲν διαλαθὼν τῆς ὄχθης φύλακας, οὐδενὸς τῶν ἀντιστρατευομένων ἐκείνῳ ἐξιέναι τολμήσαντος, ἀλλὰ πάντων ὑποπτυξάντων ἐκεῖνον καὶ ἐκποδὼν[2] γεγονότων.

Τὰ μὲν οὖν περὶ ἐκεῖνον τοιαῦτα· ὁ δέ γε αὐτοκράτωρ, ἐπειδὴ καὶ τὴν τοῦ πρέσβεως ἐμεμαθήκει ἀναίρεσιν, καὶ τὴν τοῦ τυραννοῦντος ἀπόνοιαν, στράτευμα κατ' ἐκείνου μυρίανδρον συγκροτεῖ· εἶτα δὴ δείσας περὶ τοῦ τῶν δυνάμεων ἄρξαντος, μὴ ἐκεῖνον τροπωσάμενος ἐπ' αὐτὸν χρήσηται τὸν πεπομφότα τῷ κατορθώματι, καὶ τύραννος αὐτῷ ἐπιστῇ τοῦ προτέρου[3] βαρύτερος, ἀπείρου συλλέγοντος[4] στρατεύματος καὶ πρὸς ὅπερ ἂν ἐφορμήσειεν εὐθὺς κατορθώσαντος, τῶν μὲν γενναιοτέρων οὐδένα ταῖς τάξεσι δίδωσιν, ἐφίστησι δὲ ταύταις ἄνδρα πιστὸν μὲν τὰ πρὸς ἐκεῖνον καὶ ἐκτομίαν, οὐδενὶ δὲ τῶν πάντων σεμνολογούμενον. Οὗτος ἄρας ἐντεῦθεν ἐπὶ τὸν τυραννοῦντα σὺν πολλῷ χωρεῖ τῷ στρατεύματι. Ὁ δὲ ἐπειδὴ ἐμεμαθήκει ὡς εἴη συγκεκινημένον ἐπ' αὐτὸν τὸ Ρωμαϊκὸν ξύμπαν στρατόπεδον, οὔτε ἀποδειλιᾷ τὸ πλῆθος, οὔτε τὴν συγκίνησιν ὑποπτύσσει, ἀλλὰ πάντα κατόπιν τῶν τυραννικῶν πεποιηκὼς λογισμῶν, πειρᾶται ἀσυντάκτους καταλαβεῖν, καὶ σὺν εὐζώνῳ τῇ στρατιᾷ οὔπω προσδοκηθεὶς τούτοις ἐφίσταται. Ἐπεὶ δὲ κἀκεῖνοι κατὰ βραχὺ συνταχθέντες ἀντέστησαν, θεαταὶ μᾶλλον τοῦ ἀνδρὸς ἢ ἀγωνισταὶ[5] ἐγεγόνεισαν, τοῖς δὲ πολλοῖς καὶ τὴν θέαν[6] ὑπετέμετο· οὕτως ἀστραπαῖος αὐτοῖς ἔδοξεν, βροντῶν μὲν τοῖς στρατηγικοῖς ἐμβοήμασι, καθιππεύων δὲ τὰς φάλαγγας, καὶ οἷς ἂν ὀφθείη ἐκ-

1. χ. ἀντιπέτρας. 2. χ. ἐκποδῶν. 3. χ. πρωτέρου. 4. γρ. συλλεγέντος. 5. χ. ἀγωνίσαι. 6. χ. θείαν.

ταράσσων τούτους εὐθύς. Τὸ μὲν οὖν πλῆθος ἐκ προοιμίων τροποῦται τῇ γενναιότητι, ἡττᾶται δὲ τῶν ἄνωθεν διοικήσεων καὶ ὧν ἡμεῖς τοὺς λόγους οὐκ ἴσμεν· ὡς γὰρ ἐπειδὴ περιῖὼν τὰς ἡμετέρας διετάραττε φάλαγγας, καὶ ὅπη δ' ἂν ἐκεῖνος ὁρμήσειε διελύετο ὁ συνασπισμὸς καὶ εἰς τοὐπίσω τὸ συντετειχισμένον ἐχώρει τοῦ στρατοπέδου, καὶ τὸ ξύμπαν ἤδη κατὰ μέρη διέτεμνε τότε καὶ κατεφθείρετο, πληγὴν ἀθρόως κατὰ τῆς δεξιᾶς λαγόνος εἰσδέχεται, οὐκ ἐξεπιπολῆς, ἀλλ' εἰς βάθος, ὅθεν ἀθρόον πλεῖστον ἐκεῖθεν αἷμα κατέρρει· καὶ ὅς, ὥσπερ οὐκ αἰσθανθεὶς τῆς πληγῆς, ἀλλὰ τὸ αἷμα καταρρέον ἰδών, εἶτα δὴ τὴν χεῖρα ἐπιθεὶς ὅθεν κεκένωτο, καὶ καιρίαν γνοὺς τὴν βολήν, τοῖς ὅλοις ἀπειρηκὼς, ἐπειρᾶτο μὲν ἐπὶ τὸν οἰκεῖον ἐπανιέναι χάρακα, καὶ βραχὺ δή τι τῶν στρατευμάτων ἀπῆγεν ἑαυτόν· ὡς δ' οὐκ εἶχεν ἤδη ὅπως μετενέγκοι τὸν ἵππον, τοῦ σώματος αὐτῷ πάντη ἐξασθενήσαντος, καὶ ἀχλύος πληρωθείσης τῆς κεφαλῆς, ἠρέμα ἐπιστενάξας καὶ ὅσον παρεῖχεν ἡ δύναμις, ἀκρατής τε εὐθὺς τοῦ χαλινοῦ γίνεται, καὶ τῆς ἕδρας ἀπολισθήσας, θέαμα ἐλεεινὸν τῇ γῇ κατέρριπτο[1]. Τὸ δέ γε ἡμεδαπὸν στράτευμα οὐδ' οὕτως ἐθάρρει τὸν κείμενον, ἀλλὰ καὶ αὖθις ἐπεῖχον τοὺς χαλινούς, δεδοικότες μή ποτε κλέμμα εἴη τὸ θέαμα· ὡς δ' ὅ τε ἱπποκόμος ἀπῆν, καὶ ὁ ἵππος ἐλευθέρῳ ποδὶ[2] ἀτάκτως ἀνὰ τὸ μεταίχμιον ἔθει, παμπληθεὶ πάντες ὁρμήσαντες ἐπὶ τὸν νεκρὸν, εἶτα δὴ ἰδόντες καὶ θαυμάσαντες ὁπόσον μέρος τῆς γῆς ἐπεῖχεν ἐκτεταμένος, τὴν κεφαλὴν ἀποτεμόντες τῷ τῆς φάλαγγος ἡγεμόνι προσάγουσιν. Εἶτα δὴ ἐπὶ τούτῳ πολλοὶ οἱ τὸν ἄνδρα ἀποκτανόντες[3] ἐσχεδιάσθησαν, καὶ λόγοι ἐπὶ τούτῳ συνετίθεντό τε καὶ συνεπλάττοντο· ὡς δ' οὐκ ἦν ἀποδείκνυσθαι τὰ λεγόμενα, ἀγνώστους τινὰς ἱππέας ἐπ' αὐτὸν[4] ὡρμηκότας[5] ἐλογοποίουν ἐκκεφαλίσαι· καὶ πολλῶν οὕτω πραττομένων λόγων, ἀπόδειξις οὐδὲ μία τοῖς λεγομένοις ἐπῆν· ἀλλ'

1. χ. κατέρριπον. 2. χ. φωνὶ. 3. χ. ἀποκτονόντες. 4. ἐπ' ἀν τὴν. 5. χ. ὡρμηκότες.

ὅτι μὲν τὴν λαγόνα διήρητο, τομὴν ἐντεῦθεν κατηγόρουν αἰχμῆς, ὁ δὲ τρώσας ἀφανὴς τέως ἐστὶν ἄχρι τῆσδε τῆς συγγραφῆς.

φ. 372. Ἐκεῖνος μὲν οὖν | οὕτω δὴ τὰ μὲν παθὼν, τὰ δὲ καὶ ποιήσας τῶν κατηγορίαν ἐχόντων, τοιούτῳ δὴ τέλει τὸν βίον κατέλυσε· τὸ δὲ περὶ ἐκεῖνον στρατόπεδον, μέρη μέν τινα ἐπὶ τὰς οἰκείας πατρίδας ἀπεληλύθεσαν ἀφανῶς, τὸ δὲ πλεῖστον μέρος τοῖς ἡμετέροις προσέθετο· καὶ πρὶν ἢ πρὸς τὸν αὐτοκράτορα ἐπανελθεῖν τὰ στρατεύματα, ἡ τοῦ τυραννήσαντος ἐκπέμπεται κεφαλή· καὶ ὃς καθαπερεί τινος καλύπτοντος ἀπαλλαγεὶς κύματος καὶ βραχύ τι ἐξαναπνεύσας, τῷ μὲν θεῷ εὐχαριστηρίους ἀναπέμπει φωνὰς, τὴν δέ γε κεφαλὴν ἐν μετεώρῳ[1] τοῦ μεγάλου θεάτρου πήγνυσιν, ὡς ἂν ἔχοιεν ξύμπαντες καὶ πόρρωθεν ταύτην διὰ πολλοῦ μέσον τοῦ ἀέρος ὁρᾶν. Ὡς δὲ καὶ ἡ φάλαγξ[2] ἐπανελήλυθει, ἀριστείοις[3] στεφάνοις τῶν πλειόνων κεκοσμημένων, καὶ πρὸ τοῦ ἄστεως ἤδη ηὐλίσαντο ἀγχοῦ τῶν τειχῶν, ὁ αὐτοκράτωρ θρίαμβον δεῖν ἔγνω ἐπὶ τοῖς[4] τροπαίοις καταγαγεῖν· καὶ οἷα ἐκεῖνος σκηνὰς πλάττειν εἰδὼς καὶ μεγαληγορεῖν ἐν τοῖς πράγμασιν, οὑτωσὶ διατίθεται τὴν πομπήν· διατάττεται γὰρ τὸ μὲν ψιλὸν τῆς φάλαγγος μεθ' ὅπλων προϊέναι συμμίγδην καὶ ἀσυντάκτως, ἀσπίδας καὶ τόξα καὶ δόρατα φέροντες, καὶ ἐπὶ τούτοις τοὺς ἐπιλέκτους ἱππέας ὅπλοις καταφράκτως[5] ἔπεσθαι, φοβεροὺς ἰδεῖν ἀπό τε τοῦ σχήματος, ἀπό τε τῆς στρατιωτικῆς τάξεως· εἶτα δὴ τὸ μετὰ τοῦ τυράννου στρατόπεδον, οὐκ ἐν τάξει, οὐδ' ἐν καλῷ σχήματι, ἀλλ' ἐπ' ὄνων πρὸς οὐρὰν ἀντεστραμμένους καὶ ἐξυρημένους τὰς κεφαλὰς, καὶ πολύν τινα συρφετὸν αἰσχύνης περὶ τὸν τράχηλον φέροντας, ἐφ' οἷς ἡ τοῦ τυράννου δὶς ἐθριαμβεύετο κεφαλή, καὶ μετ' ἐκείνην, ἄλλο τι[6] τοῦ τυραννικοῦ σχήματος, μεθ' ἃ ξιφηφόροι τινὲς καὶ ῥαβδοῦχοι[7] καὶ οἱ τοὺς πελέκεις ἀπὸ τοῦ δεξιοῦ σείοντες ὤμου, πολύ τι πλῆθος προϊόντες τοῦ

1. χ. μετεώρου. 2. χ. φάλαξ. 3. γρ. ἀριστείας. 4. χ. τω. 5. γρ. κάταφράκτους. 6. χ. ἀλλ' ὅτι. 7. χ. ραυδοῦχοι.

τῶν στρατευμάτων ἡγεμονεύσαντος, καὶ ἐπὶ πᾶσιν ἐκεῖνος ἐπίσημος καὶ ἵππῳ καὶ τῇ στολῇ, καὶ ἐπὶ τούτῳ τὸ δορυφορικὸν ξύμπαν.

Οὗτοι μὲν οὖν οὕτω προΐεσαν, ὁ δὲ αὐτοκράτωρ λαμπρὸς πάνυ καὶ ὑψηλὸς προὐκάθητο τῆς οὕτως λεγομένης Χαλκῆς Φυλακῆς μετ' αὐτοῦ δὴ τοῦ θείου τεμένους, ὃ[1] ὁ μέγας ἐν βασιλεῦσιν Ἰωάννης ἐκεῖνος ὁ μετὰ Φωκᾶν Νικηφόρον ἐδείματο· αἵ τε βασιλίδες ἑκατέρωθεν αὐτῷ συγκαθιστᾶσαι[2] θεωροὶ τοῦ θριάμβου ἐγίγνοντο. Καὶ οὕτω δὴ τὴν τοιαύτην ξυντελέσας πομπὴν, σὺν ἐγκωμίοις λαμπροῖς στεφανηφορῶν ἐχώρει πρὸς τὰ βασίλεια· ὥσπερ δὴ ἐκεῖνος[3] τὸ ἦθος, μέχρι τούτου τῇ λαμπρότητι τῆς νίκης καταχρησάμενος, εἰς τὴν οἰκείαν αὖθις μετριοφροσύνην ἐπανελήλυθεν. Λαμπρὸν γὰρ δή τι τοῦτο τὸ μέρος καὶ πλῆρες ἐγκωμίων τῷ βασιλεῖ· οὔτε γὰρ ἐπὶ τοῖς κατωρθωμένοις αὐτῷ ἐσεμνολόγει, οὔτε ἀλαζόνας ἠφίει φωνὰς, ἀλλ' ἀπολαύων τῶν πεπραγμένων ὅσον ἐξῆν, τῶν οἰκείων αὖθις ἠθῶν ἦν· καὶ τοῦτο μὲν οὕτως ἦν αὐτῷ· ἐγρηγόρει δὲ οὐ μάλα, ἀλλ' ὥσπερ ἐπὶ πολλοῖς ἀγῶσιν ἀναπαύλης δεόμενος, ἐπερραθύμει τῷ λείποντι μέρει, διὰ τοῦτο ἄλλο τι ἐπ' ἄλλῳ τῶν δεινῶν ἐπεκύμαινεν.

Περὶ τῆς τῶν[4] Ῥώσων ἐπαναστάσεως, [καὶ τῆς τοῦ Τορνικίου ἀνταρσίας.]

Ἔνθέν τοι καὶ τὴν τῆς τυραννίδος κατάλυσιν βαρβαρικὸς διαδέχεται πόλεμος, καὶ σκάφη Ρωσικὰ καὶ ἀριθμοῦ, ἵν' οὕτως εἴποιμι, πλείονα, τοὺς πόρρωθεν ἀνείργοντας ἢ λαθόντα ἢ βιασάμενα τὴν Προποντίδα καταλαμβάνουσι, καὶ νέφος ἀθρόον ἀπὸ θαλάσσης ἀρθὲν ἀχλύος τὴν βασιλίδα πληροῖ. Ἐνταῦθα δὲ καὶ τοῦ λόγου γενόμενος, βούλομαι τὰς αἰτίας ἀφ' ὧν ἐκεῖνοι μηδὲν ἐναντιωθέντι τῷ αὐτοκράτορι τὴν ἐπιθαλάττιον ξυγκίνησιν καὶ στρατοπεδίαν πεποίηνται.

1. χ. ὅν. 2. χ. συγκαθίστασαι. 3. ἐκεῖνο. 4. χ. τοῦ.

Τὸ βάρβαρον τοιγαροῦν τοῦτο φύλον ἐπὶ τὴν Ρωμαίων ἡγεμονίαν τὸν πάντα χρόνον λυττᾷ τε καὶ μέμηνε, καὶ ἐφ' ἑκάστων[1] τῶν καιρῶν τοῦτο ἢ ἐκεῖνο εἰς αἰτίαν πλαττόμενοι, πρόφασιν καθ' ἡμῶν πολέμου πεποίηνται· καὶ ἐπειδὴ ἐτεθνήκει μὲν ὁ καταδειμάτων[2] τούτους αὐτοκράτωρ Βασίλειος, καὶ ἐπ' ἐκείνῳ ὁ ἀδελφὸς Κωνσταντῖνος[3] τὸ λαχὸν αὐτῷ τοῦ αἰῶνος μέρος πεπλήρωκεν, ὁ τὸ εὐγενὲς κράτος ἀπεληλυθὼς, ἀνανεοῦνται[4] αὖθις καθ' ἡμῶν τὸ παλαιὸν μῖσος καὶ κατὰ βραχὺ πρὸς μέλλοντας πολέμους γυμνάζονται. Ἐπεὶ δὲ καὶ ἡ τοῦ Ρωμανοῦ βασιλεία λαμπρά τις αὐτοῖς νενόμιστο καὶ περιφανὴς, ἀσύντακτοί τε ἔτι ταῖς παρασκευαῖς ἦσαν, ἐπεὶ δὴ κἀκεῖνος βραχύν τινα χρόνον ἐπιβιώσας τῇ βασιλείᾳ μετήλλακτο, καὶ εἰς ἄσημόν τινα τὸν Μιχαὴλ τὸ κράτος μετέπεσεν, ἐπ' αὐτὸν καὶ δὴ τὰς οἰκείας δυνάμεις ἐξώπλιζον, καὶ δεῖν ἐγνωκότες διὰ θαλάττης πρὸς ἡμᾶς ἐμβαλεῖν, ὑλοτομήσαντες ἄνωθεν καὶ σκάφη μικρά τε καὶ μείζω διαγεγλυφότες, καὶ λανθανόντως κατὰ βραχὺ ἱκανῶς παρασκευασάμενοι, μεγάλῳ δὴ στόλῳ ἐπὶ τὸν Μιχαὴλ καταπλεῖν ἔμελλον· ἐν ὅσῳ δὲ ταῦτα ἐκείνοις ηὐτρέπιστο καὶ ὁ πόλεμος ἔμελλε, προλαμβάνει τὸν ἐκείνων κατάπλουν καὶ οὗτος ὁ βασιλεὺς τῶν ἐντεῦθεν ἀπαναστάς· ὡς δὲ καὶ ὁ μετ' ἐκεῖνον οὐ πάνυ τι τὸ ἴχνος ἐρείσας τοῖς βασιλείοις ἀπεληλύθει, ἤδραστο δὲ τὸ κράτος ἐπὶ τὸν Κωνσταντῖνον, εἰ καὶ μηδὲν οἱ βάρβαροι τοῦτον εἶχον ἐπὶ τῷ πολέμῳ καταιτιᾶσθαι, ἀλλ' ἵνα μὴ ἄπρακτος αὐτοῖς ἡ παρασκευὴ νομισθείη, ἀπροφάσιστον πρὸς ἐκεῖνον ἀναρρήγνυνται πόλεμον· ἡ μὲν οὖν ἀναίτιος αἰτία τῆς ἐπὶ τὸν αὐτοκράτορα ἐκείνων ὁρμῆς αὕτη. Ὡς δὲ ἤδη λαθόντες τῆς Προποντίδος ἐντὸς ἐγεγόνεισαν, τὰ μὲν πρῶτα ἐφ' ἡμῖν ἐτίθουν τὸ σπένδεσθαι, εἴ γε βουλοίμεθα, μεγάλους αὐτοῖς τῶν σπονδῶν ἀποδιδόναι μισθοὺς, καὶ τὸν ἀριθμὸν περιετίθεσαν, ἐφ' ἑκάστῳ σκάφει στατῆρας

1. γρ. ἑκάστῳ. 2. γρ. καταδειματῶν. 3. χ. Κωνσταντίνου. 4. χ. ἀναναι οὖνται.

χιλίους, ὡς συμβαίνειν μὴ ἄλλως αὐτοῖς τούτους [1] ἀπαριθμεῖσθαι, ἢ ἐνὶ τῷ δὴ σκάφει παρ' αὐτοῖς· ἐβούλετο δὲ αὐτοῖς ταῦτα, ἢ τῷ οἴεσθαι πηγάς τινας παρ' ἡμῖν εἶναι χρυσίτιδος, ἢ ἐκ πάντος τρόπου ἑλόμενοι μάχεσθαι, ἀνηνύτους ὑποθέσεις παρείχοντο, ἵν' εὐπροφάσιστος [2] αὐτοῖς ὁ πόλεμος γίγνοιτο. Ὅθεν ἐπεὶ μηδ' ἀποκρίσεως οἱ πρέσβεις αὐτῶν ἠξιώθησαν, οὕτω δή τοι πρὸς ἀλλήλους συνεσκευάσθησαν, καὶ τοσοῦτο ἐπὶ τῷ σφετέρῳ πλήθει ἐθάρρουν, ὡς αὖτανδρον οἴεσθαι τὴν πόλιν ἑλεῖν.

Ἦν δὲ τηνικαῦτα ἡμῖν καὶ τὸ διὰ θαλάσσης μάχιμον πάντη ἐνδεῶς ἔχον, αἵ τε πυρφόροι νῆες ἐπὶ τοῖς παραλίοις | διεσκίδναντο φ. 373
τόποις, ἄλλο τι ἄλλαι τοῦ καθ' ἡμᾶς μέρους φυλάττουσαι. Ὅθεν ὁ αὐτοκράτωρ λείψανά τινα τοῦ παλαιοῦ στόλου συνηθροικὼς, καὶ ταῦτα δὴ ζεύξας, ὁλκάδας τε τῶν βασιλικῶν συναγηοχὼς, καί τινας δὴ τριήρεις συμπαρασκευασάμενος, καὶ μαχίμους τινὰς ἄνδρας ἐπ' αὐτῶν δὴ παρατάξας, χορηγήσας τε ταῖς ναυσὶ πολὺ τὸ δίυγρον πῦρ, καὶ ταύτας δὴ κατέναντι τῶν βαρβαρικῶν σκαφῶν ἐπὶ τοῦ κατ' ἀντιπέραν λιμένος συντάξας, καὶ αὐτὸς δὴ μοῖράν τινα τῆς συγκλήτου βουλῆς τὴν ἔκκριτον μεθ' ἑαυτοῦ ἔχων, ἐπ' αὐτοῦ δὴ τοῦ λιμένος βραχύ τι ἄνωθεν τῆς νυκτὸς ναυλοχεῖ, καὶ λαμπρῶς τοῖς βαρβάροις κηρύξας τὸν ἐπιθαλάττιον πόλεμον, ἅμα πρωΐ τὰς ναῦς ἱστὰς [3] κατὰ φάλαγγα. Καὶ οἱ βάρβαροι δὲ ἁπάραντες ὥσπερ ἀπὸ στρατοπεδείας καὶ χάρακος τῶν κατέναντι λιμένων ἡμῖν, καὶ πολύ τι μετεωρισθέντες τῆς γῆς, τάς τε ναῦς αὐτῶν ξυμπάσας καταμίαν ἐφεξῆς στήσαντες, καὶ τὸ πέλαγος ξύμπαν ἀφ' ἑκατέρων λιμένων ξυνδήσαντες, ὡς αὐτοί τε ἐπελευσόμενοι καὶ ἡμᾶς ἐπιόντας δεξόμενοι παρετάχθησαν. Οὐκ ἦν οὖν ὅστις ὁρῶν τὰ τότε γινόμενα οὐ πάνυ διατεθορύβητο τὴν ψυχήν· ἔγωγ' οὖν ἀγχοῦ τοῦ αὐτοκράτορος ἑστηκὼς, καθῆστο δὲ οὗτος ἐπί τινος λόφου πρὸς θάλατταν ἠρέμα ἐπικλινοῦς, καὶ θεωρὸς ἐξ ἀπόπτου τῶν γινομένων ἐτύγχανεν [4].

1. χ. τούτοις. 2. χ. εὐπροφασίστος. 3. γρ. ἱστᾷ. 4. γρ. ἐτύγχανον.

Ἡ μὲν οὖν παράταξις οὕτως ἑκατέρωθεν διεσκεύαστο, προῄει δὲ οὐδεὶς ὡς μαχούμενος, ἀλλ' ἑκατέρωθεν τὰ μέρη συνησπικότα[1] ἀκίνητα ἔστησαν· ὡς δὲ πολύ τι τῆς ἡμέρας διεληλύθει, ὁ βασιλεὺς δυσὶ τῶν μεγάλων νεῶν σύνθημα δοὺς, ἐπὶ τὰ βαρβαρικὰ κατὰ βραχὺ προϊέναι σκάφη παρακελεύεται[2]· καὶ ἐπειδὴ προῄεσαν ὁμαλῶς τε καὶ εὐκινήτως, ἠλάλαζόν τε ἄνωθεν οἱ λογχοφόροι καὶ πετροβόλοι, οἵ τε ἀκοντισταὶ τοῦ πυρὸς εὐσυντάκτως πρὸς τὴν βολὴν διετάξαντο, πλείω δὴ τῶν ἀπεσταλμένων ἀπὸ τῶν βαρβαρικῶν σκαφῶν ταχυναυτοῦντα ἐπὶ τὰς ἡμετέρας νῆας ἐξώρμησαν· εἶτα δὴ διαιρεθέντα, καὶ ἑκάστην τῶν τριηρῶν κυκλωσάμενά τε καὶ περιζώσαντα, κοντοῖς κάτωθεν διατιτρᾶν ἐπεχείρουν· οἱ δ' ἄνωθεν ἔβαλλον λίθοις τε καὶ κωπίσιν· ὡς δὲ καὶ τὸ πῦρ ἠκόντιστο ἐπ' αὐτοὺς, καὶ ἤδη τοὺς ὀφθαλμοὺς συνεχύθησαν, οἱ μὲν ἐπὶ τὸ πέλαγος ἐρριπτοῦντο, ὡς πρὸς τοὺς σφετέρους διανηξόμενοι, οἱ δ' οὐκ εἶχον ὅ,τι καὶ δράσειαν, ἀλλὰ πρὸς πᾶσαν ἀπεγνώκεισαν μηχανήν. Ἐπὶ τούτοις ἕτερον σύνθημα, καὶ πλείους τριήρεις ἀνήχθησαν καὶ νῆες ἕτεραι, ἥ ἐφεπόμεναι, ἥ ξυνελαύνουσαι· καὶ τὸ μὲν ἡμέτερον ἤδη μέρος ἐθάρρει, τὸ δ' ἐναντίον καταπεπληγότες εἱστήκεσαν· ἐπεὶ δὲ ἤδη τὸ πέλαγος διαβάλλουσαι αἱ τριήρεις πρὸς αὐτοῖς ἦσαν τοῖς βαρβαρικοῖς σκάφεσιν, ὅ τε σύνδεσμος αὐτοῖς διερράγη καὶ ὁ συνασπισμὸς διελέλυτο· καὶ τὰ μὲν κατὰ χώραν ἐτόλμησαν μένειν, τὰ δὲ πλείω πρύμνας ἐκρούσαντο. Καὶ ὁ ἥλιος ἀθρόον νεφέλην ἐφελκυσάμενος κάτωθεν, ἐπειδὴ πολύ τι τοῦ ὁρίζοντος μετεώριστο, μετατίθησι τὸν ἀέρα, καὶ ὅς πνεῦμά τι τῶν ἰσχυρῶν ἐξ ἀνατολῆς ἐπὶ δύσιν κινεῖ, καὶ λαίλαπι[3] χαράξας τὴν θάλασσαν ἐπὶ τὸ βάρβαρον ἐπαιγίζει τὰ κύματα· καὶ τὰ μὲν αὐτοῦ που καλύπτει, ἐπεγερθέντος αὐτοῖς τοῦ πελάγους εἰς τὸ μέσον, τὰ δὲ ἐπὶ πολύ τι τῆς θαλάσσης ἐλάσας εἰς σκοπέλους ἀπορριπτεῖ καὶ κρημνώδεις αἰγιαλοὺς, ὧν ἔνια[4] αἱ τριήρεις καταδραμοῦσαι, τὰ μὲν τῷ βυθῷ παρέ-

1. χ. συνηπτικότα. 2. χ. παρακελεύται. 3. χ. λέλαπι. 4. φ. ἐνία.

δωσαν αὐτανδρα, τὰ δὲ διατεμόντες οἱ ἐπ' αὐταῖς [1] μάχιμοι [2] ἡμίπρωρα [3] ἐπὶ τοὺς πλησίον αἰγιαλοὺς ἀφειλκύσαντο. Γέγονέ τε τῶν βαρβάρων φόνος πολὺς, καὶ ὥσπερ ἐκ ποταμῶν ἄνωθεν ῥευμάτιον ὡς ἀληθῶς φόνιον τὴν θάλασσαν κατεφοίνησεν [4].

Οὕτω τοιγαροῦν ὁ βασιλεὺς καταπολεμήσας τὸ βάρβαρον, τροπαιοφόρος εἰς τὰ βασίλεια ἀπὸ τῆς θαλάσσης ἐπανελήλυθεν. Ἐλέγετο γοῦν παρὰ πολλοῖς, ὧν ἐγὼ τοὺς λόγους διακριβούμενος, οὐδὲ μίαν ἐπιστήμην ἢ ἀρχὴν εὗρισκον τῆς προρρήσεως, ἐλέγετο γοῦν ὡς πολλὰ μὲν μέλλει ἐπαναστήσασθαι τῷ βασιλεῖ τούτῳ δεινὰ, τὰ [5] μὲν ἔξωθεν καὶ παρὰ τῆς βαρβαρικῆς μερίδος, τὰ δ' ἀπὸ τῆς ὑπηκόου τέως χειρὸς, φροῦδα δὲ πάντα γενήσεσθαι, τύχης τινὸς δεξιᾶς συναντιλαμβανομένης τῷ αὐτοκράτορι καὶ πᾶσαν ἐπανάστασιν ῥᾷστα διαλυούσης· καὶ αὐτὸς δὲ ὁ αὐτοκράτωρ, ὁπότε προφητείαις τισὶ καὶ οἰωνίσμασι τὴν ἑαυτοῦ ἡγεμονίαν ἐσεμνολόγει, ὀπτασιῶν τέ τινων καὶ ὀνειράτων παραδόξων ἐμέμνητο, τὰ μὲν ὡς αὐτὸς ἰδὼν, τὰ δ' ὡς ἄλλων μαντευομένων ἀκροασάμενος, καὶ τὸ περὶ τούτου μέρος παραδοξολογῶν ἦν. Ὅθεν ἤδη [6] τοῦ δεινοῦ καθισταμένου, οἱ μὲν ἄλλοι ἐδεδίεσάν τε καὶ περὶ τοῦ μέλλοντος ἐπεφρίκεσαν τὰς ψυχὰς, ἐκεῖνος δὲ ὡς ἐπιδεξίῳ τῷ τέλει ἐθάρρει, καὶ τάς τε γνώμας τῶν δεδιότων ἐκούφιζε, καὶ ὡς οὐδενὸς κατειληφότος αὐτὸν χαλεποῦ, ἀφροντίστως εἶχε τῶν ἐπισεσυμβηκότων. Ἐγὼ δὲ οὐδεμίαν μαντείας ἀφορμὴν παρὰ τῷ ἀνδρὶ ἐπιστάμενος, ψυχῆς τοῦτο ῥᾳθύμου καὶ ἀφρόντιδος τίθεμαι· ὅσοι μὲν γὰρ περὶ τὰ πράγματα ἐγρηγόρασι καὶ οἴδασί γε ὡς φαῦλαι πολλάκις ἀρχαὶ μεγίστας ἀπέτεκον συμφορὰς, οὗτοι πρὸς πᾶσαν ἄτοπον ὑπόθεσιν πεφροντίκασιν, ἐπακμασάντων δ' αὐτοῖς τῶν κακῶν, πεφόβηνταί τε περὶ τοῦ τέλους καὶ πρὸς πᾶσαν ἀκοὴν δύσκολον κατεπτήχασι, καὶ τῶν πραγμάτων μεταβαλλομένων, οὐκ ἔτι θαρροῦσιν· εἰ μὴ [7]

1. χ. αὐτοῖς. 2. μάχημοι. 3. χ. εἰμήπρωρα. 4. γρ. κατεφοίνισεν. 5. χ. τῶ. 6. χ. ἤδει. 7. γρ. οἱ δὲ.

χρηστότεροι, οὔτε τὰς ἀρχὰς τῶν μελλόντων κακῶν ὑποπτεύουσιν, οὔτε πρὸς τὴν ἀρχὴν τῶν συμφορῶν διανεστήκασιν, ἀλλ' εἰς ἡδονὰς ἀποκεκλικότες ταύταις τε ἀσμενίζειν ἐθέλουσιν ἐς ἀεὶ, καὶ τοὺς ἔξωθεν συλλαμβάνειν[1] εἰς τὴν ὁμοίαν κατάστασιν, καὶ ἵνα καὶ ῥᾳθύμως ἔχοιεν πρὸς τὰ ῥᾴθυμα, καταμαντεύονται τούτοις ἀπαλλαγὰς ταχείας τῶν ἐπισυμβάντων ἀνιαρῶν· ἔστι δὲ καὶ τρίτη μερὶς ψυ-
φ. 374. χῆς | βελτίονος, ἣν ἐπειδὰν λάθῃ παρεισρυὲν τὸ κακὸν, ἀγνώμονα μὲν τοῦ γενομένου οὐκ ἀποδείκνυσιν, οὐ μέντοιγε δὴ καὶ περιψοφεῖ τοῖς ἔξωθεν πατάγοις, οὐδὲ καταπτοεῖ καὶ δουλαγωγεῖ, ἀλλὰ πάντων ἀπαγορευσάντων, πρὸς τὰ δεινὰ ἔστηκεν ἐκείνη ἀκλόνητος, οὐ φυσικοῖς ἐστηριγμένη τοῖς ἔρμασιν, ἀλλὰ στερρότητι λογισμοῦ καὶ κρίσει βελτίονι. Ἀλλὰ τοῦτο δὴ τὸ μέρος οὔπω δὴ ἐν τῇ κατ' ἐμὲ κατανενόηκα γενεᾷ, ἀλλὰ τὸ παρ' ἡμῖν κρεῖττόν ἐστιν εἴ τις τέως ὑποπτεύει τὸ μέλλον καὶ πρός τε τὴν ἀρχὴν τοῦ κακοῦ ἵσταται, καὶ γεγονότος πρὸς ἄμυναν[2] διανίσταται. Ἀλλ' ὅ γε αὐτοκράτωρ, τὸ καταπεπτυχηκέναι αὐτὸν πολλάκις τὰ πράγματα, τοὺς πολλοὺς ἔπειθεν, ὡς μεμαθήκει παρά του τῶν κρειττόνων[3] τοῦ ἐπισυστάντος τὴν τελευτὴν, καὶ διὰ ταῦτα καταφρονοίη καὶ ὀλιγώρως ἔχει παντάπασι. Τοσοῦτον δὲ προανεβαλλόμην τῶν διηγήσεων, ἵν' ὁπότε λέγοιμι ἀφηγούμενος ὡς προειρήκει ἢ ἀπεγνώκει ταῦτα ἢ ἐκεῖνα, μὴ μαντικὸν τὸν ἄνδρα ἡγήσωνται οἱ πολλοὶ, ἀλλὰ τοὺς μὲν λόγους συμφώνους τῷ ἐκείνου ἤθει νομίσωσι, τὰ δὲ πράγματα ὡς τετελευτήκασιν, ἐς τὸ δόξαν τῷ κρείττονι ἀναφέρωσι. Βουλόμενος δὲ ἑτέραν δεινοτέραν καὶ τῆς προλαβούσης ἐπαναστάσεως κατὰ τοῦ αὐτοκράτορος διηγήσασθαι, εἰς ἀρχὴν αὖθις καθιστῶ τὸν λόγον, ὁπόθεν τε γέγονε προλαμβάνων καὶ τίνας ἀρχὰς ἔσχηκε, καὶ ἡ ἀποστασία τίς προὔλαβε καὶ ἥτις αὖθις καὶ ὅθεν, τίς τε ὁ τολμήσας ἀμφότερα καὶ τίσι τεθαρρηκὼς τὴν τυραννίδα διαμεμελέτηκε.

Λέγω δὲ ἐκ τῶν ὑστάτων τοῦ λόγου ἀρχόμενος, ὅτι τῷ αὐτο-

1. χ. σὺν λαμβάνειν. 2. χ. ἄμοιναν. 3. τῶν τοῦ κρειτόνων.

κράτορι τούτῳ ἐξανεψιός τις ἐκ μητρικῆς ἐγεγόνει ῥίζης, τὸ μὲν ὄνομα Λέων, τὸ δὲ γένος Τορνίκιος, τὴν Ἀδριανούπολιν[1] οἰκῶν, καὶ Μακεδονικὴν ἐρυγγάνων μεγαλαυχίαν, ἀνὴρ τὸ μὲν εἶδος οὐ φαῦλος, τὸ δὲ ἦθος ὑποκαθήμενος, καὶ πρὸς ἐνθυμήσεις ἀεὶ καινοτέρας ἀνελίττων τὰς γνώμας· τούτῳ γοῦν τῷ ἀνδρὶ οὔπω ἀκμάσαντι τύχην τινὰ λαμπρότητος, οἷα δὴ πολλὰ εἴωθεν ἀλόγως περί τινων λέγεσθαι, οἱ πλεῖστοι κατεμαντεύοντο· καὶ ἐπειδὴ ἀνὴρ ἐγεγόνει καί τινας ἐδείκνυ τοῦ ἤθους στερρότητας, ἡ Μακεδονικὴ μερὶς καθάπαξ αὐτῷ προσετέθη· καὶ τολμῆσαι μέν τι πολλάκις παραβολώτερον ἐπεχείρησαν, διαμαρτάνοντες δὲ τῶν καιρῶν, καὶ νῦν μὲν τοῦτον ἐμφιλοχωροῦντα[2] τούτοις μὴ ἔχοντες, νῦν δὲ μὴ εὐποροῦντες εἰς ἀποστασίαν ἀρκούσης προφάσεως, ὑποβρύχιον ἐν ταῖς ψυχαῖς τὴν γνώμην τῆς τυραννίδος ἐφύλαττον· εἶτα δή τι ἐπισεσυμβήκει τοιοῦτον, ὃ δὴ αὐτοὺς ὁμοῦ εἰς ἀποστασίαν καὶ ἐπανάστασιν διηρέθισε.

Τῷ αὐτοκράτορι Κωνσταντίνῳ δύω ἐγεγόνεισαν ἀδελφαί, Ἑλένη μὲν ἡ πρεσβυτέρα τὸ ὄνομα, Εὐπρεπία δὲ ἡ μετ' ἐκείνην[3]· τῆς μὲν οὖν Ἑλένης οὐδένα ἐπεποίητο λόγον, [τὴν δ' ἑτέραν] οὔτέ τι λαμπρὸν ἐξ ἀρχῆς κομῶσαν καὶ εἰς περιφάνειαν τύχης ἐληλυθυῖαν, φρονήματός τε πλήρη τυγχάνουσαν, καὶ γυναικῶν ἁπασῶν ὧν ἐγὼ τεθέαμαι σταθηροτάτην τε οὖσαν καὶ δυσπαράγωγον, ταύτην τοιγαροῦν εὐλαβεῖτο μὲν ὁ ἀδελφὸς, ὥς μοι εἴρηται, οὐκ ἔστεργε δὲ παράγωγον, ἀλλ' ἐδεδίει μᾶλλον ἢ περιεῖπεν. Αὕτη τοιγαροῦν τῶν ἐπὶ τῷ ἀδελφῷ διημαρτηκυῖα ὑπερηφάνων ἐλπίδων, βουλεύσασθαι μέν τι κατὰ τοῦ αὐτοκράτορος τῶν ἀτοπωτάτων ἀπεῖχε παντάπασιν, οὐ πολλάκις δὲ τούτῳ[4] προσήει, οὐδὲ θάρρει ἀδελφικῷ, ἀλλὰ καὶ εἰς ὁμιλίαν ἐκείνῳ ἑαυτὴν καταστήσασα, ὑπερηφάνως τε διελέγετο καὶ μετὰ τῆς ἀρχαίας ὀφρύος ἀπήλεγχέ τε τὰ πολλὰ τοῦτον καὶ προσωνείδιζε, καὶ ὁπότε θυμούμενον ἴδοι, ὑπανεχώρει καταφρονοῦσα, τὴν ἐπ' αὐτὸν ὕβριν τοῖς χείλεσιν ὑποτονθορύζουσα· καὶ

1. χ. Ἀνδριανούπολιν. 2. χ. ἐφιλοχωροῦντα. 3. χ. ἐκείνης. 4. χ. τοῦτο.

ἐπειδὴ ἤδει τὸν ἀδελφὸν πρὸς τὸν ἤδη ῥηθέντα Τορνίκιον ἀστόργως πάντη ἢ ἀπεχθῶς ἔχοντα, τοῦτον ἐκείνη ἐδεξιοῦτο καὶ φίλτατον εἶχε, καὶ θαμὰ προσωμίλει, οὐχ οὕτω ἀσπαζομένη τὸ πρότερον. Ὁ δέ γε βασιλεὺς ἐμεμήνει μὲν, βαθεῖς δὲ εἶχε περὶ τούτου τοὺς λογισμούς· οὔπω γὰρ οὐδὲ προφάσεις ἔσχεν ἀκούσας[1] εἰς κάκωσιν· ὅθεν ἵνα πόρρωθεν ἀπ' ἀλλήλων γένοιντο, ἐκείνῃ μὲν τέως ἔκρυψε τὸ ἀπόρρητον, αὐτὸν δὲ τῆς πόλεως μεθιστᾷ, μετ' εὐπρεποῦς σχήματος· τὴν γὰρ Ἰβηρικὴν ἐπιτρέψας ἀρχὴν, ἐπίδοξον ὑπερορίαν τούτῳ κατεσκευάκει. Ἀλλὰ καὶ ἀποδεδημηκότι τῷ ἀνδρὶ ἡ φήμη αὖθις συνείπετο· μᾶλλον δὲ ταύτην οἱ πλείους ἀφορμὴν κατηγορίας προσειληφότες, λόγους ἐπὶ τὸν ἄνδρα ὡς τυραννεῖν μέλλοι συνέπλαττον, καὶ προλαβεῖν τὸ δεινὸν τὸν αὐτοκράτορα συνηνάγκαζον· ὁ δὲ τούτων ἀκούων, οὐ πάνυ μὲν διετάρακτο τὴν ψυχὴν, ὡς δὲ τὴν ἀδελφὴν συνηγοροῦσαν τεθέαται, καὶ πού τι καὶ τοιοῦτον εἰπούσης ἠκηκόει, « ὡς οὐδὲν ἄρα δεινὸν ὁ ἀνεψιὸς αὐτῇ πείσεται, τοῦ κρείττονος αὐτὸν ἄνωθεν περισκέποντος, » ἐκπλαγὴς[2] ἐπὶ τῷ λόγῳ γενόμενος, καὶ τὴν ὁρμὴν οὐκέτι δυνάμενος κατασχεῖν, οὐδ' οὕτως μὲν ἐπεχείρησεν ἀνελεῖν, ὑφελεῖν δὲ αὐτῷ τοὺς θεμελίους τῆς τυραννίδος σκεψάμενος, στέλλει κατὰ τάχος τοὺς ἀποκεροῦντας καὶ τὸ μέλαν τριβώνιον ἐπενδύσοντας. Καὶ οὕτως ἐκεῖνος ἐκκοπεὶς τῶν ἐλπίδων, ὁ πάλαι λαμπροφορῶν ἀθρόον ῥακοδυτῶν ἐπὶ τὸν βασιλέα ἐπάνεισιν· ὁ δὲ οὐδ' οὕτως εὐμενῶς εἶδεν, οὐδὲ τῆς τύχης ᾠκτείρησεν, ἥτις αὐτὸν ταῖς ἐλπίσιν ὑψώσασα ἀθρόον κατήνεγκεν, ἀλλὰ καὶ προσιόντα οἱ πολλάκις δυσμενῶς ἀπεπέμψατο καὶ κατεγέλασεν ἐλεεινῶς ἔχοντα. Μόνη δὲ ἡ Εὐπρέπεια, εἴτε συγγενικοῖς ἤθεσιν, εἴτε καὶ καθ' ἕτερον τρόπον ἐξένιζέ τε τοῦτον καὶ φιλοφρόνως ἠσπάζετο, πρόφασιν ἀδιάβλητον τῆς φιλοφροσύνης τὴν συγγένειαν ἔχουσα.

Ἔτυχε δὲ τὸ τηνικαῦτα καὶ Μακεδονική τις περὶ τὴν πόλιν

1. γρ. ἀρκούσας. 2. χ. ἐκπλαγεὶς.

φιλοχωροῦσα πληθὺς καὶ μάλιστα ὅσοι τὴν Ἀδριανούπολιν ᾠκησαν ἐξ ἀρχῆς, ἄνδρες δεινοὶ τὰς γνώμας καὶ τὴν γλῶτταν ἀντίστροφον ταῖς ἐνθυμήσεσιν ἔχοντες, βουλεύσασθαί τι τῶν ἀτόπων ἑτοιμότατοι καὶ καταπράξασθαι δραστικώτατοι, κρύψαι τε λογισμοὺς ἀκριβέστατοι, καὶ τὰς πρὸς ἀλλήλους ὁμολογίας πιστότατοι. Ὁ μὲν οὖν αὐτοκράτωρ ὡς ἤδη κατατεθυμένου τοῦ λέοντος καὶ τάς τε τῶν | ὀνύχων ἀφῃρημένου ἀκμὰς κατωλιγόρει παντάπασιν, φ. 375.
οἱ δὲ Μακεδόνες[1] τοῦτον ἐκεῖνον εἶναι νομίσαντες τὸν καιρὸν ὃν εἰς ἀποστασίαν πολλάκις ἐζήτησαν, βραχέα διαλεχθέντες ἀλλήλοις, ὡς τοῦ σκόπου πάλαι καθομολογηθέντος αὐτοῖς, καὶ τόν τε Τορνίκιον εἰς παράλογον τόλμαν διερεθίσαντες, ἑαυτούς τε πρὸς τὴν ὁμολογίαν τοῦ τολμήματος ῥώσαντες, νυκτὸς αὐτὸν ὑπεξαγαγόντες, ὀλίγων δή τινων καὶ τούτων παντάπασιν ἀφανῶν κοινωνησάντων αὐτοῖς τοῦ δράματος, τὴν εὐθὺ Μακεδονίας ἐλαύνουσι· καὶ ἵνα μή τινες αὐτοῖς κατόπιν ἐξιππασάμενοι προλάβωσί τε τὰς εἰσβολὰς τούτων, ἢ θηράσωσιν ἰχνηλατήσαντες, τὴν δημοσίαν ἵππον ἐπειδὴ κατὰ λύσσαν μὲν[2] ἀπεκτόνασι, καὶ οὕτως ἀπνευστὶ τὸν δρόμον συντείναντες Μακεδονίας τε ἐντὸς γίνονται, καὶ τὴν Ἀδριανοῦ κατειληφότες ὥσπερ ἀκρόπολιν, ἔργου εὐθὺς ἔχονται.

Ἐπεὶ δὲ συλλογῆς αὐτοῖς στρατευμάτων ἔδει, χρημάτων δὲ αὐτοῖς οὐχ ὑπῆρχε παρασκευή, οὐδ' ἄλλο τι τὸ πεῖθον τοὺς ἡγεμόνας τῶν στρατοπέδων εἰς ταὐτὸ συναγαγεῖν τὰ στρατεύματα καὶ πρὸς τὰ ἐκείνων ὑπείκειν βουλεύματα, πρῶτα μὲν λογοποιοὺς εὐθὺς ἁπανταχῇ καθίασιν· οἳ δή που παρ' ἑκάστους τῶν στρατιωτῶν παραγενόμενοι, ἐξεπίτηδες τὸν μὲν βασιλέα τεθνάναι διεβεβαίουν, τὴν δέ γε Θεοδώραν ἐγκρατῆ γενομένην τοῦ κράτους, τὸν ἐκ Μακεδονίας πρὸ πάντων αἱρεῖσθαι Λέοντα συνετώτατόν τε ὁμοῦ καὶ δραστήριον καὶ λαμπρὰς ἔχοντα τοῦ ἄνω γένους τὰς ἀφορμάς· εἶτα δὴ καὶ αὐτοὶ οἱ καθηγεμόνες τοῦ πλάσματος διὰ

1. Μακέδονες. 2. χ. καταλύσαμεν.

τῆς τοιαύτης μηχανῆς τὰ πανταχόθεν τῆς ἑσπέρας ἐν ὀλίγαις δή τισιν ἡμέραις στρατόπεδα συναθροίζουσιν· ἦν δὲ οὐ τὸ πλάσμα μόνον τὸ συλλέξαν ἐκείνους, ἀλλὰ δή τι καὶ μῖσος[1] αὐτοῖς παρατρεφόμενον πρὸς τὸν αὐτοκράτορα ἦν, ὅτι τε αὐτῶν βραχὺν λόγον ἐτίθετο, καὶ ὑποπτεύσας αὐτοὺς ἀπό τινος γενομένης καινοτομίας, ἔμελλε κατὰ βραχὺ[2] τιμωρήσασθαι· διὰ ταῦτα πρὶν ἢ καταειλῆφθαι τούτους[3], προκαταλαβεῖν ἐκεῖνον ἔργον ἐτίθεντο.

Συλλεγέντες οὖν ἀθρόον καὶ παρ' ἐλπίδα, καὶ εἰς ταὐτὸ τὰς γνώμας συνεληλυθότες, βασιλεύειν ἐπ' αὐτοῖς αἱροῦνται τὸν Λέοντα, καὶ ὁπόσα δὴ αὐτοῖς ὁ καιρὸς ἐδίδου ἐπὶ τῇ ἀναρρήσει πλασάμενοι, διαπρεπεῖ ἐσθῆτι κοσμήσαντες αἴρουσιν ἐπ' ἀσπίδος· ὁ δὲ ἅπαξ ἐν τῷ σχήματι καταστὰς, ὡς ἤδη τοῦ πράγματος αὐτοῦ τετυχηκὼς, καὶ οὐχ ὡς ἐπὶ σκηνῆς οἷον δραματουργῶν ἢ πλαττόμενος, ἀρχικῶς καὶ τῷ ὄντι βασιλικῶς τῶν βασιλευσάντων κατάρχει, βουλομένων κἀκείνων ἀκριβέστερον αὐτῷ τὴν ἀρχὴν διευθύνεσθαι. Τὸ μὲν οὖν πολὺ πλῆθος, ἐπεὶ μήτε διανεῖμαι εἶχε, μηδὲ χρήμασι καθυπάγειν, διά τε φόρων ἀνέσεως ὑπήκοον ἀπεργάζεται, καὶ τοῦ καθάπαξ αὐτοὺς ἀφιέναι, εἰς προνομὰς ἐξιέναι, καὶ κέρδος ἅπαν οἰκεῖον τὸ ἀναλισκόμενον τίθεσθαι· τῶν δέ γε ἐν τέλει καὶ τῆς πρώτης βουλῆς ἅπαξ ἀρχαιρεσίας[4] τοὺς μὲν ἡγεμόνας τῶν στρατευμάτων ποιεῖ, τοὺς δὲ ἐγγὺς ἱστᾷ τοῦ βασιλικοῦ βήματος, καὶ ἄλλοις τὰς πρώτας βουλὰς ἀνατίθεται, καὶ ξύμπαντας, ὡς αὐτῷ τε κἀκείνοις αἱρετὸν ἦν, καταλλήλως ἑκάστῳ τοῖς πράγμασι διελόμενος, τῆς πρὸς τὴν πόλιν εὐθὺς πορείας εἶχετο. Οὕτω γὰρ αὐτοῖς ἐβούλετο ἀθρόον προκαταλαβεῖν τὰς γνώμας τοῦ αὐτοκράτορος, καὶ πρὶν ἢ τὸ τῆς ἑῴας ἐπ' αὐτοὺς μετακινῆσαι στρατόπεδον, ἐπ' ἐκεῖνον τούτους μετακινήσασθαι· ᾤοντο δὲ μηδὲ τοὺς ἐν τῇ πόλει τῷ βασιλεῖ προσθήσεσθαι, τούτοις δὲ ἀντιστήσεσθαι, δι' ὀργῆς τε τὸν αὐτοκράτορα ἔχοντας[5], ἐπειδὴ καὶ καινοτομεῖν τι κατ'

1. χ. μῆσος. 2. χ. βραχὴ. 3. χ. τούτοις. 4. γρ. ἀρχαιρεσιάσας. 5. χ. ἔχοντες.

αὐτῶν ἤρξατο, καὶ τὴν προεδρίαν αὐτοῦ δυσχεραίνοντας, καὶ βουλομένους στρατιώτην ἰδεῖν αὐτοκράτορα, σφῶν τε προκινδυνεύοντα καὶ τὰς ἐπιδρομὰς τῶν βαρβάρων ἀνείργοντα.

Ἀμέλει καὶ πρὶν ἢ προσπελάσαι τοῖς τείχεσι πολλή τις αὐτοῖς μερὶς κατὰ τὴν πορείαν ἐθελουσίοις ὁρμαῖς προσετίθετο, πληθύς τε στρατιωτικὴ ἀπὸ τῶν ὑψηλοτέρων μερῶν προσεγίνετο, καὶ τὰ[1] μέχρι τῆς πόλεως κατάντη πάντα πρὸς τὸν σκοπὸν καὶ ἐπίφορα. Καὶ τὰ μὲν ἐκείνων τοιαῦτα, τῷ δὲ αὐτοκράτορι εἰς τοὐναντίον περιειστήκει τὰ πράγματα· οὔτε γὰρ οἰκεῖον στράτευμα, οὔτε συμμαχικὸν αὐτοῦ που συνείλκετο, εἰ μή τις ὀλίγη μερὶς ξενικὴ, ὁπόση τις εἴωθεν ἐφέπεσθαι ταῖς βασιλείοις πομπαῖς· ὁ γέ τοι τῆς ἑῴας στρατὸς οὐδὲ κατεσκήνουν ἐφ' ἑαυτῶν ἕκαστοι, ἵνα δή τι καὶ κατὰ σύνθημα ταχὺ συλλεγέντες βοηθήσαιεν τῷ αὐτοκράτορι κινδυνεύοντι, ἀλλ' ἐς τὰ βαθύτερα τῆς Ἰβηρίας ἐστρατοπεδεύκεισαν, ἐπιδρομήν τινος βαρβάρου ἀνακρουόμενοι· διὰ ταῦτα ἀπολώλεισαν τῷ βασιλεῖ αἱ ἐλπίδες, καὶ τοσοῦτον μόνον ἀνέπνει, ὁπόσον αὐτὸν ἡ τοῦ τείχους περιβολὴ διεζώννυεν· ὅθεν περὶ τοῦτο ἐπόνει, τά τε κατερραθυμημένα[2] τῶν μερῶν ἀνακτώμενος καὶ λιθοβόλοις καταπυκνῶν μηχανήμασιν. Ἔτυχε δέ πως αὐτῷ τηνικαῦτα καὶ τὰ ἄρθρα ἐς τοσοῦτον νοσήσαντα, ὡς τάς τε χεῖρας αὐτῷ πάντη διαλελῦσθαι[3], τούς τε πόδας μετὰ τοῦ μὴ βαδίζειν δύνασθαι, ἔτι τε καὶ ἀλγηδόσι σφοδραῖς διατείνεσθαι· ξυμπεπονήκει δὲ αὐτῷ καὶ ἡ γαστὴρ διαρρυεῖσα καὶ πάντη διαφθαρεῖσα, καὶ τὸ σύμπαν δὲ αὐτῷ σῶμα τηκεδών τις ὑπεσμύχετο καὶ διεβόσκετο, ὥστε μήτε προϊέναι δύνασθαι, μήτε δὴ τοῖς πολλοῖς εἰς ὁμιλίαν καθίστασθαι. Ἔνθεν τοι καὶ ἡ τῆς πόλεως πληθὺς τεθνηκέναι οἰηθέντες ἐκεῖνον, κατὰ πλῆθος ἐπὶ μέρους ξυνιόντες περὶ τοῦ δεῖν ἐντεῦθεν ἀποδράσασθαι καὶ πρὸς τὸν τύραννον ἀπιέναι βουλὴν ἐποιοῦντο· ὅθεν καὶ παρὰ φύσιν ὁ αὐτοκράτωρ κατεβιάζετο ὁμιλεῖν τε τοῖς

1. χ. τὸ. 2. χ. κατερραθμιμημένα. 3. χ. διαλέλυσθαι.

πολλοῖς ἐκ διαστήματος, ἢ καὶ πόρρωθεν ὁρᾶσθαι, καὶ ὅτι μὴ ἐτεθνήκει διαβεβαιοῦσθαι τοῖς σχήμασι.

Τοῦτο μὲν οὕτως εἶχε, καὶ ὁ τύραννος πνεύματος δίκην διαδραμὼν μετὰ παντὸς τοῦ στρατεύματος αὐτοῦ που πρὸ τῆς πόλεως ἐναυλίζεται, καὶ ἦν τὸ γιγνόμενον οὐ πόλεμος, οὐδ' ἀντίστασις, ἀλλὰ πολιορκία καθαρὰ καὶ τειχομαχία. Ἐγὼ γοῦν καὶ στρα-
φ. 376. τιωτῶν | αὐτῶν καὶ πρεσβυτέρων ἀνδρῶν ἐνίων ἀκήκοα, ὡς οὐδεὶς ποτὲ τῶν τυραννευσάντων εἰς τοῦτο τόλμης ἐλήλυθεν, ὥστε καὶ μηχανήματα πρὸ τῆς πόλεως στῆσαι παρασκευάζεσθαι καὶ τόξα τείνειν ἐπὶ τὰς ἐπάλξεις, τὴν πᾶσαν περιβολὴν τῶν τειχῶν ἔξωθεν στρατῷ περιζωννύων [1]· ἔκπληξις οὖν κατεῖχε καὶ θόρυβος ξύμπαντας, καὶ ἀλώσιμα πάντα ἐδόκει γενήσεσθαι. Ὁ δέ γε τύραννος τέως μὲν βραχύ τι πρὸ τῶν τειχῶν γεγονὼς, χάρακά τε βάλλεται καὶ στρατοπεδεύει λαμπρῶς, καὶ βραχύ τι μέρος ἐπ' αὐτοῦ τῆς νυκτὸς αὐλιζόμενος, τὸ λοιπὸν αὐτός τε ἐξιππασάμενος καὶ ταῖς δυνάμεσι τοῦτο παρακελευσάμενος, τό τε ψιλὸν διατάξας, βάδην τε προϊὼν, κατ' αὐτὸ τὸ περίορθρον πρὸ τῶν τειχῶν ἀθρόοι καθίστανται, οὐ συμμίγδην, οὐδὲ κατὰ πλῆθος συνειλεγμένοι, ἀλλὰ στρατιωτικῶς διεσκευασμένοι καὶ πολέμου σχῆμα διατυπώσαντες· καὶ ἵνα δὴ ὡς ἀπειροπολέμους ἡμᾶς καταπλήξαιεν, ἐσιδηροφόρησαν ξύμπαντες, οἱ μὲν ἐντελέστεροι καὶ περικνημῖσιν καὶ θώραξιν ἑαυτοὺς καθοπλίσαντες καὶ τὴν ἵππον κατάφρακτον στήσαντες, οἱ δ' ἄλλοι ὡς εἶχον ἕκαστοι καθωπλίσθησαν. Αὐτὸς μὲν οὖν ὁ τύραννος λευκοῦ ἐπιβεβηκὼς ἵππου, τὸ μεσαίτατον εἶχε τῆς φάλαγγος ἅμα τοῖς τῶν ἱππέων ἐπιλέκτοις καὶ τῇ κρείττονι στρατιᾷ· περιῖστατο δὲ αὐτὸν καὶ ψιλὸν, ἐκηβόλοι ξύμπαντες καὶ κοῦφοι καὶ εὔδρομοι, ἡ δὲ λοιπὴ φάλαγξ ἑκατέρωθεν διειστήκεισαν ὑφ' ἡγεμόσι παρατατόμενοι, οἱ δὲ λόχοι τὸ σχῆμα φυλάττοντες οὐ σὺν ἑκκαίδεκα ἀλλὰ σὺν ἐλάττοσι διῄρηντο, ἵν' ἐς μῆκος αὐτοῖς ἐκτείνοιτο ἡ

1. χ. στρατοπεριζωννύειν.

πληθὺς, ὅθεν οὐδ' ἐπυκνοῦντο, οὐδὲ συνήσπιζον· τὸ δὲ κατόπιν πλῆθος πολύ τι καὶ δυσαρίθμητον τοῖς ἐκ τῶν τειχῶν ἔδοξε· διήρηντο γάρ κἀκεῖνοι, ἅμα δὲ καταθέοντές τε καὶ διϊππεύοντες οὐ μᾶλλόν τε ἰσχὺν παρατάξεως ἢ φαντασίαν πλήθους παρεῖχον.

Ἐκεῖνοι μὲν οὕτως· ὁ δέ γε αὐτοκράτωρ πολιορκούμενος ἔσωθεν, ἵνα τέως ὀφθείη τῷ ἐναντίῳ στρατεύματι ζῶν, ἐσθῆτι βασιλικῇ κοσμηθεὶς ἐπί τινος προβεβλημένου τῶν ἀνακτόρων οἰκήματος ἅμα ταῖς βασιλῖσι καθῆστο, ὀλίγον μὲν ἐμπνέων, βραχὺ δ' ἀναστένων, καὶ τοσοῦτόν ὁρῶν τοῦ στρατεύματος ὁπόσον εἰστήκει ἐγγύς τε καὶ κατὰ μέτωπον. Οἱ δ' ἐπειδὴ ἀγχοῦ που τῶν τειχῶν γενόμενοι, διετάξαντο τὰ μὲν πρῶτα τοὺς ἐπὶ τοῖς τείχεσιν ἑστηκότας, ὧν τε παρὰ τοῦ βασιλέως δεινῶν ἐπεπόνθεισαν, καὶ ὧν, εἰ μὲν ἀλοίη [1] ἀπαλλαγήσονται, εἰ δ' ἀφεθείη πείσονται, ἀνεμίμνησκον [2] κατὰ μέρος, καὶ ἠξίουν τὰς πύλας τε αὐτοῖς ὑπανοῖξαι καὶ εἰσδέξασθαι ἐπιεικῆ καὶ χρηστὸν αὐτοκράτορα, φιλανθρώπως τε αὐτοῖς χρησόμενον καὶ τὸ Ρωμαίων κράτος τοῖς κατὰ τῶν βαρβάρων πολέμοις τε καὶ τροπαίοις αὐξήσοντα [3]. Ἐπεὶ δὲ οὐδὲν αὐτοῖς εὔφημον πρὸς οὓς ὁ λόγος ἀνταπεκρίναντο, ἀλλὰ πάσαις μὲν ὕβρεσι, πάσαις δὲ ἀτιμίαις αὐτούς τε καὶ τὸν ἐπ' αὐτοῖς τυραννοῦντα κατέπλυναν, τὰς ἐκ τοῦ πλήθους ἐλπίδας καθάπαξ ἀπογνόντες, ἀπαισίους [4] ἀπερρίπτουν ἐπὶ τὸν βασιλέα φωνὰς, νῦν μὲν τὴν τοῦ σώματος αὐτῷ προσονειδίζοντες πάρεσιν, νῦν δ' ἐναγῆ ἀποκαλοῦντες καὶ πρὸς οὐχ ὁσίας ἀποκλίναντα ἡδονὰς, νῦν δὲ πόλεως ὄλεθρον καὶ δήμου φθορέα, νῦν δ' ἄλλο τι τῶν ἀτοπωτάτων ἐπισυνείροντες τούτῳ καὶ καθυβρίζοντες· οἱ δὲ πλείους τῶν Μακεδόνων, δῆμος ὄντες αὐθαδείᾳ χαίροντες καὶ θρασύτητι, καὶ οὐ στρατηγικῆς ἀφελείας, ἀλλὰ πολιτικῆς βωμολοχίας ὄντες ἐθάδες, τῶν ἵππων τε οἱ πλείους ἀπέβαινον, καὶ χορείας εἰς τοὐμφανὲς συνιστῶντες, αὐτοσχεδίους ἐποιοῦντο κωμῳδίας τῷ αὐτοκράτορι, τὴν γῆν τῷ ποδὶ σὺν

1. χ. ἀλλοίη. 2. χ. ἀνεμίμνησκεν. 3. χ. αὐξήσονται. 4. χ. ἀπεσίους.

ῥυθμῷ καὶ μέλει ἐπικροτοῦντες καὶ κατορχούμενοι [1]. Ὁ δ' ἐπειδὴ τούτων τὰ μὲν ἑώρα, τὰ δὲ ἤκουεν, εἱστήκειν δ' ἐγὼ πλησίον αὐτῷ, τὰ μὲν ἐν δεινῷ τῶν λεγομένων ποιούμενος, τὰ δὲ λόγοις παραμυθούμενος, οὐχ εἶχεν ὅ,τι καὶ δράσειεν, τὴν ἐπὶ τῶν ἔργων αἰσχύνην ἐπὶ τῶν παρ' ἐκείνων ὑφιστάμενος λόγων.

Τῶν δέ γε πολιτῶν ἔνιοι ἐκτὸς τοῦ τείχους γενόμενοι τὴν ἵππον ἀνεῖργον αὐτοῖς, οἱ μὲν λίθους ἀπὸ σφενδόνης ἀπορριπτοῦντες, οἱ δ' ἐπιτοξάζοντες· οἷς καὶ φυγὴν ἐπιτετηδευμένην πλασάμενοι, ἐπεὶ δὲ κατόπιν θέειν αὐτοὺς ἐξηπάτησαν, ἀθρόον ἐπιστραφέντες, ξίφεσι, δόρασιν ἀνῃρήκασι. Καί τις [2] τῶν παρ' ἐκείνοις ἐφ' ἵππου τοξεύειν εἰδὼς, τοὺς ἡμετέρους λαθὼν ὀφθαλμοὺς πρὸς τοῖς τείχεσί τε γίνεται, καὶ καταντικρὺ τοῦ βασιλέως ἐπὶ μέτωπον τὴν τοῦ τόξου ἑλκύσας νευρὰν, ἐπ' αὐτὸν τὸ βέλος ἀφίησι· τὸ δὲ τὸν μεταξὺ ἀέρα εὐπετῶς περιπτυξάμενον, βραχύ τι παρεκνεῦσαν τοῦ αὐτοκράτορος, μειράκιον οὐκ ἀνώνυμον τῶν ἐκείνου κατευναστήρων βραχύ τι παραξέει τὴν πλευρὰν παρελάσαν, καὶ ἡμεῖς τῷ φόβῳ ἐπάγημεν, ὅ τε αὐτοκράτωρ τὴν καθέδραν διήμειψε καὶ πορρωτέρω τοῦ πολεμικοῦ ἐγεγόνει συστήματος. Οἱ δὲ πορθρευσάμενοι [3], ὥς μοι εἴρηται, μέχρις αὐτῆς μεσημβρίας, τὰ μὲν εἰπόντες, τὰ δ' ἀκούσαντες, καὶ νῦν μὲν θωπεύσαντες [4] ἡμᾶς, νῦν δ' ἀπειλήσαντες, τοὺς ἵππους παραγαγόντες ἐπὶ τὸν χάρακα ἦεσαν, μηχανάς τε παρασκευάσαντες καὶ τὴν πάλην [5] παρασκευάσαντες, καὶ τὴν πόλιν πάλιν [6] πολιορκήσαντες ἄντικρυς.

Ὁ δέ γε βασιλεὺς, ἐπειδὴ καθ' ἑαυτὸν ἐγεγόνει, δεινὸν ποιεῖται εἰ μή τινας αὐτοῖς στρατιώτας σχεδιάσοι, ἀποταφρεύσοι τε τούτοις τὰς εἰσβολὰς καὶ ἀποτειχίσοι τὴν εἴσοδον, πόρρω τε στήσοι ὥστε μὴ τῶν λεγομένων ἀκούειν, μηδ' ἐμφορεῖσθαι τῶν ὕβρεων· καὶ τοῦτο δὴ πρῶτον κακῶς λογισάμενος, εἶτα δὲ καὶ πρός τινας τῶν

1. χ. κατορχόμενοι. 2. χ. τῆς. 3. γρ. περιορθρευσάμενοι. 4. χ. θοπεύσαντες. 5. χ. πόλιν. 6. χ. πόλιν πόλιν.

ἀπειροπολέμων ἐξενεγκὼν, ἐπειδὴ τοῖς πολλοῖς τὸ δόξαν ἤρεσε, πρῶτα μὲν διευρυνᾶται τὰ δεσμωτήρια καὶ εἴ πού τι φῦλον[1] παρὰ τούτοις στρατιωτικὸν[2] κατακέκλειστο, τούτους[3] ἐξενεγκών τε καὶ καθοπλίσας, τόξα τε δοὺς καὶ δοράτια, ἑτοιμάζει πρὸς πόλεμον· ἔπειτα πλῆθος πολιτικῶν οὐκ ὀλίγων (ἐθελονταὶ δὲ οὗτοι τοῖς λόχοις ἑαυτοὺς ἐνεδίδωσαν, ὥσπέρ τι τῶν ἄλλων καὶ τὸν πόλεμον παίζοντες), τῷ λοιπῷ στίφει[4] συναριθμεῖ· καὶ διὰ πάσης τῆς νυκτὸς περὶ τῆς πόλεως | τόπον περιταφρεύσας, χάρακα ἐκεῖσε ἱδρύεται· καὶ ἅμα πρωΐ, πρὶν ἢ τοὺς πολεμίους ἐπιστῆναι τῷ ἄστει, τὴν λογάδα τῶν παρ' ἡμῖν διατάξας καὶ κατ' ἀντικρὺ στήσας ἐκείνοις, τὸ μὲν ἱππέων μερίδας, τὸ δὲ συντάξεις ψιλῶν, ὅπλοις τε σκεπαστηρίοις πάντας περιφραξάμενος κατὰ λόχους ξύμπαντας ἵστησι, καὶ αὐτὸς αὖθις ἐν μετεώρῳ καθίσας ἐξ ἀπόπτου ἐγνώκει τὸ μέλλον ἰδεῖν. φ. 377.

Τούτων δὲ οὐδὲν ἤδεσαν οἱ πολέμιοι, ἀλλ' ἐπειδὴ πλησιάσαντες ἀθρόοις τοῖς καθ' ἡμᾶς λόχοις ἐντετυχήκεσαν, πρῶτα μὲν τοὺς χαλινοὺς ἐπισχόντες ἠξίουν μαθεῖν ὁπόθεν ἡμῖν ἀθρόον οὕτω συνελέγη[5] τὸ στρατόπεδον· ἐδεδοίκεσαν γὰρ μή τις ἀπὸ τῆς ἑῴας μερὶς ἐπιβοηθήσασα παραγέγονε· ἐπεὶ δὴ ἐγνώκεισαν ὅτι ἀγυρτικὸς ὄχλος αἱ παρ' ἡμῖν δυνάμεις τυγχάνουσιν ὄντες, τήν τε ταφρίαν οὐδὲν ἔχουσαν βαθὺ καὶ δύσβατον ἐθεάσαντο, τῆς τοῦ κρατοῦντος ἀβελτηρίας καταγελάσαντες, καὶ τοῦτον εἶναι αὐτοῖς τὸν ἐπιζητούμενον καιρὸν ἐγνωκότες, συνησπικότες ἀλλήλοις καὶ τὸ ἐνυάλιον ἀλαλάξαντες, ἀθρόοι κατ' ἴσον συνεισβαλόντες τοῖς ἵπποις καὶ ῥᾷστα τὴν ταφρίαν ὑπερπηδήσαντες, τρέπουσί τε εὐθὺς τοὺς τέως συντεταγμένους, καὶ κατὰ νώτου τούτοις γινόμενοι ἄρδην ἀνῄρουν τὰ μὲν ξίφεσι, τὰ δὲ δόρασιν· οἱ δὲ πλείους ὑφ' ἑαυτῶν συνωθούμενοι καὶ τῶν ἵππων ἐξολισθαίνοντες αὐτοῦ που συνεπα-

1. φύλλον. 2. χ. στρατιωτικήν. 3. χ. τούτοις. 4. χ. στήφει. 5. χ. συνελλέγη.

τοῦντο καὶ διεφθείροντο· ἔφευγον δὲ οὐ μόνον ὅσοι τοῦ ἄστεως ἐκτὸς ἐγεγόνεισαν, ἀλλὰ δὴ καὶ ὅσοι πρὸς τῷ βασιλεῖ ἑστῶτες ἐτύγχανον· ᾠόντο γὰρ αὐτίκα τὸν τύραννον εἰσιέναι καὶ πάντας διαφθαρήσεσθαι. Καὶ εἴ τις τοὺς τῆς προνοίας λόγους ἐάσειε, οὐδὲν ἦν ἐμποδὼν ἐκείνοις ἐντός τε τῶν τειχῶν γενέσθαι καὶ τοῦ ἐφετοῦ τυχεῖν ἐλευθέρως· οἵ τε γὰρ ταῖς τῶν τειχῶν εἰσόδοις ἐφεστηκότες τὴν φρουρὰν ἀφέντες, ἐζήτουν ὅπη τις ἐκείνους φρουρήσειε· ἥ τε πόλις ξύμπασα, οἱ μὲν εἰς αὐτοὺς ἀνακεχωρήκεσαν, οἱ δ' ὑπαντῆσαι τῷ τυράννῳ ἐπροθυμήθησαν· ἀλλ' οὗτος τὴν εἴσοδον ἅπαξ ἀποδειλιάσας, ἢ μᾶλλον τεθαρρηκὼς ὡς παρ' ἡμῶν εἰς τὴν βασιλείαν παρακληθείη καὶ ὑπὸ προηγουμένῳ φωτὶ καὶ βασιλείῳ πομπῇ ἀναχθείη εἰς τὰ βασίλεια, τὴν μὲν εἴσοδον ἐς αὔριον ἀναβάλλεται, παρελαύνων δὲ τὸν ἵππον ἐφ' ἕκαστα τὰ μέρη τῶν οἰκείων δυνάμεων, μηδένα παίειν ἐᾷ, μηδὲ πληροῦσθαι φόνου συγγενικοῦ, κἂν εἴ τινα ἴδοι τὸ ἀκόντιον ἐπισείοντα ἢ τῷ δόρατι βαλεῖν ἐθέλοντα τὸν ἀγχοῦ, ἐπεῖχε τὴν χεῖρα καὶ ἠλευθέρου τὸν φεύγοντα.

Ὁ τοίνυν βασιλεὺς, μόνος δὲ ἄρα καταλέλειπτο ὡς αὐτίκα τεθνηξόμενος, ἐπειδὴ τούτων ἤκουσε τῶν φωνῶν, καὶ τὸν τύραννον εἶδε τοὺς φόνους ἀποτρεπόμενον, « τοῦτό με μόνον θράττει δεινῶς, πρὸς ἐμὲ στραφεὶς ἔφησε, ὅτι τυραννεῖν ὁ δεινὸς ἀνὴρ ἐπιβαλλόμενος, φιλανθρώπους ἀφίησι καὶ ἡμέρους φωνάς· δέδοικα γὰρ μὴ ἐντεῦθεν τὴν θείαν ἑαυτῷ συνεπισπάσηται δύναμιν! » Τῆς δὲ ἀδελφῆς ἀποδυρομένης, φημὶ δὴ τῆς πρεσβυτέρας (ἡ γὰρ Εὐπρέπεια ὑπερορίαν καταδεδίκαστο), καὶ φυγεῖν αὐτὸν προτρεπούσης, εἴς τινά τε τῶν θείων ναῶν καταφυγεῖν, ταυρηδὸν πρὸς αὐτὴν ἀποβλέψας, « ἀπαγέτω τις αὐτὴν, ἔφησεν, ἥτις [1] ἡμῖν καταλέλειπται, ἵνα καθ' ἑαυτὴν [2] τὸν θρῆνον ποιοῖτο [3], καὶ μὴ τὴν ἐμὴν καταμαλθακίζοι ψυχήν! τὸ γὰρ εὐτύχημα, φησὶ, τῷ τυράννῳ (πρὸς ἐμὲ αὖθις ὑποστραφεὶς), τὴν τήμερον περιώριστο· τὸ δέ γε

1. χ. εἴ τις. 2. χ. ἑαυτόν. 3. χ. ποιεῖτο.

λοιπὸν, ὥσπερ ψάμμου ὑποσπασθείσης αὐτῷ, πρὸς τοὐναντίον χωρήσει τὰ πράγματα. »

Ὁ μὲν οὖν τύραννος ταῦτα διαπραξάμενος, αἰχμαλώτους τε οὐκ ὀλίγους ζωγρήσας, συντεταγμένος ἐπὶ τὸν χάρακα ἄπεισιν· ὁ δέ γε αὐτοκράτωρ οὐδὲν αὖθις καινοτομήσειν ἐπ' ἐκεῖνον ἐσκέψατο, ἀλλὰ τὰς τῶν τειχῶν εἰσόδους καθαρμοσάμενος, τό τε πλῆθος δημαγωγήσας τῆς πόλεως καὶ τῆς προλαβούσης αὐτοὺς εὐνοίας ἀποδεξάμενος, τῆς δέ γε μελλούσης ἔπαθλα ὥσπερ ἐπ' ἀγωνίαις προθεὶς, εὐπετῶς τὴν πολιορκίαν διήνεγκεν· ὁ δέ γε τύραννος τὴν νύκτα [1] μόνην ἐκείνην ἐπὶ τοῦ χάρακος αὐλισάμενος, ἐπειδὴ ὄρθρος ἐγεγόνει, τὰς δυνάμεις ἀναλαβὼν ὡς ἐπὶ προκειμένην τὴν βασιλείαν συνήλαυνε, τούς τε αἰχμαλώτους δεσμίους ἀπαγαγὼν πρὸ τῶν τειχῶν ἵστησι, διδάξας ὅ,τι δὴ πρὸς τὸν καιρὸν φθέγξαιντο· οἱ δὲ διαστάντες, ἐλεεινοὶ καὶ ταῖς φωναῖς καὶ τοῖς σχήμασι, πρὸς μὲν τὸν βασιλέα οὐδένα ἐποιοῦντο λόγον, τὸ δέ γε πλῆθος ἠξίουν μὴ καταφρονῆσαι ὁμοφύλου καὶ συγγενικοῦ αἵματος, μηδὲ θέλειν τοὺς ὀφθαλμοὺς αὐτοὺς ἐπιδεῖν ἐλεεινὸν θέαμα, ὥσπερ ἱερεῖα μελιζομένους, μηδ' εἰς τοσοῦτον ἡμᾶς ἀτυχίας ἐλάσαι ὥστε τοιούτου καταφρονῆσαι αὐτοκράτορος, ὁποῖος οὐδεὶς ἐγεγόνει τῶν πάντων, οὗ δὴ αὐτοὶ πεπείρανται ἀκριβῶς· ἐξὸν γὰρ ἄχρι τοῦ νῦν ἀναιρήσειν αὐτοὺς καὶ διαχρήσασθαι ὡς πολεμίους, ὁ δὲ ἄχρι τοσούτου ἀναβάλλεται τὴν σφαγὴν, ἡμῖν τὰς ἐκείνων ψυχὰς χαριζόμενος· πρὸς τούτοις καὶ τὰ περὶ τοῦ παρ' ἡμῖν βασιλέως ἐπετραγῴδουν δεινὰ, καὶ ὡς κατ' ἀρχὰς ταῖς [2] ἐλπίσι τῆς πόλεως ἐπάρας, εἰς τοὔσχατον ἐκ τῶν νεφῶν ἀφῆκεν ἐπὶ κρημνόν. Τὰ μὲν τῶν αἰχμαλώτων ὡς ἐπὶ κεφαλαίῳ τοιαῦτα, αἱ [3] δὲ παρὰ τοῦ δήμου φωναὶ ὁποῖαι καὶ πρότερον.

Εἶτα δὲ καί τι τοιοῦτον ἐπισεσυμβήκει· λίθων ἀξιόλογα βάρη ἀπὸ τῶν ἐντὸς τειχῶν ἐπὶ τοὺς πολεμίους ἐπετοξεύοντο, κατευστό-

1. νύκταν. 2. χ. τὰς. 3. χ. οἱ.

χουν δὲ οὐδενὸς, ἀλλὰ τοῦ σκοποῦ ἀπερριπτοῦντο ἐντός[1]· τηνικαῦτα δὲ εὐτονώτερον οἱ ἀνθέλκοντες τὸ μηχάνημα, τὴν σφενδόνην ἀνταναπλάσαντες, λίθον τινὰ τῶν ἀδροτέρων[2] κατ' αὐτοῦ τοῦ τυράννου ἐπιρρίπτουσι, καὶ τοῦτο μὲν ἀποτυγχάνουσι, φυγὴν δὲ[3] καὶ πτοίαν ἐκείνῳ τε καὶ τοῖς περὶ αὐτὸν ἐμβάλλουσιν· ὅθεν ἅπαξ κατασεισθέντες τῷ δέει καὶ πρὸς ἑαυτοὺς συγχυθέντες, τόν τε συνασπισμὸν ἔλυσαν καὶ πρὸς τὴν χάρακα ὑποστρέφουσιν. Ἐντεῦθεν αὐτοῖς εἰς τοὐναντίον κεχωρήκει τὰ πράγματα, καὶ βραχύ τι ταῖς ἐλπίσι μετεωρισθέντες, εἰπεῖν δὲ καὶ τῷ πάσχοντι τοῦ καιροῦ, ταχὺ κατω-
φ. 378. λίσθησάν τε καὶ διερρύησαν· οὐκ ἔστιν[4] γοῦν αὖθις | τῷ τείχει τῆς πόλεως προσεπέλασαν, ἀλλ' ὀλίγας τινὰς ἐν ᾧ κατεσκήνωσαν ἡμέρας διαυλισάμενοι, παλινδρομοῦσιν ὅθεν προσήλασαν, οἱ πλείους ἀσύντακτοι καὶ ὡς φυγάδες· τηνικαῦτα γοῦν εἴ τινες αὐτοῖς ἐκκαίδεκα ἢ πλείους ὀλίγῳ ἱππόται ἐφάνησαν κατὰ νώτου γενόμενοι[5], οὐδὲ πυρφόρους[6] ἂν ὑπελείφθη τῷ διεσπαρμένῳ ἐκείνῳ στρατοπέδῳ καὶ ἀσυντάκτῳ. Ἀλλ' ὁ αὐτοκράτωρ, καίτοι γε τὴν τούτων φυγὴν προειδὼς, οὐκ ἐπεχείρησε τῇ διώξει, ἀλλ' ἐπέσχεν αὐτὸν τὸ πρότερον δέος, καὶ διὰ ταῦτα κρίσιν οὐκ ἔλαβε τοῦ καιροῦ.

Ἡμῖν μὲν οὖν καὶ ἡ ἐκ τοῦ χάρακος ἀναχώρησις τρόπαιον περιφανέστατον ἔδοξε, καὶ τὸ τῆς πόλεως πλῆθος ἐκεῖσε χυθέντες πλείστοις ἐφοδίοις τῶν αὐτόθι κατασκηνωσάντων ἐπιτυγχάνουσιν· οὐ γὰρ εἶχον αὐτὰ τοῖς ὑποζυγίοις ἀναθέσθαι τε καὶ ἐπιφορτίσασθαι, πλείονα ποιούμενοι λόγον ὅπως ἂν λάθοιεν ἐκεῖθεν ὑποχωρήσαντες, ἢ τοῦ πλησίους[7] καὶ ἐμπαρασκεύως ποιήσασθαι τὴν φυγήν· ἐπεὶ δὲ ἀνακεχωρήκεσαν, δι' ὀργῆς εὐθὺς εἶχον τὸν ἄγοντα, καὶ ἕκαστος τῷ καθ' ἑαυτὸν δέει φεύγειν ἐκεῖνον[8] ὡρμημένος, τῷ πρὸς ἀλλήλους φόβῳ καὶ τῷ δυσεπιτεύκτῳ τοῦ πράγματος αὖθις συνείχετο. Τέως

1. γρ. ἐκτὸς. 2. χ. ἀνδροτέρων. 3. χ. τε. 4. γρ. ἔτι. 5. Νομίζω, ὅτι ἡ διεφθαρμένη αὕτη περίοδος διορθωτέα καὶ συμπληρωτέα οὕτωσί· « Τηνικαῦτα γοῦν εἴ τινες αὐτοῖς ἐκκαίδεκα ἢ πλείοσιν ὀλίγοι ἱππόται ἐφάνησαν, κατὰ νώτου γενόμενοι [ἔφευγον] ». 6. γρ. πυρφόρος. 7. γρ. πλουσίως. 8. γρ ἐκεῖθεν.

γοῦν ὅσους ὁ καιρὸς ἐδίδου λαθεῖν, ἀπνευστὶ πρὸς τὸν αὐτοκράτορα καὶ τὴν πόλιν κατέθεον, οὐ τῶν ἐν πλήθει μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐν τέλει καὶ τῶν στρατηγούντων. Τῷ δὲ τυράννῳ καὶ δεύτερόν τι, καὶ τρίτον, καὶ ἄλλο ἐπ' ἄλλῳ προκεχωρήκει κακόν· τοῖς γὰρ πρὸς ἑσπέραν προσβαλὼν [1] φρουρίοις, εὐαλώτοις ἄλλως τῇ τε τοῦ τόπου ἐπιτηδειότητι καὶ τῇ τῶν τειχῶν διαιρέσει, τῷ μὴ προσδοκᾶν πολλοῦ χρόνου πολέμιον, οὐδὲν τούτων ὤφθη ἐκ πολιορκίας παραστησάμενος, τῶν προστεταγμένων τειχομαχεῖν οὐ τοῦ πολιορκεῖν λόγον ἐχόντων, ἢ τοῦ παλινδρομεῖν, καὶ τοῦτο αὐτὸ δεικνύειν τοῖς πολιορκουμένοις, ὅτι μὴ βούλοιντο ἐκείνοις ἐναντιοῦσθαι, εἰμὴ ὅσον ταῖς προσελάσεσι καὶ τοῖς σχήμασιν.

Ὁ μὲν οὖν τυραννήσας οὕτως αἰσχρῶς τῆς μεγάλης πόλεως ἀπαλλάττεται, καὶ ἔτι αἴσχιον τοῖς ἑφεξῆς φρουρίοις προσβαλὼν ἀντεκρούετο· ὁ δέ γε αὐτοκράτωρ καὶ τὰς δυνάμεις ἐκ τῆς ἑῴας ἀνακαλεῖται, καὶ ἐπειδὴ τάχιστα· ἐπανεληλύθεσαν, κατὰ τῶν ἑσπερίων ὁμοφύλων ὁμοῦ καὶ βαρβάρων ἀφίησιν· οἱ δ' ἐπειδὴ ἐγνώκεσαν τὴν τῶν ἑῴων στρατευμάτων ἐπέλευσιν, οὐκ ἔτι βουλὴν περὶ τοῦ μάχεσθαι ἢ μὴ ἐποιήσαντο πρὸς αὐτούς, ἀλλὰ διασπαρέντες εὐθὺς, καὶ κακῶς εἰπόντες τὸν τύραννον, οἱ μὲν ἐπ' οἶκου παλινοστοῦσιν, οἱ δέ γε πλείους τῷ αὐτοκράτορι προσερρύησαν, πολλὰ πρότερον ὁμωμοκότες καὶ καθ' ἱερῶν τὰ πιστὰ δόντες, ὥστε σὺν ἀλλήλοις καὶ μετ' ἀλλήλων ἐπὶ τοῖς τοῦ τυραννεύσαντος ἀποθανεῖν ὀφθαλμοῖς, ἀλλὰ τηνικαῦτα τῷ δέει παγέντες ἐλάχιστα τῆς συνωμοσίας ἐμέμνηντο. Εἷς δὲ τῶν πάντων, συστρατιώτης ἄνωθεν τῷ τυράννῳ, Ἰωάννης τὸ ὄνομα, τὴν προσηγορίαν Βατάτζης, ἀνὴρ κατά [2] τε σώματος φύσιν καὶ χειρῶν ἀκμὴν τοῖς θρυλλουμένοις ἐκείνοις ἐφάμιλλος ἥρωσι, μέχρι παντὸς παραμεμενήκει [3] τῷ τυραννεύσαντι· ἀμέλει καὶ φυγόντι καὶ εἰς θεῖον καταπεφευγότι ναὸν συμπέφευγέ τε καὶ συγκατέφυγεν, ἐξὸν [4] ἐκεῖνον λιπεῖν καὶ τὰς πρώ-

1. χ. προσβάλλω. 2. χ. καὶ τὰ. 3. χ. παραμενήκει. 4. χ. ἐξ ὧν.

τας ἔχειν τιμὰς, ὁ δὲ ἀλλ' ἐν δευτέρῳ τἄλλα θέμενος τὴν ἐπὶ τοῖς ὅρκοις πίστιν οὐ διεψεύσατο. Οἱ μὲν οὖν ἕς τι τῶν ἱερῶν ἀδύτων καταπεφεύγασι, καὶ τὰ ξίφη σπασάμενοι ἠπείλουν ἀποκτενεῖν ἑαυτοὺς, εἴ τις ἐκεῖθεν σὺν βίᾳ ἀπάγειν αἱροῖτο· δι' ὅρκων[1] γοῦν τὸ πιστὸν εἰληφότες ἐκεῖθέν τε ἐξῆεσαν καὶ σφᾶς ἑαυτοὺς τῷ ἐγγυησαμένῳ παραδεδώκασιν· ἀλλ' ὁ μὲν τυραννεύσας εὐθὺς καταπεπτώκει πρὸς τὸν καιρὸν, καὶ τοῦτο μὲν ἐλεεινὰς ἀφίει φωνὰς, τοῦτο δὲ πρὸς λιπαρήσεις ἐτράπετο, καὶ τοῦτο δ' ἄλλο τι ποιῶν τῶν μὴ γενναίων ἐδείκνυτο· ὁ δέ γε Βατάτζης, οὐδὲ ἐν τοῖς δεινοῖς γεγονὼς ἐπιλέληστο τοῦ φρονήματος, ἀλλὰ σοβαράν τε αὖθις εἶλκεν ὀφρῦν καὶ γενναῖος ὤπτο πᾶσι καὶ ἀκατάπληκτος.

Ἐπὶ τούτοις ὁ αὐτοκράτωρ ἐβούλετο μὲν μηδενὶ τῶν ὅλων μνησικακῆσαι, μηδέ τι δρᾶσαι τοὺς τετολμηκότας δεινὸν, θεῷ τε τοῦτο ἐπαγγειλάμενος καὶ τὰ φρικωδέστατα ἐπαρασάμενος ἑαυτῷ, εἰ μὴ πᾶσι τοῖς ἀντάρασιν αὐτῷ χεῖρα φανείη πρᾷος καὶ ἵλεος· ἀλλ' ἐπειδὴ πρὸς τοῖς τείχεσιν οὗτοι ἐγένοντο, εὐθὺς ἐν μνήμῃ τῶν παρ' αὐτοῖς τολμηθέντων γενόμενος, οὐκ ἔτι γνωσιμαχήσας, οὐδὲ τοὺς λογισμοὺς κατασχὼν, ἀφαίρεσιν εὐθὺς τῶν ὀμμάτων καταψηφίζεται· κἀνταῦθα τοίνυν ὁ μὲν τύραννος γοερὰν ἀφῆκε φωνὴν καὶ ἀγενῶς ἑαυτὸν ἀποδύρεται, ἄτερος δὲ τοσοῦτον εἰρηκὼς, ὅτι στρατιώτην γενναῖον τὸ Ρωμαίων κράτος ἀπόλλυσιν, ἐξυπτιάζει εὐθὺς τῷ ἐδάφει καὶ γενναίως τὴν τιμωρίαν ὑφίσταται. Ἐπὶ τούτοις θρίαμβον ὁ βασιλεὺς μέγιστον τῶν πώποτε θρυλλουμένων κατάγει, καὶ μέχρι τούτου στήσας τὴν ὁρμὴν τῆς ὀργῆς, εὐμενέστατα πρὸς τοὺς ἐπιβουλεύσαντας διαλύεται.

Ὅ δέ με πρὸ τῶν ἄλλων διέλαθεν, ὅπως ἐκεῖνος ἔσχεν εὐθὺς βασιλεύσας τοῦ σώματος, ἐξ οἵας τε ἀκμῆς καὶ εὐτονωτάτης ἰσχύος εἰς ἐναντίαν ἕξιν μετήμειπτο, ὅπως τε ὥρας ἔχων ἀκριβῶς αὐτὴν μέχρι παντὸς οὐ διεσώσατο, ἀλλ' οἷα δή τις ἥλιος νέφεσι

1. χ. δι' ὅρκον.

καλυφθεὶς ἀμυδρὰν ἐδίδου τοῖς ὁρῶσι τὴν λαμπηδόνα τῆς φύσεως, ἐνταυθοῖ θήσω ἀπὸ τῶν ἐναντίων ἀρξάμενος.

Περὶ τοῦ εἴδους τοῦ βασιλέως.

Ἄγαλμα κάλλους ἐκεῖνον ἡ φύσις τῷ βίῳ παρέδωκεν, οὕτω μὲν ἐμμελῶς συναρμόσασα, οὕτω δὲ εὐρύθμως ἀποτυπώσασα, ὡς μηδένα ἔχειν ἐν τῷ καθ' ἡμᾶς χρόνῳ τὸν παρισούμενον, τῇ δὲ εὐαρμοστίᾳ καὶ εὐτονίαν ἰσχύος ἐπέθηκεν, ὥσπερ οἴκῳ καλῷ θεμελίους ὑποθεῖσα στερρούς· ταύτην δὲ τὴν ἰσχὺν οὐκ ἐν μήκεσι χειρῶν, οὐδὲ ἐν μεγέθεσι τῶν ἄλλων μερῶν ἢ μελῶν φέρουσα ἔκλεισεν, ἀλλ' ἐν καρδίας οἶμαι βάθεσι κρύψασα, ἀφῆκε τοῦ σώματος τὰ φαινόμενα, κάλλεσι μᾶλλον καὶ ῥυθμοῖς διαπρέπουσα, ἢ ἀλλοκότοις μεγέθεσιν· αἱ γάρ τοι χεῖρες αὐτῷ καὶ μάλισθ' οἱ | δάκτυλοι συμ- φ. 379.
μέτρως ἔχοντες, παρὰ τὴν συμμετρίαν τὴν ῥώμην ἐσχήκασι, καὶ οὐδὲν ἦν τι σῶμα τῶν ἀδροτέρων[1] καὶ στεγανῶν, ὃ μὴ ῥᾷστα ταῖς ἐκείνου χερσὶ συσφιγγόμενον διεθρύπτετο· εἰ δ' ἀποθλῖψαι πῆχύν τινος αἱροῖτο, πολλῶν ἐκεῖνος ἡμερῶν ἐδεῖτο πρὸς ἴασιν· φασὶ γοῦν αὐτὸν ἱππάσασθαι κάλλιστα, καὶ δρομικώτατον ἀνθρώπων γενέσθαι, εὔστροφόν[2] τε καὶ κοῦφον καὶ ὅλως πρὸς τὸν πένταθλον ἀπαράμιλλον· ἰσχύος μὲν δὴ οὕτως εἶχε καὶ σώματος εὐκινησίας καὶ ποδῶν ὠκύτητος. Τὸ δὲ κάλλος αὐτῷ ὁποῖον τοῦ Ἀχιλλέως ἢ τοῦ Νηρέως ἀκούομεν· ἀλλ' ἐκείνους μὲν ἡ ποιητικὴ γλῶσσα ἐκ πάσης ὥρας τὸ σῶμα ἐπ' ἐξουσίας συμπλάσασα μόλις ἐξήρκεσε, τοῦτον δὲ ἡ φύσις ὡς ἀληθῶς πλάσασά τε καὶ ἀποξέσασα, καὶ ὥσπερ αὐτέχνως τορεύσασα[3] καὶ καλλύνασα τῇ καθ' ἑαυτὴν εὐτεχνίᾳ τὴν μαγικὴν ἀγωνίαν ὑπερεβάλλετο· ἐπεὶ δὲ ἕκαστα τῶν ἐκείνου μελῶν ἀνάλογα πρὸς τὸ ὅλον σῶμα πεποίηκε, κεφαλὴν καὶ ὅσα μετ' ἐκείνην εὐθύς, χεῖράς τε καὶ ὅσα δὴ μετὰ ταύτας, μηρούς τε

1. χ. ἀνδροτέρων. 2. χ. εὔτροφον. 3. χ. τὸ ῥεύσασα.

καὶ πόδας, ἑκάστοις ἢ ἑκάστῳ τὰ προσήκοντα καταχεαμένη χρώματα, τὴν μὲν κεφαλὴν ἡλιῶσαν ἀπέδειξε καὶ πυρσήν, τὸ δ' ὅσον ἐν στήθεσι καὶ γαστρὶ ἄχρι ποδῶν καὶ τοῖς ἀντιθέτοις μέρεσιν, τῆς ἀκραιφνεστάτης λευκότητος ὁπόσα δὴ μέτρα λαβοῦσα ἀπέδειξεν ἔμπλεων· καὶ εἴ τις δὴ ἐκεῖνον ἀκριβῶς ἠρεῖτο ὁρᾶν, ὁπότε δὴ ἀκμαίως εἶχε καὶ οὕπω αὐτῷ τὰ μέρη παρείθησαν, κάλλεσι μὲν ἂν ἡλίου τὴν κεφαλὴν εἴκασεν, οἷα δή τισιν ἀκτῖσι ταῖς θριξὶ διαλάμπουσαν, κρυστάλλῳ δὲ τὸ λοιπὸν σῶμα τῷ καθαρωτάτῳ καὶ διαυγεῖ· ἐρρύθμιστο δὲ καὶ πρὸς ἐμμελὲς ἦθος, ἥ τε γὰρ γλῶσσα τούτῳ ἀστεῖον εἶχε τὸ φθέγμα [1] καὶ ὁμιλοῦντι θέλγη προσείπετο, εἰ δέ γε προσμειδιάσειε, χαρίτων εὐθὺς εἶδες ἀκήρατα θήρατρα.

Περὶ τῆς ἀρρωστίας τοῦ βασιλέως.

Τοῦτο μὲν οὖν τὸ κάλλος καὶ βασιλεύσας ὁ αὐτοκράτωρ ἐκέκτητο· οὔπω δὲ χρόνος ἐνιαύσιος προβεβήκει, καὶ ἡ κοσμοῦσα τοῦτον φύσις πρὸς τοσοῦτον θαῦμα καὶ ἡδονὴν οἷον μὴ ἐξαρκέσασα, ἀλλ' ἐνδοῦσα καὶ ἀτονήσασα, τήν τε ἰσχὺν ἐκείνῳ καθεῖλε καὶ τὴν ὥραν διεσώσατο· αὐτίκα γοῦν αἱ τοῦ σώματος ἀρχαὶ, λέγω δὲ τὰς στοιχειώδεις συστάσεις, διαλυθεῖσαι καὶ συγχυθεῖσαι, καὶ νῦν περὶ τοὺς πόδας καὶ τὰ κοῖλα τῶν ἄρθρων, νῦν δὲ ἐπὶ τὰς χεῖρας συναπορρέουσαι, αὖθις δὲ αὐτούς τε τοὺς τένοντας καὶ τὰ περὶ τὸν νῶτον ὀστᾶ κατακλύζουσαι, ὥσπέρ τινα φροντίδα [2] ἰσχυρῶς ἐξ ἀρχῆς ἐχουσαν ῥεύματα ξυνερρυηκότα διέσεισαν.

Ἤρξατο μὲν οὖν τὸ κακὸν οὐκ ἀθρόον εὐθὺς, ἀλλ' οἱ πόδες πρότερον τὴν τῶν ῥευμάτων ῥύμην ὑπήνεγκαν· καὶ αὐτίκα κλινήρης τε ἐγεγόνει, καὶ εἴ πού τις ἀνάγκη βαδίζειν, οἷον ἑτεροκίνητος. Καὶ ἦν τοῦτο κύκλος τις καὶ περίοδος, καὶ ἐδόκει τὸ ῥεῦμα ἐν τοῖς

1. χ. φέγμα. 2. γρ. φορτίδα.

αὐτοῖς ἀριθμοῖς ἡμερῶν καταβαίνειν, καὶ ἠρίθμητο ἡ ἀκινησία, εἶτα δὴ καὶ ὑπεδίδου τὰ διαστήματα, καὶ οὐ μακρὰ ἐγεγόνει τὰ διαλείμματα· καὶ τούτων οὕτω γιγνομένων ἐκ τοῦ σχεδὸν ἐπὶ τὰς χεῖρας τὸ ῥεῦμα ἠλαύνετο, καὶ αὖθις ἐπ' ὤμους ὥσπερ ἀνάρρουν ποιούμενον, καὶ τέλος ἅπαν τὸ σῶμα συγκατειλήφει· ἔνθεν τοι ἅπαν αὐτῷ μέλος τῷ δεινῷ ἐκείνῳ κατακλυζόμενον [1] ῥεύματι ἀφῃρητο τὴν ἐνέργειαν, τῶν τεινῶν [2] αὐτῷ καὶ τῶν συνδέσμων διασπασθέντων, τὰ μέλη τῆς ἁρμονίας μετέστησαν, οἷς ἀρρυθμίαι καὶ ἀτονίαι συνείποντο· καὶ εἶδον ἐγὼ τοὺς εὐφυεῖς ἐκείνῳ δακτύλους ἀπαρνησαμένους μὲν τὸ οἰκεῖον σχῆμα, ἀντικαμφθέντας δὲ [εἰς] εἰσοχάς τε καὶ ἐξοχάς, ὡς μηδὲ τοῦ τυχόντος περιδράττεσθαι δύνασθαι· τῶν δὲ ποδῶν αὐτῷ συγκαμφθέντων [3], ὥς πέρ τι ὠλέκρανον τὸ γόνυ [4] ἐξώγκωτο· ἔνθεν τοι οὐδὲ στάσιμον εἶχε τὴν βάσιν, οὔθ' ὅλως ἐξώρθωτο, ἀλλὰ κλινοπετὴς τὰ πολλὰ ἦν, ὁπότε δὲ χρηματίζειν αἱροῖτο, ξυναρμοζόμενός τε καὶ ξυμπλαττόμενος. Ἀποδιδόναι δὲ τὰς βασιλείους πομπὰς ὡς ἀπαραίτητά τινα χρέα τοῖς πολίταις βουλόμενος, ἐνταυθοῖ καὶ μάλιστα ἐσχετλίαζεν· ἀλλ' οὖν τέχνη τις ἱππικὴ ἐκεῖνον τῇ ἕδρᾳ συνήρμοζε καὶ συνέπλαττεν· εἶτα ἐπειδὴ ἐπιβαίη τοῦ ἵππου, μόλις δὲ οὗτος ἀνέπνει, καὶ ὁ χαλινὸς περιττός· ὀχηθέντα γοῦν ἱπποκόμοι τινὲς εὐμήκεις τε καὶ στερροὶ ἀντήρειδον ἑκατέρωθεν, καὶ οὕτω διαβαστάζοντες τοῦτον καὶ ἀντιβαστάζοντες ὥσπερ τινὰ φόρτον, οὗ κατασκηνοῦν ἔμελλεν ἀπεκόμιζον. Ὁ δὲ ἄρα καὶ ἐν τούτοις ὢν τοῖς δεινοῖς, οὐ πάνυ τι τοῦ συνήθους ἐπιλέληστο ἤθους, ἀλλὰ τήν τε ὄψιν χαριέστατα διετίθει, καὶ τότε δὴ μόνος μετεκινεῖτο καὶ μετετίθετο, ὡς τοὺς ὁρῶντας μὴ πάνυ πείθεσθαι ὡς ἐκεῖνος ἀλγοίη ἢ παρειμένος ἔχοι τοῦ σώματος. Τὰ μὲν ταῖς πομπαῖς αὐτῷ τοιαῦτα, καὶ οἱ λίθοι τῶν ἐδάφων ἀπεστρώννυντο ἵνα δὴ μὴ ὀλισθαίνοι περὶ ταῖς πλαξὶν ὁ ἵππος αὐτῷ· ἐν δέ γε τοῖς ἀδύτοις, ἀχθοφορούμενος τούς τε βασιλείους

1. χ. κατακλυζόμενος. 2. γρ. τενόντων. 3. χ. συγκαφθέντων. 4. χ. γῶνυ.

διήμειβε καὶ μετεκόμιστο ὅπη βούλοιτο· εἰ δὲ ἐπιβάλοι τὸ ῥεῦμα, παπαὶ τῶν ἀλγηδόνων ἐκείνων!

Ἐγὼ δὲ καὶ ξυγγράφων τοῦτον ἔτι τὸν ἄνδρα ὑπερεκπέπληγμαι, ὅπως τηνικαῦτα ἐξήρκει τοσαύταις περιωδυνίαις βαλλόμενος· πάρεσις γὰρ ἐπὶ παρέσει τοῦτον εὐθὺς κατελάμβανε, καὶ κατεδαπάνα μὲν τὸ λειπόμενον τῶν σαρκῶν, ἐξήρθρου δὲ παντάπασι τὸ ἔτι ἐχόμενον. Οὐκ εἶχε δὲ ἐφ' ὅτῳ σχηματισθεὶς ἀποχρώντως ἐπαναπαυθείη τῇ κλίνῃ, ἀλλὰ πᾶσα θέσις τούτῳ ἀντίθετος· ὅθεν οἱ κατευναστῆρες, συνερείδοντες καὶ ἀντερείδοντες αὐτῷ τὸ σωμάτιον, μόλις που τῆς ἀναπαυούσης ῥοπῆς ἐπετύγχανον, εἶτα δὴ συνήρμοζον καὶ ἐπεῖχον ἀντιοικοδομοῦντες[1] καὶ ἀντιτεχνόμενοι[2] τοῦτον, ὅπως ἂν ἐπὶ τοῦ σχήματος ἐκείνου στηρίζοιτο· τῷ δὲ ἦν ἀλγεινὸν οὐ τὸ μετατίθεσθαι μόνον, ἀλλὰ καὶ ἡ γλῶττα ἄχθος ἐκείνῳ ὁμιλοῦσα[3] ἐδίδου, καὶ ἡ τῶν ὀφθαλμῶν νεῦσις[4] μετεκίνει τὸ ῥεῦμα, ὅθεν παντάπασιν ἑαυτὸν ἀκίνητον ἐδίδου καὶ ἀρρεπῆ. Λέγω δὲ ἐν τούτοις διατεινόμενος καὶ θεὸν τοῦ λόγου ποιούμενος μάρτυρα, ὅτι τοσούτοις κακοῖς διαντλούμενός τε καὶ κυμαινόμενος καὶ οὕτως ἀθλίως ἔχων παντάπασιν, οὐδέποτε βλάσφημον πρὸς θεὸν ἀφῆκε φωνὴν, ἀλλὰ καὶ εἴ τινα αἴσθοιτο ἐπὶ τοῖς ἐκείνου δεινοῖς δυσχεραίνοντα αὐστηροτέροις τοῦτον ἀπεπέμπετο ῥήμασιν, ἑαυτῷ δὲ | καταδίκην ἐπιβεβλῆσθαι τὴν συμφορὰν ἀπεφαίνετο, μᾶλλον δὲ χαλινὸν ταύτην τῆς ἰδίας κατωνόμαζε φύσεως· ἐδεδίει γὰρ τὰς οἰκείας ὁρμὰς, καὶ « ἐπειδὴ, φησὶ, μὴ λογισμῷ εἴκουσιν, ὑποχωροῦσι τοῖς τοῦ σώματος ἀλγεινοῖς, καὶ ταλαιπωρεῖται μέν μου τὸ σῶμα, αἱ δὲ ἄτακτοι τῆς ψυχῆς πεπήγασιν ἔννοιαι ». Οὕτως ἐκεῖνος ἐφιλοσόφει περὶ τὸ πάθος· καὶ εἴ τις ἐκείνων τῶν ἄλλων ἀφεὶς ἐπὶ τούτου καταθεωρήσει τοῦ μέρους, θεῖον ὡς ἀληθῶς ἄνδρα κατονομάσειε.

φ. 380.

Τῷ δέ τι καὶ ἄλλο[5] προσῆν ἀγαθὸν, ἐμοὶ μὲν οὐκ ἐν ἅπασιν

1. γρ. ἀντοικοδομοῦντες. 2. γρ. ἀντιτεχνώμενοι. 3. χ. ὁμιλλοῦσα. 4. χ. νεύσεις. 5. χ. ἄλλῳ.

ἐπαινούμενον, ἐκείνῳ δὲ διαφερόντως τιμώμενον, διαιτήσοι δὲ ὁ βουλόμενος· ἀφυλάκτως ἑαυτοῦ παντάπασιν εἶχε· κοιμωμένῳ μὲν οὔτε θύραι ἐπεζυγοῦντο, οὔτέ τις ἐκτὸς ἐπηγρύπνει[1] φρουρά· πολλάκις γοῦν καὶ οἱ κατευνάζοντες ἀπήεσαν ξύμπαντες, καὶ παρώδευέ τις αὐτὸν ῥᾷστα καὶ αὖθις ἀντιπαρήει, μηδὲν[2] τὴν πάροδον ἐκείνῳ κωλύοντος· εἴ τις γοῦν τὸ ἀνειμένον αὐτῷ ἐνταυθοῖ προσωνείδισεν, οὔτε ἠνιᾶτο, καὶ ὡς νοσῶν περὶ τὸ θεῖον τοὺς λογισμοὺς ἀπεπέμπετο· ἐβούλετο δὲ ὁ λόγος, ὡς παρὰ τοῦ θεοῦ βασιλεύοι καὶ παρ' ἐκείνου μόνου φυλάττοιτο, καὶ ὅτι τῆς τελεωτέρας φρουρᾶς τετυχηκὼς, τῆς ἀνθρωπικῆς καὶ ἀτελεστέρας καταφρονοίη. Ἐγὼ γοῦν πολλάκις τοὺς ἡσπερνήτους[3] καὶ οἰκοδόμους ἀντιπαραθεὶς, καὶ τελευτῶν τοὺς λοχαγοὺς καὶ στρατηγοὺς, οὐδεὶς μὲν οὖν τούτων ἔφασκον τῶν πρὸς θεὸν ἐλπίδων ἔρημος τὸ οἰκεῖον ἔργον μεταχειρίζεται, ἀλλ' ὅμως ὁ μὲν πρὸς κανόνα ἰσάζοι τὸ οἰκοδόμημα, ὁ δὲ τοῖς πηδαλίοις ἰθύνοι τὴν ναῦ, καὶ τῶν ἐν τοῖς πολέμοις ἕκαστος ἀσπίδα τε φέρει καὶ ξιφηφορεῖ, καὶ τῇ μὲν κεφαλῇ κράνος ἀρκεῖ, τὸ δὲ λοιπὸν σῶμα ὁ θῶραξ ἀμπέχει· εἶτα δὴ ἀπὸ τοῦδε μᾶλλον ἐπιχειρῶν, ὅτι τάδε μᾶλλον πρέπει τῷ βασιλεῖ, οὐκ ἔπειθον παντοίως ἐπιχειρῶν· τοῦτο δὲ χρηστὸν μὲν τρόπον κατηγορεῖ, ἐνδόσιμον δὲ τοῖς ἐπιχειρεῖν ἐθέλουσι γίγνεται.

Περὶ τῆς εἰς τὸν βασιλέα ἐπιβουλῆς.

Ἀμέλει καὶ πλείστων τοῦτο καινῶν[4] ἐγεγόνει ἀρχὴ, ὧν ἓν ἦ δύο θέμενος, ἐντεῦθεν καὶ περὶ τῶν ἄλλων εἰκάζειν τοῖς ἀναγινώσκουσι δίδωμι· ἐρῶ δὲ βραχύ τι τῆς ὑποθέσεως παρεκβατικώτερον· ὅτι ταῖς μὲν εὖ πραττούσαις πόλεσιν ἐκ τῶν ἀρίστων καὶ τῶν εὐγενῶν τε ἅμα καὶ ἀγενῶν οἱ κατάλογοι, κἂν ταῖς πολιτικαῖς

1. χ. ἐπεγρύπνει. 2. γρ. μηδενὸς. 3. γρ. κυβερνήτας. 4. γρ. κακῶν.

τάξεσι, κἂν τοῖς στρατεύμασιν· οὕτω γοῦν Ἀθηναῖοι ἐπολιτεύσαντο καὶ ὁπόσαι πόλεις τὴν ἐκείνων δημοκρατίαν [1] ἐζήλωσαν, παρ' ἡμῖν δὲ τουτὶ τὸ καλὸν ἔρριπται καὶ ἠτίμασται, καὶ λόγος οὐδεὶς εὐγενείας, ἀλλ' ἄνωθεν ἐκ κλήρου διαδοχῆς, Ρωμύλου πρώτου ἀρξαμένου τῆς τοιαύτης συγχύσεως, ἥ τε [2] σύγκλητος διέφθαρτο, καὶ ὁ βουλόμενος ἐστὶ δημοποίητος. Ἀμέλει πλείους ἂν εὕροι τις παρ' ἡμῖν σισυροφόρους τὴν στολὴν μεταλλάξαντας· ἄρχουσι γοῦν πολλάκις ἡμῶν οὓς ἐκ τῶν βαρβάρων ἐωνησάμεθα, καὶ τὰς μεγάλας πιστεύονται δυνάμεις οὐ Περικλεῖς, οὐδὲ Θεμιστοκλεῖς, ἀλλ' οἱ ἀτιμότατοι [3] Σπάρτακοι. Καὶ γέγονέ τις ἐν τῇ κατ' ἐμὲ ἡλικίᾳ, κάθαρμά τι βαρβαρικὸν, πᾶσαν ὑπεραναβεβηκὼς ἀγερωχίαν Ρωμαϊκὴν, εἰς ὕψος δὲ τοσοῦτον ἐλάσας ὥς τινας καὶ τῶν γενομένων αὐτοκρατόρων αἰκίσασθαι πρότερον δι' ὑπεροψίαν δυνάμεως, εἶτα ἐπειδή περ εἰς τὸ κράτος ἀνήχθησαν, μεγαλαυχεῖν τοῦτον πρὸς ἑνίους, ὅτι τοὺς βασιλέας [4] Ρωμαίων ταύτῃ τῇ χειρὶ πολλάκις τετύπτηκα (τὴν δεξιὰν ἐπιδεικνύς)· πρὸς ταύτην οὖν ἐγὼ τὴν φωνὴν ἅπαξ δεινοπαθήσας, μικροῦ δεῖν τὸν μεγάλαυχον ἐκεῖνον βάρβαρον ταῖν χεροῖν ἀπηγχόνισα, οὐκ ἐνεγκὼν τὴν τοῦ λόγου πληγήν.

Τούτου δή τι οὐκ ἔλαττον μίασμα οὐ πολλῷ πρότερον τὸ τῆς παρ' ἡμῖν συγκλήτου κατέχρανεν εὐγενὲς, πρῶτον μὲν τῷ αὐτοκράτορι ὑπηρετηκὸς, ἔπειτα δὴ τοῖς ἐν τέλει παρεισφθαρὲν καὶ εἰς τὴν κρείττονα τάξιν ἀριθμηθὲν, ἀνὴρ καὶ τὸ γένος, ὥς μοι δεδήλωται, ἄσημος, καὶ εἴ τι ἄλλο τις εἰπεῖν βούλοιτο, ἀγενέστατος καὶ φαυλότατος· ἀλλ' ἐπειδὴ τῶν παρὰ Ρωμαίοις ποτίμων νομάτων ἐγεύσατο, δεινὸν ἄλλως πεποίηται, εἰ μὴ καὶ τῆς πηγῆς ἐγκρατὴς γένοιτο, καὶ βασιλεύσοι τῶν εὐγενεστάτων Ρωμαίων ὁ ἀργυρώνητος! Τοῦτο τοιγαροῦν εἰς νοῦν ὁ ἀγενὴς ἐκεῖνος βαλλόμενος, ἕρμαιον πρὸς τὸν σκοπὸν τὸ τοῦ αὐτοκράτορος ποιεῖται ἀτεί-

1. χ. δημοκράτιαν. 2. χ. ἥτις. 3. χ. ἀτιμώτατοι. 4. χ. βασιλίας.

χιστον, καὶ μηδενὶ τῶν γενναιοτέρων φράσας τὸ μελετώμενον, ἀπραγμάτευτον τὴν ἐπιτυχίαν ποιεῖται τοῦ ἐφετοῦ· καὶ ἀπὸ τοῦ θεάτρου εἰς τὰ ἀνάκτορα τὴν πομπὴν ποιουμένῳ τῷ αὐτοκράτορι, τοῖς ὀπισθοφυλακοῦσιν ἑαυτὸν συντάξας συνείπετο, καὶ τῶν βασιλικῶν ἀδύτων ἐντὸς γεγονὼς αὐτοῦ που παρὰ τοῖς ὀπτανείοις [1] ἐνήδρευε, παντὸς οἰομένου τοῦ προστυγχάνοντος ὅτι τοι ὁ βασιλεὺς αὐτῷ τὴν προσεδρείαν εἰρήκει, καὶ διὰ ταῦτα οὐδεὶς τῶν πάντων τῶν βασιλείων τοῦτον ἔξωσεν αὐλῶν. Ἔμελλε δ' οὖν, ὡς ὕστερον τὸ ἀπόρρητον τῆς ψυχῆς ἐξεταζόμενος ἀνεκάλυψεν, ὑπνώττοντι τῷ βασιλεῖ ἐπιθήσεσθαι καὶ σιδήρῳ ἀποκτενεῖν [2], ὃ δὴ καὶ ὑπὸ κόλπον [3] εἶχε, [καὶ] τὸ κράτος εἰς ἑαυτὸν μεταθέσθαι. Τοῦτο γοῦν βουλευσάμενος, ἐπειδή περ ὁ βασιλεὺς ἀνεπαύσατο [4], ἐκκείμενος πᾶσιν ὡς μοι προείρηται, ὁ τολμητίας ἐπὶ τὸ ἔργον χωρεῖ· βραχὺ δέ τι προεληλυθὼς πλανᾶται τὰς γνώμας, καὶ σκοτοδίνης καὶ ἰλίγγου [5] πεπλήρωται, καὶ τῇδε κακεῖσε περιθέων ἁλίσκεται. Καὶ ὁ βασιλεὺς τὸν ὕπνον εὐθὺς ἀποσυληθείς, τῶν φυλάκων ἤδη συνειλεγμένων καὶ πικρῶς ἐξεταζόντων τὸν βάρβαρον, ἐν δεινῷ μὲν ποιεῖται τὴν τόλμαν καὶ βαρυθυμεῖ ὡς εἰκὸς, εἰ τοιοῦτος ἀνὴρ βασιλέως κατεπεφρόνηκε. Καὶ τοῦτον μὲν εὐθὺς δεσμώτην ποιεῖται, εἰς τὴν αὔριον δὲ ἐξεταστὴς αὐτῷ πικρότατος περὶ τοῦ τολμήματος κάθηται, καὶ ἀνακρίνει, εἰ συνωμότας [6] πρὸς τὴν ἐπιβουλὴν ἔσχηκεν, εἰ προηγήσατό τις τούτου τοῦ σκέμματος, εἰ προεβεβούλευκέ τις τὴν τόλμαν αὐτῷ· ὡς δ' οὐδὲν ὑγιὲς πρὸς τὰς ἐν λόγοις ἀνακρίσεις ἀπήγγειλε, βασάνοις αὐτὸν πικροτάταις αἰκίζεται, καὶ γυμνὸν ἐπὶ ξύλου μετεωρίσας ἀπὸ θατέρου ποδῶν ἡμιθανῆ ποιεῖται ταῖς μάστιξιν, ὑφ' ὧν | ἐκεῖνος, ὡς οἶμαι, συμπιεζόμενος καταγγέλλει τῶν φ. 381.
ἐν τέλει τινὰς ὡς κοινωνοὺς τοῦ τολμήματος, καὶ γεγόνασι πάρεργον βαρβαρικῆς ἀλογίας ἄνδρες ἐννομώτατοι καὶ ἀσφαλέστατοι·

1. χ. ὀπτανείοις. 2. χ. ἀποκτενεῖ. 3. χ. κόλπων. 4. χ. ἀναπαύσετο. 5. χ. ἰλίγκου. 6. εἰς συνωμότας.

ἀλλ' ὅ γε μετὰ ταῦτα χρόνος ἐκεῖνον μὲν τοῖς ἀτιμοτάτοις ἔτι συναριθμεῖ, τούτους δὲ ἐς τὴν ἀρχαίαν τάξιν ἐπανεσώσατο.

Ὁ δέ γε αὐτοκράτωρ βραχύν τινα χρόνον τῆς τοῦ σώματος ἐπιμεληθεὶς φυλακῆς, αὖθις ἠμέλησε τῆς φρουρᾶς, ὅθεν μικροῦ δεῖν αὐτός τε ἀνήρπαστο καὶ ἡ πόλις ἐν κλύδωνι ἐγεγόνει καὶ δεινῷ μείζονι· δηλώσει δὲ ὁ λόγος ὅθεν τε ἤρξατο τὸ κακὸν καὶ ἐφ' ὅσον κεχώρηκε, καὶ ὅπως ἀτυχήσας ὁ βασιλεὺς παρ' ἐλπίδας αὖθις εὐτύχηκεν. Ἱλαρὰν εἶχεν ὁ αὐτοκράτωρ πρὸς πᾶσαν παιδιὰν τὴν ψυχὴν καὶ ἐβούλετο ψυχαγωγεῖσθαι ἀεί, παρεμυθεῖτο δὲ τοῦτον οὔτε ὀργάνου φωνὴ, οὔτε ἦχος αὐλῶν, οὐ φωνὴ ἐμμελὴς, οὐκ ὀρχήματα, οὐχ ὑπορχήματα, οὐδέ τι ἄλλο τῶν οὕτως ἐχόντων· εἰ δέ τῳ ἡ γλῶττα ἐδέδετο φυσικῶς καὶ ὀρθοεπεῖν οὐκ ἠδύνατο, ἢ εἴ τις ἕτερος ἁπλῶς ἐφλυάρει τὸ ἐπιὸν ἅπαν φλεγόμενος [1], ταῦτα ἐκεῖνον ὑπερφυῶς ἡδύφρανεν, καὶ ὅλως τὸ διημαρτημένον τῆς παιδιᾶς τοῦτο ἐκεῖνος ἐτίθετο σπούδασμα. Ἀμέλει καὶ ἐπεχωρίαζε τηνικαῦτα ἐντὸς τῆς βασιλείου αὐλῆς τοιοῦτόν τι ἡμίφωνον κάθαρμα, ἣ [2] γὰρ ἐπείχετο παντάπασιν ὁμιλοῦντι ἡ γλῶσσα, ἢ διωλίσθαινε κατατείνοντι· ὁ δὲ ἀνὴρ οὗτος καὶ προστιθεὶς τῷ τῆς φύσεως ἁμαρτήματι, εἰς ταὐτὸν τὸν λόγον τῇ ἀφωνίᾳ συνήλαυνεν· ἀνεπαίσθητος γὰρ ἐν ἀμφοῖν [3] ὧν εἰπεῖν βούλοιτο ὁ ἀκροατὴς ἦν.

Τοῦτον πρῶτα μὲν ἀφελῶς εἶδεν ὁ αὐτοκράτωρ, καὶ παρεγίγνετο ἐκ διαστημάτων μακρῶν μετὰ τὸ κατὰ χειρὸς ὕδωρ, εἶτα οἷς [4] ἐκεῖνος, θερμότερος ἐγεγόνει περὶ τὴν ἡδονὴν τῆς φλυαρίας, καὶ πρὸς τιθεὶς ἀκόρεστος ἦν τῆς τοῦ ἀνδρὸς ἐντυχίας· ὅθεν οὐδ' εἶχεν αὐτῷ καιρὸν ἡ παιδιὰ, ἀλλὰ καὶ χρηματίζοντι καὶ ἀρχαιρεσιάζοντι καὶ ἄλλο τι τῶν κοινῶν πράττοντι, συνῆν [5] ἐκεῖνος, τὴν φυσικὴν ἁμαρτίαν ἐπιδεικνύμενος [6] καὶ τὴν τέχνην ὑποκρινόμενος. Ἀμέλει τοι καὶ πλάττει τὸν ἄνθρωπον, ἢ ἀναπλάττει ἀπὸ τοῦ κρείτ-

1. γρ. φθεγγόμενος. 2. γρ. οἳ. 3. χ. ἀμφοῖς. 4. γρ. οἷος. 5. χ. συνῆσε. 6. χ. ἐπεδεικνύμενος.

τονος χώματος, καὶ ἀπὸ τῶν τριόδων εἰς τὸν Ρωμαϊκὸν μεθιστᾷ ἄξονα, καὶ τοὺς ἐντίμους αὐτῷ σχεδιάσας βαθμοὺς μετὰ τῶν κορυφαίων ἱστᾷ, καὶ ἁπανταχοῦ τὸν ἄνδρα ποιεῖ, καὶ τὰ πρῶτα τῶν σωματοφυλάκων χειροτονεῖ. Ὃς δὴ τὸ ἀπραγμάτευτον αὐτῷ τῆς γνώμης ἐπιδεικνύμενος, οὐδ' ἐν καιρῷ προήει τῷ αὐτοκράτορι, ἀλλ' ὁπότε ἡ γνώμη τούτῳ παρεκελεύσατο· ἐφίλησε γοῦν προσελθὼν καὶ στῆθος καὶ πρόσωπον, καὶ προσεφθέγξατο μὴ φθεγξάμενον, καὶ διαχέας εἰς γέλωτα ἐπὶ τῆς αὐτῆς καθῆστο κλίνης, καὶ τὰς πεπονηκυίας τοῦ κρατοῦντος χεῖρας συσφίγξας ἤλγυνεν ὁμοῦ τε καὶ ἔθελξεν. Ἐγὼ γοῦν οὐκ εἶχον τίνα θαυμάσαιμι πρότερον, τὸν ἄνδρα τοῦτον μεταποιηθέντα πρὸς τὴν τοῦ βασιλέως γνώμην τε καὶ προαίρεσιν, ἢ τὸν αὐτοκράτορα πρὸς τοῦτον μεθαρμοσάμενον τὴν ψυχήν· ἄτερος γὰρ θατέρου ἐνδόσιμος ἐγεγόνει καὶ ἁλωτός· καὶ ὃ [3] μὲν αὐτοκράτωρ ἐβούλετο ὁ ὑποκριτὴς ἔπραττεν, ὃ δὲ οὗτος ἔπραττεν ἐκεῖνος ἐβούλετο. Τὰ γοῦν πολλὰ καὶ συνιεὶς ὁ αὐτοκράτωρ τῆς ὑποκρίσεως, ὅμως ἠγάπα παρ' ἐκείνου παιζόμενος· ἔνθεν τοι καὶ κατετρύφα τῆς τοῦ κρατοῦντος ἀβελτηρίας ὁ σκηνουργός, καὶ ἄλλο τι ἐπ' ἄλλῳ ἐπλάττετο πρὸς τὸ εὔηθες ἐκείνῳ οἰκείως συναρμοζόμενον.

Ἀμέλει ὁ μὲν βασιλεὺς οὐδὲ τὸ ἀκαριαῖον τῆς ἐκείνου συνουσίας ἀπολελεῖφθαι ἐβούλετο, ὁ δὲ δυσχεραίνων τὴν προσεδρείαν, ἠγάπα τὰς ἐλευθέρους διατριβάς· ἅπαξ γοῦν ἵππον ἀπολωλεκὼς τῶν πρὸς τὴν σφαῖραν ἐπιτηδείων, ἐπειδή περ ἀγχοῦ τῷ βασιλεῖ συνεκάθευδεν, ἀθρόον ἐξαναστὰς μέσης νυκτὸς ἐκεῖνόν τε ὑπνώττοντα ἤγειρεν, καὶ ἑαυτὸν κατασχεῖν οὐχ οἷός τε ἦν ἐνθουσιῶντα ὑφ' ἡδονῆς· ὁ δὲ βασιλεὺς μηδέν τι πρὸς τὴν ἀνάστασιν δυσχεράνας, ἠρωτήκει ὅ,τι πεπόνθοι καὶ ὁπόθεν [2] αὐτῷ προσεγεγόνει τὸ σκίρτημα· ὁ δὲ περιπτυχήσας αὐτοῦ τὸν αὐχένα καὶ πολλὰ καταφιλήσας τὸ πρόσωπον, « εὕρηταί μοι, φησὶν, ὦ βασιλεῦ [3], ὁ ἀπο-

1. χ. ὁ. 2. χ. ὁπῶθεν. 3. χ. βασιλεῦς.

λωλὼς ἵππος, ἐκτομίας δέ τις αὐτὸν ἐποχεῖται, ἔξωρος ἤδη καὶ ῥυτίδων ἀνάπλεως, καὶ εἴ γε βούλει[1], νῦν ἐντεῦθεν ἀφιππευσάμενος αὐτόν σοι μετὰ τοῦ σχήματος κομιοῦμαι. » Ἐπὶ τούτοις ἡδέως πάνυ γελάσας ὁ βασιλεὺς, « ἀλλ' ἀφίημί σε, φησὶ, σὺ δὲ ὡς τάχιστά μοι ἐπάνελθε ἐπαγγελλόμενος τῷ εὑρήματι. » Ἀπῄει γοῦν αὐτίκα ταῖς συγκειμέναις χρησόμενος ἡδοναῖς· καὶ ἐπειδὴ τέλος εἶχεν αὐτῷ τὰ συσσίτια, ἧκεν ἑσπέρας ἀσθμαίνων καὶ πνευστιῶν, καί τινα ἐκτομίαν ἐπισυρόμενος· « οὗτος γοῦν ἔφησεν, ὦ βασιλεῦ, ὁ τὸν ἐμὸν ἐπελαύνων[2] ἵππον· ὁ δὲ ἔχων οὐ δίδωσιν, ἀλλὰ μηδὲν τὴν ἀρχὴν αὐτὸν κεκλοφέναι ἐπόμνυται. » Ἐπὶ τούτοις ὁ μὲν γέρων ἐκεῖνος ἐῴκει δακρύοντι καὶ ἀπορουμένῳ πρὸς τὴν ἐπήρειαν, ὁ δὲ βασιλεὺς οὐκ εἶχεν ὅπως ἐπισχήσει τὸν γέλωτα. Τὸν μὲν οὖν παρεμυθήσατο ἑτέρῳ ἵππῳ καλλίονι, τῷ δέ γε ἐκτομίᾳ τὸ πεπλασμένον ἀπέσβεσε δάκρυον, τοσαῦτα δοὺς ὁπόσα οὐδ' ὄναρ αὐτὸς προσεδόκησεν· ἦν δ' ἄρα οὗτος τῶν[3] μάλιστα θεραπευόντων τὸν ἄνδρα τῆς ὑποκρίσεως, καὶ ὃν ὁ τεθεραπευμένος ἐβούλετο βασιλικῆς πρὸ πολλοῦ φιλοτιμίας τυχεῖν, ἐπεὶ δ' οὐκ εἶχεν ὅπως ὑπὲρ ἀγνῶτος ἀνδρὸς ἀξιώσει τὸν αὐτοκράτορα, τήν τε σκηνὴν τοῦ ὀνείρατος πλάττεται, κἀκεῖνον πάρεργον ποιεῖται τοῦ ἀνδρὸς ψευδοῦς τε ἐνυπνίου καὶ παχυτέρας ψυχῆς. Τὸ δέ γε δεινότερον, ὅτι πάντες μὲν ἤδειμεν[4] τὴν ὑπόκρισιν, ἐλέγχειν δὲ τὴν ὑπόκρισιν πολλοῦ δὲ καὶ δεῖ, βασιλικῆς τε ἀλογίας καὶ ὑποκρίσεως ἐκκειμένης ἐτυγχάνομεν ὄντες θηράματα, καὶ γελᾶν ἠναγκάσμεθα ἐφ' οἷς ὁ καιρὸς ἐδίδου θρηνεῖν· καὶ εἴ γε μὴ σπουδαίων ἐπηγγειλάμην ἀναγραφὴν, ἀλλὰ φλυάρων καὶ ἀσπουδάστων, πολλὰ ἂν τῷ λόγῳ συναγήοχα διηγήματα· ἀλλὰ τοῦτο μὲν ὡς ἐκ πολλῶν ἓν ἐκκείσθω, ὁ δέ γε λόγος τὰ ἑξῆς διηγήσεται.

Οὐ τοίνυν τὸν ἀνδρῶνα μόνον ὁ ἀνὴρ οὗτος[5] κατέλαβεν, ἀλλὰ καὶ εἰς τὴν βασίλειον γυναικωνῖτιν παρεισφθαρεὶς ἄμφω τὰς βασιλί-

1. χ. βούλη. 2. χ. ἐπελαῦνον. 3. χ. τὸν. 4. χ. ἤδει μέν. 5. χ. οὗτως.

δας ὑποποιεῖται, καὶ τὸν λῆρον πάντη πλασάμενος, παρὰ μὲν τῆς μείζονος τετάχθαι [1] διϊσχυρίζετο, τὴν δὲ νεωτέραν τεκεῖν ἀρρήτους ὅρκους ἀπώμνυτο, ὡς συμπεσούσης οὕτω | τῆς γενέσεως, καὶ φ. 382.
ὥσπερ ἀναμιμνησκόμενος ὅπως ἀποτεχθείη, τάς τε ὠδῖνας συνῆρε καὶ τῆς μητρῴας θηλῆς ἀναισχύντως ἐμέμνητο, μάλιστα δὲ τὸν τῆς Θεοδώρας τόκον κατέλεγεν ἀστειότατα, ὅ,τι τε εἴποι ἐγκυμονουμένη αὐτῷ καὶ ὅπως ἀποτεχθείη· ἐφ' οἷς τὸ τῶν γυναικῶν ἐκείνων ἀδέλτερον τῷ ὑποκριτῇ θηραθὲν, πᾶσαν αὐτῷ θύραν ἀπορρήτων εἰσόδων ἀνέῳξε, καὶ οὐκ εἶχέ τις ῥᾳδίως αὐτῷ ἀπαριθμήσασθαι ὁπόσα τούτῳ φοιτῴη [2] ἀπό τε τοῦ ἀνδρῶνος, ἀπό τε τῆς γυναικωνίτιδος.

Χρόνον μὲν οὖν τινα ἐπὶ τούτων μόνων εἱστήκει τὰ παίγνια· ἐπεὶ δὲ ἀπεληλύθει τῶν τῇδε ἡ βασιλὶς, περὶ οὗ δὴ αὐτίκα λέξομεν, ἀρχαὶ δὴ μεγάλων κακῶν τῷ ἁπλοϊκωτάτῳ τούτῳ ἐπονηρεύθησαν, ἐρῶ δὲ μέρος τι προαφαρπάσας ἧς ὁ μετὰ ταῦτα λόγος ἅψεται ὑποθέσεως. Ἐπαλλακεύετό τις μεῖραξ τῷ αὐτοκράτορι, ἐξ ἔθνους μεγίστου ὁμηρεύουσα παρ' ἡμῖν, γενναῖον μὲν οὐδὲν ἔχουσα, ἀλλ' ὡς ἐκ βασιλικοῦ αἵματος παρ' αὐτῷ σεβομένη καὶ τὰ πρῶτα τῆς τιμῆς ἔχουσα· ταύτης τῆς μείρακος ἔρωτα δεινὸν ὁ ὑποκριτὴς ἐκεῖνος ἐγκυμονεῖ· εἰ μὲν οὖν κἀκείνη ἑαυτὴν ἀπεδεδώκει τῷ ἐραστῇ οὐκ ἔχω διϊσχυρίσασθαι, ἀλλ' ὅμως ἐῴκει ἀντερασθῆναι· ἀλλ' ἡ μὲν ἴσως ἐσωφρόνει τὸν ἔρωτα, ὁ δὲ οὐκ εἶχεν ὅπως τοῦτο μόνον ὑποκριθείη· ἑώρα γοῦν ἀναιδῶς καὶ θαῦμα [3] προσῄει, καὶ ἀτεχνῶς ἐπυρπολεῖτο τὰ στέρνα· ὡς δὲ οὐκ εἶχεν ὅπως ἂν ἐγκρατὴς τοῦ ἔρωτος γένοιτο καὶ ὅλην τὴν ἐρωμένην ἑαυτῷ εἰσποιήσειτο [4] βασιλίδα, ὃ δὴ καὶ ἀκουσθῆναι παράλογον πάντη καὶ ἄπιστον, ἀλλ' ὅμως ἐκεῖνος εἴτε συντυχίᾳ [5] κακοήθων ἀνθρώπων χρησάμενος, εἴτε ἀφ' ἑαυτοῦ τὰς ὁρμὰς εἰληφὼς, εἰς νοῦν βάλλεται τῆς τῶν

1. γρ. τετέχθαι. 2. χ. φοιτώοι. 3. γρ. θαμὰ. 4. γρ. εἰσποιήσαιτο. 5. χ. συντυχείᾳ.

Ρωμαίων ἡγεμονίας τυχεῖν. Ῥᾷστα [1] γοῦν αὐτῷ τὸ βούλευμα καταφαίνεται, οὐ γὰρ τὸ ἀποκτεῖναι μόνον τὸν αὐτοκράτορα ἀπραγμάτευτον τούτῳ λελόγιστο· ὁ δὲ καὶ τὰς κλεῖς εἶχε τῶν ἀπορρήτων εἰσόδων καὶ πάντα αὐτῷ κατὰ τὸ βουλητὸν ἐπεζύγωτο καὶ ἀνέῳκτο· ἠπάτητο δὲ, ὅτι καὶ πολλοῖς τοῦτο βουλομένοις ἐστί· κολάκων γὰρ οὐκ ὀλίγη μερὶς αὐτῷ παρετρέφετο, καί τις παρ' αὐτοῦ κορυφαῖ [2] ὅλον ἐκεῖνον εἰσοικισάμενος, τὰ πρῶτα τῶν μισθοφόρων ἐτύγχανεν [3] ὤν.

Τοῦτο τοιγαροῦν τὸ βούλευμα πρῶτον μὲν ἀπορρήτως [4] εἶχε, καὶ οὐδενὶ τῶν πάντων καταφανὴς ἦν περὶ τοῦ τοιούτου σκεπτόμενος· ἐπεὶ δὲ ὁ ἔρως αὐτὸν ἐξεκύμαινε καὶ ὑπέραντα [5] ἐγεγόνει, τολμᾷ δὴ τὸ πρᾶγμα καὶ ἀνακαλύπτει πολλοῖς τὴν γνώμην, ὑφ' οὗ [6] δὴ καὶ τάχος ἁλίσκεται· ἦλω δὲ οὐ πρὸ μιᾶς ὥρας, ἀλλ' ἔλαττον τοῦ δεινοῦ ἐκείνου ἀποτελέσματος· ἐπειδὴ γὰρ ἑσπέρα κατέλαβε, καὶ ὁ βασιλεὺς ὡς εἰώθει ὑπνίαζεν, ὁ μὲν ἴσως τὸ φονουργὸν σιδήριον ἔθηκεν [7], ἐφοίτησε δέ τις αὐτίκα τῶν οἷς ἐκεῖνος τὸ σκέμμα διωμολόγησεν, ὡς ἔχων τι τῷ βασιλεῖ προσαγγεῖλαι, καὶ ἐπείπερ εἰσέδυ τὸ καταπέτασμα πνευστιῶν [8] ὅλως καὶ οὔπω τὸ ἄσθμα ἐπέχων « ἀποκτενεῖ σε, βασιλεῦ, αὐτίκα ὁ φίλτατος, τὸν ἄνδρα ὀνομαστὶ εἰρηκὼς, σκέψαι γοῦν ὅπως ἐκφεύξῃ ὑπόγυον θάνατον! » Ταῦτα ὁ μὲν εἰρήκει, ὁ δὲ διηπόρει καὶ πιστεύειν οὐκ εἶχεν· ὁ δὲ γνοὺς, ῥίπτει μὲν τὸ σιδήριον, εἴσεισι δὲ τὸν ἐκεῖσε ναὸν καὶ τῇ ἱερᾷ προσφεύγει τραπέζῃ, καὶ ἀπαγγέλλει τὸ βούλευμα καὶ πᾶσαν τὴν ἐπὶ τούτῳ σκηνὴν, καὶ ὁπόσα προβεβουλεύκει, καὶ [ὡς] ἔμελλεν αὐτίκα ἀναιρήσειν [9] τὸν αὐτοκράτορα.

Ὁ δὲ οὐδ' ὅτι σέσωστο χάριν εἶχε θεῷ, ἀλλ' ὅτι ἐαλώκει ὁ φίλτατος ἐβαρυμηνία τῷ προσαγγείλαντι καὶ προὐλάμβανε τῇ ἀπολογίᾳ τὴν κατηγορίαν. Ἐπεὶ δὲ οὐκ ἦν κρύψαι τὴν ἐπιβου-

1. γρ. Ῥᾷστον. 2. γρ. [τῶν] παρ' αὐτῷ κορυφαίων. 3. χ. ἐτύχανεν. 4. χ. ἀπορρήτων. 5. γρ. ὑπὲρ ἄνδρα. 6. γρ. ὑφ' ὧν. 7. γρ. ἔθηγεν. 8. χ. πνευτιῶν. 9. χ. ἀραιρήσειν.

λὴν [1] εἰς τοὐμφανὲς ἀναρρυγεῖσαν [2], καθιστᾷ μὲν ἐς τὴν ἐπιοῦσαν δικαστηρίου σκηνὴν, εἰσάγει δὲ πεδήτην [τὸν] ἁλόντα ὡς κριθησόμενον· καὶ ἐπειδὴ εἶδε δεδεμένον τὼ χεῖρε, μικροῦ δεῖν ἀνωλόλυξεν, ὡς ἐπὶ καινῷ καὶ ἀτόπῳ θεάματι, καὶ δακρύων τοὺς ὀφθαλμοὺς ὑποπλησθεὶς, « ἀλλὰ λύσατέ μοι, φησὶ, τουτονί· μαλθακίζεται γάρ μοι ἐπ' αὐτῷ ἡ ψυχή. » Καὶ ἐπειδὴ λελύκασι τῶν δεσμῶν οἷς τοῦτο προστέτακτο, ἠρέμα πρὸς τὴν ἀπολογίαν προβιβάζων [3] καὶ αἰτίας εὐθὺς ἀφιεὶς, « σοὶ μὲν ἐλευθέρα, φησὶν, ἡ γνώμη παντάπασιν· οἶδα γάρ σου τὸ ἁπλοϊκὸν καὶ ἐλεύθερον· ἀλλά μοι λέγε, τίνες οἱ πρὸς τὴν ἄτοπον γνώμην σὲ συνελάσαντες; τίς ἔκλεψέ σου τὸ ἄπλαστον φρόνημα; τίς ἐσύλησέ σου τὸν ἀπερίεργον νοῦν; ἐπὶ τούτοις εἰπὲ καὶ τίνος ἐρᾷς τῶν ἐμῶν; τί δέ σε τῶν πάντων θέλγει; οὐ γὰρ ἀτυχήσεις οὐδενὸς ὧν λίαν ἐπιτεθύμηκας. »

Ταῦτα μὲν ὁ αὐτοκράτωρ, διωδηκὼς ἐπὶ πᾶσι τοῖς ὀφθαλμοῖς καὶ δακρύων τέγγων ῥοῇ. Ὁ δὲ πρὸς μὲν τὰς πρώτας ἐρωτήσεις, ὥσπερ μηδὲν ἠρωτημένος, οὐδ' ὁ,τιοῦν ἀπεκρίνατο, πρὸς δὲ τὰς δευτέρας ἔνθα τὰ περὶ τῆς ἐπιθυμίας καὶ τοῦ ἔρωτος ἔκειτο, θαυμασίως τὸ δρᾶμα ὑποκρινόμενος τοῦ σοφίσματος, τάς τε χεῖρας τοῦ αὐτοκράτορος κατεφίλησε καὶ τοῖς γόνασι τὴν κεφαλὴν ἐπιθεὶς, « ἐπὶ τοῦ θρόνου με, φησὶ, κάθισον τοῦ βασιλικοῦ, καὶ μαργαρώδει στέμματι κατακόσμισον, χάρισαι δέ μοι καὶ τουτονὶ τὸν στρεπτὸν (τὸν περὶ τὸν τράχηλον ἐπιδείξας κόσμον), καὶ τῆς σῆς μοι κοινώνησον εὐφημίας. Τούτου γὰρ καὶ πρότερον ἤρων [4], καὶ νῦν διαφερόντως ἐρῶ. » Ἐσκίρτησεν ἐπὶ τούτοις ὁ αὐτοκράτωρ καὶ λαμπρόν τι ἠγαλλιάσατο· ἐβούλευτο [5] δὲ αὐτῷ ταῦτα, τὸ μνηστεῦσαι ἐκείνῳ ἐλευθερίαν τοῦ ἀτόπου τολμήματος, ὡς ὑπονοίας καὶ κατακρίσεως διὰ τὸ ἁπλοῦν τοῦ φρονήματος ἐλευθέρῳ παντάπασι· « καὶ ταινιώσω σοι, φησὶ, καὶ τὴν κεφαλὴν, καὶ

1. χ. ἐπουβουλὴν. 2. γρ. ἀναρρυεῖσαν. 3. γρ. προσβιβάζων. 4. χ. ἤρον. 5. γρ. ἐβεβούλευτο.

ἀλουργεῖ ἐσθῆτι περιβαλῶ, μόνον μοι κατάστηθι[1] τὴν ψυχὴν καὶ κατεύνασόν μοι τὸν κλύδωνα, καὶ τὴν νύκτα τῆς ὄψεως ἀπελάσας ἀπόδος μοι τὸ σύνηθες βλέμμα καὶ τὴν γλυκεῖαν ἡμέραν τῆς ὄψεως. » Ἐπὶ τούτοις καὶ οἱ σπουδάζοντες παίξαντες, καὶ οἱ δικάσαντες οὐδ' ὁ,τιοῦν ἐξετάσαντες, ἀλλὰ γελάσαντες ἅπαντες μεσοῦντος ἀπῆλθον τοῦ δράματος. Ὁ δέ γε βασιλεὺς, ὥσπερ αὐτὸς
φ. 383. ἐαλωκὼς καὶ τῆς νίκης κεκρατηκὼς, | σῶστρά τε ἔθυε τῷ θεῷ καὶ τὰς εὐχαριστηρίους ἀπεδίδου φωνὰς, συμπόσιον ἐπὶ τούτοις τοῦ συνήθους λαμπρότερον, καὶ ἑστιάτωρ μὲν ὁ αὐτοκράτωρ καὶ συμποσίαρχος, τὰ δὲ πρῶτα τῶν δαιτυμόνων αὐτὸς οὗτος ὁ δραματουργὸς καὶ ἐπίβουλος.

Ἐπεὶ δὲ ἡ βασιλὶς Θεοδώρα καὶ ἡ ἀδελφὴ Εὐπρεπία κατὰ τὰς ποιητικὰς θεὰς τοῖς τελουμένοις δεινῶς ἐπεμίξαντο, οὐδὲν ἐπιδεικνύμεναι χάριεν, ἀλλὰ μεμφόμεναι τὰ πλείονα τὴν τοῦ βασιλέως ἁπλότητα, αἰσχύνεται ταύτας ὁ βασιλεὺς καὶ ὑπερορίαν τοῦ ἐαλωκότος καταψηφίζεται, οὐ μακρὰν ἀποικίσας, ἀλλ' αὐτοῦ που ἐπὶ μιᾶς τῶν πρὸ τῆς πόλεως νήσων ἐπιχωριάζειν προστεταχὼς, λούεσθαί τε ἐκεῖσε παρακελευσάμενος καὶ πάσης ἐμπίπλασθαι ἡδονῆς· οὔπω δὲ ἡμέραι δέκα παρεληλύθεσαν, καὶ ἀνακαλεῖται τοῦτον λαμπρῶς, καὶ μείζονος ἀξιοῖ παρρησίας καὶ χάριτος. Ἡ δὲ τοιαύτη διήγησις οὐκ ὀλίγα τῶν ἀτοπωτέρων παρεσιώπησεν, ὁπόσα αἰσχύνην τε τῷ γράφοντι φέρει καὶ ὄχλον τοῖς ἐντυγχάνουσιν. Ἐπεὶ δὲ οὐκ εἰς ἅπαν τέλος ὁ λόγος κατέληξε, δεῖται δὲ πλείονος ἐπιπλοκῆς πρὸς ἀπαρτισμὸν, ἑτέραν παρενείρας ὑπόθεσιν, ἧς ὁ λόγος δεῖται τοῦ διηγήματος, οὕτω δὴ αὖθις ἐπαναστρέψας τοῖς ὑφηγησομένοις τὸ λειπόμενον ἀποδώσω.

Ἔξωρος ἤδη πρὸς συνουσίαν ἀνδρὸς ἡ βασιλὶς καθειστήκει Ζωὴ, τῷ δέ γε βασιλεῖ τὰ τῆς ἐπιθυμίας ἐφλέγμαινεν· ἤδη γὰρ καὶ ἡ Σεβαστὴ τούτῳ τετελευτήκει, καὶ ὁ ἀρισταίνων[2] περὶ τὸν

1. χ. κατάστιθι. 2. γρ. ὀαρισταίνων.

ἔρωτα ἐπὶ πολλὰς πεπλάνητο φαντασίας καὶ ἀνατυπώσεις ἀτόπους· φύσει δὲ ὢν περίεργος τὰ ἐρωτικὰ καὶ μὴ εἰδὼς τὸ πάθος εἰς εὐκολίαν διαλύσασθαι μίξεως, ἀλλ' ἀεί τινα ἐπεγείρων κύματα ἐπὶ ταῖς πρώταις εὐναῖς, ἐρᾷ τινος μείρακος, ὥς μοι καὶ ἄνω που τοῦ λόγου λέλεκται, ἐξ Ἀλανίας ὁμηρευούσης ἡμῖν· βασιλεία δὲ αὐτὴ οὐ πάνυ σεμνὴ, οὐδὲ ἀξίωμα ἔχουσα, τῷ δὲ Ρωμαίων κράτει τὸ ἐχέγγυον ἀεὶ διδοῦσα τῆς πίστεως· ἡ τοίνυν μεῖραξ θυγάτριον τοῦ ἐκεῖσε βασιλεύοντος ἦν, οὔτε τὸ εἶδος ἀξιοθέατον, οὔτε τὴν θεραπείαν εὔδαιμον, δυσὶ δὲ μόναις κεκόσμητο χάρισι, λευκὸν ἦν τὴν χροιὰν καὶ καλλίστοις ἐπήστραπτεν[1] ὄμμασιν· ἀλλ' ὅ γε βασιλεὺς ἅπαξ ἑαλωκὼς ταύτης, τοὺς μὲν ἄλλους κατέλυσεν ἔρωτας, σκηνοῖ δὲ παρ' αὐτῇ μόνῃ καὶ σφοδρὸν ἐπ' αὐτῇ πόθον ἐγκυμονεῖ. Ἀλλ' εἰ[2] μὲν ἡ βασιλὶς βιώσιμος ἦν, οὐ πάνυ τι ἀνερρήγνυτο, ἀλλ' ἠγάπα λανθάνειν καὶ συγκαλύπτεσθαι· ἐπεὶ δὲ ἐτεθνήκει, αἴρει τὴν φλόγα τοῦ ἔρωτος καὶ ἀναρριπίζει τὸν πόθον, καὶ μονονοὺ παστάδα πηξάμενος ἑαυτῷ τὴν ἐρωμένην νυμφαγωγεῖ, καὶ ὁ μεταςχηματισμὸς ἀθρόος τε καὶ καινός· τήν τε γὰρ κεφαλὴν ἀσυνήθης κόσμος ἐκύκλου, καὶ ἡ δέρη χρυσῷ κατηγλάϊστο, ἐπικάρπιοί τε ὦφεις χρυσοῖ τοὺς βραχίονας αὐτῇ διενέμοντο, καὶ τῶν ὤτων μαργαρῖται βαρεῖς ἀπεκρέμαντο, ἡ δὲ ζώνη[3], χρυσὸς δὲ αὐτὴν καὶ μαργάρων ὁρμαθὸς ἐσχημάτιζέ τε καὶ διεποίκιλλε· καὶ ἦν ἡ γυνὴ Πρωτεὺς ἀτεχνῶς ἐξαλλάττων καὶ ποικιλλόμενος.

Ἐβούλετο μὲν οὖν ταύτην καὶ βασιλικῇ ἀναδῆσαι ταινίᾳ, ἀλλ' ἐδεδίει δύο ταῦτα, τόν τε νόμον τὸν ἀριθμὸν αὐτῷ τῆς συζυγίας ἐπιμετρήσαντα, καὶ τὴν βασιλίδα Θεοδώραν ὡς οὐκ ἀνεξομένην τὸ ἄχθος, οὐδὲ βασιλεύειν τε αἱρησομένην καὶ βασιλεύεσθαι· διὰ ταῦτα τοίνυν τοῦ μὲν σχήματος αὐτῇ τῆς βασιλείας οὐκ ἐκοινώνησε, μεταδίδωσι δὲ τοῦ ὀνόματος, Σεβαστὴν ἀνειπὼν, δορυφορίαν τε αὐτῇ βασιλικὴν διατίθεται[4], καὶ πάσας ἐπ' αὐτῇ θύρας

1. χ. ἐπίστραπτεν. 2. χ. ἰ. 3. χ. ζωνὴ. 4. διατίθεσθαι.

διήμειβε καὶ μετεκόμιστο ὅπη βούλοιτο· εἰ δὲ ἐπιβάλοι τὸ ῥεῦμα, παπαὶ τῶν ἀλγηδόνων ἐκείνων!

Ἐγὼ δὲ καὶ ξυγγράφων τοῦτον ἔτι τὸν ἄνδρα ὑπερεκπέπληγμαι, ὅπως τηνικαῦτα ἐξήρκει τοσαύταις περιωδυνίαις βαλλόμενος· πάρεσις γὰρ ἐπὶ παρέσει τοῦτον εὐθὺς κατελάμβανε, καὶ κατεδαπάνα μὲν τὸ λειπόμενον τῶν σαρκῶν, ἐξήρθρου δὲ παντάπασι τὸ ἔτι ἐχόμενον. Οὐκ εἶχε δὲ ἐφ' ὅτῳ σχηματισθεὶς ἀποχρώντως ἐπαναπαυθείη τῇ κλίνῃ, ἀλλὰ πᾶσα θέσις τούτῳ ἀντίθετος· ὅθεν οἱ κατευναστῆρες, συνερείδοντες καὶ ἀντερείδοντες αὐτῷ τὸ σωμάτιον, μόλις που τῆς ἀναπαυούσης ῥοπῆς ἐπετύγχανον, εἶτα δὴ συνήρμοζον καὶ ἐπεῖχον ἀντιοικοδομοῦντες[1] καὶ ἀντιτεχνόμενοι[2] τοῦτον, ὅπως ἂν ἐπὶ τοῦ σχήματος ἐκείνου στηρίζοιτο· τῷ δὲ ἦν ἀλγεινὸν οὐ τὸ μετατίθεσθαι μόνον, ἀλλὰ καὶ ἡ γλῶττα ἄχθος ἐκείνῳ ὁμιλοῦσα[3] ἐδίδου, καὶ ἡ τῶν ὀφθαλμῶν νεῦσις[4] μετεκίνει τὸ ῥεῦμα, ὅθεν παντάπασιν ἑαυτὸν ἀκίνητον ἐδίδου καὶ ἀρρεπῆ. Λέγω δὲ ἐν τούτοις διατεινόμενος καὶ θεὸν τοῦ λόγου ποιούμενος μάρτυρα, ὅτι τοσούτοις κακοῖς διαντλούμενός τε καὶ κυμαινόμενος καὶ οὕτως ἀθλίως ἔχων παντάπασιν, οὐδέποτε βλάσφημον πρὸς θεὸν ἀφῆκε φωνὴν, ἀλλὰ καὶ εἴ τινα αἴσθοιτο ἐπὶ τοῖς ἐκείνου δεινοῖς δυσχεραίνοντα αὐστηροτέροις τοῦτον ἀπεπέμπετο ῥήμασιν, ἑαυτῷ δὲ |
φ. 380. καταδίκην ἐπιβεβλῆσθαι τὴν συμφορὰν ἀπεφαίνετο, μᾶλλον δὲ χαλινὸν ταύτην τῆς ἰδίας κατωνόμαζε φύσεως· ἐδεδίει γὰρ τὰς οἰκείας ὁρμὰς, καὶ « ἐπειδὴ, φησὶ, μὴ λογισμῷ εἴκουσιν, ὑποχωροῦσι τοῖς τοῦ σώματος ἀλγεινοῖς, καὶ ταλαιπωρεῖται μέν μου τὸ σῶμα, αἱ δὲ ἄτακτοι τῆς ψυχῆς πεπήγασιν ἔννοιαι ». Οὕτως ἐκεῖνος ἐφιλοσόφει περὶ τὸ πάθος· καὶ εἴ τις ἐκείνων τῶν ἄλλων ἀφεὶς ἐπὶ τοῦτου καταθεωρήσει τοῦ μέρους, θεῖον ὡς ἀληθῶς ἄνδρα κατονομάσειε.

Τῷ δέ τι καὶ ἄλλο[5] προσῆν ἀγαθὸν, ἐμοὶ μὲν οὐκ ἐν ἅπασιν

1. γρ. ἀντοικοδομοῦντες. 2. γρ. ἀντιτεχνώμενοι. 3. χ. ὁμιλλοῦσα. 4. χ. νεύσεις. 5. χ. ἄλλῳ.

ἐπαινούμενον, ἐκείνῳ δὲ διαφερόντως τιμώμενον, διαιτήσοι δὲ ὁ βουλόμενος· ἀφυλάκτως ἑαυτοῦ παντάπασιν εἶχε· κοιμωμένῳ μὲν οὔτε θύραι ἐπεζυγοῦντο, οὔτέ τις ἐκτὸς ἐπηγρύπνει[1] φρουρά· πολλάκις γοῦν καὶ οἱ κατευνάζοντες ἀπήεσαν ξύμπαντες, καὶ παρῴδευέ τις αὐτὸν ῥᾷστα καὶ αὖθις ἀντιπαρήει, μηδὲν[2] τὴν πάροδον ἐκείνῳ κωλύοντος· εἴ τις γοῦν τὸ ἀνειμένον αὐτῷ ἐνταυθοῖ προσωνείδισεν, οὔτε ἠνιᾶτο, καὶ ὡς νοσῶν περὶ τὸ θεῖον τοὺς λογισμοὺς ἀπεπέμπετο· ἐβούλετο δὲ ὁ λόγος, ὡς παρὰ τοῦ θεοῦ βασιλεύοι καὶ παρ' ἐκείνου μόνου φυλάττοιτο, καὶ ὅτι τῆς τελεωτέρας φρουρᾶς τετυχηκὼς, τῆς ἀνθρωπικῆς καὶ ἀτελεστέρας καταφρονοίη. Ἐγὼ γοῦν πολλάκις τοὺς ἠσπερνήτους[3] καὶ οἰκοδόμους ἀντιπαραθεὶς, καὶ τελευτῶν τοὺς λοχαγοὺς καὶ στρατηγοὺς, οὐδεὶς μὲν οὖν τούτων ἔφασκον τῶν πρὸς θεὸν ἐλπίδων ἔρημος τὸ οἰκεῖον ἔργον μεταχειρίζεται, ἀλλ' ὅμως ὁ μὲν πρὸς κανόνα ἰσάζοι τὸ οἰκοδόμημα, ὁ δὲ τοῖς πηδαλίοις ἰθύνοι τὴν ναῦν, καὶ τῶν ἐν τοῖς πολέμοις ἕκαστος ἀσπίδα τε φέρει καὶ ξιφηφορεῖ, καὶ τῇ μὲν κεφαλῇ κράνος ἀρκεῖ, τὸ δὲ λοιπὸν σῶμα ὁ θῶραξ ἀμπέχει· εἶτα δὴ ἀπὸ τοῦδε μᾶλλον ἐπιχειρῶν, ὅτι τάδε μᾶλλον πρέπει τῷ βασιλεῖ, οὐκ ἔπειθον παντοίως ἐπιχειρῶν· τοῦτο δὲ χρηστὸν μὲν τρόπον κατηγορεῖ, ἐνδόσιμον δὲ τοῖς ἐπιχειρεῖν ἐθέλουσι γίγνεται.

Περὶ τῆς εἰς τὸν βασιλέα ἐπιβουλῆς.

Ἀμέλει καὶ πλείστων τοῦτο καινῶν[4] ἐγεγόνει ἀρχὴ, ὧν ἓν ἦ δύο θέμενος, ἐντεῦθεν καὶ περὶ τῶν ἄλλων εἰκάζειν τοῖς ἀναγινώσκουσι δίδωμι· ἐρῶ δὲ βραχύ τι τῆς ὑποθέσεως παρεκβατικώτερον· ὅτι ταῖς μὲν εὖ πραττούσαις πόλεσιν ἐκ τῶν ἀρίστων καὶ τῶν εὐγενῶν τε ἅμα καὶ ἀγενῶν οἱ κατάλογοι, κἂν ταῖς πολιτικαῖς

1. χ. ἐπεγρύπνει. 2. γρ. μηδενὸς. 3. γρ. κυβερνήτας. 4. γρ. κακῶν.

διήμειβε καὶ μετεκόμιστο ὅπη βούλοιτο· εἰ δὲ ἐπιβάλοι τὸ ῥεῦμα, παπαὶ τῶν ἀλγηδόνων ἐκείνων!

Ἐγὼ δὲ καὶ ξυγγράφων τοῦτον ἔτι τὸν ἄνδρα ὑπερεκπέπληγμαι, ὅπως τηνικαῦτα ἐξήρκει τοσαύταις περιωδυνίαις βαλλόμενος· πάρεσις γὰρ ἐπὶ παρέσει τοῦτον εὐθὺς κατελάμβανε, καὶ κατεδαπάνα μὲν τὸ λειπόμενον τῶν σαρκῶν, ἐξήρθρου δὲ παντάπασι τὸ ἔτι ἐχόμενον. Οὐκ εἶχε δὲ ἐφ' ὅτῳ σχηματισθεὶς ἀποχρώντως ἐπαναπαυθείη τῇ κλίνῃ, ἀλλὰ πᾶσα θέσις τούτῳ ἀντίθετος· ὅθεν οἱ κατευναστῆρες, συνερείδοντες καὶ ἀντερείδοντες αὐτῷ τὸ σωμάτιον, μόλις που τῆς ἀναπαυούσης ῥοπῆς ἐπετύγχανον, εἶτα δὴ συνήρμοζον καὶ ἐπεῖχον ἀντιοικοδομοῦντες[1] καὶ ἀντιτεχνόμενοι[2] τοῦτον, ὅπως ἂν ἐπὶ τοῦ σχήματος ἐκείνου στηρίζοιτο· τῷ δὲ ἦν ἀλγεινὸν οὐ τὸ μετατίθεσθαι μόνον, ἀλλὰ καὶ ἡ γλῶττα ἄχθος ἐκείνῳ ὁμιλοῦσα[3] ἐδίδου, καὶ ἡ τῶν ὀφθαλμῶν νεῦσις[4] μετεκίνει τὸ ῥεῦμα, ὅθεν παντάπασιν ἑαυτὸν ἀκίνητον ἐδίδου καὶ ἀρρεπῆ. Λέγω δὲ ἐν τούτοις διατεινόμενος καὶ θεὸν τοῦ λόγου ποιούμενος μάρτυρα, ὅτι τοσούτοις κακοῖς διαντλούμενός τε καὶ κυμαινόμενος καὶ οὕτως ἀθλίως ἔχων παντάπασιν, οὐδέποτε βλάσφημον πρὸς θεὸν ἀφῆκε φωνὴν, ἀλλὰ καὶ εἴ τινα αἴσθοιτο ἐπὶ τοῖς ἐκείνου δεινοῖς δυσχεραίνοντα αὐστηροτέροις τοῦτον ἀπεπέμπετο ῥήμασιν, ἑαυτῷ δὲ | καταδίκην ἐπιβεβλῆσθαι τὴν συμφορὰν ἀπεφαίνετο, μᾶλλον δὲ χαλινὸν ταύτην τῆς ἰδίας κατωνόμαζε φύσεως· ἐδεδίει γὰρ τὰς οἰκείας ὁρμὰς, καὶ « ἐπειδὴ, φησὶ, μὴ λογισμῷ εἴκουσιν, ὑποχωροῦσι τοῖς τοῦ σώματος ἀλγεινοῖς, καὶ ταλαιπωρεῖται μέν μου τὸ σῶμα, αἱ δὲ ἄτακτοι τῆς ψυχῆς πεπήγασιν ἔννοιαι ». Οὕτως ἐκεῖνος ἐφιλοσόφει περὶ τὸ πάθος· καὶ εἴ τις ἐκείνων τῶν ἄλλων ἀφεὶς ἐπὶ τούτου καταθεωρήσει τοῦ μέρους, θεῖον ὡς ἀληθῶς ἄνδρα κατονομάσειε.

φ. 380.

Τῷ δέ τι καὶ ἄλλο[5] προσῆν ἀγαθὸν, ἐμοὶ μὲν οὐκ ἐν ἅπασιν

1. γρ. ἀντοικοδομοῦντες. 2. γρ. ἀντιτεχνώμενοι. 3. χ. ὁμιλοῦσα. 4. χ. νεύσεις. 5. χ. ἅλῳ.

ἐπαινούμενον, ἐκείνῳ δὲ διαφερόντως τιμώμενον, διαιτήσοι δὲ ὁ βουλόμενος· ἀφυλάκτως ἑαυτοῦ παντάπασιν εἶχε· κοιμωμένῳ μὲν οὔτε θύραι ἐπεζυγοῦντο, οὔτέ τις ἐκτὸς ἐπηγρύπνει[1] φρουρά· πολλάκις γοῦν καὶ οἱ κατευνάζοντες ἀπήεσαν ξύμπαντες, καὶ παρώδευέ τις αὐτὸν ῥᾷστα καὶ αὖθις ἀντιπαρήει, μηδὲν[2] τὴν πάροδον ἐκείνῳ κωλύοντος· εἴ τις γοῦν τὸ ἀνειμένον αὐτῷ ἐνταυθοῖ προσωνείδισεν, οὔτε ἠνιᾶτο, καὶ ὡς νοσῶν περὶ τὸ θεῖον τοὺς λογισμοὺς ἀπεπέμπετο· ἐβούλετο δὲ ὁ λόγος, ὡς παρὰ τοῦ θεοῦ βασιλεύοι καὶ παρ' ἐκείνου μόνου φυλάττοιτο, καὶ ὅτι τῆς τελεωτέρας φρουρᾶς τετυχηκὼς, τῆς ἀνθρωπικῆς καὶ ἀτελεστέρας καταφρονοίη. Ἐγὼ γοῦν πολλάκις τοὺς ἠσπερνήτους[3] καὶ οἰκοδόμους ἀντιπαραθεὶς, καὶ τελευτῶν τοὺς λοχαγοὺς καὶ στρατηγοὺς, οὐδεὶς μὲν οὖν τούτων ἔφασκον τῶν πρὸς θεὸν ἐλπίδων ἔρημος τὸ οἰκεῖον ἔργον μεταχειρίζεται, ἀλλ' ὅμως ὁ μὲν πρὸς κανόνα ἰσάζοι τὸ οἰκοδόμημα, ὁ δὲ τοῖς πηδαλίοις ἰθύνοι τὴν ναῦ, καὶ τῶν ἐν τοῖς πολέμοις ἕκαστος ἀσπίδα τε φέρει καὶ ξιφηφορεῖ, καὶ τῇ μὲν κεφαλῇ κράνος ἀρκεῖ, τὸ δὲ λοιπὸν σῶμα ὁ θῶραξ ἀμπέχει· εἶτα δὴ ἀπὸ τοῦδε μᾶλλον ἐπιχειρῶν, ὅτι τάδε μᾶλλον πρέπει τῷ βασιλεῖ, οὐκ ἔπειθον παντοίως ἐπιχειρῶν· τοῦτο δὲ χρηστὸν μὲν τρόπον κατηγορεῖ, ἐνδόσιμον δὲ τοῖς ἐπιχειρεῖν ἐθέλουσι γίγνεται.

Περὶ τῆς εἰς τὸν βασιλέα ἐπιβουλῆς.

Ἀμέλει καὶ πλείστων τοῦτο καινῶν[4] ἐγεγόνει ἀρχὴ, ὧν ἓν ἦ δύο θέμενος, ἐντεῦθεν καὶ περὶ τῶν ἄλλων εἰκάζειν τοῖς ἀναγινώσκουσι δίδωμι· ἐρῶ δὲ βραχύ τι τῆς ὑποθέσεως παρεκβατικώτερον· ὅτι ταῖς μὲν εὖ πραττούσαις πόλεσιν ἐκ τῶν ἀρίστων καὶ τῶν εὐγενῶν τε ἅμα καὶ ἀγενῶν οἱ κατάλογοι, κἂν ταῖς πολιτικαῖς

1. χ. ἐπεγρύπνει. 2. γρ. μηδενὸς. 3. γρ. κυβερνήτας. 4. γρ. κακῶν.

διήμειβε καὶ μετεκόμιστο ὅπη βούλοιτο· εἰ δὲ ἐπιβάλοι τὸ ῥεῦμα, παπαὶ τῶν ἀλγηδόνων ἐκείνων!

Ἐγὼ δὲ καὶ ξυγγράφων τοῦτον ἔτι τὸν ἄνδρα ὑπερεκπέπληγμαι, ὅπως τηνικαῦτα ἐξήρκει τοσαύταις περιωδυνίαις βαλλόμενος· πάρεσις γὰρ ἐπὶ παρέσει τοῦτον εὐθὺς κατελάμβανε, καὶ κατεδαπάνα μὲν τὸ λειπόμενον τῶν σαρκῶν, ἐξήρθρου δὲ παντάπασι τὸ ἔτι ἐχόμενον. Οὐκ εἶχε δὲ ἐφ' ὅτῳ σχηματισθεὶς ἀποχρώντως ἐπαναπαυθείη τῇ κλίνῃ, ἀλλὰ πᾶσα θέσις τούτῳ ἀντίθετος· ὅθεν οἱ κατευναστῆρες, συνερείδοντες καὶ ἀντερείδοντες αὐτῷ τὸ σωμάτιον, μόλις που τῆς ἀναπαυούσης ῥοπῆς ἐπετύγχανον, εἶτα δὴ συνήρμοζον καὶ ἐπεῖχον ἀντιοικοδομοῦντες[1] καὶ ἀντιτεχνόμενοι[2] τοῦτον, ὅπως ἂν ἐπὶ τοῦ σχήματος ἐκείνου στηρίζοιτο· τῷ δὲ ἦν ἀλγεινὸν οὐ τὸ μετατίθεσθαι μόνον, ἀλλὰ καὶ ἡ γλῶττα ἄχθος ἐκείνῳ ὁμιλοῦσα[3] ἐδίδου, καὶ ἡ τῶν ὀφθαλμῶν νεῦσις[4] μετεκίνει τὸ ῥεῦμα, ὅθεν παντάπασιν ἑαυτὸν ἀκίνητον ἐδίδου καὶ ἀρρεπῆ. Λέγω δὲ ἐν τούτοις διατεινόμενος καὶ θεὸν τοῦ λόγου ποιούμενος μάρτυρα, ὅτι τοσούτοις κακοῖς διαντλούμενός τε καὶ κυμαινόμενος καὶ οὕτως ἀθλίως ἔχων παντάπασιν, οὐδέποτε βλάσφημον πρὸς θεὸν ἀφῆκε φωνήν, ἀλλὰ καὶ εἴ τινα αἴσθοιτο ἐπὶ τοῖς ἐκείνου δεινοῖς δυσχεραίνοντα αὐστηροτέροις τοῦτον ἀπεπέμπετο ῥήμασιν, ἑαυτῷ δὲ | καταδίκην ἐπιβεβλῆσθαι τὴν συμφορὰν ἀπεφαίνετο, μᾶλλον δὲ χαλινὸν ταύτην τῆς ἰδίας κατωνόμαζε φύσεως· ἐδεδίει γὰρ τὰς οἰκείας ὁρμὰς, καὶ « ἐπειδὴ, φησὶ, μὴ λογισμῷ εἴκουσιν, ὑποχωροῦσι τοῖς τοῦ σώματος ἀλγεινοῖς, καὶ ταλαιπωρεῖται μέν μου τὸ σῶμα, αἱ δὲ ἄτακτοι τῆς ψυχῆς πεπήγασιν ἔννοιαι ». Οὕτως ἐκεῖνος ἐφιλοσόφει περὶ τὸ πάθος· καὶ εἴ τις ἐκείνων τῶν ἄλλων ἀφεὶς ἐπὶ τοῦτου καταθεωρήσει τοῦ μέρους, θεῖον ὡς ἀληθῶς ἄνδρα κατονομάσειε.

φ. 380.

Τῷ δέ τι καὶ ἄλλο[5] προσῆν ἀγαθὸν, ἐμοὶ μὲν οὐκ ἐν ἅπασιν

1. γρ. ἀντοικοδομοῦντες. 2. γρ. ἀντιτεχνώμενοι. 3. χ. ὁμιλλοῦσα. 4. χ. νεύσεις. 5. χ. ἄλλῳ.

ἐπαινούμενον, ἐκείνῳ δὲ διαφερόντως τιμώμενον, διαιτήσοι δὲ ὁ βουλόμενος· ἀφυλάκτως ἑαυτοῦ παντάπασιν εἶχε· κοιμωμένῳ μὲν οὔτε θύραι ἐπεζυγοῦντο, οὔτέ τις ἐκτὸς ἐπηγρύπνει[1] φρουρά· πολλάκις γοῦν καὶ οἱ κατευνάζοντες ἀπήεσαν ξύμπαντες, καὶ παρώδευέ τις αὐτὸν ῥᾷστα καὶ αὖθις ἀντιπαρήει, μηδὲν[2] τὴν πάροδον ἐκείνῳ κωλύοντος· εἴ τις γοῦν τὸ ἀνειμένον αὐτῷ ἐνταυθοῖ προσωνείδισεν, οὔτε ἠνιᾶτο, καὶ ὡς νοσῶν περὶ τὸ θεῖον τοὺς λογισμοὺς ἀπεπέμπετο· ἐβούλετο δὲ ὁ λόγος, ὡς παρὰ τοῦ θεοῦ βασιλεύοι καὶ παρ' ἐκείνου μόνου φυλάττοιτο, καὶ ὅτι τῆς τελεωτέρας φρουρᾶς τετυχηκὼς, τῆς ἀνθρωπικῆς καὶ ἀτελεστέρας καταφρονοίη. Ἐγὼ γοῦν πολλάκις τοὺς ἡσπερνήτους[3] καὶ οἰκοδόμους ἀντιπαραθεὶς, καὶ τελευτῶν τοὺς λοχαγοὺς καὶ στρατηγοὺς, οὐδεὶς μὲν οὖν τούτων ἔφασκον τῶν πρὸς θεὸν ἐλπίδων ἔρημος τὸ οἰκεῖον ἔργον μεταχειρίζεται, ἀλλ' ὅμως ὁ μὲν πρὸς κανόνα ἰσάζοι τὸ οἰκοδόμημα, ὁ δὲ τοῖς πηδαλίοις ἰθύνοι τὴν ναῦ, καὶ τῶν ἐν τοῖς πολέμοις ἕκαστος ἀσπίδα τε φέρει καὶ ξιφηφορεῖ, καὶ τῇ μὲν κεφαλῇ κράνος ἀρκεῖ, τὸ δὲ λοιπὸν σῶμα ὁ θῶραξ ἀμπέχει· εἶτα δὴ ἀπὸ τοῦδε μᾶλλον ἐπιχειρῶν, ὅτι τάδε μᾶλλον πρέπει τῷ βασιλεῖ, οὐκ ἔπειθον παντοίως ἐπιχειρῶν· τοῦτο δὲ χρηστὸν μὲν τρόπον κατηγορεῖ, ἐνδόσιμον δὲ τοῖς ἐπιχειρεῖν ἐθέλουσι γίγνεται.

Περὶ τῆς εἰς τὸν βασιλέα ἐπιβουλῆς.

Ἀμέλει καὶ πλείστων τοῦτο καινῶν[4] ἐγεγόνει ἀρχὴ, ὧν ἓν ἦ δύο θέμενος, ἐντεῦθεν καὶ περὶ τῶν ἄλλων εἰκάζειν τοῖς ἀναγινώσκουσι δίδωμι· ἐρῶ δὲ βραχύ τι τῆς ὑποθέσεως παρεκβατικώτερον· ὅτι ταῖς μὲν εὖ πραττούσαις πόλεσιν ἐκ τῶν ἀρίστων καὶ τῶν εὐγενῶν τε ἅμα καὶ ἀγενῶν οἱ κατάλογοι, κἂν ταῖς πολιτικαῖς

1. χ. ἐπεγρύπνει. 2. γρ. μηδενὸς. 3. γρ. κυβερνήτας. 4. γρ. κακῶν.

τάξεσι, κἂν τοῖς στρατεύμασιν· οὕτω γοῦν Ἀθηναῖοι ἐπολιτεύσαντο καὶ ὁπόσαι πόλεις τὴν ἐκείνων δημοκρατίαν [1] ἐζήλωσαν, παρ' ἡμῖν δὲ τουτὶ τὸ καλὸν ἔρριπται καὶ ἠτίμασται, καὶ λόγος οὐδεὶς εὐγενείας, ἀλλ' ἄνωθεν ἐκ κλήρου διαδοχῆς, Ρωμύλου πρώτου ἀρξαμένου τῆς τοιαύτης συγχύσεως, ἥ τε [2] σύγκλητος διέφθαρτο, καὶ ὁ βουλόμενος ἐστὶ δημοποίητος. Ἀμέλει πλείους ἂν εὕροι τις παρ' ἡμῖν σισυροφόρους τὴν στολὴν μεταλλάξαντας· ἄρχουσι γοῦν πολλάκις ἡμῶν οὓς ἐκ τῶν βαρβάρων ἐωνησάμεθα, καὶ τὰς μεγάλας πιστεύονται δυνάμεις οὐ Περικλεῖς, οὐδὲ Θεμιστοκλεῖς, ἀλλ' οἱ ἀτιμότατοι [3] Σπάρτακοι. Καὶ γέγονέ τις ἐν τῇ κατ' ἐμὲ ἡλικίᾳ, κάθαρμά τι βαρβαρικὸν, πᾶσαν ὑπεραναβεβηκὼς ἀγερωχίαν Ρωμαϊκὴν, εἰς ὕψος δὲ τοσοῦτον ἐλάσας ὥς τινας καὶ τῶν γενομένων αὐτοκρατόρων αἰκίσασθαι πρότερον δι' ὑπεροψίαν δυνάμεως, εἶτα ἐπειδή περ εἰς τὸ κράτος ἀνήχθησαν, μεγαλαυχεῖν τοῦτον πρὸς ἑνίους, ὅτι τοὺς βασιλέας [4] Ρωμαίων ταύτῃ τῇ χειρὶ πολλάκις τετύπτηκα (τὴν δεξιὰν ἐπιδεικνύς)· πρὸς ταύτην οὖν ἐγὼ τὴν φωνὴν ἅπαξ δεινοπαθήσας, μικροῦ δεῖν τὸν μεγάλαυχον ἐκεῖνον βάρβαρον ταῖν χεροῖν ἀπηγχόνισα, οὐκ ἐνεγκὼν τὴν τοῦ λόγου πληγήν.

Τούτου δή τι οὐκ ἔλαττον μίασμα οὐ πολλῷ πρότερον τὸ τῆς παρ' ἡμῖν συγκλήτου κατέχρανεν εὐγενὲς, πρῶτον μὲν τῷ αὐτοκράτορι ὑπηρετηκὸς, ἔπειτα δὴ τοῖς ἐν τέλει παρεισφθαρὲν καὶ εἰς τὴν κρείττονα τάξιν ἀριθμηθὲν, ἀνὴρ καὶ τὸ γένος, ὥς μοι δεδήλωται, ἄσημος, καὶ εἴ τι ἄλλο τις εἰπεῖν βούλοιτο, ἀγενέστατος καὶ φαυλότατος· ἀλλ' ἐπειδὴ τῶν παρὰ Ρωμαίοις ποτίμων ναμάτων ἐγεύσατο, δεινὸν ἄλλως πεποίηται, εἰ μὴ καὶ τῆς πηγῆς ἐγκρατὴς γένοιτο, καὶ βασιλεύσοι τῶν εὐγενεστάτων Ρωμαίων ὁ ἀργυρώνητος! Τοῦτο τοιγαροῦν εἰς νοῦν ὁ ἀγενὴς ἐκεῖνος βαλλόμενος, ἕρμαιον πρὸς τὸν σκοπὸν τὸ τοῦ αὐτοκράτορος ποιεῖται ἀτεί-

1. χ. δημοκράτιαν. 2. χ. ἥτης. 3. χ. ἀτιμώτατοι. 4. χ. βασιλίας.

χιστον, καὶ μηδενὶ τῶν γενναιοτέρων φράσας τὸ μελετώμενον, ἀπραγμάτευτον τὴν ἐπιτυχίαν ποιεῖται τοῦ ἐφετοῦ· καὶ ἀπὸ τοῦ θεάτρου εἰς τὰ ἀνάκτορα τὴν πομπὴν ποιουμένῳ τῷ αὐτοκράτορι, τοῖς ὀπισθοφυλακοῦσιν ἑαυτὸν συντάξας συνείπετο, καὶ τῶν βασιλικῶν ἀδύτων ἐντὸς γεγονὼς αὐτοῦ που παρὰ τοῖς ὀπτανείοις [1] ἐνήδρευε, παντὸς οἰομένου τοῦ προστυγχάνοντος ὅτι τοι ὁ βασιλεὺς αὐτῷ τὴν προσεδρείαν εἰρήκει, καὶ διὰ ταῦτα οὐδεὶς τῶν πάντων τῶν βασιλείων τοῦτον ἔξωσεν αὐλῶν. Ἔμελλε δ' οὖν, ὡς ὕστερον τὸ ἀπόρρητον τῆς ψυχῆς ἐξεταζόμενος ἀνεκάλυψεν, ὑπνώττοντι τῷ βασιλεῖ ἐπιθήσεσθαι καὶ σιδήρῳ ἀποκτενεῖν [2], ὃ δὴ καὶ ὑπὸ κόλπον [3] εἶχε, [καὶ] τὸ κράτος εἰς ἑαυτὸν μεταθέσθαι. Τοῦτο γοῦν βουλευσάμενος, ἐπειδή περ ὁ βασιλεὺς ἀνεπαύσατο [4], ἐκκείμενος πᾶσιν ὡς μοι προείρηται, ὁ τολμητίας ἐπὶ τὸ ἔργον χωρεῖ· βραχὺ δέ τι προεληλυθὼς πλανᾶται τὰς γνώμας, καὶ σκοτοδίνης καὶ ἰλίγγου [5] πεπλήρωται, καὶ τῇδε κακεῖσε περιθέων ἁλίσκεται. Καὶ ὁ βασιλεὺς τὸν ὕπνον εὐθὺς ἀποσυληθείς, τῶν φυλάκων ἤδη συνειλεγμένων καὶ πικρῶς ἐξεταζόντων τὸν βάρβαρον, ἐν δεινῷ μὲν ποιεῖται τὴν τόλμαν καὶ βαρυθυμεῖ ὡς εἰκὸς, εἰ τοιοῦτος ἀνὴρ βασιλέως κατεπεφρόνηκε. Καὶ τοῦτον μὲν εὐθὺς δεσμώτην ποιεῖται, εἰς τὴν αὔριον δὲ ἐξεταστὴς αὐτῷ πικρότατος περὶ τοῦ τολμήματος κάθηται, καὶ ἀνακρίνει, εἰ συνωμότας [6] πρὸς τὴν ἐπιβουλὴν ἔσχηκεν, εἰ προηγήσατό τις τούτου τοῦ σκέμματος, εἰ προβεβούλευκέ τις τὴν τόλμαν αὐτῷ· ὡς δ' οὐδὲν ὑγιὲς πρὸς τὰς ἐν λόγοις ἀνακρίσεις ἀπήγγειλε, βασάνοις αὐτὸν πικροτάταις αἰκίζεται, καὶ γυμνὸν ἐπὶ ξύλου μετεωρίσας ἀπὸ θατέρου ποδῶν ἡμιθανῆ ποιεῖται ταῖς μάστιξιν, ὑφ' ὧν | ἐκεῖνος, ὡς οἶμαι, συμπιεζόμενος καταγγέλλει τῶν ἐν τέλει τινὰς ὡς κοινωνοὺς τοῦ τολμήματος, καὶ γεγόνασι πάρεργον βαρβαρικῆς ἀλογίας ἄνδρες ἐννομώτατοι καὶ ἀσφαλέστατοι· φ. 381.

1. χ. ὀπτανείοις. 2. χ. ἀποκτενεῖ. 3. χ. κόλπων. 4. χ. ἀναπαύσετο. 5. χ. ἰλίγκου. 6. εἰς συνωμότας.

ἀλλ' ὅ γε μετὰ ταῦτα χρόνος ἐκεῖνον μὲν τοῖς ἀτιμοτάτοις ἔτι συναριθμεῖ, τούτους δὲ ἐς τὴν ἀρχαίαν τάξιν ἐπανεσώσατο.

Ὁ δέ γε αὐτοκράτωρ βραχύν τινα χρόνον τῆς τοῦ σώματος ἐπιμεληθεὶς φυλακῆς, αὖθις ἠμέλησε τῆς φρουρᾶς, ὅθεν μικροῦ δεῖν αὐτός τε ἀνήρπαστο καὶ ἡ πόλις ἐν κλύδωνι ἐγεγόνει καὶ δεινῷ μείζονι· δηλώσει δὲ ὁ λόγος ὅθεν τε ἤρξατο τὸ κακὸν καὶ ἐφ' ὅσον κεχώρηκε, καὶ ὅπως ἀτυχήσας ὁ βασιλεὺς παρ' ἐλπίδας αὖθις εὐτύχηκεν. Ἱλαρὰν εἶχεν ὁ αὐτοκράτωρ πρὸς πᾶσαν παιδιὰν τὴν ψυχὴν καὶ ἐβούλετο ψυχαγωγεῖσθαι ἀεί, παρεμυθεῖτο δὲ τοῦτον οὔτε ὀργάνου φωνὴ, οὔτε ἦχος αὐλῶν, οὐ φωνὴ ἐμμελὴς, οὐκ ὀρχήματα, οὐχ ὑπορχήματα, οὐδέ τι ἄλλο τῶν οὕτως ἐχόντων· εἰ δέ τῳ ἡ γλῶττα ἐδέδετο φυσικῶς καὶ ὀρθοεπεῖν οὐκ ἠδύνατο, ἢ εἴ τις ἕτερος ἁπλῶς ἐφλυάρει τὸ ἐπιὸν ἅπαν φλεγόμενος [1], ταῦτα ἐκεῖνον ὑπερφυῶς ἡδύφρανεν, καὶ ὅλως τὸ διημαρτημένον τῆς παιδιᾶς τοῦτο ἐκεῖνος ἐτίθετο σπούδασμα. Ἀμέλει καὶ ἐπεχωρίαζε τηνικαῦτα ἐντὸς τῆς βασιλείου αὐλῆς τοιοῦτόν τι ἠμίφωνον κάθαρμα, ἧ [2] γὰρ ἐπείχετο παντάπασιν ὁμιλοῦντι ἡ γλῶσσα, ἢ διωλίσθαινε κατατείνοντι· ὁ δὲ ἀνὴρ οὗτος καὶ προστιθεὶς τῷ τῆς φύσεως ἁμαρτήματι, εἰς ταὐτὸν τὸν λόγον τῇ ἀφωνίᾳ συνήλαυνεν· ἀνεπαίσθητος γὰρ ἐν ἀμφοῖν [3] ὧν εἰπεῖν βούλοιτο ὁ ἀκροατὴς ἦν.

Τοῦτον πρῶτα μὲν ἀφελῶς εἶδεν ὁ αὐτοκράτωρ, καὶ παρεγίγνετο ἐκ διαστημάτων μακρῶν μετὰ τὸ κατὰ χειρὸς ὕδωρ, εἶτα οἷς [4] ἐκεῖνος, θερμότερος ἐγεγόνει περὶ τὴν ἡδονὴν τῆς φλυαρίας, καὶ πρὸς τιθεὶς ἀκόρεστος ἦν τῆς τοῦ ἀνδρὸς ἐντυχίας· ὅθεν οὐδ' εἶχεν αὐτῷ καιρὸν ἡ παιδιὰ, ἀλλὰ καὶ χρηματίζοντι καὶ ἀρχαιρεσιάζοντι καὶ ἄλλο τι τῶν κοινῶν πράττοντι, συνῆν [5] ἐκεῖνος, τὴν φυσικὴν ἁμαρτίαν ἐπιδεικνύμενος [6] καὶ τὴν τέχνην ὑποκρινόμενος. Ἀμέλει τοι καὶ πλάττει τὸν ἄνθρωπον, ἢ ἀναπλάττει ἀπὸ τοῦ κρείτ-

1. γρ. φθεγγόμενος. 2. γρ. οἳ. 3. χ. ἀμφοῖς. 4. γρ. οἷος. 5. χ. συνῆσε. 6. χ. ἐπεδεικνύμενος.

τονος χώματος, καὶ ἀπὸ τῶν τριόδων εἰς τὸν Ρωμαϊκὸν μεθιστᾷ ἄξονα, καὶ τοὺς ἐντίμους αὐτῷ σχεδιάσας βαθμοὺς μετὰ τῶν κορυφαίων ἱστᾷ, καὶ ἁπανταχοῦ τὸν ἄνδρα ποιεῖ, καὶ τὰ πρῶτα τῶν σωματοφυλάκων χειροτονεῖ. Ὡς δὴ τὸ ἀπραγμάτευτον αὐτῷ τῆς γνώμης ἐπιδεικνύμενος, οὐδ' ἐν καιρῷ προήει τῷ αὐτοκράτορι, ἀλλ' ὁπότε ἡ γνώμη τούτῳ παρεκελεύσατο· ἐφίλησε γοῦν προσελθὼν καὶ στῆθος καὶ πρόσωπον, καὶ προσεφθέγξατο μὴ φθεγξάμενον, καὶ διαχέας εἰς γέλωτα ἐπὶ τῆς αὐτῆς καθῆστο κλίνης, καὶ τὰς πεπονηκυίας τοῦ κρατοῦντος χεῖρας συσφίγξας ἤλγυνεν ὁμοῦ τε καὶ ἤθελξεν. Ἐγὼ γοῦν οὐκ εἶχον τίνα θαυμάσαιμι πρότερον, τὸν ἄνδρα τοῦτον μεταποιηθέντα πρὸς τὴν τοῦ βασιλέως γνώμην τε καὶ προαίρεσιν, ἢ τὸν αὐτοκράτορα πρὸς τοῦτον μεθαρμοσάμενον τὴν ψυχήν· ἄτερος γὰρ θατέρου ἐνδόσιμος ἐγεγόνει καὶ ἁλωτός· καὶ ὃ [3] μὲν αὐτοκράτωρ ἐβούλετο ὁ ὑποκριτὴς ἔπραττεν, ὃ δὲ οὗτος ἔπραττεν ἐκεῖνος ἐβούλετο. Τὰ γοῦν πολλὰ καὶ συνιεὶς ὁ αὐτοκράτωρ τῆς ὑποκρίσεως, ὅμως ἠγάπα παρ' ἐκείνου παιζόμενος· ἔνθεν τοι καὶ κατετρύφα τῆς τοῦ κρατοῦντος ἀβελτηρίας ὁ σκηνουργός, καὶ ἄλλο τι ἐπ' ἄλλῳ ἐπλάττετο πρὸς τὸ εὔηθες ἐκείνῳ οἰκείως συναρμοζόμενον.

Ἀμέλει ὁ μὲν βασιλεὺς οὐδὲ τὸ ἀκαριαῖον τῆς ἐκείνου συνουσίας ἀπολελεῖφθαι ἐβούλετο, ὁ δὲ δυσχεραίνων τὴν προσεδρείαν, ἠγάπα τὰς ἐλευθέρους διατριβάς· ἅπαξ γοῦν ἵππον ἀπολωλεκὼς τῶν πρὸς τὴν σφαῖραν ἐπιτηδείων, ἐπειδή περ ἀγχοῦ τῷ βασιλεῖ συνεκάθευδεν, ἀθρόον ἐξαναστὰς μέσης νυκτὸς ἐκεῖνόν τε ὑπνώττοντα ἤγειρεν, καὶ ἑαυτὸν κατασχεῖν οὐχ οἷός τε ἦν ἐνθουσιῶντα ὑφ' ἡδονῆς· ὁ δὲ βασιλεὺς μηδέν τι πρὸς τὴν ἀνάστασιν δυσχεράνας, ἠρωτήκει ὅ,τι πεπόνθοι καὶ ὁπόθεν [2] αὐτῷ προσεγεγόνει τὸ σκίρτημα· ὁ δὲ περιπτυχήσας αὐτοῦ τὸν αὐχένα καὶ πολλὰ καταφιλήσας τὸ πρόσωπον, « εὕρηταί μοι, φησὶν, ὦ βασιλεῦ [3], ὁ ἀπο-

1. χ. ὁ. 2. χ. ὁπῶθεν. 3. χ. βασιλεῦς.

λωλὼς ἵππος, ἐκτομίας δέ τις αὐτὸν ἐποχεῖται, ἔξωρος ἤδη καὶ ῥυτίδων ἀνάπλεως, καὶ εἴ γε βούλει[1], νῦν ἐντεῦθεν ἀφιππευσάμενος αὐτόν σοι μετὰ τοῦ σχήματος κομιοῦμαι. » Ἐπὶ τούτοις ἡδέως πάνυ γελάσας ὁ βασιλεὺς, « ἀλλ' ἀφίημί σε, φησὶ, σὺ δὲ ὡς τάχιστά μοι ἐπάνελθε ἐπαγγελλόμενος τῷ εὑρήματι. » Ἀπῄει γοῦν αὐτίκα ταῖς συγκειμέναις χρησόμενος ἡδοναῖς· καὶ ἐπειδὴ τέλος εἶχεν αὐτῷ τὰ συσσίτια, ἦκεν ἑσπέρας ἀσθμαίνων καὶ πνευστιῶν, καί τινα ἐκτομίαν ἐπισυρόμενος· « οὗτος γοῦν ἔφησεν, ὦ βασιλεῦ, ὁ τὸν ἐμὸν ἐπελαύνων[2] ἵππον· ὁ δὲ ἔχων οὐ δίδωσιν, ἀλλὰ μηδὲν τὴν ἀρχὴν αὐτὸν κεκλοφέναι ἐπόμνυται. » Ἐπὶ τούτοις ὁ μὲν γέρων ἐκεῖνος ἐῴκει δακρύοντι καὶ ἀπορουμένῳ πρὸς τὴν ἐπήρειαν, ὁ δὲ βασιλεὺς οὐκ εἶχεν ὅπως ἐπισχήσει τὸν γέλωτα. Τὸν μὲν οὖν παρεμυθήσατο ἑτέρῳ ἵππῳ καλλίονι, τῷ δέ γε ἐκτομίᾳ τὸ πεπλασμένον ἀπέσβεσε δάκρυον, τοσαῦτα δοὺς ὁπόσα οὐδ' ὄναρ αὐτὸς προσεδόκησεν· ἦν δ' ἄρα οὗτος τῶν[3] μάλιστα θεραπευόντων τὸν ἄνδρα τῆς ὑποκρίσεως, καὶ ὃν ὁ τεθεραπευμένος ἐβούλετο βασιλικῆς πρὸ πολλοῦ φιλοτιμίας τυχεῖν, ἐπεὶ δ' οὐκ εἶχεν ὅπως ὑπὲρ ἀγνῶτος ἀνδρὸς ἀξιώσει τὸν αὐτοκράτορα, τήν τε σκηνὴν τοῦ ὀνείρατος πλάττεται, κἀκεῖνον πάρεργον ποιεῖται τοῦ ἀνδρὸς ψευδοῦς τε ἐνυπνίου καὶ παχυτέρας ψυχῆς. Τὸ δέ γε δεινότερον, ὅτι πάντες μὲν ἤδειμεν[4] τὴν ὑπόκρισιν, ἐλέγχειν δὲ τὴν ὑπόκρισιν πολλοῦ δὲ καὶ δεῖ, βασιλικῆς τε ἀλογίας καὶ ὑποκρίσεως ἐκκειμένης ἐτυγχάνομεν ὄντες θηράματα, καὶ γελᾷν ἠναγκάσμεθα ἐφ' οἷς ὁ καιρὸς ἐδίδου θρηνεῖν· καὶ εἴ γε μὴ σπουδαίων ἐπηγγειλάμην ἀναγραφὴν, ἀλλὰ φλυάρων καὶ ἀσπουδάστων, πολλὰ ἂν τῷ λόγῳ συναγήοχα διηγήματα· ἀλλὰ τοῦτο μὲν ὡς ἐκ πολλῶν ἓν ἐκκείσθω, ὁ δέ γε λόγος τὰ ἑξῆς διηγήσεται.

Οὐ τοίνυν τὸν ἀνδρῶνα μόνον ὁ ἀνὴρ οὗτος[5] κατέλαβεν, ἀλλὰ καὶ εἰς τὴν βασίλειον γυναικωνῖτιν παρεισφθαρεὶς ἄμφω τὰς βασιλί-

1. χ. βούλη. 2. χ. ἐπελαῦνον. 3. χ. τὸν. 4. χ. ἤδει μέν. 5. χ. οὕτως.

δας ὑποποιεῖται, καὶ τὸν λῆρον πάντη πλασάμενος, παρὰ μὲν τῆς μείζονος τετάχθαι [1] διϊσχυρίζετο, τὴν δὲ νεωτέραν τεκεῖν ἀρρήτους ὅρκους ἀπώμνυτο, ὡς συμπεσούσης οὕτω | τῆς γενέσεως, καὶ φ. 382.
ὥσπερ ἀναμιμνησκόμενος ὅπως ἀποτεχθείη, τάς τε ὠδῖνας συνῆρε καὶ τῆς μητρῴας θηλῆς ἀναισχύντως ἐμέμνητο, μάλιστα δὲ τὸν τῆς Θεοδώρας τόκον κατέλεγεν ἀστειότατα, ὅ,τι τε εἴποι ἐγκυμονουμένη αὐτῷ καὶ ὅπως ἀποτεχθείη· ἐφ' οἷς τὸ τῶν γυναικῶν ἐκείνων ἀδέλτερον τῷ ὑποκριτῇ θηραθὲν, πᾶσαν αὐτῷ θύραν ἀπορρήτων εἰσόδων ἀνέῳξε, καὶ οὐκ εἶχέ τις ῥᾳδίως αὐτῷ ἀπαριθμήσασθαι ὁπόσα τούτῳ φοιτῴη [2] ἀπό τε τοῦ ἀνδρῶνος, ἀπό τε τῆς γυναικωνίτιδος.

Χρόνον μὲν οὖν τινα ἐπὶ τούτων μόνων εἱστήκει τὰ παίγνια· ἐπεὶ δὲ ἀπεληλύθει τῶν τῇδε ἡ βασιλὶς, περὶ οὗ δὴ αὐτίκα λέξομεν, ἀρχαὶ δὴ μεγάλων κακῶν τῷ ἁπλοϊκωτάτῳ τούτῳ ἐπονηρεύθησαν, ἑρῶ δὲ μέρος τι προαφαρπάσας ἧς ὁ μετὰ ταῦτα λόγος ἅψεται ὑποθέσεως. Ἐπαλλακεύετό τις μεῖραξ τῷ αὐτοκράτορι, ἐξ ἔθνους μεγίστου ὁμηρεύουσα παρ' ἡμῖν, γενναῖον μὲν οὐδὲν ἔχουσα, ἀλλ' ὡς ἐκ βασιλικοῦ αἵματος παρ' αὐτῷ σεβομένη καὶ τὰ πρῶτα τῆς τιμῆς ἔχουσα· ταύτης τῆς μείρακος ἔρωτα δεινὸν ὁ ὑποκριτὴς ἐκεῖνος ἐγκυμονεῖ· εἰ μὲν οὖν κἀκείνη ἑαυτὴν ἀπεδεδώκει τῷ ἐραστῇ οὐκ ἔχω διϊσχυρίσασθαι, ἀλλ' ὅμως ἐῴκει ἀντερασθῆναι· ἀλλ' ἡ μὲν ἴσως ἐσωφρόνει τὸν ἔρωτα, ὁ δὲ οὐκ εἶχεν ὅπως τοῦτο μόνον ὑποκριθείη· ἑώρα γοῦν ἀναιδῶς καὶ θαῦμα [3] προσῄει, καὶ ἀτεχνῶς ἐπυρπολεῖτο τὰ στέρνα· ὡς δὲ οὐκ εἶχεν ὅπως ἂν ἐγκρατὴς τοῦ ἔρωτος γένοιτο καὶ ὅλην τὴν ἐρωμένην ἑαυτῷ εἰσποιήσειτο [4] βασιλίδα, ὃ δὴ καὶ ἀκουσθῆναι παράλογον πάντη καὶ ἄπιστον, ἀλλ' ὅμως ἐκεῖνος εἴτε συντυχίᾳ [5] κακοήθων ἀνθρώπων χρησάμενος, εἴτε ἀφ' ἑαυτοῦ τὰς ὁρμὰς εἰληφὼς, εἰς νοῦν βάλλεται τῆς τῶν

1. γρ. τετέχθαι. 2. χ. φοιτώοι. 3. γρ. θαμὰ. 4. γρ. εἰσποιήσαιτο. 5. χ. συντυχείᾳ.

Ρωμαίων ἡγεμονίας τυχεῖν. Ῥᾷστα [1] γοῦν αὐτῷ τὸ βούλευμα καταφαίνεται, οὐ γὰρ τὸ ἀποκτεῖναι μόνον τὸν αὐτοκράτορα ἀπραγμάτευτον τούτῳ λελόγιστο· ὁ δὲ καὶ τὰς κλεῖς εἶχε τῶν ἀπορρήτων εἰσόδων καὶ πάντα αὐτῷ κατὰ τὸ βουλητὸν ἐπεζύγωτο καὶ ἀνέῳκτο· ἠπάτητο δὲ, ὅτι καὶ πολλοῖς τοῦτο βουλομένοις ἐστί· κολάκων γὰρ οὐκ ὀλίγη μερὶς αὐτῷ παρετρέφετο, καί τις παρ' αὐτοῦ κορυφαῖ [2] ὅλον ἐκεῖνον εἰσοικισάμενος, τὰ πρῶτα τῶν μισθοφόρων ἐτύγχανεν [3] ὤν.

Τοῦτο τοιγαροῦν τὸ βούλευμα πρῶτον μὲν ἀπορρήτως [4] εἶχε, καὶ οὐδενὶ τῶν πάντων καταφανὴς ἦν περὶ τοῦ τοιούτου σκεπτόμενος· ἐπεὶ δὲ ὁ ἔρως αὐτὸν ἐξεκύμαινε καὶ ὑπέραντα [5] ἐγεγόνει, τολμᾷ δὴ τὸ πρᾶγμα καὶ ἀνακαλύπτει πολλοῖς τὴν γνώμην, ὑφ' οὗ [6] δὴ καὶ τάχος ἁλίσκεται· ἦλω δὲ οὐ πρὸ μιᾶς ὥρας, ἀλλ' ἔλαττον τοῦ δεινοῦ ἐκείνου ἀποτελέσματος· ἐπειδὴ γὰρ ἑσπέρα κατέλαβε, καὶ ὁ βασιλεὺς ὡς εἰώθει ὑπνίαζεν, ὁ μὲν ἴσως τὸ φονουργὸν σιδήριον ἔθηκεν [7], ἐφοίτησε δέ τις αὐτίκα τῶν οἷς ἐκεῖνος τὸ σκέμμα διωμολόγησεν, ὡς ἔχων τι τῷ βασιλεῖ προσαγγεῖλαι, καὶ ἐπείπερ εἰσέδυ τὸ καταπέτασμα πνευστιῶν [8] ὅλως καὶ οὔπω τὸ ἄσθμα ἐπέχων « ἀποκτενεῖ σε, βασιλεῦ, αὐτίκα ὁ φίλτατος, τὸν ἄνδρα ὀνομαστὶ εἰρηκὼς, σκέψαι γοῦν ὅπως ἐκφεύξῃ ὑπόγυον θάνατον! » Ταῦτα ὁ μὲν εἰρήκει, ὁ δὲ διηπόρει καὶ πιστεύειν οὐκ εἶχεν· ὁ δὲ γνοὺς, ῥίπτει μὲν τὸ σιδήριον, εἴσεισι δὲ τὸν ἐκεῖσε ναὸν καὶ τῇ ἱερᾷ προσφεύγει τραπέζῃ, καὶ ἀπαγγέλλει τὸ βούλευμα καὶ πᾶσαν τὴν ἐπὶ τούτῳ σκηνὴν, καὶ ὁπόσα προβεβουλεύκει, καὶ [ὡς] ἔμελλεν αὐτίκα ἀναιρήσειν [9] τὸν αὐτοκράτορα.

Ὁ δὲ οὐδ' ὅτι σέσωστο χάριν εἶχε θεῷ, ἀλλ' ὅτι ἑαλώκει ὁ φίλτατος ἐβαρυμηνία τῷ προσαγγείλαντι καὶ προὐλάμβανε τῇ ἀπολογίᾳ τὴν κατηγορίαν. Ἐπεὶ δὲ οὐκ ἦν κρύψαι τὴν ἐπιβου-

1. γρ. Ῥᾶστον. 2. γρ. [τῶν] παρ' αὐτῷ κορυφαίων. 3. χ. ἐτύχανεν. 4. χ. ἀπορρήτων. 5. γρ. ὑπὲρ ἄνδρα. 6. γρ. ὑφ' ὧν. 7. γρ. ἔθηγεν. 8. χ. πνευτιῶν. 9. χ. ἀραιρήσειν.

λὴν [1] εἰς τοὐμφανὲς ἀναρρυγεῖσαν [2], καθιστᾷ μὲν ἐς τὴν ἐπιοῦσαν δικαστηρίου σκηνὴν, εἰσάγει δὲ πεδήτην [τὸν] ἁλόντα ὡς κριθησόμενον· καὶ ἐπειδὴ εἶδε δεδεμένον τὼ χεῖρε, μικροῦ δεῖν ἀνωλόλυξεν, ὡς ἐπὶ καινῷ καὶ ἀτόπῳ θεάματι, καὶ δακρύων τοὺς ὀφθαλμοὺς ὑποπλησθεὶς, « ἀλλὰ λύσατέ μοι, φησὶ, τουτονί· μαλθακίζεται γάρ μοι ἐπ' αὐτῷ ἡ ψυχή. » Καὶ ἐπειδὴ λελύκασι τῶν δεσμῶν οἷς τοῦτο προστέτακτο, ἠρέμα πρὸς τὴν ἀπολογίαν προβιβάζων [3] καὶ αἰτίας εὐθὺς ἀφιεὶς, « σοὶ μὲν ἐλευθέρα, φησὶν, ἡ γνώμη παντάπασιν· οἶδα γάρ σου τὸ ἁπλοϊκὸν καὶ ἐλεύθερον· ἀλλά μοι λέγε, τίνες οἱ πρὸς τὴν ἄτοπον γνώμην σὲ συνελάσαντες; τίς ἔκλεψέ σου τὸ ἄπλαστον φρόνημα; τίς ἐσύλησέ σου τὸν ἀπερίεργον νοῦν; ἐπὶ τούτοις εἰπὲ καὶ τίνος ἐρᾷς τῶν ἐμῶν; τί δέ σε τῶν πάντων θέλγει; οὐ γὰρ ἀτυχήσεις οὐδενὸς ὧν λίαν ἐπιτεθύμηκας. »

Ταῦτα μὲν ὁ αὐτοκράτωρ, διῳδηκὼς ἐπὶ πᾶσι τοῖς ὀφθαλμοῖς καὶ δακρύων τέγγων ῥοῇ. Ὁ δὲ πρὸς μὲν τὰς πρώτας ἐρωτήσεις, ὥσπερ μηδὲν ἠρωτημένος, οὐδ' ὁ,τιοῦν ἀπεκρίνατο, πρὸς δὲ τὰς δευτέρας ἔνθα τὰ περὶ τῆς ἐπιθυμίας καὶ τοῦ ἔρωτος ἔκειτο, θαυμασίως τὸ δρᾶμα ὑποκρινόμενος τοῦ σοφίσματος, τάς τε χεῖρας τοῦ αὐτοκράτορος κατεφίλησε καὶ τοῖς γόνασι τὴν κεφαλὴν ἐπιθεὶς, « ἐπὶ τοῦ θρόνου με, φησὶ, κάθισον τοῦ βασιλικοῦ, καὶ μαργαρώδει στέμματι κατακόσμισον, χάρισαί δέ μοι καὶ τουτονὶ τὸν στρεπτὸν (τὸν περὶ τὸν τράχηλον ἐπιδείξας κόσμον), καὶ τῆς σῆς μοι κοινώνησον εὐφημίας. Τούτου γὰρ καὶ πρότερον ἤρων [4], καὶ νῦν διαφερόντως ἐρῶ. » Ἐσκίρτησεν ἐπὶ τούτοις ὁ αὐτοκράτωρ καὶ λαμπρόν τι ἠγαλλιάσατο· ἐβούλευτο [5] δὲ αὐτῷ ταῦτα, τὸ μνηστεῦσαι ἐκείνῳ ἐλευθερίαν τοῦ ἀτόπου τολμήματος, ὡς ὑπονοίας καὶ κατακρίσεως διὰ τὸ ἁπλοῦν τοῦ φρονήματος ἐλευθέρῳ παντάπασι· « καὶ ταινιώσω σοι, φησὶ, καὶ τὴν κεφαλὴν, καὶ

1. χ. ἐπουβουλὴν. 2. γρ. ἀναρρυεῖσαν. 3. γρ. προσβιβάζων. 4. χ. ἦρον. 5. γρ. ἐβεβούλευτο.

ἁλουργεῖ ἐσθῆτι περιβαλῶ, μόνον μοι κατάστηθι[1] τὴν ψυχὴν καὶ κατεύνασόν μοι τὸν κλύδωνα, καὶ τὴν νύκτα τῆς ὄψεως ἀπελάσας ἀπόδος μοι τὸ σύνηθες βλέμμα καὶ τὴν γλυκεῖαν ἡμέραν τῆς ὄψεως. » Ἐπὶ τούτοις καὶ οἱ σπουδάζοντες παίξαντες, καὶ οἱ δικάσαντες οὐδ' ὁ,τιοῦν ἐξετάσαντες, ἀλλὰ γελάσαντες ἅπαντες μεσοῦντος ἀπῆλθον τοῦ δράματος. Ὁ δέ γε βασιλεὺς, ὥσπερ αὐτὸς
φ. 383. ἐαλωκὼς καὶ τῆς νίκης κεκρατηκὼς, | σῶστρά τε ἔθυε τῷ θεῷ καὶ τὰς εὐχαριστηρίους ἀπεδίδου φωνὰς, συμπόσιον ἐπὶ τούτοις τοῦ συνήθους λαμπρότερον, καὶ ἑστιάτωρ μὲν ὁ αὐτοκράτωρ καὶ συμποσίαρχος, τὰ δὲ πρῶτα τῶν δαιτυμόνων αὐτὸς οὗτος ὁ δραματουργὸς καὶ ἐπίβουλος.

Ἐπεὶ δὲ ἡ βασιλὶς Θεοδώρα καὶ ἡ ἀδελφὴ Εὐπρεπία κατὰ τὰς ποιητικὰς θεὰς τοῖς τελουμένοις δεινῶς ἐπεμίξαντο, οὐδὲν ἐπιδεικνύμεναι χάριεν, ἀλλὰ μεμφόμεναι τὰ πλείονα τὴν τοῦ βασιλέως ἁπλότητα, αἰσχύνεται ταύτας ὁ βασιλεὺς καὶ ὑπερορίαν τοῦ ἐαλωκότος καταψηφίζεται, οὐ μακρὰν ἀποικίσας, ἀλλ' αὐτοῦ που ἐπὶ μιᾶς τῶν πρὸ τῆς πόλεως νήσων ἐπιχωριάζειν προστεταχὼς, λούεσθαί τε ἐκεῖσε παρακελευσάμενος καὶ πάσης ἐμπίπλασθαι ἡδονῆς· οὔπω δὲ ἡμέραι δέκα παρεληλύθεσαν, καὶ ἀνακαλεῖται τοῦτον λαμπρῶς, καὶ μείζονος ἀξιοῖ παρρησίας καὶ χάριτος. Ἡ δὲ τοιαύτη διήγησις οὐκ ὀλίγα τῶν ἀτοπωτέρων παρεσιώπησεν, ὁπόσα αἰσχύνην τε τῷ γράφοντι φέρει καὶ ὄχλον τοῖς ἐντυγχάνουσιν. Ἐπεὶ δὲ οὐκ εἰς ἅπαν τέλος ὁ λόγος κατέληξε, δεῖται δὲ πλείονος ἐπιπλοκῆς πρὸς ἀπαρτισμὸν, ἑτέραν παρενείρας ὑπόθεσιν, ἧς ὁ λόγος δεῖται τοῦ διηγήματος, οὕτω δὴ αὖθις ἐπαναστρέψας τοῖς ὑφηγησομένοις τὸ λειπόμενον ἀποδώσω.

Ἔξωρος ἤδη πρὸς συνουσίαν ἀνδρὸς ἡ βασιλὶς καθειστήκει Ζωὴ, τῷ δέ γε βασιλεῖ τὰ τῆς ἐπιθυμίας ἐφλέγμαινεν· ἤδη γὰρ καὶ ἡ Σεβαστὴ τούτῳ τετελευτήκει, καὶ ὁ ἀρισταίνων[2] περὶ τὸν

1. χ. κατάστιθι. 2. γρ. ὁαρισταίνων.

ἔρωτα ἐπὶ πολλὰς πεπλάνητο φαντασίας καὶ ἀνατυπώσεις ἀτόπους· φύσει δὲ ὢν περίεργος τὰ ἐρωτικὰ καὶ μὴ εἰδὼς τὸ πάθος εἰς εὐκολίαν διαλύσασθαι μίξεως, ἀλλ' ἀεί τινα ἐπεγείρων κύματα ἐπὶ ταῖς πρώταις εὐναῖς, ἐρᾷ τινος μείρακος, ὥς μοι καὶ ἄνω που τοῦ λόγου λέλεκται, ἐξ Ἀλανίας ὁμηρευούσης ἡμῖν· βασιλεία δὲ αὐτὴ οὐ πάνυ σεμνή, οὐδὲ ἀξίωμα ἔχουσα, τῷ δὲ Ρωμαίων κράτει τὸ ἐχέγγυον ἀεὶ διδοῦσα τῆς πίστεως· ἡ τοίνυν μεῖραξ θυγάτριον τοῦ ἐκεῖσε βασιλεύοντος ἦν, οὔτε τὸ εἶδος ἀξιοθέατον, οὔτε τὴν θεραπείαν εὔδαιμον, δυσὶ δὲ μόναις κεκόσμητο χάρισι, λευκὸν ἦν τὴν χροιὰν καὶ καλλίστοις ἐπήστραπτεν[1] ὄμμασιν· ἀλλ' ὅ γε βασιλεὺς ἅπαξ ἑαλωκὼς ταύτης, τοὺς μὲν ἄλλους κατέλυσεν ἔρωτας, σκηνοῖ δὲ παρ' αὐτῇ μόνῃ καὶ σφοδρὸν ἐπ' αὐτῇ πόθον ἐγκυμονεῖ. Ἀλλ' εἰ[2] μὲν ἡ βασιλὶς βιώσιμος ἦν, οὐ πάνυ τι ἀνερρήγνυτο, ἀλλ' ἠγάπα λανθάνειν καὶ συγκαλύπτεσθαι· ἐπεὶ δὲ ἐτεθνήκει, αἴρει τὴν φλόγα τοῦ ἔρωτος καὶ ἀναρριπίζει τὸν πόθον, καὶ μονονοὺ παστάδα πηξάμενος ἑαυτῷ τὴν ἐρωμένην νυμφαγωγεῖ, καὶ ὁ μεταςχηματισμὸς ἀθρόος τε καὶ καινός· τήν τε γὰρ κεφαλὴν ἀσυνήθης κόσμος ἐκύκλου, καὶ ἡ δέρη χρυσῷ κατηγλάϊστο, ἐπικάρπιοί τε ὦφεις χρυσοῖ τοὺς βραχίονας αὐτῇ διενέμοντο, καὶ τῶν ὤτων μαργαρῖται βαρεῖς ἀπεκρέμαντο, ἡ δὲ ζώνη[3], χρυσὸς δὲ αὐτὴν καὶ μαργάρων ὁρμαθὸς ἐσχημάτιζέ τε καὶ διεποίκιλλε· καὶ ἦν ἡ γυνὴ Πρωτεὺς ἀτεχνῶς ἐξαλλάττων καὶ ποικιλλόμενος.

Ἐβούλετο μὲν οὖν ταύτην καὶ βασιλικῇ ἀναδῆσαι ταινίᾳ, ἀλλ' ἐδεδίει δύο ταῦτα, τόν τε νόμον τὸν ἀριθμὸν αὐτῷ τῆς συζυγίας ἐπιμετρήσαντα, καὶ τὴν βασιλίδα Θεοδώραν ὡς οὐκ ἀνεξομένην τὸ ἄχθος, οὐδὲ βασιλεύειν τε αἱρησομένην καὶ βασιλεύεσθαι· διὰ ταῦτα τοίνυν τοῦ μὲν σχήματος αὐτῇ τῆς βασιλείας οὐκ ἐκοινώνησε, μεταδίδωσι δὲ τοῦ ὀνόματος, Σεβαστὴν ἀνειπών, δορυφορίαν τε αὐτῇ βασιλικὴν διατίθεται[4], καὶ πάσας ἐπ' αὐτῇ θύρας

1. χ. ἐπίστραπτεν. 2. χ. ἰ. 3. χ. ζωνὴ. 4. διατίθεσθαι.

αἰτήσεων ὑπανοίγνυσιν, ἐπιρρεῖ τε αὐτῇ χρυσῷ ποταμοὺς ῥέοντας καὶ ὀχετοὺς ὀλβίους καὶ εὐδαίμονας[1] ἄπειρα ῥεύματα. Αὖθις οὖν ἐσπαθᾶτο πάντα καὶ διεφθείρετο, καὶ τὰ μὲν ἐντὸς τῶν τειχῶν διεσκίδναντο, τὰ δὲ ἐξαγώγιμα εἰς τὴν βάρβαρον ἦν· καὶ τότε πρώτως ἡ τῶν Ἀλανῶν γῆ τῶν ἀπὸ τῆς ἡμετέρας Ρώμης ἐμπέπληστο ἀγαθῶν· κατήγοντο οὖν νῆες καὶ αὖθις ἀνήγοντο φορτίδες ὅλαι τῶν παρ' ἡμῖν τιμίων καὶ οἷς πάλαι τὸ τῶν Ρωμαίων ἐζηλοῦτο βασίλειον. Ἐγὼ δὲ καὶ τότε μὲν ἐθρήνουν ὁρῶν τὰ πάντα οὕτω διατυφόμενα, καὶ νῦν οὐδὲν ἔλαττον ἀλγυνόμενος· εἰμὶ γὰρ εἴπερ τις ἄλλος φιλορώμαιος καὶ φιλόπατρις, ἔτι ἐπὶ τῷ ἐμῷ δεσπότῃ καὶ βασιλεῖ ἐπαισχύνομαι. Τοῦ γὰρ ἔτους δίς που καὶ τρὶς ἐξ Ἀλανίας πρὸς τὴν Σεβαστὴν ταυτηνὶ μείρακα πατρῷοι ἐφοίτων[2] θεράποντες, οἷς ὁ αὐτοκράτωρ ταύτην ἐπὶ θεάτρου δεικνὺς ὁμευνέτιν τε καὶ βασιλίδα ἐκήρυττε καὶ ὠνόμαζε· καὶ τὰ μὲν αὐτὸς ἐκείνοις ἐδίδου, τὰ δὲ τῇ καλῇ γαμετῇ διδόναι παρεκελεύετο.

Ταύτης τοιγαροῦν ὁ ὑποκριτὴς ἐκεῖνος ἀνὴρ, περὶ οὗ δὴ λέγων βραχύ τι ἐπεπαύμην, καὶ πρότερον ἦρα, καὶ μὴ τυχὼν, καὶ διὰ ταῦτα ἐπιβεβουλευκὼς καὶ τυχὼν, ἐπειδὴ τῆς ὑπερορίας ἐπανελήλυθει, αὖθις ἦρα σφοδρότερον. Ἐγὼ δὲ τοῦτο δὴ ἀκριβῶς συνιεὶς ᾤμην ἠγνοηκέναι τὸν αὐτοκράτορα, μᾶλλον δὲ ἀμφίβολος ἦν, ἔστησε δέ μοι τὸν λογισμὸν ἐκεῖνος πλανώμενον· συνειπόμην δὲ[3] ἅπαξ κομιζομένῳ ἐπ' ἐκείνην τῷ αὐτοκράτορι, μέρος δὲ τῶν ἀκολουθούντων καὶ ὁ ἐραστὴς ἐγεγόνει· ἡ δὲ τηνικαῦτα ἐτύγχανεν ἐν τοῖς ἀδύτοις παρά τισιν ἑστῶσα κιγκλίσιν. Οὕπω δὲ τὸν βασιλέα κατασπασάμενον, ἔστησέ τις φροντὶς, καὶ ὁ μὲν ἐπὶ ταύτης ἦν, ὁ δέ γε ἐραστὴς ἐπὶ τὴν ἐρωμένην ἐρρίπτει τὰ ὄμματα καὶ ἰδὼν ἠρέμα προσειμειδίασε, καὶ αὖθις ἄλλο τι ἐπεποιήκει ἐρωτικόν· ἐπεὶ δὲ πολλὴν πλάνην αὐτῷ ἐπεπορεύθη τὸ πρόσωπον, ὁ αὐτοκράτωρ ἠρέμα μοι τῇ χειρὶ νύξας τὴν πλευρὰν, « ὁρᾷς, ἔφη,

1. γρ. εὐδαιμονίας. 2. χ. ἐφοίπων. 3. γρ. δή.

παμπόνηρον ἄνθρωπον, ἐρᾷ γὰρ ἔτι, καὶ οὐδὲν αὐτὸν τῶν προλαβόντων ἀνέστειλεν. » Ἐγὼ μὲν οὖν ἀκούσας ἐρυθήματος εὐθὺς ἐπληρώθην, τῶν δὲ ὁ μὲν προήει, ὁ δὲ ἠναισχύντει μᾶλλον καὶ ἑώρα θαρραλεώτερον. Ἀλλ' ἀτελέστατα ἐγεγόνει πάντα· ὅτε γὰρ ὁ αὐτοκράτωρ ἐτεθνήκει, ὡς ὕστερον ὁ λόγος ἐρεῖ, ἐκείνων [1] δὲ ἡ μὲν Σεβαστὴ εἰς ὁμηρείας αὖθις μερίδα λελόγισται, τὸν δὲ μέχρι | φαντασμάτων ὁ τοῦ ἔρωτος ἀνάπτει πυρσός. φ. 38 i.

Ὥσπερ δέ που ἐν ταύτῃ τῇ γραφῇ εἴωθα πολλὰ τῶν ἐν μέσῳ τῆς ὑποθέσεως τῆσδε παραλελοιπὼς, αὖθις εἰς ἐκεῖνον ἄνειμι· καὶ πρῶτόν γε τὸν περὶ τῆς βασιλίδος Ζωῆς ἀποδοὺς λόγον καὶ τῷ ἐκείνης θανάτῳ τοῦτον συμπερατώσας, αὖθις ἑτέρας ἕξομαι ὑποθέσεως. Ἐκείνης [2] γὰρ ὅπως εἶχεν ἐφ' ἥβης οὔπω σαφῶς οἶδα, εἰ μὴ ὅσον ἀκοῇ μεμαθηκὼς ἄνω που τοῦ λόγου ταύτην ἐπίστευσα.

Περὶ τῶν φυσικῶν ἰδιωμάτων τῆς βασιλίδος Ζωῆς.

Ὡς δ' οὖν γηράσασα ἦν οὐ πάνυ τι εἶχε τοῦ φρονήματος ἐρρωμένως· λέγω δὲ οὐχ ὡς περὶ παραφόρου ταύτης ἢ ἐξεστηκυίας, ἀλλ' ὡς καὶ πραγμάτων μὲν παντάπασιν ἀδεοῦς, ὑπὸ βασιλικῆς τε ἀπειροκαλίας διεφθαρμένης παντάπασιν· εἰ δέ που καὶ ψυχικῷ προτερήματι ἐκεκόσμητο, ἀλλ' οὐδὲ τοῦτο διέσωσεν αὐτῇ καθαρὸν ἡ γνώμη, ἀλλὰ πλέον ἢ δεῖ ἔχειν ἐπιδεικνυμένη, οὐ φιλότιμον ἀλλ' ἀπειρόκαλον τοῦτο ὑπέφαινεν· ὑπεξῃρήσθω δὲ ταύτης τὸ περὶ τὸ θεῖον σέβας, οὐδὲ γὰρ ἔχω ἐνταῦθα τὸ πλέον ἐπαιτιᾶσθαι, ἀνυπέρβλητον δὲ αὐτῇ τὸ ἀγαθὸν τοῦτο ἐτύγχανεν ὄν· ἐξεκρέματο γὰρ ὅλη τοῦ θείου καὶ πάντα ἐκεῖθεν εἵλκέ τε καὶ ἐνόμιζεν· οὕτω μὲν οὖν καὶ ἄνωθί που τοῦ λόγου τῆς προσηκούσης ἔτυχεν εὐφημίας· ὁ δέ γε λοιπὸς αὐτῇ βίος πῇ μὲν ἁπαλός τε καὶ ἔκλυτος, πῇ δὲ σκληρὸς ἄγαν καὶ σύντονος, ἄμφω σὺν οὐδενὶ λόγῳ καὶ παρὰ

1. χ. ἐκεῖνον. 2. γρ. ἐκείνη.

βραχύ τε[1] τοῦ χρόνου ἐπὶ ταὐτοῦ τὰ ἰδιώματα διηλάττετο· εἰ γοῦν τις αὐτὴν ἀθρόον ἰδών, ὑπεκρίθη τὸ πεσεῖν ἐξ ἀστραπῆς ὥσπερ πληγεὶς (τοῦτο γὰρ πολλοῖς ἐπαίζετο κατ' αὐτῆς), χρυσοῖς εὐθὺς ἐδεδώρητο ἀποδέσμοις· εἰ δὲ πλείοσι λόγοις εὐχαριστίας ἐχρήσατο, σιδηροῖς αὖθις κατεδεῖτο δεσμοῖς· καὶ ἐπειδὴ τὸν πατέρα αὐτῆς ἐγνώκει ἀφειδέστερον περὶ τὴν τῶν ὀμμάτων ἀφαίρεσιν, οὐκ ἔφθη τις τὸ βραχύτατον πλημμελήσας καὶ ἐπὶ τὴν τοιαύτην ἀπήγετο βάσανον, καὶ εἰ μὴ ὁ αὐτοκράτωρ οὐ ξυνεχώρει τὸ ἔργον, πολλοῖς ἂν ἐπ' οὐδενὶ λόγῳ ἐξεχύθη τὰ ὄμματα.

Φιλοτιμοτάτη δὲ γενομένη πασῶν γυναικῶν, καὶ διὰ τοῦτο πάντα συνδιαφθείρουσα, ὅτι μὴ μέτρον εἶχε ταύτῃ τὸ καλὸν, ὁμοῦ τε τῷ χρήματι ἀπηρίθμει καὶ θατέραν[2] χεῖρα ἐδεξιοῦτο τῷ κρείττονι κατὰ τοῦ λαμβάνοντος· εἰ δέ τις αὐτῇ κατὰ σπουδὴν τὰ τοῦ γένους διεξῄει καλὰ, καὶ μάλιστα ὁπόσα ὁ θεῖος Βασίλειος, ἠγάλλετό τε καὶ αὐτίκα μετέωρος ἦν τὴν ψυχήν. Ἑβδομηκοστὸν δὲ ἤδη ὑπερβᾶσα ἔτος τῆς ἡλικίας ῥυτίδα μὲν οὐκ εἶχεν ἐπὶ τοῦ προσώπου, ἀλλ' ἤνθει ὡς ἐπὶ νέῳ τῷ κάλλει· τῶν δέ γε χειρῶν οὐκ ἀτρόμως εἶχεν, ἀλλ' ἐκεκλόνητο, συνεκεκύφει δὲ καὶ τὰ νῶτα· τῶν δέ γε περὶ τὸ σῶμα καλλωπισμῶν ἠμέλει παντάπασι, καὶ οὔτε χρυσοπάστῳ ἐχρῆτο στολῇ, οὔτε ταινίαις, ἢ κόσμοις περιδεραίοις, ἀλλ' οὐδὲ φορτικῶς ἠμφίεστο, ἀλλ' ἐλαφρᾷ τῇ στολῇ τὸ σῶμα περιεκάλυπτε.

Τῶν μέντοιγε βασιλικῶν φροντίδων οὐδ' ἐκοινώνει τῷ αὐτοκράτορι, ἀλλ' ἐβούλετο πάντη ἄσχολος εἶναι τῶν περὶ ταῦτα πόνων, οὐδὲ τῶν ὅσα γυναῖκας περὶ αὐτὰ ἀσχολεῖ, ἱστόν φημι καὶ ἠλακάτην καὶ ἔριον καὶ τὸ ὑφαίνειν, οὐδὲ τούτων ἐφρόντιζεν· ἑνὸς δὲ μάλιστα εἶχετο καὶ περὶ τοῦτο σπουδὴν ἐτίθετο πᾶσαν, θυσίαν προσάγειν θεῷ, οὐ φημὶ τοσοῦτον τὴν δι' αἰνέσεων λογικῆς τε προσαγωγῆς καὶ ἐξομολογήσεως, ἀλλὰ τὴν δι' ἀρωμάτων καὶ ὅση τῆς Ἰνδῶν καὶ Αἰγυπτίων γῆς εἰς τὰ ἡμέτερα φοιτᾷ ὅρια.

1. γρ. τι. 2. χ. θατέρα.

Ἐπεὶ δὲ ὁ λαχὼν αὐτὴν αἰὼν ἀπήρτιστο καὶ θνήσκειν ἔμελλε, βραχύ τι κατ' αὐτῆς ἡ τῆς φύσεως ἕξις [1] προοιμιάζεται· μαραίνεται γὰρ αὐτῇ ἡ περὶ τὰς τροφὰς ἐπιθυμία, καὶ τὸ ἐνδεὲς προσθήκην λαμβάνον πυρετὸν αὐτῇ ἀνάπτει ἐπιθανάτιον, καὶ συντηκόμενον αὐτῇ τὸ σῶμα καὶ οἷον εἰπεῖν μαραινόμενον ἀγχοῦ τὸν θάνατον προεσήμαινε· καὶ ἡ μὲν αὐτίκα τὰ δεσμωτήρια [2], ποιεῖται δὲ χρεῶν ἀποκοπὰς, ἀπολύει δὲ συμφορῶν τοὺς ἐνόχους αὐταῖς, ταμιεῖά τε βασιλικὰ ὑπανοίγνυσι καὶ ποταμηδὸν χεῖσθαι ἐᾷ τὸν ἐν ἐκείνοις χρυσόν· ἀλλ' ὁ μὲν ἐν τούτοις οὕτως ἀφειδῶς, οὕτως ἀκρατῶς, ἡ δὲ βραχύ τι δυσθανατήσασα [3] καὶ τὴν ὄψιν ἀλλοιωθεῖσα μετατίθησι τὴν ἐνταῦθα ζωὴν, δύο πρὸς τοῖς ἑβδομήκοντα ἔτη βιώσασα.

Ἐγὼ δὲ τὸν περὶ τῆς βασιλίδος συντελέσας λόγον, ἐπὶ τὸν βασιλέα αὖθις ἐπάνειμι, τοσοῦτον ἐπειπών· ἐβουλόμην μὴ ἱστορεῖν, μηδὲ φιλαλήθης ἐνταῦθα κατονομάζεσθαι, ἀλλ' ἐγκώμια τῷ αὐτοκράτορι τούτῳ ποιεῖν, πολλῶν γὰρ ἂν εὐπορήσαιμι [4] καὶ καλῶν λόγων εἰς εὐφημίας ἔρανον, ὧν ἐκεῖνος δαψιλεῖς ἐδίδου τὰς ἀφορμάς· ὁ μὲν γὰρ ἐγκωμιάζων, ὅσα πρόσεστι φαῦλα τῷ ἐγκωμιαζομένῳ παραιτούμενος, ἐκ τῶν σπουδαιοτέρων ἐκείνῳ πλέκει τὸν ἔπαινον· κἂν πλεῖστα τἀναντία ᾖ, ἀρκεῖ τῷ ῥήτορι καὶ μία ὑπόθεσις σπουδαίαν τὴν πρᾶξιν ἔχουσα εἰς εὐφημίαν ἀρκοῦσαν, ὁπότε καὶ τὰ φαῦλα σοφιστικῶς μεταχειρισάμενος εἰς εὐφημίας καταβιάσαιτο ἀφορμήν· ὁ δέ γε συντιθεὶς ἱστορίας, ὥσπερ ἀπροσωπόληπτος καὶ ἀδέκαστος δικαστὴς οὐχ ἑτεροκλινής ἐστι τοῖς τῶν πράξεων μέρεσιν, ἀλλ' ἴσῳ σταθμῷ τοῖς λόγοις ἑαυτὸν [5] διδοὺς, οὐδὲ μίαν σοφίαν ἐπάγει οὔτε τοῖς σπουδαίοις, οὔτε τοῖς φαύλοις, ἀλλ' ἁπλῶς τε καὶ καθαρῶς τὰ πεπραγμένα διέξεισι, κἂν τῶν ὑποβεβλημένων τῷ λόγῳ προσώπων, ὁ μέν τις αὐτῶν σπουδαῖος ὢν [6] διεφαύλισεν, ὁ

1. χ. ἕξης. 2. προσθετέον [ἐπισκέπτεται]. 3. χ. δυσθανατίσασα. 4. χ. εὐπορήσασα. 5. χ. ἑαυτῶν. 6. χ. ὤν.

δὲ τῆς ἑτέρας μερίδος τυγχάνων χάριτάς τινας κατεβάλετο. οὐδ' ἑτέρων τῶν εἰς αὐτὸν πεπραγμένων ἐν τῇ ἱστορίᾳ λογίσεται, ἀλλ' ἕκαστον ἀναθήσει τῷ λόγῳ μετὰ τῆς οἰκείας πράξεως· ἐπεὶ εἴ γε δι' εὔνοιαν, ἢ ψυχῆς εὐγένειαν δοθείη τῷ ἱστοροῦντι τὸ εὐνοϊκῶς πρὸς αὐτὸν σχόντι ἀντιχαρίζεσθαι καὶ τούθ' εἵνεκα δεκάζειν τοὺς λόγους, τίς ἂν πρὸ ἐμοῦ ἕτερος ταῖς ἐκ τῶν λόγων εὐφημίαις τουτονὶ τὸν αὐτοκράτορα κατεκόσμησεν, ὅς γε οὔπω με πρὸ τοῦ κράτους ἑωρακὼς, ἐπειδὴ ἅπαξ εἶδεν, οὕτω μου ἐαλώκει τῶν λόγων ὡς δοκεῖν ἐκ τῶν ὤτων τῆς ἐμῆς γλώττης ἐκκρέμασθαι;

φ. 385. Ἀλλ' οὐκ οἶδ' ὅπως καὶ τὴν τῆς | ἱστορίας διαφυλάξω ἀλήθειαν, κἀκείνῳ τὸ εἰκὸς σέβας ἀπομερίσομαι· ἡ δέ γε τῆς ἐμῆς ἀκριβείας περὶ τὴν ἀληθῆ ἱστορίαν ὑπερβολὴ καὶ μοῖράν τινα ἐκείνῳ σώζει τῆς κρείττονος ὑπολήψεως· ᾧ[1] γὰρ ἀπερικαλύπτως ἐμοῦ καὶ τὰ δοκοῦντα φαῦλα ἐκείνου διακριβοῦντα[2], σώζεται ἐκ τῆς ἑτέρας μερίδος ἡ ἀρετὴ διαλάμπουσα, καὶ ὥσπερ ἐπὶ ζυγοῦ ἡ κρείττων πλάστιγξ κάτωθεν βρίθει ἀξιόλογόν τι βάρος τῶν πράξεων φέρουσα, πῶς οὐχὶ πάντας ἐκεῖνος ὑπερβαλεῖται τοὺς αὐτοκράτορας, ὧν ἐγκωμιαζομένων ὕποπτος ὦπται ἡ εὐφημία καὶ τοῦ πιθανοῦ μᾶλλον ἢ τοῦ ἀληθοῦς ἐχομένη; τίς δὲ τῶν πάντων ἀνθρώπων, ἵν' ὑπὲρ τῶν ἐκείνου ἐλαττωμάτων ἀπολογίσωμαι, καὶ μάλιστα τῶν βασιλεύειν λαχόντων ἐκ πασῶν ὤφθη[3] τῶν πράξεων ἀναδεδεμένος τὴν κεφαλὴν ἐγκωμιαστικῷ διαδήματι; ὁπότε γὰρ ὁρῶμεν τοὺς ὑμνουμένους ἐκείνους ἐν γνώμαις καὶ λόγοις καὶ πράξεσιν αὐτοκράτορας, Ἀλέξανδρον φημὶ τὸν Μακεδόνα καὶ τὼ διττὼ Καίσαρε, Πύρρον τε τὸν[4] Ἠπειρώτην καὶ Ἐπαμινώνδαν[5] τὸν Θηβαῖον, καὶ Ἀντίγονον[6] τὸν Λακεδαιμόνιον, ἵνα μὴ λέγω τοὺς ἄλλους, οἷς βραχὺς ὁ ἔπαινος παρὰ τῶν ἐπαινούντων ἀνείλεκται, οὐκ ἴσῳ τῷ μέρει ἐς ἀρετὴν καὶ κακίαν διαμεριζομένους, ὡς ἔκ τε

1. γρ. εἰ. 2. γρ. διακριβοῦντος. 3. χ. ὄφθη. 4. χ. καὶ. 5. γρ. Ἐπαμεινώνδαν. 6. γρ. Ἀγησίλαον.

τῶν ἀναγραψάντων τοὺς ἐκείνων βίους ἐγνώκαμεν, ἀλλὰ παρὰ πολὺ ἐπικλινεστέρους πρὸς τὸ φαυλότερον μέρος; τί δ' ἄν τις ἐρῇ περὶ τῶν ἐκείνους [1] μιμησαμένων, εἴ γε βραχεῖ τῷ μέρει κατόπιν ἐκείνων ὤφθησαν; λέγω δὲ οὐκ ἐν πᾶσι τοῖς τῆς ἀρετῆς μέρεσιν, ἀλλ' ἐν οἷς ἐκεῖνοι τῶν ἄλλων μάλιστα κατωρθώκασιν. Ἔγωγ' οὖν πρὸς ἐκείνους συγκρίνων τουτονὶ τὸν μέγιστον αὐτοκράτορα, ἐλάττονα μὲν πρὸς ἀνδρίαν οἶδα, μείζονα δὲ τοῖς ἄλλοις καλοῖς ἢ ὅσῳ τοῦ λοιποῦ μέρους τῶν καλλιστείων ἐκείνοις παρακεχώρηκεν· ὀξὺς γὰρ τὴν φύσιν ὢν, ἀγχίνους τε εἴ τις ἄλλος καὶ μνήμων διαφερόντως, τοσοῦτον τῆς θυμοειδοῦς ἐκράτει κινήσεως, ὡς δοκεῖν ἐξαίρετον τῶν ἄλλων λαχεῖν τὴν πραότητα· ἐμὲ γοῦν οὐκ ἐλάνθανεν ὥσπερ τις ἡνίοχος τὸν θυμικὸν ἵππον ἀνακρουόμενος· ἐξανθῆσαν γοῦν αὐτῷ τὸ αἷμα ἐπὶ τῆς ὄψεως, τό τε σῶμα ἀθρόως αὐτῷ κινηθὲν καθίστατο ἀθρώτερον καὶ τῷ λογισμῷ εὐθὺς μετεβάλλετο· εἰ δὲ πού τι καὶ δι' οἰκονομίαν βασιλικὴν ἢ θρασυτέρᾳ ἐχρήσατο τῇ φωνῇ, ἢ τισὶ πληγὰς ἐπηπείλησεν [2], αὐτίκα πως ἐρυθραίνετο ὥσπερ αἰδούμενος ὅτι παρὰ τὸ σύνηθες φθέγξαιτο [3]. Δικάζοντι δὲ οὔτε τὸ κρατοῦν μέρος, οὔτε τὸ καταψηφισθὲν διεδείκνυτο, μᾶλλον δὲ τὸ μὲν τὴν λευκὴν ψῆφον ἀπειληφὸς [4], αὐτὸ δὴ τοῦτο ἀπῄει [5] καταλαμπόμενον [6], θάτερον δὲ τοῖν [7] μεροῖν πρὶν ἄρα καὶ γνοίη τὴν ἧτταν οὐχὶ κρατήσειν ἤλπιζεν, ἀλλὰ μετὰ προσθήκης λαμβάνειν [8], ἐξῄει παρ' ἐλπίδα νενικηκός.

Πλείστων δὲ αὐτῷ ἐπιβεβουλευκότων, καὶ τῶν γε πλειόνων καὶ ξίφος ἐπὶ τὴν ἐκείνου κεφαλὴν σπασαμένων, τὸ μὲν βουλόμενον ἐκείνῳ [9] ἦν συγκαλύψειν [10] ἐκείνοις τὴν τόλμαν καὶ κατὰ τὸ σύνηθες διαλέγεσθαι, ὡς μηδὲν ἐγνωκότι τῶν τετολμημένων, ἢ ὡς εὐθὺς τῆς ἀναιδείας ἐκεῖνον ἐπιλελησμένον· ἐπεὶ δὲ οἱ παρὰ τὸ βῆμα καὶ ὅσοι τῆς πρὸς ἐκεῖνον οὐκ ἐστέρηντο παρρησίας πρὸς ὀργὴν

1. χ. ἐκείνοις. 2. χ. ἐπεπήλισεν. 3. χ. φθέγξετο. 4. χ. ἀπειληφώς. 5. χ. ἀπίει. 6. χ. καταλαμπόμενος. 7. χ. τοῖς. 8. χ. λαμβάνων. 9. χ. ἐκείνο. 10. χ. συγκαλύψοιν.

αὐτὸν ἀνηρέθιζον, ὡς αὐτίκα διαφθαρησόμενον εἰ μὴ πρὸς ἄμυναν τῶν τολμησάντων διανασταίη, τοῦ θριάμβου πλέον ἐκεῖνος ἢ τῆς ἀκριβοῦς βασάνου ἐγίγνετο· δικαστὰς γὰρ αὐτοῖς περιστήσας καὶ τὴν τόλμαν μεγαληγορήσας, οἷος ἐκεῖνος τὴν γλῶτταν εὔστροφος καὶ πολλῷ ῥέων [1] τῷ ῥεύματι, ἐπειδὴ πεφρικότας [2] εἴδοι, εἴς τινα βραχεῖαν καταλήγων ἄμυναν [3], καὶ ταύτην σὺν παιδιᾷ διατάξας εὐθὺς ἡφίει τῆς τιμωρίας. Τῶν μὲν οὖν δημοσίᾳ πεπραγμένων ἐκείνῳ πολλοῖς τῶν ἐκεῖνα λογογραφεῖν ἐθελόντων παραχωρήσω, τῶν δ' ἀπορρήτων βραχύ τι μέρος ποιήσομαι ἐκφανές, ὅπερ ἐν μέσῳ τοῖς λόγοις κείμενον καὶ ἀμφίβολον ὂν [4] τοῖς τε ἐπαινοῦσι καὶ ψέγουσιν, ἐγὼ τῶν ἄλλων ἐξαίρω ὁπόσα αὐτῷ τὴν κρείττονα ὑπόληψιν ἔσχηκε· τί ποτέ ἐστι τοῦτο; ἤδη [5] τὴν αὐτοῦ ψυχὴν ἐπιεικεστάτην καὶ φιλανθρωποτάτην τυγχάνουσαν καὶ οὐδενὶ τῶν πάντων ὁπόσοι κατ' ἐκείνου λυττᾷν ἠβουλήθησαν εἰδυῖαν μνησικακεῖν· τοῖς μὲν οὖν μέτρια ἡμαρτηκόσι, λέγω δὴ μέτρια ὁπόσα ἄλλοις κακίας οὐκ ἔχει ὑπερβολήν, ἀπραγμόνως ἐχρῆτο [6] τῇ τοιαύτῃ τῆς ψυχῆς ἕξει, οὓς δὲ ἐγνώκει ἄχρις αὐτοῦ τοῦ κρείττονος ἀδικίαν λαλήσαντας, τούτους δὴ ἣ ὑπερορίᾳ [7] καταδικάζων ἢ ὅροις εἴργων περιγραπτοῖς, ἢ δεσμὰ περιβάλλων ἄφυκτα, ὅρκοις ἑαυτὸν ἐδέσμει ἐν ἀπορρήτῳ μὴ ἄν ποτε δοῦναι ἐκείνοις τὴν ἄφεσιν. Ἐμὲ γοῦν τοῦτον ἅπαξ ἐπέχοντα ὡς οὐκ ἂν ῥᾳδίως τοὺς ὅρκους φυλάξαιτο, πείθειν ἐδόκει μὴ ἄλλως δύνασθαι τῶν κακουργοτάτων τὰς ὁρμὰς ἐπισχεῖν· ἡμέρας μὲν οὖν τινας τῷ οἰκείῳ ἐτίθετο δόγματι, ἔτι γὰρ ἐπήνθει αὐτῷ ἡ δικαιοτάτη ὀργή, ἐπεὶ δὲ τοῦ συντόνου χαλασθείη ποτὲ, ἔπασχε δὲ τοῦτο ἐπειδάν τινος ἠκηκόει ἐπαινοῦντος τὴν ἐπιείκειαν καί τινας τῶν φθασάντων αὐτοκρατόρων ἐντεῦθεν μεγαληγοροῦντος, αὐτίκα ἐκείνων τε μεμνημένος καὶ τοῦ δεσμοῦ, τὰ μὲν δακρύων ἦν, τὰ δέ γε διαπορούμενος, ὅπως ἂν ἄριστα τῷ

1. χ. ῥέον. 2. χ. πεφρικότας. 3. χ. ἄμυνα. 4. χ. ὢν. 5. γρ. ἤδειν. 6. χ. ἐχρεῖτο. 7. χ. ὑπερωρία.

πράγματι χρήσαιτο· συμβούλῳ γοῦν ἐμοὶ χρώμενος περὶ τὴν τοιαύτην στάσιν τοῦ λογισμοῦ, ἐδίδου μᾶλλον τῷ φιλανθρώπῳ, ἑτέρῳ τρόπῳ τὸ θεῖον ἐξιλεούμενος.

Συμπαθεστέραν γοῦν ἔγωγε ψυχὴν οὔτε πρὶν ἑωράκειν, οὔτε νῦν ἐν οὐδενὶ τῶν πάντων κατανοῶ, ἀλλ' οὐδὲ φιλοτιμοτέραν ἢ βασιλεῖ πρέπουσαν· ἐκεῖνος γὰρ ὥσπερ ἐπὶ τούτοις τὸ βασιλεύειν λαχὼν οὐδ' εἶναι τὴν ἡμετέραν[1] ἐκείνην βασιλεὺς ἐδύκει ἐν ᾗ μήτε τι φιλάνθρωπον ἐνεδείξατο, μήτε τι τῆς φιλοτίμου παρεγύμνωσε γνώμης, οὐδὲ εἰς ψυχὴν, ἵν' οὕτως εἴποιμι, εὖγεω τὰ τῆς εὐεργεσίας κατεβάλλετο σπέρματα, ὡς εὐθὺς τὸν τῆς εὐγνωμοσύνης | στάχυν φ. 386.
ἀναδιδόναι, οὐ[2] μᾶλλον ἐκείνη τὸν τῆς εὐχαριστίας ἀπεγέννα καρπὸν, ἢ θ' οὗτος σπείρειν πεφιλοτίμητο τὴν ἐρίβωλον γῆν καὶ πίειραν.

Ἀμέλει καὶ βραχεῖαν τῆς τοιαύτης αὐτῷ ἀρετῆς τοῖς φιλήκοις ὑπόθεσιν διηγήσομαι· ἐπὶ κλέμμασί τις ἁλοὺς στρατηγικῶν διοικήσεων, χρήμασιν ἐζημιοῦτο πολλοῖς, πολλαπλασίοις ὧν ἐκεῖνος ἐκέκτητο· ἦν δ' ἄρα καὶ οὗτος εὐδαιμόνων καὶ πολυχρύσων, καὶ ὁ εἰσπράττων τῶν ἀπαραιτήτων, τὸ βασιλικὸν γὰρ ἦν ταμεῖον καὶ ὁ δημόσιος· ὁ δ' ἄρα ἐδεῖτο καὶ βασιλικῆς ἀκοῆς ἵν' ἐκεῖθεν ἔχοι τὸν ψῆφον καὶ μὴ ἐπὶ πᾶσιν αὐτῷ ἰσχύῃ τὸ δημόσιον δικαστήριον· ἐπεὶ δὲ ἀμφοῖν τοῖν μεροῖν ἡ πρὸς βασιλέα ἐδόθη εἴσοδος, παρῆσαν δὲ πολλοὶ τῷ ἀγῶνι, καὶ αὐτὸς πρὸ τῶν ἄλλων ὑπογραμματεύων καὶ τὰς τῆς Θέμιδος φωνὰς σημειούμενος, ἐπεὶ γοῦν εἰσήεσαν ἄμφω, ὁ κεκλοφὼς ἐκεῖνος ἢ κεκλοφέναι δοκῶν εὐθεῖάν τινα καὶ συμπαθεστάτην ἀφῆκε φωνὴν, μόνον ἐκστῆναι τῶν οἰκείων τῷ δημοσίῳ, μὴ μέντοι γε καὶ τοῖς παισὶ χρεῶν ὑποσχέσεις κληροδοτῆσαι, αὐτίκα δὲ καὶ ἀπεδύετο τὴν ἐσθῆτα, ὡς ἂν ἐπὶ μόνῳ ἀπαλλαγείη[3] τῷ σώματι. Ἐπὶ τούτοις ὁ βασιλεὺς δακρύοις ἐπιτέγξας τὰ ὄμματα, « ἀλλ' ὦ βέλτιστε, ἔφη, εἶτα δὴ οὐκ αἰσχύναιο[4] τὴν

1. γρ. ἡμέραν. 2. γρ. καὶ. 3. χ. ἀπαλλαγείης. 4. χ. αἰσχύναι ὁ.

εὐδαιμονίαν ἀτιμάζων τοῦ γένους, οὕτω σαυτὸν εἰς ἐσχάτην ἀθρόον καταγαγὼν πενίαν, ὡς καὶ δεῖσθαι τοῦ θρέψαντος καὶ τὸ σῶμα στεπάσαντος; » Ἐπὶ τούτοις ἐκεῖνος, « ἀλλ' οὐδ' ἂν, ὦ βασιλεῦ. ἔφησεν, οὐδ' εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἂν ἐπ' αὐτῷ προσπορίσασθαι. » Τί δὲ πρὸς τὸν λόγον ὁ βασιλεύς; « ἦν δέ τίς σοι τὸ εἰσπραττόμενον χρέος[2] ἐπιμερίσαιτο, ἀγαπήσεις ἂν τὴν ἰσότητα; — Ἐκ μηχανῆς, ἔφησεν οὗτος, ἔσται θεός! ἀλλ' οὐχ ὁρῶ εἴ τις ἐξ οὐρανοῦ κατέπτη, ἄγγελός τις ἢ θειοτέρα ψυχὴ, ἀνθρώπων εὐνομίας ἐφορῶσα καὶ ἐπιστρεφομένη τῶν πόλεων! — Ἀλλ' ἐγώ σοι ἐκεῖνος, ὁ αὐτοκράτωρ αὖθις εἰρήκει, καί σοι τὸ μέρος ἐπικουφίζω τῆς ὀφειλῆς. » Καὶ ὁ μὲν οὕτως, ὁ δὲ οὐχ οἷός τε ἑαυτὸν κατασχεῖν προσουδίζει τε τὸ γόνυ τῇ γῇ καὶ μικροῦ δεῖν τῷ τῆς χαρᾶς πλήθει ἐξεπεπνεύκει· ὁ δέ γε αὐτοκράτωρ τὸ σχῆμα τοῦ ἀνδρὸς αἰδεσθεὶς, « ἀλλά σοι, ἔφη, δύο μερίδας ἀφίημι τοῦ ὀφλήματος· » καὶ πρὶν ἢ εἰς ὦτα ἐνηχηθῆναι αὐτῷ τὴν φωνὴν, « καὶ τὴν πρώτην, » προσέθηκεν ἔπειτα. Ἐπειδὴ ἐκεῖνος μηδὲ τοσοῦτον ἐσχηματίζετο τὸν αὐτοκράτορα δύνασθαι, τὸ πᾶν ἄχθος αὐτῷ τῆς ψυχῆς ἀπεσείσατο, καὶ ὡς τοῖς[3] ὅλοις νενικηκὼς λαμπρόν τε ἀμπίσχεται καὶ τὴν κεφαλὴν ἀναδησάμενος χαριστήρια ἔθυε τῷ θεῷ.

Ταῦτα μὲν καὶ τοιαῦτα ἐρεῖ περὶ τούτου δὴ τοῦ αὐτοκράτορος, εἴ γέ τις βούλοιτο· εἰ δὲ καὶ ἐγκωμιάζειν αἱροῖτο τὸν ἄνδρα, οὐδ' ἅπερ ὁ τῆς ἱστορίας λόγος ἴσως διαβαλεῖ ἔξω τῆς προσηκούσης εὐφημίας, ὅ γε πιθανώτατα τῶν ῥητόρων ποιήσαιτο αὐτίκα, ἵνα τινων καὶ τῶν τῆς ἑτέρας μερίδος ἐπιμνησθήσωμαι. Ἐδίδου καὶ τῇ παιδιᾷ μερίδα τοῦ βίου τινὰ, καὶ τοῖς μὲν ἄλλοις οὔτε τοὔνομα οὔτε τὸ πρᾶγμα ταύτης ἠλλάττετο, ἐκείνῳ δὲ σπούδασμά τε ἐδόκει καὶ σεμνότητι κατεχρώννυτο· εἰ γοῦν ἄλσος ποιῆσαι βουληθείη ποτὲ, ἢ περιτειχίσαι παράδεισον, ἢ ἐμπλατύναι ἱππήλατον, οὐ τοῦτο μόνον ἐποίει ὅπερ πρώτως ἐβούλετο, ἀλλὰ θέατρά τε εὐθὺς

1. χ. οὕτως αὐτόν. 2. χ. χρέως. 3. χ. ταῖς.

ἐγεγόνεισαν, καὶ λειμῶνες οἱ μὲν κατεχώννυσαν, οἱ δὲ πρώτως περιεκλείοντο, ἀμπέλων τε καὶ δένδρων τὰ μὲν ἀπερριζοῦντο, τὰ δὲ μετὰ τῶν καρπῶν ἀπηυτοματίζοντο· τί ποτε δέ ἐστι τοῦτο; ἐβούλετο τῷ βασιλεῖ ψιλήν τινα πεδιάδα εἰς λειμῶνος ὥραν μεταποιῆσαι; αὐτίκα γοῦν ἐγίνετο τὸ βουλόμενον· τὰ γὰρ ἑτέρωθι φῦντα ἐκεῖσε μετὰ τῶν καρπῶν ἀπεκομίζοντό τε καὶ κατερριζοῦντο τῇ γῇ, βῶλοί τε χλοηφόροι ἐξ ἀλσῶν καὶ ὀρίων [1] ἀναχωννύμενοι τὸ ὑποκείμενον κατεπλήρουν πεδίον, ὁ δὲ, εἰ μὴ καὶ τέττιγες αὐτίκα ἐπὶ τοῖς αὐτοματισθεῖσι τερετίσουσι [2] δένδροις, ἢ ἀηδόνες τὸ ἄλσος περιλαλήσουσι, δεινὸν ἐποιεῖτο, καὶ ἐν σπουδῇ τὸ πρᾶγμα τιθέμενος, αὐτίκα τῆς παντοδαποῦς ἠχοῦς καταπήλαυε.

Ταῦτα τοιγαροῦν καὶ ὅσα τούτοις ἕπεται ἐμοὶ μὲν ἴσως οὐ βουληφόρῳ ἀνδρὶ προσήκοντα φαίνεται, ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσα μέμηλε, κατὰ τὴν ποιητικὴν Καλλιόπην· ἕτερος δὲ καὶ τὸ φαινόμενον κάλλος θαυμάζων θαυμάσει τῆς μεγαλουργίας τὸν αὐτοκράτορα καὶ ἐρεῖ ὁπόσα τὸν ἀκροατὴν πείθειν οἰηθείη, ὅτι τοσοῦτον ἦν αὐτῷ τὸ περιὸν τῆς συνέσεως ὡς καταμερίζειν τὸν βίον σπουδῇ τε καὶ παιδιᾷ, καὶ μὴ θατέρῳ μέρει πρὸς θάτερον ἐμποδίζεσθαι· ἀλλὰ τῇ μὲν σπουδῇ οὐδὲν ὤφετο προστιθέναι, οἰκείῳ γὰρ κάλλει κατακεκόσμηται, τὴν δέ γε παιδιὰν κατεχώννυεν ἀνθηρῷ βάμματι, μᾶλλον δὲ σεμνῷ κατεποίκιλλε σχήματι, καὶ ἐξήρκει τοῦτο εἰς σύνεσιν, ἄλλ' ἐπ' ἄλλοις ἐπιτιθέναι, καὶ τῇ φρονήσει τὴν φιλεργίαν νικᾷν, ἀκάματά τε καὶ ἀνήροτα ποιεῖν τὰ γεώργια, καὶ ὥσπερ ἐξ οὐκ ὄντων κατὰ τὸν πρῶτον δημιουργὸν μετὰ τῶν ποιοτήτων οὐσιοῦν τὰ ποιήματα, τάς τε ὥρας νικᾷν τῷ ἑτοίμῳ τῆς μεταθέσεως, καὶ γεωργικῶν μὴ δεῖσθαι χειρῶν τῇ ἀγχινοίᾳ τῆς πλάσεως, καὶ θαυματοποιεῖν ἄντικρυς ὁπόσα ἐκείνῳ ἐδόκει, ὡς ἀπιστεῖν τοὺς πολλοὺς, ὅτι τὸ χθιζὸν ὀρῶσι πεδίον [3] καὶ τὸ πρότριτα γήλοφον τριταῖον γήπεδον [4] καταφαίνεται. Λέγω δὲ ταῦτα

1. γρ. ὀρέων. 2. χ. τερεττίουσι. 3. χ. παιδίον. 4. χ. γήπαιδον.

νῦν ἄκροις ὡσανεὶ καταχρώμενος ὅροις τῆς ῥητορικῆς τέχνης τε καὶ πειθοῦς, ἐπεὶ εἴ γέ τις βούλοιτο τελεωτέραν ἐργασίαν ἀποδοῦναι τῷ λόγῳ, πᾶσαν ἀκοὴν καὶ ψυχὴν μεταχειρίσαιτο πρὸς τὸ βούλημα· ἀλλ' ἐμοὶ οὔτε τὰ τοιαῦτα τῶν ἔργων ἐν ἐπαίνοις τίθεται, μεμίσηνται δὲ καὶ αἱ περὶ τοὺς λόγους τέχναι, κλέπτουσαι[1] τὴν ἀλήθειαν. Ἔχομαι γοῦν τῆς ἀληθοῦς ἱστορίας καὶ πόρρω τοῦ κύκλου
φ. 387. τῶν ἐκείνου ταῦτα ποιοῦμαι καλῶν, | ὥσπερ δὴ καὶ ἅπερ ἐπεπράχει μειρακιωδῶς περί τι μειράκιον ἀφελέστατον καὶ ἀνοητότατον, πέρυσιν[2] οὔπω καλαμίδος ἡμμένον καὶ μέλανος, ἐκ τῶν βαράθρων καὶ τῶν τριόδων εἰς τὸν Ρωμαϊκὸν ἀναβεβηκὸς ἄξονα· ὁ δὲ οὕτω τοῦ καθάρματος ἐαλώκει, ὡς μικροῦ δεῖν ἐπ' αὐτῷ τὴν βασίλειον ἡγεμονίαν ποιήσεσθαι· γλυκύτατον γοῦν παιδίον αὐτὸ κατωνόμαζε καὶ τὰ πρῶτα τῆς γερουσίας ἐτίθετο· τὸ δὲ ἄρα ἦν πρὸς πᾶσαν πρᾶξιν πεπηρωμένον παντάπασιν· ὁ δὲ ὅ,τι δ' ἂν ἐκεῖνο[3] φθέγξαιτο ἢ ποιήσειε, θείαν καὶ φωνὴν ἡγεῖτο καὶ πρᾶξιν· ἡ δὲ πρόφασις τῆς ἀθρόας πρὸς ἐκεῖνο ἀγαπήσεώς τε καὶ μεταθέσεως τοιαύτη τις ἐγεγόνει, ἀναβήσομαι δὲ βραχύ τι τῷ λόγῳ ἐπὶ τὰ πρότερον τῆς ἐκείνου ἀρχῆς.

Τῶν Ρωμαϊκῶν σκήπτρων οὗτος ἐπειλημμένος ὁ αὐτοκράτωρ, ὡς ἐκ μακροῦ τοῦ πελάγους εἰς τοὺς βασιλείους λιμένας κατάρας, ἀναπνευστέα τε αὐτῷ ἐδόκει, καὶ ἐφ' ἑτέρῳ προσώπῳ τὴν τοῦ κράτους ποιεῖται διοίκησιν· γενναῖος ἦν οὗτος ὁ ἀνὴρ καὶ τὰ πρῶτα τῆς λογιότητος, τήν τε γλῶτταν εἶχε πρὸς πᾶσαν λόγων ἰσχὺν ἐμπαράσκευόν τε καὶ ἕτοιμον, καὶ τὰς πολιτικὰς πράξεις ἠκρίβωτο· τῇ γὰρ ῥητορικῇ τέχνῃ ἣν ἐκεῖνος ἐπὶ μᾶλλον ἐξώγκωσε, πιθανωτέραν ἀπεργασάμενος, τοὺς πολιτικοὺς νόμους καταμιγνὺς, τὸ ἄρθρον ἀκριβέσι συνδέσμοις κατέσφιγγεν, ὅπερ ἐστὶ τὸν προκείμενον νόμον ἐργασίαις τεχνικωτέραις ἐποίκιλλεν, εἶτα δὴ καὶ πρακτικώτατον ἄνωθεν εἰληχὼς νοῦν, τὰς δημοσίας πράξεις ἠκρίβωσε λογι-

1. χ. κλέπουσαι. 2. χ. πέρισυν. 3. χ. ἐκείνῳ.

κώτατά τε καὶ εὐφυέστατα[1]· πᾶσαν δὲ ἀγαπήσας καλλιέπειαν λόγου μεθηρμόσθη πρὸς τὸ πραγματικὸν εἶδος τῶν ὑποθέσεων, καὶ ἦν αὐτῷ ἡ γραφὴ πρὸς μὲν τοὺς ῥητορικοὺς τῶν λόγων καλλιεπὴς καὶ τὴν ἀτθίδα φωνὴν ἀκριβοῦσα, πρὸς δὲ τὰς πολιτικὰς πράξεις ἁπλῆ τις καὶ συνήθης καὶ καθαρά. Ἔπρεπε δὲ τῷ ἀνδρὶ τό τε εἶδος καὶ ἡ τοῦ σώματος ἀναδρομὴ, καὶ ἡ τῆς γλώττης περιβολὴ, εὔηχον γὰρ εἶχε καὶ τορὸν, καὶ μάλιστα ὁπότε ἐκ μετεώρου τὰς βασιλείους φωνὰς ὑπεκρίνετο.

Τούτῳ δὴ τῷ καλλίστῳ ἀνδρὶ τὴν ἀρχὴν πιστεύσας ὁ αὐτοκράτωρ, αὐτός τε ἠρέμα πως ἀπέπνει, ἄρτι τοῦ πελάγους ὑπεκδὺς καὶ ἀποπτύων τὴν ἅλμην τῶν συμφορῶν, τά τε πράγματα ἐν καλῷ ἔκειτο, ἢ μετετίθετο, καὶ ὁ ἀνὴρ περίοπτος ἠρέμα γιγνόμενος εἰς τὴν πρώτην ἀνήχθη τῆς ἀρχῆς περιωπήν· εἶτά τι γίγνεται· ζηλοῖ τοῦτον ὁ αὐτοκράτωρ, καὶ ὡς ἐπ' ἐκείνῳ τῆς βασιλείας μετατεθείσης οὐκ εἶχεν ὑπενεγκεῖν τὴν πληγήν· ἐβούλετο γοῦν καὶ τῶν πραγμάτων αὐτοκράτωρ γενέσθαι, οὐχ ἵνα κρείττονα ἐκεῖνα ποιήσειεν, ἀλλ' ἵνα αὐτῷ τὰ βουλεύματα ἐπιτελῆ γένοιτο· ἐώκει γὰρ παραδιοικεῖν, τὴν ἀρχὴν ἀνειργόμενος παρὰ τοῦ κρατίστου ἀνδρὸς, ὁπηνίκα τὴν βασιλικὴν ἐξιχνιάζοι πορείαν. Ἔγωγ' οὖν τοῦτον ἔκ τινων κατανενοηκὼς συμβόλων, αὐτάγγελος ἐκείνῳ γίγνομαι τῆς βαθείας γνώμης τοῦ αὐτοκράτορος· ὁ δὲ γενναῖός τις ἄρα ὢν, οὔτε ὑφῆκέ τι τοῦ τόνου, οὔτε ὑπέδωκεν ἐκείνῳ τὸν χαλινὸν, φιλόσοφον φωνὴν ἐπαφεὶς, ὡς οὐκ ἂν ἑκὼν εἶναι διαφθείροι τὸν βασιλέα, ὁπηνίκα δὲ τοῦ ἅρματος ἀποβαίη καὶ ἐπ' ἐκείνῳ ἡ διοίκησις γένοιτο οὐκ ἂν αὐτῷ φθονήσοι τῆς ὅλης μεταποιήσεως.

Ἅπαξ γοῦν αὐτῷ μηνίσας ὁ αὐτοκράτωρ τῶν βασιλείων αὐτὸν μετατίθησι πράξεων, καὶ ἵνα μή τις αὐτῷ ἐμποδὼν εἴη, ὥτα κωφὰ τοῦ νοῦ προϊστᾷ. Καὶ τοῦτο δ' ἄν τις εἰς ἔπαινον ῥητορεύσειεν, ὅτι φρονήσεως γέμων ὁ βασιλεὺς καὶ πρὸς πᾶσαν[2] πρᾶξιν ἐπ' αὐτῷ

1. χ. λογικώτατος τε καὶ εὐφυέστατος. 2. χ. πᾶσιν.

ἐπαρκῶν ἑτέρας οὐκ ἐδεῖτο[1] χειρός. Ὁ μὲν οὖν τὸν ἄνδρα μετατίθησι τῆς ἀρχῆς, ὁ δέ γε θεὸς ἐπὶ τῆς κρείττονος τοῦτον μερίδος ἱστᾷ, καὶ τῆς ἑαυτοῦ θείας σοφίας μυσταγωγὸν καὶ μύστην καθίστησιν, ὅπερ προϊὼν ὁ λόγος ἐρεῖ ἐντελέστερον. Ταῦτα μὲν οὖν ἀμφίλογα τῷ αὐτοκράτορι καὶ ταῖς διαφόροις ὑπολήψεσι τῶν ἀνθρώπων μεταρριπτούμενα καὶ ὅσα περ ἄλλα ἐρεῖν προήρημαι, οὐδέν τι μέτριον τῶν πάντων ἐποίει, ἀλλὰ πᾶσιν οἷς ἐβεβούλητο τόνους ἐδίδου καὶ ἀκμὰς καὶ ὀξύτητας· εἴ τε γοῦν ἐρώη τινὸς οὐκ εἶχεν αὐτῷ μέτρον ὁ ἔρως[2], εἴ τε μηνιῴη[3] τινὰ τὰ μὲν αὐτῷ τῶν προσόντων κακῶν ἐπετραγῴδει βαρυθυμότερον, τὰ δ' ἀνέπλαττεν, εἰ δὲ καὶ ἀγαπῴη οὐκ εἶχέ τις τῆς τοιαύτης ὑποθέσεως νοῆσαι ὑπερβολήν.

Τῆς γοῦν βασιλίδος Ζωῆς ἀπελπλυθυίας τῶν τῇδε ἐν γήρει μακρῷ, ὁ περὶ ἐκείνην πόθος αὐτῷ εἰς μέσην καρδίαν παραμεμένηκεν, οὐχ ὥστε θρηνῆσαι μόνον, οὐδὲ δακρύοις κατασπεῖσαι τὸν ἐκείνῃ τύμβον[4], οὐδὲ τὸ θεῖον αὐτῇ εὐμενίσασθαι, ἀλλ' ἐβούλετο ἰσοθέου αὐτὴν ἀξιῶσαι τιμῆς· αὐτίκα στυλίσκου τινὸς τῶν περὶ τὸν[5] ἐκείνης τάφον ἀργύρῳ περιηλειμμένου ὑγρότητά τινα προσειληφότος κατά τι μέρος ἔνθα ἡ κρειττων ὕλη διέσχιστο[6], καὶ βραχύν τινα μύκητα κατὰ τοὺς φυσικοὺς ἀναδόντος λόγους, ὁ δὲ ἐνθουσιασμοῦ τε πλήρης ἐγένετο καὶ βοῆς ἐνεπίμπλα[7] τὰ βασίλεια, ὡς τοῦ κρείττονος παραδοξοποιήσαντος ἐπὶ τῷ τύμβῳ τῆς βασιλίδος, ἵν' ἅπαντες γνοῖεν ὅτι ἀγγέλοις ἡ ἐκείνης ψυχὴ συνηρίθμηται· οὐδεὶς μὲν ἠγνόει τὸ πεπραγμένον, σύμπαντες δὲ τὸν ἐκείνου ζῆλον ὑπέτρεφον, οἱ μὲν δεδιότες, οἱ δ' ἀφορμὴν τὸ πλάσμα εὐπορίας βίου ποιούμενοι. Καὶ περὶ μὲν τὴν βασιλίδα τοιοῦτος ἐγνώριστο· τὴν δέ γε ἀδελφὴν Ἑλένην οὐδὲ τῶν τῇδε μεταστᾶσαν μικροῦ δεῖν[8] ἐγνώκει, οὐδ' εἴ τις εἰρήκει τὴν ἐκείνης μετάθεσιν ἐς τὸ συμπαθέστερον τοῦτον ἐκίνησεν· εἰ[9] δὲ καὶ ἡ ἑτέρα ἐκείνου

1. χ. ἠδεῖτο. 2. χ. ὁρέως. 3. χ. μηνιῶ. 4. χ. τύμωον. 5. χ. τὴν. 6. χ. διέσχηστο. 7. χ. ἐνεπίμπλαν. 8. χ. δὴν. 9. χ. ἡ.

προαπεληλύθει, ἣν ἄνωθί που ὁ λόγος ἐγνώρισε, κἂν ἐπὶ ταύτης ἐμεμενήκει τῆς διαθέσεως.

Ὁ δέ γε λόγος τὰς ὑπερβολὰς ἐκείνου καταιτιώμενος ἐπ' αὐτὸ δὴ χωρεῖ τὸ κεφάλαιον, φημὶ δὴ ὃν ἐκεῖνος ναὸν τῷ μάρτυρι Γεωργίῳ καθίδρυσεν, ὃν δὴ πάντα συνέτριψε καὶ ἠφάνικε, καὶ τέλος καὶ αὐτὸν ἐκεῖνον τοῖς συντριβεῖσι προσέθετο· ἤρξατο μὲν οὖν αὐτῷ ἡ ὑπόθεσις | οὐκ ἀπὸ κρείττονος ἀφορμῆς, περὶ ἧς οὐδὲν φ. 388.
δέομαι λέγειν· ἐῴκει δὲ τὴν πρώτην οὐκ εἰς μέγα προχωρήσειν, θεμέλιοι γὰρ μέτριοι κατεβέβληντο, καὶ ἐπὶ τούτοις ἀνάλογα πάντα, τό τε ὕψος οὐ πάνυ αἰθέριον· εἶτα δὴ χρόνου διαλυθέντος τινὸς, ἔρωτές τινες αὐτὸν ὑπεξέκαιον ὥστε πρὸς πάσας τὰς πώποτε γεγονυίας ἁμιλληθῆναι οἰκοδομὰς καὶ ταύτας ὑπερβαλέσθαι μακρῷ· περίβολος γοῦν μείζων ἐκύκλου τὸ τέμενος, καὶ τῶν κρηπίδων αἱ μὲν ἀνερριπτοῦντο καὶ ἀνεχώννυντο, αἱ δὲ αὖθις βαθύτερον κατεχώννυντο, καὶ ἐπὶ τούτοις κίονές τε μείζους καὶ ποικιλώτεροι, καὶ τεχνικώτερα πάντα, καὶ χρυσὸς ὑπαλείφων τὸν ὄροφον, τῶν δὲ λίθων ὁπόσαι χλοάζουσιν αἱ μὲν κατεστρώννυντο, αἱ δὲ τοῖς τοίχοις ἡρμόζοντο, καὶ ἄλλη τις ἐφ' ἑτέρᾳ ἐπήνθει, ἢ ἐφ' ὁμοίῳ τῷ χρώματι ἢ ἐναλλὰξ παραλλάττουσαι· ὁ δὲ χρυσὸς ἀπὸ τῶν δημοσίων ταμιείων ὥσπερ ἐξ ἀφθόνων πηγῶν καχλάζοντι ἐπέρρει τῷ ῥεύματι.

Ἀλλ' οὔπω τέλος ὁ ναὸς ἐσχήκει, καὶ αὖθις πάντα ἠλλοιοῦτο καὶ μετετίθετο [1], καὶ διελέλυντο μὲν αἱ ἀκριβεῖς ἁρμονίαι τῶν λίθων, τοῖχοί τε διερρήγνυντο, καὶ ἀπεστρώννυντο σύμπαντα· ἡ δέ γε αἰτία, ὅτι ὁ πρὸς τοὺς ἑτέρους ναοὺς ἐκείνῳ ἀγὼν οὐ πάντη κατώρθωτο, ἀλλὰ πρὸς ἕνα τῶν πάντων ἁμιλληθεὶς τὰ δευτερεῖα ἠνέγκατο· τεῖχος οὖν αὖθις ἕτερον κατεπήγνυτο [2], καὶ κύκλος ἀκριβὴς ὡσπερεὶ κέντρον τὸν τρίτον νεὼν τεχνικώτερον ἵν' οὕτως εἴποιμι κατεγέγραπτο, καὶ πάντα λαμπρὰ καὶ αἰθέρια [3]· ὁ μὲν

1. χ. μετατίθετο. 2. χ. κατεπήγνυντο. 3. χ. ἐθέρια.

γὰρ ναὸς ὥσπερ τις οὐρανὸς χρυσοῖς ἀστράσι πάντοθεν ἐπεποίκιλτο, μᾶλλον μὲν τὸ μὲν αἰθέριον σῶμα ἐκ διαστημάτων κατακεχρύσωται, ἐκείνῳ δὲ ὁ χρυσὸς, ὥσπερ ἐκ κέντρου ῥυεὶς ἀφθόνῳ τῷ ῥεύματι, πᾶσαν ἀδιαστάτως ἐπέδραμεν ἐπιφάνειαν· οἶκοί τε πέριξ περίδρομοι καὶ ἀμφίδρομοι, ἱππήλατα πάντα καὶ τοὺς ὀφθαλμοὺς οὐχ ὁρίζοντα, ἀλλ' ἦσαν αἱ ἀκρότητες ἄγνωστοι, καὶ τὰ μὲν δεύτερα τῶν πρώτων μείζονα, τὰ δ' ἐπὶ τούτοις λειμῶνες ἀνθέων πλήρεις, οἱ μὲν πέριξ, οἱ δὲ κατὰ μέσον διήκοντες, ὑδάτων δὲ ἀγωγὴ καὶ φιάλαι ἐκεῖθεν πληρούμεναι, καὶ τῶν ἀλσῶν οἱ μὲν μετέωρον οἱ δ' εἴς τε διάδας [1] καθήμενοι, καὶ λουτροῦ χάρις ἀμύθητος· οὗ [2] δὴ εἴ τις τὸ μέγεθος ἐπιμέμψασθαι βούλοιτο, εὐθὺς ἀνείργεται τῷ κάλλει καταλαμπόμενος [3]· ἐξήρκεσε γὰρ τοῦτο τοῖς τοῦ μεγέθους ξύμπασι μέρεσιν, ὡς ἐθέλειν καὶ εἰς μείζονα ὄγκον οἰκοδομεῖσθαι, ὅπως ἡ χάρις ἐπιχυθείη τῷ λείποντι· οὐκ ἂν δέ τις εὐκόλως τοὺς ἔνδοθεν λειμῶνας πάντας συμπεριλάβοι, οὔτε ταῖς ὄψεσιν, οὔτε μὴν ταῖς νοήσεσιν· οὐ γὰρ καὶ τὸ ξύμπαν ὑπερβαλλόντως καλὸν ὡς ἐκ μερῶν συμπεπλεγμένων [4] καλλίστων, ἀλλ' οὐδὲν ἧττον καὶ τὰ ἐπὶ μέρους εἰς αὐτὸ ἕκαστον τὸν θεατὴν ἐπισπᾶται, καὶ κατ' ἐξουσίαν τῆς τῶν χαρίτων προκειμένης ἀπολαύσεως οὐκ ἔστιν οὐδὲ μιᾶς εἰς κόρον τυχεῖν· ὑφαρπάζεται γὰρ παρ' ἑκάστου ἡ ὄψις, καὶ τό γε θαυμασιώτερον, κἂν τὸ κάλλιστον τῶν πάντων ὁρᾷῃς τοὐλάττονος νεοφανὲς ἐπισπάσει τε [5] καὶ οὐδὲ διακρίναι δυνήσει [6] τί ποτε μὲν τὸ ἐξαίρετον, τί δὲ τὸ μετ' ἐκεῖνο, καὶ αὖθις τὸ μετὰ τοῦτο· εἰ γὰρ καὶ οὕτως [7] ἔχοι τὰ μέρη, ἀλλ' ἀρκεῖ καὶ τὸ τελευταῖον καλὸν εἰς τελεωτάτην ἀπόλαυσιν· καὶ τοῖς μὲν ἄλλοις μεθ' ὑπερβολῆς ἕκαστον ἐθαυμάζετο, τὸ μέγεθος τοῦ νεὼ, τὸ ἰσόμετρον κάλλος, ἡ τῶν μερῶν ἀναλογία, ἡ τῶν χαρίτων μίξις καὶ κρᾶσις [8], αἱ τῶν ὑδάτων ἐπίρροιαι, ὁ περικλείων περίβολος, ἡ λειμωνία ἄνθη, ἡ

1. γρ. δενδράδας. 2. χ. οὐ. 3. χ. καταλαμπώμενος. 4. γρ. συμπεπλεγμένον. 5. γρ. σε. 6. γρ. δυνήσῃ. 7. χ. οὗτος. 8. χ. μίξεις καὶ κράσεις.

δροσώδης βοτάνη καὶ κατάρρυτος ἀεὶ τοῖς ὕδασιν, αἱ τῶν δένδρων σκιαὶ, ἡ τοῦ λουτροῦ χάρις, καὶ ὥσπερ ἐπὶ πεπερασμένης [1] κινήσεως μηδὲν εἶναι τὸ ἐπέκεινα τῶν ὁρωμένων ἕκαστος ᾤετο. Τῷ δέ γε αὐτοκράτορι ἀρχαὶ σύμπαντα τῶν μελλόντων κατελογίζετο· ἔμελλε γὰρ τεράστιά τινα τοῖς γενομένοις ἐπινοήσεσθαι· οὕτως αὐτῷ ἡ γνώμη ἠώρητο· καὶ τὸ μὲν γεγονὸς, ὅπως ἂν ἐγεγόνει καὶ ὁποῖον ἂν τὴν ὥραν διεγινώσκετο, καταπεφρόνητό οἱ παραυτίκα καὶ κατημέλητο, ὃ δ' ἐνθυμηθείη εἰς προσθήκην ἐργάσασθαι, τοῦτο δὴ αὐτὸν ὑπεξέκαιεν καὶ εἰς ἔρωτα τοῦ ἀφανοῦς ἔθελγεν.

Ἑτερογνώμων δὲ τὴν ψυχὴν ὢν καὶ μὴ πάντη ἑαυτῷ ὅμοιος, τὸ μὲν κράτος αὐτῷ ὀνομαστότατον προεθυμεῖτο ποιήσασθαι, καὶ μέντοι γε καὶ τοῦ σκοποῦ οὐ πάντη διήμαρτε· τὰ γὰρ πρὸς ἕω τῆς ἡγεμονίας ὅρια πολὺ πορρωτέρω ἐπεποιήκει, οὐ βραχύ τι μέρος τῆς Ἀρμενίων οἰκειωσάμενος γῆς, καί τινας ἐκεῖθεν ἡγεμόνας ἐξώσας καὶ τῷ τῶν ὑπηκόων κύκλῳ συντάξας· αὖθις δὲ πρὸς ἑτέρους [2] διαπρεσβευόμενος, δέον ἐξ ὑπερυψήλου φρονήματος πρὸς αὐτοὺς φθέγγεσθαι, ὁ δὲ τὴν παρ' ἐκείνων δῆθεν φιλίαν ἑαυτῷ μνηστευόμενος ταπεινοτέροις ἢ προσῆκεν ἐπέστειλε γράμμασι. Τῷ γοῦν ἐν Αἰγύπτῳ δυνάστῃ ὥσπερ ἐξ ἐπίτηδες παρεχώρει τοῦ μείζονος, ὁ δὲ ἄρα κατετρύφα τῆς ἐκείνου ὑφέσεως, καὶ ὥσπερ παλαιστὴς [3] ἐκπίπτων τοῦ κύκλου, οὐκ ἐπὶ τὰς αὐτὰς λαβὰς, ἀλλ' ἐπεξουσίαζε ταῖς ἀντιλήψεσι σοβαρώτερον· πολλάκις γοῦν ἐμοὶ τὰ πρὸς ἐκεῖνον πιστεύων ἀπόρρητα καὶ ἐπιστέλλειν προστάττων, ἐπεί με ᾔδει φιλόπολίν τε ὄντα καὶ φιλορώμαιον, ὑπετίθει πῶς ἂν ἐκὼν εἶναι τοῦτο [4] μὲν ταῖς ὑφέσεσιν ἀτιμάσω, ἐκείνῳ δὲ τὸ μεῖζον περιποιήσομαι μέγεθος· ἀλλ' ἐγὼ ἐλάνθανον ταῖς περιτροπαῖς τοὐναντίον ποιῶν, καὶ ἄλλο [5] μὲν τὸ φαινόμενον τῷ κρατοῦντι διδοὺς, ἑλλοχῶν δὲ πρὸς ἐκεῖνον καὶ λεληθότως διαφαυλίζων τοῖς ἐνθυμήμασιν·

1. χ. περασμένης. 2. χ. ἑτέρου. 3. γ. πάλαι στῆς. 4. γρ. τοῦτον. 5. χ. ἄλλω.

ὅθεν ἐπειδὴ τὸ σχῆμα τὸ ἀσαφὲς εἶχεν, αὐτὸς τὰς πρὸς τὸν Αἰγύπτιον ἐπιστολὰς ὑπηγόρευεν. Ὅπερ δὲ ὁ Κῷος φησὶν Ἱπποκράτης περὶ τῶν σωματικῶν ἕξεων, ὡς ἐπειδὰν πρὸς ἄκρον αὐξήσωσιν ἐπειδὴ μὴ ἀτρεμεῖν δύνανται, τῷ συνεχεῖ τῶν κινήσεων, ἐπὶ τὸ κάταντες ὀλισθαίνουσι, τοῦτο δὴ αὐτὸς οὐκ ἔπασχε μέν, ἔπραττε δὲ τοῖς φίλοις, ἠρέμα μὲν μετεωρίζων, ἀθρόον δὲ κατάγων καὶ τἀναντία τῶν προτέρων ποιῶν, εἰ καὶ αὖθις, ὥσπερ ἐν παιδιαῖς κύβων, ἐνίους τούτων ἐπὶ τὰς προτέρας μετετίθει [1] ἀρχάς.

Περὶ τῆς τοῦ Ψελλοῦ ἀποκάρσεως.

Τοῦτο δ' ἐς [2] τοῦ λόγου τὸ πρόβλημα ἀρχή τις γενήσεται καὶ ὑπόθεσις τῆς ἐμῆς ἐπὶ τὸν [3] κρείττονα βίον μεταποιήσεως· ἐθαύμασαν γοῦν οἱ πολλοί, ὅτι ὡς ποτε τὴν κατὰ βραχύ μοι συναυξηθεῖσαν λαμπρότητα, ὁπότε δὴ καὶ τὰς τῶν πολλῶν ὑπερβέβηκα βασκανίας, ἀθρόον ἀρθεὶς ἐπὶ τὸν θειότερον μετελήλυθα βίον· τοῦτο δέ μοι πεποίηκε καὶ ἔμφυτός τις ἔρως ἐκ πρώτης ἡλικίας τῇ ἐμῇ ψυχῇ ἐντακεὶς καὶ ἡ ἀθρόα τῶν γινομένων μεταβολή· ἔδεισα γοῦν τὸ
φ. 339. τοῦ ἀνδρὸς εὐμετάβολον ὁρῶν, ὥσπερ | ἐν πολέμῳ ἄλλον ἐπ' ἄλλῳ ἀγόμενον καὶ φερόμενον· ἵνα δὲ τὴν περὶ ἐμὲ ξύμπασαν ὑμῖν ἐξιχνιάσω ὑπόθεσιν ἐκ κεφαλῆς τοῦ λόγου ποιήσομαι τὴν διήγησιν.

Ἐμοὶ φιλίας μὲν ἀφορμαὶ καὶ πρὸς πολλοὺς ἑτέρους γεγόνασι, μάλιστα δὲ δύο τινὲ ἄνδρε ἐξ ἑτέρων πατρίδων τὴν σεβαστὴν Ῥώμην οἰκήσαντε ἐν μέσαις αὐτῶν ἡρπάκασι ταῖς ψυχαῖς· λόγος δὲ τῆς συμφυΐας ὁ τῶν μαθημάτων ἐγένετο λόγος· ἀλλ' ἐκείνω μὲν ἦστην πρεσβυτέρω, ἐγὼ δὲ παρὰ πολὺ ἐκείνων νεώτερος· καὶ εἰ μή μέ τις αἰτιάσαιτο μηδὲν τῆς ἀληθείας ἐφιέμενον, ἐκείνω μὲν ἐρασταὶ τῆς φιλοσοφίας ἐτύγχανον ὄντε, ἐγὼ δὲ ἐφιλοσόφουν τὰ τελεώτερα· ἐπεὶ δέ μοι ξυνεγεγόνεισαν, ἐγνώρισάν πως [4] ἐπ' ἐμοὶ ἐκά-

1. χ. μετετίθει. 2. χ. δὲς. 3. χ. τὸ. 4. χ. πω.

τερος τὴν οἰκείαν ψυχήν, οὐδὲν δὲ ἧττον καὶ αὐτὸς παρὰ ταῖς ἐκείνων ἐγεγόνειν, καὶ ἀλλήλων ἐτυγχάνομεν ἐκκρεμεῖς [1]· ἐμοὶ δὲ ἄρα ὥσπερ ὁ λόγος ἐγεγόνει πρεσβύτερος, καὶ τὰ τῆς ψυχῆς, ἵν' οὕτως εἴποιμι κατὰ τὸ ὅμοιον προὔλαβε, καὶ πρώτως ἐκείνων ἐφεστήκειν τοῖς ἀνακτόροις· οὐκ ἀνεκτὸν δὲ ἡγούμενος ἐν οὐδενὶ ἐκείνων ἀποτετμῆσθαι, τὸν μὲν αὐτίκα τῷ βασιλεῖ προσῳκείωσα, τὸν δὲ μετὰ ταῦτα, οὐ γὰρ ἦν ἐκείνῳ βουλομένῳ εὐθὺς προσιέναι τῷ αὐτοκράτορι. Ἐπεὶ δ' ἐντὸς τοῦ βασιλείου βήματος ἐγεγόνειμεν ξύμπαντες καὶ τῆς λεγομένης εὐδαιμονίας εἰς κόρον κατετρυφήσαμεν, ὥσπερ ἔδει τῶν πραγμάτων κατέγνωμεν καὶ οὐ πάνυ τι οἰκείως πρὸς τὴν αἰσθητὴν ταύτην λαμπρότητα εἴχομεν, ἀλλ' ὅπερ ἐβούλετο ἕκαστος, εἰπεῖν μὲν ὤκνει, ἐπὶ δὲ τοῦ στήθους ἔχων εἰς καιρὸν τὴν ἔκφρασιν ἐταμίευε· γίνεται δ' οὖν ἡμῖν ὁ αὐτοκράτωρ ταύτης πρωταίτιος, τὸν ἀρχικὸν ἐκεῖνος ἐπὶ πᾶσι τοῖς ἐπιβεβηκόσι τροχὸν κινῶν καὶ τούς γε πλείονας ἀποκρημνίζων καὶ κατασπῶν· ἐπεὶ δὲ καὶ αὐτοὶ τῷ κύκλῳ ἐνεβεβήκειμεν, ἱκανῶς διεπτόησε μή πως ἐπὶ μάλιστα διασείσας τὴν νήτην [2] καὶ ἡμᾶς ἀπορράξοι [3] ἐκεῖθεν, οὐ πάνυ ἀπρὶξ ἐχομένης τῆς ἄντυγος. Αὕτη τῆς κοινῆς μεταθέσεως ἡμῖν ἡ ὑπόθεσις, τοῦτο τὸ πάθος ἐπὶ τὴν κρείττονα ζωὴν ἡμᾶς μετεσκήνωσεν· ἅπαξ γοῦν ποτε εἰς ταὐτὸ συνεληλυθότες, ὥσπερ ἀπὸ συνθήματος ἕκαστος πρὸς ἀλλήλους τὸ κεκρυμμένον ἐνθύμημα ἐκκαλύπτομεν, καὶ ὥσπερ σπεισάμενοι ἐπὶ τούτοις καὶ ἀειπαγεῖς συνθήκας πεποιηκότες, τὸ μὲν αὐτίκα καὶ ἀθρόον καὶ ξύμπαντας ποιήσασθαι τὴν μετάθεσιν δεόντως ἀνεβαλόμεθα, ἔψεσθαι [δὲ] τῷ προηγησαμένῳ ἡμᾶς καθένα ἀρρήτοις ὅρκοις κατεδεσμήσαμεν.

Καὶ πρῶτός γε ἡμῶν ὁ μάλιστα ἐπὶ μέγα τῆς τύχης ἀρθεὶς τῆς πρὸς θεὸν πορείας ἀπάρχεται, καὶ οἷος ἐκεῖνος, στήσας ἐν ἀκριβεῖ βάσει τὴν γνώμην καὶ τῷ θεῷ ἐδράσας τὸ θέλημα, πλάττεται τὴν τῆς μεταποιήσεως πρόφασιν ἀρρώστημα σώματος· εἶτα δὴ

1. χ. ἐκτρεμεῖς. 2. χ. νίτην. 3. γρ. ἀπορρήξει.

καὶ ἀσθμαίνων κατὰ βραχὺ γνωρίζει τὸ πάθος τῷ βασιλεῖ καὶ δεῖται μεταποιηθήσεσθαι· ὁ δὲ βαρυθυμήσας ἐπὶ τῷ πράγματι τὸ μὲν σύνθημα ἐδεδώκει τῆς μεταθέσεως, ἐπέπληκτο [1] δὲ τὴν ψυχὴν ὅτι αὐτίκα μέλλει στερηθήσεσθαι τοιοῦδε ἀνδρός. Ἐμὲ γοῦν αὐτίκα τὸ γεγονὸς οὔτε καθεύδειν εἶα, οὔτε ἀναπνεῖν, ἀλλ' οὐδὲ τὸν προσήκοντα καιρὸν ἀναβαίνειν [2]· ἐκείνῳ δὲ συγγενόμενος καὶ πολλοὺς κατασπείσας δακρύων κρουνοὺς, κατήλπισα ὡς αὐτίκα ἐψόμενος· καὶ ὁ μὲν ἑτέραν αὖθις πλάσιν σκεψάμενος, ὡς ὁμοῦ [3] τε τὸ σχῆμα ἐπενδυθείη καὶ τετυχήκοι θειοτέρας ἰάσεως, οὐδὲν ἀναμείνας εὐθὺς ἀπαίρει πρὸς τὸ θεῖον ὄρος τὸν Ὄλυμπον.

Ἐγὼ δὲ παράδειγμα ἐκεῖνον θέμενος τῆς ὁμοίας μεταποιήσεως, ἥπατός τε πόνους [4] εὐθὺς σκήπτομαι καὶ καρδιαλγίαν δεινὴν, τό τε φρονοῦν μεταπλάττω, καὶ ὡς ἐφεστηκόσι τοῖς πράγμασι τῶν ψυχῶν διαλεγόμενος ἦν, καὶ τὴν φωνὴν [5] ἐπέχων τοῖς δακτύλοις τὴν τῶν τριχῶν τομὴν ἐσχημάτιζον· ἀγγελίαι γοῦν εὐθὺς τῆς ἐμῆς ἐντεῦθεν ἐκδημίας πρὸς τὸν κρατοῦντα ἐφοίτησαν, καὶ ὡς δυσθανατῶ μὲν καὶ βεβάπτισταί μοι τῷ πάθει τῆς συμφορᾶς ἡ ψυχὴ, ἐπειδὰν δὲ τὸ φρονοῦν ἀνενέγκω, τῆς κρείττονος ἐρῶ καὶ ὑψηλοτάτης ζωῆς· ὁ δὲ πρὸς μὲν τὴν τοῦ πάθους ἀγγελίαν πλέον ἢ τὸ ἐμὸν ἠδύνατο [6] σχῆμα, κατενεχθεὶς ἔκειτο, τό τε πρῶτον ἀπολοφυράμενος καὶ βύθιόν τι στενάξας, ὅτι μοι ἐν ἀμφιβόλῳ τὰ τῆς ζωῆς ἔκειτο. Ἡ γὰρ τοῦ στερήσεσθαί μοι προσδοκία μάλιστα τοῦτον ἐκύμαινεν, ἦρα γάρ μου τῆς γλώττης δεινῶς, τί γὰρ δεῖ μὴ τἀληθῆ λέγειν; καὶ εἰ δεῖ τι μικρὸν τῇ τῆς φύσεως ἐπιτηδειότητι ἐγκαυχήσασθαι, παντοδαπῶς ἐγεγόνειν ἐκείνῳ, φιλοσόφως μὲν ὡς οἷόν τε βιοὺς, τεχνικῶς δὲ πρὸς ἐκεῖνον μεθαρμοζόμενος· προσκορὴς γὰρ ὢν πρὸς ἅπερ ὥρμητο, ἐζήτει μεταβολὰς, ἀπὸ τῆς ὑπάτης ὃ δή φασι καταπίπτων ἐπὶ τὴν νήτην, ἢ καὶ τὴν σύγκρασιν ἄμφω βου-

1. χ. ἐπέπληντο. 2. γρ. ἀναμένειν. 3. χ. ἐμοῦ. 4. χ. πόνος. 5. χ. φονὴν. 6. γρ. ὠδύνετο.

λόμενος· διὰ ταῦτα νῦν μὲν ἐφιλοσόφουν αὐτῷ περί τε τοῦ πρώτου αἰτίου διαλεγόμενος καὶ τοῦ παντοδαποῦ καλοῦ, ἀρετῆς τε περὶ καὶ ψυχῆς, δεικνὺς τί μὲν τὸ ὁρώμενον ταύτης τῷ σώματι, τί δὲ τὸ δίκην φελλοῦ ἀκρόπλουν ἐπιθιγγάνον τῇ πέδῃ, οἷον ἄρτημα[1] κορυφαῖον τῷ κούφῳ πτερῷ μένον ἐφ' ἑαυτοῦ μόνον καὶ μὴ συμπιεζόμενον τῷ δεσμῷ. Ἐπεὶ δὲ τοῦτον ἴδοιμι τοῖς τοιούτοις ἀπροκναίοντα λόγοις καὶ πρὸς τὸ θυμηρέστερον ῥέποντα, τὴν ῥητορικὴν μεταχειριζόμενος λύραν ἁρμονίᾳ τε λέξεως ἐκεῖνον κατέθελγον, καὶ τοῖς ἐκείνης ῥυθμοῖς ἐπὶ διάφορον ἰδέαν ἀρετῆς, συνθήκης, καὶ τῶν σχημάτων [οἷς] ἡ ἐκείνης ἀφώρισται δύναμις, οὐδὲ τῷ πιθανῷ μόνον ψεύδει[2] καὶ τῷ πρὸς τὰς ὑποθέσεις ἁμφιρρεπεῖ ἐγκαλλωπίζεται, ἀλλὰ καὶ τῆς ἀκριβοῦς ἅπτεται μούσης, καὶ ταῖς μὲν ἐννοίαις φιλοσοφεῖ, ἀνθεῖ δὲ τῇ καλλιεπείᾳ τῶν λέξεων καὶ τὸν ἀκροατὴν διχόθεν ἑαυτῆς ἐξαρτᾷ, διαρθροῖ τε τὰ νοήματα, μὴ συγχέουσα ταῖς ἐπιπλοκαῖς, ἀλλὰ μερίζουσά τε καὶ διαιροῦσα καὶ ἠρέμα πως ἐπανάγουσα, τό τε δεινὸν αὐτῆς, οὐ συγκεχυμένον, οὐδ' ἀσαφὲς, ἀλλ' ἁρμόζον τοῖς καιροῖς καὶ τοῖς πράγμασι, κἂν ἀφελῶς εἴποι τις, καὶ μήτε περιόδοις μήτε[3] πνεύμασι χρήσαιτο· ταῦτα δὴ πάντα δεικνὺς εἰς ἔρωτα τῆς τέχνης ἐκίνουν· εἰ δέ γε βασκαίνοντα τούτοις ἴδοιμι, μεταβαλὼν αὖθις ἀπολωλέναι τέ μοι τὴν μνήμην ὧν ἐγίνωσκον ἐσκηπτόμην, καὶ μικροῦ δεῖν τὸ τοῦ Ἑρμογένους παθεῖν, σθεσθείσης μοι τῆς θερμότητος τῷ ὑπερβάλλοντι τῆς ποιότητος.

Τούτων οὖν ἐκεῖνος ἀκριβῶς μεμνημένος, οὐδ' ὁπωστιοῦν μοι ἐδίδου φιλοσοφεῖν, οὐδὲ τὴν ζωὴν μεταθεῖναι, ἀλλὰ πρῶτα μὲν | ἐπιστολαῖς πρός με ἐχρήσατο καὶ ἀνδρῶν γενναίων ἀποστολαῖς, ἀνεῖρξαί με προθυμούμενος τοῦ βουλήματος, ἀνενεγκεῖν τέ μοι αὐτίκα τῆς νόσου κατεπηγγέλλετο καὶ μείζονος ἀξιῶσαι λαμπρότητος· τὰς δέ γε ἐπιστολὰς οὐδὲ νῦν ἀδακρυτὶ ἀναγνῶναι δεδύνημαι, φ. 390.

1. χ. ἄρτυμα. 2. χ. ψεύδη. 3. χ. μήταις.

ὀφθαλμόν τε γὰρ ἀπεκάλει καὶ ἴαμα τῆς ἐκείνου ψυχῆς, σπλάγχνον τε καὶ φῶς καὶ ζωὴν, καὶ παρεκάλει μὴ τετυφλῶσθαι· ἀλλ' ἐγὼ ἐξεκεκώφειν πρὸς ἅπαντα· ἦρει γάρ με μᾶλλον ὁ προλαβὼν καὶ τὴν κρείττω προαρπάσας ζωήν. Ἐπεὶ δὲ τῆς ἡμέρου πειθοῦς ἀπεγνώκει, τὴν κερδάλην ἀφεὶς τὴν λεοντῆν ἐπενδύεται καί μοι ἐπανατρίνει τὸ ῥόπαλον, ἐμπρῆσαί τε ὄμνυσιν αὐτίκα μετὰ τῶν συμβούλων τῆς μεταθέσεως, καὶ πᾶσαν ὑπενεγκεῖν συμφορὰν οὐκ ἐμοὶ μόνῳ, ἀλλὰ ξύμπαντι [τῷ] γένει. Ἐγὼ δὲ ὥσπερ ἐπαγγελίαν χρηστοτέρων τὰ ἠπειλημένα δεξάμενος, ἐπὶ τοὺς τῆς ἐκκλησίας κατῆρα λιμένας, καὶ τὸ τῆς κεφαλῆς ἀφελόμενος κάλυμμα τῆς ἐν αἰσθήσει ζωῆς ἀποτέμνομαι· ἐπεὶ δ' ἐκεῖνος τὴν τομὴν ἠκηκόει, οὐ μνησικακεῖ μοι τῷ πράγματι, ἀλλ' εὐθὺς πρὸς ἑτέρας ἐπιστολὰς μεθαρμόζεται, καὶ κατασπάζεταί με μᾶλλον τὴν πνευματικὴν ζωὴν ἀσπασάμενον, καὶ πρὸς τὴν μετάθεσιν ῥώννυσι· καὶ διαβάλλει μὲν τὴν λαμπρὰν καὶ ποικίλην ἐσθῆτα, ἐπαινεῖ δὲ τὸ τριβώνιον καὶ στεφανοῖ νικητικῷ διαδήματι, ὅτι κρειττων πάσης ἐγεγόνειν πειθοῦς. Ἀλλὰ τῶν περὶ ἐμὲ λόγων ἅλις, οὐ γὰρ ἐμαυτὸν ἐβουλόμην ἐγκαταστῆσαι τῇ ἱστορίᾳ, ἀλλ' αἱ τῶν λόγων ὑπεκδρομαὶ πρὸς τοῦτό με παρήνεγκαν βίας· ἦν δέ γε τὸ ὠθῆσάν με πρὸς τὴν παροῦσαν ὑπόθεσιν ἡ τοῦ κρατοῦντος ταχεῖα τῆς γνώμης μετάθεσις, ἣν ἡμεῖς δεδοικότες τὴν κρείττονα ζωὴν τῆς χείρονος ἠλλαξάμεθα, τὴν ἀκύμαντον τῆς συγχυτικῆς τε καὶ ταραχώδους.

Ἐπεὶ δὲ τῆς ἀφ' ἡμῶν παραμυθίας ὁ αὐτοκράτωρ ἐστέρητο καὶ λογικὴν οὐκ εἶχεν ἔτι κιθάραν τὴν θέλγουσαν, ἐπὶ τὰς ἐν αἰσθήσει πάλιν κατέφυγε χάριτας· μέσου γοῦν λειμῶνος καρποῖς παντοδαποῖς βρίθοντος κολυμβήθραν διορύττει βαθεῖαν, καὶ τὴν περὶ τὸ χεῖλος περίμετρον ἀπισώσας τῇ γῇ, ὑδάτων ἐπ' αὐτὴν ἐποχετεύει ῥοάς· εἰ γοῦν τις μὴ προεγνώκει ὡς κατὰ μέσον ὁ λειμὼν διώρυκτο, εἶτα δὴ προήει ἀπροόπτως ὡς μήλου ἢ ὄχνης δρεψόμενος, ἀπερριπτεῖτο κατὰ τοῦ ὕδατος καὶ δὺς κατὰ τοῦ βάθους ἐπελα-

φρίζετό τε αὖθις καὶ ἐπενήχετο [1], καὶ τὸ γιγνόμενον ἄθυρμα τῷ αὐτοκράτορι ἦν. Ἵνα δὲ μὴ μέχρι παιδιᾶς τὰ περὶ τὴν κολυμβήθραν αὐτῷ σταίη, καὶ χαρίτων οἶκον ποιεῖ καὶ περικυκλοῖ [2] εὖ μάλα τὸ ὑποκείμενον· εἶτα δὴ πολλάκις τῆς ἡμέρας τῷ θερμῷ ἐπινηχόμενος ὕδατι, ἐξιών τε καὶ εἰσιὼν λανθάνει πληγὴν ἐξ ἀέρος ἐπὶ τὴν πλευρὰν εἰσδεξάμενος· καὶ τὴν μὲν πρώτην οὐ πάνυ τι αὐτὸν τὸ βέλος ἐπέπληττε, μετὰ δὲ ταῦτα τὸν ἰὸν ἐπεχγέον τοῖς σπλάγχνοις νέμεται τὸν ὑπεζωκότα. Καὶ τοῦ βιώσεσθαι ἀπογνοὺς, ἔκειτο γὰρ ὥσπερ ἱερεῖον ἄρτι τεθειμένον [3] καὶ δυσθανατῶν, οὐ πρὸς τὴν βασιλίδα Θεοδώραν τὴν περὶ τοῦ κράτους σκέψιν ποιεῖται, ἀλλὰ κρύψας ἐκείνῃ τὸ βούλευμα ἐν ἀπορρήτοις ἐζήτει τὸν βασιλεύσοντα· ἐπεὶ δὲ οὐκ ἦν τὸ σκέμμα λαθεῖν, ἀγγέλλεται τῇ Θεοδώρᾳ τὸ βούλευμα· ἡ δὲ αὐτίκα σὺν τοῖς περὶ αὐτὴν κρείττοσιν εἰς ὁλκάδα ἐμβᾶσα βασίλειον, ὥσπερ ἐκ κυμάτων εἰς τὰς τῶν ἀνακτόρων αὐλὰς ἀνανήχεται, ἐκεῖσέ τε γενομένη πᾶσαν ἐφ' ἑαυτῇ δορυφορίαν ἐφέλκεται· ἥ τε γὰρ πορφυρὶς ὑφ' ἧς ἐσπαργάνωτο, τό τε ἥμερον τῆς ψυχῆς καὶ ἡ πάθη τῆς προτέρας ζωῆς πάντα τοῖς πᾶσιν ἠδύνατο. Δεινοπαθεῖ τούτων ἀκούσας ὁ βασιλεὺς καὶ πρὸς τίθησι τὸ ἀλγεῖν· ὡς δ' οὐκ ἦν οὔτε τῆς νόσου ἀνενεγκεῖν, οὔτε βουλὴν συνετωτάτην βουλεύσασθαι, βαπτίζεται παραυτίκα τὸν λογισμὸν καὶ τοὺς ὀφθαλμοὺς μύσας καὶ τὴν γνώμην καὶ τὴν γλῶτταν ἐπεπλάνητο, εἶτα δὴ βραχύ τι ἀνενεγκὼν καὶ γνοὺς ὅπη κακοῦ ἐτύγχανεν ὤν, ἀφῆκε βαρυθυμῶν τὴν ψυχήν.

Βασιλεὺς μὲν οὖν Κωνσταντῖνος ὁ Μονομάχος δύο πρὸς τοῖς δέκα τῇ βασιλείᾳ ἐπιβιοὺς ἔτη, οὕτω δὴ τελευτᾷ τὸν βίον, πλεῖστα μὲν εὐδοκιμηκὼς ταῖς πολιτικαῖς πράξεσιν, οὐκ ἐλάττω δὲ κἂν τοῖς ἤθεσιν ἀφεὶς παραδείγματα τοῖς ἄριστα βιοῦν ἐθέλουσιν· εἰ γάρ τις αὐτῶν [4] ἀφέλοι τῆς ὀξείας ῥοπῆς, τό γε λειπόμενον ἁπάντων ἀνθρώπων ἐγεγόνει φιλανθρωπότερος· ὅθεν δὴ καὶ ὁ περὶ αὐτὸν λόγος

1. χ. ἐπεχνήχετο. 2. χ. περικυκλοῖς. 3. γρ. τεθυμένον. 4. γρ. αὐτὸν.

δοκεῖ πως ἑαυτῷ ἐναντιοῦσθαι, μεταβαλλόμενος ἐκείνῳ καὶ συμπεριτρεπόμενος, σύγκειται δὲ ἀληθῶς, οὐ ῥητορικῶς πρὸς ἐκεῖνον ἀφομοιούμενος καὶ συμπαθαινόμενος οἷον τῷ βασιλεῖ.

Περὶ τῆς αὐτοκρατορίας τῆς βασιλίδος Θεοδώρας.

Ἐπεὶ δὲ τὸν βίον οὗτος ἀπέλιπεν ἐς[1] τὴν τοῦ Κωνσταντίνου παῖδα Θεοδώραν τὸ κράτος ἐπένευσεν· ἐπίδοξος δὲ πᾶσιν οὖσα ὡς ἐγκαταστήσῃ[2] τὸ κράτος ἡγεμονικῷ ἀνδρὶ καὶ γενναίῳ, αὕτη παρὰ τὰς πάντων γνώμας τε καὶ προσδοκίας τὴν αὐτοκράτορα Ρωμαίων ἀρχὴν ἑαυτῇ[3] ἀνατίθησιν· εἰδυῖα γὰρ ὡς οὐδὲν οὕτως ἐπιλησμονέστατον χρῆμα, ὡς ἄνθρωπος ὑφ' ἑτέρου βασιλεύειν λαχὼν, μᾶλλον δὲ περὶ τὸν εὐεργετικώτατον ἀγνωμονέστατος[4], καὶ τοῦτο ἐξ ἑαυτῆς τε καὶ τοῦ προτέρου καὶ τῶν περὶ τὴν ἀδελφὴν παραδειγμάτων εἰς βεβαίωσιν δόξης ἔχουσα, οὐδένα τῶν πάντων ἐβούλετο τοῖς βασιλείοις ἐγκαθίσαι θρόνοις, ἀλλ' αὐτὴ[5] τῶν πάντων κατάρχουσα τὴν τοῦ κράτους ἀμέριστον ἰσχὺν ἐκληρώσατο· ἐπερρώννυον δὲ ταύτην πρὸς τὸ τοιοῦτον βούλευμα καὶ τὸ περὶ ἐκείνην θεραπευτικὸν καὶ οἰκίδιον, ἄνδρες ἐκ πολλοῦ τὰς βασιλείους πράξεις καὶ τὴν τῶν ὅλων διοίκησιν ἐπιστάμενοι. Ἔνθεν τοι καὶ ἀπερικαλύπτως ἡ βασιλὶς αὕτη τοῖς ὅλοις ἐνεξουσίαζεν, ἑαυτὴν παρρησιαστικώτερον ἀῤῥενώσασα καὶ μὴ δεηθεῖσα παραπετάσματος· ἐωρᾶτο γοῦν ἀρχαιρεσιάζουσα καὶ ἀπὸ τῶν σκήπτρων σοβαρᾷ τῇ φωνῇ θεμιστεύουσα, ψηφηφοροῦσά τε καὶ διαιτῶσα, καὶ τὰ μὲν ἐν ἐπιστολαῖς, τὰ δὲ ἐξ ἐπιπέδου θεσπίζουσα, καὶ τὰ μὲν εὖ ἰεῖσα[6], τὰ δὲ ἀποτομώτερον προαγγέλλουσα.

Ἔθους δὲ ὄντος Ρωμαίοις ἐν ταῖς τῶν κρατούντων διαδοχαῖς διανεμήσεις ἀξιωμάτων γίνεσθαι τῷ τε πολιτικῷ γένει καὶ ταῖς τῶν

1. χ. αἷς. 2. χ. ἐνκαταστήσῃ. 3. χ. ἑαυτῷ. 4. χ. ἀγνωμονέστατον. 5. χ. αὐτῆ. 6. χ. εὖφ' ἰεῖσα.

στρατιωτῶν τάξεσι, αὕτη τουτονὶ τὸν νόμον ὑπερβᾶσα ἐπεπείκει τὸ πλῆθος μὴ ὑπερβῆναι· διείλεκτο γὰρ ξύμπασι μὴ νῦν πρώτως ἦφθαι | τῆς τῶν Ρωμαίων ἀρχῆς, μηδὲ διάδοχον γενέσθαι τοῦ φ. 391.
κράτους, ἀλλ' ἐκ πατρὸς εἰληφυῖα τὸ πρότερον ἐπεισάκτοις διεσπᾶσθαι ἀρχαῖς, εἶτ' αὖθις τοῦ συμφυοῦς ἅψασθαι· ἔδοξε γοῦν πιθανῶς πρὸς τὸ πλῆθος ἀπολογήσασθαι, καὶ τέως τεθηγμένοι τὴν γλῶτταν ἡσύχασαν ξύμπαντες. Ὅτι μὲν οὖν ἀπρεπὲς ἔδοξε ξύμπασιν ἐξ ἀρρενωποτέρου φρονήματος ἐκθηλυνθῆναι τὴν Ρωμαίων ἀρχήν, κἂν μὴ οὕτως ᾖοντο, ἀλλὰ τοιοῦτον τό γε φαινόμενον ἦν· ἦν[1] δέ τις τοῦτο μόνον ἐξέλοι τοῦ πράγματος, τό γε καταλελειμμένον εὐθύ[2] τε καὶ μεγαλοπρεπὲς ἐγεγόνει τὸ κράτος, καὶ οὔτε τις τῶν πάντων ἐπεβούλευσε τῇ ἀρχῇ, οὔτε τῶν ἐκεῖθεν καταπεφρονήκει λόγων τε καὶ δογμάτων, τά τε παρὰ τῶν ὡρῶν τοῖς πᾶσιν ἀπήντησεν εὖ, καὶ ἡ τῶν καρπῶν φορὰ εὐθηνοῦσα, ἔθνος τε οὐδὲν τῶν πάντων οὔτε λαθὸν τὰ Ρωμαίων ἐληΐσατο καὶ ἐλῄστευσεν, οὔτε προῃρήκει τὸν πόλεμον· διηρέθιστο δὲ οὐδὲν μέρος τῆς πολιτείας, ἰσότητος ἐν πᾶσι φυλαττομένης.

Ὁ μὲν οὖν χρόνος αὐτῇ τῆς ζωῆς μακρός τις τοῖς πολλοῖς ἐψηφίζετο, καὶ πλέον τῆς συνήθους ζωῆς· ἡ δὲ ἄρα οὔτε τὸ σῶμα πάνυ ἐκάμπτετο, καίτοι προμήκης τὴν ἡλικίαν τυγχάνουσα, οὔτε δέον πονῆσαι ἢ μακρότερον διαλέξασθαι ἐνδεὴς τὴν γνώμην ἐτύγχανεν οὖσα· ἀλλὰ τὰ μὲν προλαμβάνουσα, τὰ δ' αὐτομάτως ἐνθυμουμένη ἀρκοῦσαν εἶχε πρὸς τὴν διάρθρωσιν τούτων καὶ τὴν τῆς γλώττης περιβολήν.

Τῶν δέ γε πραγμάτων δεομένων ἀνδρὸς γενναίου καὶ τάς τε πολιτικὰς πράξεις εἰδότος, τοῖς τε βασιλείοις[3] ἐπιστολὰς ἀκριβοῦντος, τῶν μὲν περὶ αὐτὴν οὐδενὶ ταύτην τὴν τάξιν ἐπίστευεν, εἰδυῖα ὡς τάχιστα οὗτος περιτραπήσεται βασκανίας ἀφορμὴ τοῖς ὁμεστίοις προκείμενος· ζητοῦσα δὲ τῶν[4] ἀπὸ τῆς βουλῆς τὸν ἄριστον,

1. χ. ἦν. 2. χ. εὐθύς. 3. γρ. τάς τε βασιλείους. 4. χ. τὸν.

τούτου μὲν διημαρτήκει, ἐφίστησι[1] δὲ ταῖς διοικήσεσιν οὐχ ὃν ὁ λόγος οὐδ' ἡ εὐγλωττία πάλαι ἔδειξεν, ἀλλὰ τὸν[2] εἰδέναι σιγᾷν καὶ ὁρᾷν πρὸς τοὔδαφος, καὶ μήτε πρὸς ἐντεύξεις ἐπιτήδειον εἶναι. μήτε πρὸς ἄλλο τι τῶν οἷς πολιτικὸς ἀνὴρ χαρακτηρίζεσθαι εἴωθεν, ἐπὶ τῆς σεμνοτέρας μετέστησεν[3] ὑπολήψεως· οἱ γάρ τοι βασιλεῖς τῷ καλλίονι μέρει προσμένουσι[4] τοὺς ἧττον ἀγχιστρόφους, εἰ σεμνοὶ εἶεν, ἢ τοὺς εὐστρόφους τὴν γλῶτταν καὶ τελεωτάτους τὴν παίδευσιν, εἰ πολιτικώτερον τὸ ἦθος κατεκληρώσαντο· ἀλλ' ἐκείνῳ γε τῷ ἀνδρὶ καὶ μοῖρά τις ἀπενεμήθη τῆς περὶ τοὺς λόγους ἕξεως, καὶ μᾶλλόν γε ἡ χεὶρ ἢ ἡ γλῶττα πρὸς τοῦτο ἠδύνατο· εὐστρόφως μὲν γὰρ οὐδὲ μιᾶς εἶχε, τῇ δέ γε χειρὶ μᾶλλον ἀπετέλει, καὶ ἦν ἐντεῦθεν μόνος σοφός· εἰ γὰρ ἐπιχειρήσειε καὶ τῇ γλώττῃ τὴν ἐπιστήμην ἐνδείξασθαι, τοὐναντίον ἐδίδου νοεῖν τοῖς ἀκούουσιν· οὕτω πάνυ σαφῶς[5] καὶ ἀγλευκῶς εἶχε τῆς διαλέξεως.

Οὗτος γοῦν ὁ ἀνὴρ τὸ ἄχθος τῶν βασιλικῶν διοικήσεων κατωμαδὸν ἀράμενος, φορτικὸς ἔδοξε τοῖς πολλοῖς· τοῦ γὰρ πολιτικοῦ ἤθους, ὡς ἔφην, ἐστέρητο· ὅθεν οὔτε χαριέστατος ὢν, οὔτε τοῖς προσιοῦσι δεξιῶς ὁμιλῶν, ἀλλ' ἀεὶ καὶ πᾶσι τὸ τραχὺ τοῦ ἤθους ἐπιδεικνύμενος, καὶ πᾶσαν ἀποστρεφόμενος ἔντευξιν, καὶ εἰ μή τις εἴποι τὸ ἄρθρον τῆς ὑποθέσεως, ἀλλά τι καὶ προοιμιάσαιτο, βαρυθυμῶν καὶ δεινοπαθῶν ἀπεχθὴς[6] σύμπασιν[7] ὤπτο, καὶ οὐδεὶς προσιέναι ἐβούλετο, ὅτι μὴ πᾶσα ἀνάγκη. Ἔγωγ' οὖν τὴν στάθμην τῆς τοιαύτης γνώμης θαυμάζω μὲν, αἰῶσι μὲν ἀλλ' οὐ χρόνοις πρόσφορον ἡγήμαι καὶ βίῳ τῷ μέλλοντι, ἀλλ' οὐ τῷ ἐφεστηκότι· τὸ γὰρ ἀπαθὲς πάντη καὶ ἄθελκτον ὑπὲρ πάσας τὰς σφαίρας τίθεμαι καὶ ἔξω τῆς περιοχῆς τοῦ παντός· ὁ δέ γε μετὰ σώματος βίος, ἅτε πλητικώτερος[8], ἁρμοδιώτερος τοῖς παροῦσι καιροῖς, μᾶλλον δὲ τῷ σωματικῷ βίῳ τὸ πάσχον κατάλληλον τῆς ψυχῆς· τρεῖς γὰρ με-

1. γρ. ἐφιστᾶσα. 2. χ. τὸ. 3. χ. μετέστησαν. 4. γρ. προσνέμουσι. 5. γρ. ἀσαφῶς. 6. χ. ἀπαχθὴς. 7. χ. συμπᾶσιν. 8. γρ. πολιτικώτερος.

ρίδας ταῖς τῶν ψυχῶν προσαρμόζω κατανοῶν καταστάσεσι, τὴν μὲν ὅταν αὐτὴ βιῴη καθ' ἑαυτήν, ἀπολυθεῖσα τοῦ σώματος, ἀτενῆ τε καὶ οὐ πάνυ τὸ ἐνδόσιμον ἔχουσαν, τὰς δέ γε λοιπὰς μερίδας τῷ μετὰ σώματος αὐτῆς βίῳ κατείληφα· εἰ μὲν γὰρ τὴν μέσην στᾶσα ζωὴν μεγαλοπαθής τε καὶ πολυπαθής, ὥσπερ ἐν κύκλῳ τὸ ἀκριβὲς κέντρον αἱροῖτο, τὸν πολιτικὸν ἀπεργάζεται ἄνθρωπον, οὔτε θεία τις ἀκριβῶς γενομένη ἢ νοερὰ, οὔτε φιλοσώματος καὶ πολυπαθής· εἰ δὲ ταύτης παρατραπείη τῆς μεσότητος, καὶ μάλιστα προχωροῦσα τὴν πρὸς τὰ πάθη κατάντη βιῴη ζωὴν, τὸ ἀπολαυστικὸν ἀποτελεῖ καὶ φιλήδονον· εἰ δέ τις τῶν πάντων ὑπερκαλύψαι δυνηθείη τοῦ σώματος καὶ τῆς νοερᾶς ἐπ' ἄκρον σταίη ζωῆς, τί κοινὸν αὐτῷ καὶ τοῖς πράγμασιν; ἐξεδυσάμην γάρ φησιν ἡ Γραφὴ, τὸν χιτῶνά μου, πῶς ἐνδύσωμαι αὐτὸν; ἀναβήτω γὰρ ἐπ' ὄρος ὑψηλὸν καὶ μετέωρον καὶ μετὰ τῶν ἀγγέλων στήτω, ἵνα φωτὶ καταλάμποιτο μείζονι, ἀπόστροφον ἑαυτὸν καὶ ἀπότροφον τοῖς ἀνθρώποις κατέστησεν· εἰ δ' οὐδεὶς τῶν πάντων τῆς φύσεως τοσοῦτον κατεκαυχήσατο, εἰ πολιτικὰς ὑποθέσεις τυχὸν οὗτος πιστευθείη, πολιτικῶς μεταχειριζέσθω τὰ πράγματα, μηδὲ ὑποκρινέσθω τὴν τοῦ κανόνος εὐθύτητα· οὐ γὰρ πάντες πρὸς τὴν ἰσότητα τῆς στάθμης ἀπηκριβώθησαν· ὅθεν εἰ τὴν λόξωσιν παραιτήσαιτο, ἀπώσατο καὶ τὸ ἑπόμενον ταύτῃ εὐθύς.

Διὰ ταῦτα γοῦν κἀκεῖνος ἐν ἀφιλοσόφοις φιλοσοφῶν πράγμασιν, οὐ φιλόσοφος, ἀλλὰ μιμούμενος φιλόσοφον ἔνδοξον [1]. Ἵνα δὲ ἐν πᾶσι μέρεσι τοῦτον παραθεωρήσωμεν, ἀλλοιότερός πως ἐν τοῖς καθ' ἑαυτὸν ἐδόκει πράγμασι· πολυτελής τε γὰρ τὴν δίαιταν καὶ μεγαλοπρεπὴς ἐτύγχανεν ὤν, ἐλευθέριός τε τὴν γνώμην, καὶ χρημάτων ἀδώρατος [2]· εἰ δέ τις τούτῳ συνεστιώμενος, ἱλαρὸν ἐδείκνυ τὸ πρόσωπον καὶ ἐπ' ὀνείατ' ἔτοιμα [3] χεῖρας ἴαλλε, τοῦτο δὴ τὸ τῆς ποιήσεως, τῶν τε παρακειμένων ἁπληστότερον ἄψοιτο, στω-

1. γρ. ἔδοξεν. 2. γρ. ἀδώρητος. 3. χ. ὀνεία θ' ἑτοίμα.

μύλλοιτό τε καὶ πᾶσαν ἐπιδεικνύοιτο χάριν, πρὸς τρόπου ἐκείνῳ ἐτύγχανεν ὤν, ἀλλ' αὖθις μεταβαλὼν, οὐδὲν ἧττον ἐπὶ τὸ σύνηθες μετετάττετο. Ἐβούλετο δὲ μηδένα οἱ ἄλλων συμμετέχειν τῶν διοικήσεων, ὁ δὲ λόγος οὗτος αὖθις ἐμὲ παρεισκυλήσει[1] τῇ ἱστορίᾳ.

Ἐτύγχανον μὲν γὰρ οὐ πρὸ πολλοῦ τοῦ τῆς Θεοδώρας κράτους μεταταξάμενος πρὸς τὴν κρείττω ζωήν· ἐντεῦθεν γὰρ, ἐπεὶ πρὸ βραχέος τινὸς καιροῦ τῆς τοῦ Μονομάχου ἀποβιώσεως τὸ θεῖον �ενε-
φ. 392. δύθην σχῆμα, κατεμαντεύοντό μου τῆς γνώμης πολλοὶ, ὡς εἰδείην | τε τὸν καιρὸν καὶ διὰ ταῦτα μεταλλαξαίμην· οἱ γάρ τοι πολλοὶ τῶν ἀνθρώπων κρείττονός με ἢ πέφυκα τιμῆς ἀξιοῦσι· καὶ ἐπειδὴ γεωμετρίας ἡψάμην, οἵονταί με τὸν οὐρανὸν καταμετρεῖν δύνασθαι· ἐπεὶ δέ τι καὶ τῶν περὶ τὴν σφαῖραν κατανενόηκα, οὔτε φάσεων ἀποστεροῦσιν, οὔτε τῆς ζωηφόρου λοξώσεως, οὐκ ἐλλείψεων, οὐ πανσελήνων, οὐ τῶν κύκλων, οὐ τῶν ἐπικύκλων, ἀλλὰ καὶ ἐκ χειρὸς ἀπωσάμενον τὰ βιβλία αὖθίς με ἀξιοῦσι προλέγειν· ἐπεὶ δὲ καὶ πρὸς τὸ γενεθλιαλογικὸν[2] μέρος προσνένευκα, ὥς τι τῶν ἐκεῖθεν λήρων ἐπίστασθαι (τὸ γάρ τοι τῆς διδασκαλίας σχῆμα καὶ τὸ τῶν ἐρωτώντων διάφορον ἐπὶ πᾶσαν ἐπιστήμην προήγαγεν), οὐδένα πω δύναμαι ἀπώσασθαι τῶν περὶ τούτου πεύσεων καὶ ὀχλήσεων· ἐγὼ γὰρ προσαρμόσαι μὲν πᾶσι τοῖς τοῦ λόγου μέρεσιν ἀνωμολόγημαι, οὐδὲ μιᾷ δὲ τῶν ἀπειρημένων τοῖς θεοσόφοις κατεχρησάμην ἐπιστημῶν, ἀλλ' οἶδα μὲν τὸν κλῆρον τῆς τύχης καὶ τὸ κακοδαιμόνημα, οὐ πιστεύω δὲ τοῖς ἐντεῦθεν τούτοις καὶ σχήμασι τὰ ὑπὸ τὴν σελήνην περιάγεσθαι πράγματα· ἀλλ' ἐρρώσθω ὅσοι τὴν πνευματικὴν ζωὴν ὑφιστάνουσι καὶ νέοις τισὶ θεοῖς τὴν ἐπιτροπὴν ταύτην διδόασι· καταμερίζουσι γὰρ τὴν περὶ ἡμᾶς ζωὴν, καὶ ἀπόλυτον ἄνωθεν ἀπὸ τοῦ δημιουργοῦ γεννῶσί τε καὶ κατάγουσι, τὰς δέ γε ἀλόγους ζωὰς τῶν ἄστρων ἀποκυΐσκοντες καὶ τῶν τοῦ παντὸς μερίδων τοῦ σώματος προεγκατοικίζουσιν, εἶτα δὴ ταύταις

1. γρ. παρεισκυκλήσει. 2. χ. γενέθλια λογικὸν.

τὴν λογικὴν ἐγκεντρίζουσι ζωήν. Τὸ μὲν οὖν εἰδέναι ταῦτα, μὴ τίθεσθαι δὲ ταῖς δόξαις οὐδεὶς ἂν εὖ φρονῶν αἰτιάσαιτο· εἰ δέ τις τὴν ἡμετέραν παιδείαν ἀφεὶς ἐπ' ἐκεῖνα μεταθήσει τὴν γνώμην οἰκτίσαιτ' ἄν τις τοῦτον τῆς περιττοτέρας παιδεύσεως· ἐμοὶ δὲ, ἵνα τἀληθὲς εἴποιμι, οὐδ' ὁ ἐπιστημονικὸς λόγος τὴν ἀποστροφὴν τούτων δεδώρηται, ἀλλὰ μέ τις θειοτέρα κατέσχηκε δύναμις, καὶ οὔτε συλλογισμῶν ἐπαΐω, οὔτε μὴν ἀποδείξεων ἄλλων, ἀλλὰ τὸ καταβιβάσαν μείζους καὶ γνωμονικωτέρας ψυχὰς πρὸς τὴν τοῦ ἑλληνικοῦ λόγου παραδοχὴν ἐμὲ πιέζον ἀνάγει πρὸς τὴν τοῦ ἡμετέρου λόγου πίστιν τε καὶ βεβαίωσιν· ὅθεν μοι[1] ἡ μήτηρ τοῦ λόγου καὶ ὁ ἀπάτωρ ἐκεῖνος υἱὸς, τά τε περὶ ἐκεῖνον πάθη, καὶ ἡ περὶ τὴν κεφαλὴν ἄκανθα[2], ὅ τε κάλαμος καὶ τὸ ὕσωπον, καὶ ὁ ἐφ' οὗ τὰς χεῖρας ἁπλώκει σταυρὸς, τὸ ἐμὸν σεμνολόγημά τε καὶ καύχημα, εἰ καὶ παρήλλαξα ταῖς πράξεσι τὸ πρὸς τὸν λόγον ἀνάλογον.

Ἀλλ' ἐπανιτέον αὖθις ἐπὶ τὴν πρώτην τοῦ λόγου τάξιν καὶ μεταχείρισιν· ἐτύγχανον μὲν οὖν οὐ πρὸ πολλοῦ τῆς βασιλεύοντος τελευτῆς ἀποταξάμενος τῇ φαύλῃ ζωῇ· ἐπεὶ δὲ ἡ Θεοδώρα τοῦ κράτους ἐπείληπτο, εὐθύς με μετακαλεσαμένη ἐκτραγῳδεῖ μὲν καὶ ἃ παρὰ τοῦ γαμβροῦ πεπόνθει, κοινωνεῖ δέ μοι καὶ βουλευμάτων τινῶν ἀπορρήτων, καὶ ἐγκελεύεταί μοι συνεχῶς τε πρὸς αὐτὴν ἀφικνεῖσθαι, καὶ εἴ τί γε τῶν πάντων εἰδείην μηδὲν ἐπικαλύπτειν αὐτῇ· οὐ πρώτως δὲ τότε τῆς πρὸς αὐτὴν κεκοινώνηκα μεταθέσεως, ἀλλὰ καὶ ἐπιζῶντι τῷ βασιλεῖ, εἴ τι γράψειν ἀπόρρητον βούλοιτο ἢ ἄλλο τι ποιήσειν τῶν κεκρυμμένων, ἐμοὶ ἐκοινώνει τοῦ λόγου καὶ τοῦ βουλεύματος. Ἐπεὶ δ' οὖν ἀφικνούμην ὡς μοι προστέτακται, βασκαίνομαι τῆς ἀφίξεως, καὶ ἐπειδὴ μηδέν τι λογοποιῆσαι οἱ φθάσαντες δεδύνηντο κατ' ἐμοῦ, τὸ σχῆμα ἐπαιτιῶνται καὶ τὸ ἄμικτον τῆς ζωῆς· ἡ δὲ πείθεται μὲν τοῖς λέγουσιν, εὐλαβεῖτο δὲ

1. προσθετέον [μάρτυρες]. 2. γ. ἀκανθαν.

ἄλλως ἐκείνους τῆς αὐτῆς κοινωνεῖν ὁμιλίας καὶ οἰκειώσεως· ἐπεὶ δὲ αὐτὸς τὸ πρᾶγμα αἰσθόμενος, οὐ πολλάκις ἀφικνούμην ἐκεῖσε, ἡ βασιλὶς αὖθις μεταβαλλομένη κατωνείδιζέ τε τῆς βραδυτῆτος καὶ κατηγιᾶτο ὡς τῶν ἐκείνης κατολιγωροῦντα προστάξεων. Οὕτω γοῦν αὐτῆς καὶ τὸ βουλόμενον δυσκίνητον ἦν καὶ τὸ ἀπροαίρετον βουλητόν· οὐ γὰρ πάνυ τι θαρροῦσα ταῖς οἰκείαις γνώμαις, εἶτα δὴ δεδοικυῖα μὴ παρὰ ταῦτα τὰ τῆς βασιλείας ἕξει κακῶς, ἑτέροις [1] ἢ ἑαυτῇ μᾶλλον ἐπίστευεν· ἀμέλει τοι καὶ τὸν πρὸ αὐτῆς αὐτοκράτορα ἐσέβετο μὲν καὶ τετελευτηκότα, καὶ τῶν τε καλῶν ἐκείνου ἐμέμνητο, καὶ ἐβούλετο μὲν μηδὲν ὧν ἐκεῖνος ἐγνώκει κατολιγωρῆσαι, διημάρτανε δὲ τοῦ σκοποῦ· διὰ ταῦτα πλεῖστα ὧν ἐκεῖνος ἐπεπράχει διέφθαρτο· ὁ γὰρ τὴν τῶν ὅλων πεπιστευμένος [2] διοίκησιν, περὶ οὗ λέγων [3] νῦν ἐπαυσάμην, ἐπειδὴ μὴ τῶν πρωτείων ἠξίωτο παρ' ἐκείνου, μηδὲ παρὰ τῇ ἐκείνου εἱστήκει πλευρᾷ, ὅπερ δὴ αὐτῷ ἔθος ἐν τοῖς προτοῦ βασιλεύειν ἐγίγνετο, καὶ ζῶντι ἐμέμφετο καὶ ἀπεληλυθότι τῆς ἀτιμίας ἐμνησικάκησεν. Ἀλλ' ὑπὲρ μὲν τῶν ὑπεραπολογήσαιτ' ἄν τις καὶ τῆς βασιλίδος, καὶ εἴ τις ἄλλος πρὸς ἐκεῖνον [4] ἔσχε κακῶς· τὸ δὲ μήτε ἐκείνην περὶ ἑαυτῆς ὡς ἐκδήμου διανενοῆσθαι καὶ ἐν καλῷ θεῖναι τὰ πράγματα, μήτε τοὺς περὶ ἐκείνην εἰς τὸν τοιοῦτον ἐνάγειν λογισμὸν, ἀλλ' οἴεσθαι ἐκείνην μὲν ἐπὶ τῆς αὐτῆς ἡλικίας ἀεὶ βιώσεσθαι, ἢ καὶ ἀναλύσαι τοῖς χρόνοις καὶ αὖθις ἀνθῆσαι ὥσπερ νεόφυτον, ἑαυτοῖς τε πεπηγέναι τὴν εὐδαιμονίαν καὶ μηδένα βούλεσθαι ἐπιστῆσαι τῷ κράτει, μηδὲ τὴν ἀρίστην μεταβολὴν πρυτανεῦσαι τοῖς πράγμασι, τίς ἂν αὐτοὺς τῆς ἐσχάτης ἐξαιρήσεται εὐηθείας [5];

Ἔγωγ' οὖν καὶ ἐν ἱεροῖς θρόνοις ἐγκαθιδρύουσαν ἐνίους ἐκείνην ὁρῶν καὶ τὰς τοιαύτας προχειρίσεις, ἵνα οὕτως εἴπω, γλωσσαλγοῦσαν, οὐκ εἶχον ἑαυτὸν κατασχεῖν, ἀλλὰ λάθρα τε ὑπετονθόρυ-

1. χ. ἑτέροι. 2. χ. πεπιστευόμενος. 3. χ. λέγω. 4. γρ. τι ἄλλο πρὸς ἐκείνων. 5. χ. ἐσχάτης αἰσχάτης ἐξαιρήσαιται.

ζον, καὶ οἷς εἶχον θαρρεῖν καθηπτόμην τοῦ πράγματος· ἐθαύμαζον δὲ εἰδὼς ἐκείνην εὐλαβεστάτην περὶ τὰ θεῖα τυγχάνουσαν, ἀλλ' ὁ τῆς αὐτοκράτορος ἀρχῆς ἔρως ἀνέπειθε[1] καὶ παρανομεῖν· τοῦτο γοῦν καὶ τῆς περὶ τὰ κρείττω εὐλαβείας ἠλλοίωσε, καὶ ἔτι οὐ πάνυ τὸ συμπαθὲς τῆς ψυχῆς διεφύλαξεν, οὐκ οἶδα εἴτε πρὸς τὴν ἔμφυτον ἕξιν ἐπανελθοῦσα, ἵνα τὸ φθάσαν τοῦ βίου δείξῃ σκηνήν[2], εἴτ' ἐπιτηδεύουσα τοῦτο, ἵνα μὴ ἁλωτὸς τοῖς πολλοῖς εἴη, μηδέ τις αὐτὴν κατενέγκοι δακρύων εὐθύς. Τῷ δέ γε πατριάρχῃ ξυμπάσης τῆς οἰκουμένης, οὕτω γὰρ νόμος τὸν τῆς Κωνσταντίνου καλεῖν, Μιχαὴλ δὲ οὗτος ἦν ὁ μετὰ τὸν θεῖον Ἀλέξιον τοῦ ἱεροῦ θρόνου προστάς, καίτοι τὸν πρὸ τῆς αὐτοκρατορίας χρόνον οἰκειότατα προσκειμένη καὶ σεβομένη, ἐπειδὴ καθαρώτερον βεβασιλεύκει ἀπεχθάνετό τε καὶ ἀπεστρέφετο· αἴτιον δὲ τῆς τοιαύτης μεταβολῆς τὸ δυσανασχετεῖν κἀκεῖνον ὑπὸ γυναικὶ τὰ Ρωμαίων ἄγεσθαι πράγματα, οἷος ἐκεῖνος θυμοῦ ἐν τοῖς | τοιούτοις πιμπλάμενος καὶ παρρησιαζόμενος τὴν ἀλήθειαν· ἴσως μὲν οὖν καὶ μετέθετ' ἂν τὴν ἀρχήν, εἰ μή τινες αὐτῇ μακροὶ αἰῶνες τῆς ἐπικήρου ταύτης ζωῆς ἐχαρίζοντο. p. 393.

Οἱ δὲ οὕτω φιλοτιμότατοι καὶ ταῖς μεγαλοδωρεαῖς πᾶσαν[3] γνώμην ἐλευθέριον ὑπερβάλλοντες, οὐκ ἄγγελοί τινες τὰ παρὰ τοῦ κρείττονος ἐκείνῃ διαπορθμεύοντες, ἀλλ' οἱ ἐκείνους τῷ μὲν σχήματι μιμούμενοι, ταῖς δὲ γνώμαις ὑποκρινόμενοι· λέγω δὲ τοὺς καθ' ἡμᾶς Ναζιραίους, οἳ πρὸς τὸ θεῖον μεταπλαττόμενοι, μᾶλλον δὲ νομοθετούμενοι καταπλάττεσθαι, πρὶν ἢ τὴν ἀνθρωπίνην φύσιν ὑπεξελθεῖν ὡς ἡμίθεοί τινες παρ' ἡμῖν ἀναστρέφονται, καὶ τῶν μὲν ἄλλων κατολιγωροῦσι τοῦ θείου, οὔτε γὰρ ψυχὰς πρὸς τὰ κρείττω ῥυθμίζουσιν, οὐ τὰ ἐν ἡμῖν πάθη κοιμίζουσιν, οὐ τοῖς μὲν ἐντιθέασι χαλινὸν, τοῖς δὲ οἷα κέντρα τοὺς λόγους ἐπάγουσιν, ἀλλὰ ταῦτα ὡς μικρὰ παραβλέποντες, οἱ μὲν χρησμολογοῦσι τὴν πρόρρησιν καὶ

1. χ. ἀνέπειθει. 2. γρ. συνιόν. 3. χ. πᾶσιν.

τὸ θεῖον ἐξαγγέλλουσι βούλημα, οἱ δὲ καὶ τοὺς πεπηγότας ὅρους μετατιθέασι, καὶ τοὺς μὲν ἀναλύουσι, τοῖς δὲ προστιθέασιν, ἀπαθανατίζουσί τε τὴν μερικὴν φύσιν καὶ ἱστῶσιν ἡμῖν τὴν φυσικὴν κίνησιν, βεβαιοῦσι δὲ τοὺς αὐτῶν λόγους, ὅτι σιδηροφοροῦσιν ἀεὶ κατὰ τοὺς παλαιοὺς Ἀκαρνᾶνας, καὶ αἰθεροβατοῦσιν ἐπὶ χρόνον μακρὸν, ἀφ' ὧν κατολισθαίνουσι τάχιστα, ἐπειδὰν ἐπιγείου αἴσθωνται κνίσσης· ὁποίους ἐγὼ πολλάκις ἑωράκειν καὶ κατεγνώκειν· οὗτοι δὴ καὶ τὴν βασιλίδα ἐξηπατήκασιν ὡς ἐσομένην ἀείζωον, καὶ διὰ τοῦτο ἐκείνη μικροῦ δεῖν αὐτή τε διέφθαρτ' ἂν καὶ τὰ πράγματα πάντη διέφθειρεν.

Ἀλλ' ἐκεῖνοι μὲν αἰῶνας ἀπείρους καὶ ζωὰς ἐκείνῃ ἔπλαττον, ἡ δ' ἐγγὺς ἐγεγόνει τοῦ εἱμαρτοῦ, λέγω δὲ τῇ φωνῇ καταχρώμενος· τὸν γάρ τοι τῆς ζωῆς ὅρον πληροῦσα αὐτῷ δὴ τῷ τέλει προσήγγισε· νόσος γεμὴν αὐτὴν αἱρεῖ δεινοτάτη· ἡ γὰρ ὑποκριτικὴ αὐτῇ ὑποκλαύσασα δύναμις, τήν τε ὀρεκτικὴν κατήνεγκε, καὶ τοῖς τοῦ σώματος ἐπεφόρτιστο μέρεσιν, ἔπειτ' ἀθρόον διαρρυεῖσα καὶ τὸ ἐντὸς μικροῦ δεῖν ξύμπαν ἀποβαλοῦσα, ἐν ὀλίγαις ἐκείνην καταλελοίπει ταῖς ἐκπνοαῖς· ἐπεὶ γοῦν αὐτὴν ξύμπαντες ἀπεγνώκεισαν, λέγω δὲ τούτους ὁπόσοι περὶ ἐκείνην ἐστρέφοντο, αὐτίκα καὶ περὶ τοῦ παντὸς, ἀλλὰ καὶ περὶ ἑαυτῶν σκοπὸν τίθενται, καὶ βουλευμάτων κατάρχουσι· λέγω δὲ ταῦτα οὐ παρά του ἀκηκοὼς, ἀλλ' αὐτὸς τοῖς γε γνωσθεῖσι καὶ βουλευθεῖσι παραγενόμενος, ὀφθαλμοῖς τε ὁρῶν καὶ ὠσὶν ἀκούων, ὅπως αὐτοῖς ὥσπερ ἐν κύβων παιδιαῖς τὰ τῆς βασιλείας ἐστρέφετο πράγματα. Οὕπω μὲν γὰρ ὁ ἥλιος τὸ μεσημβρινὸν κατὰ κορυφὴν εἱστήκει, καὶ ἡ μὲν βασιλὶς ὀλίγον ἀνέπνει καὶ αὐτίκα τεθνήξεσθαι ἐπίδοξος ἦν, οἱ δὲ περὶ τὸ βῆμα εἰς ταὐτὸ συνειλεγμένοι καὶ ἐν μέσῳ τὸν κορυφαῖον ἔχοντες, ἐν σκέμμασιν ἦσαν τίνα δὲ[1] πρὸ τῶν ἄλλων τοῖς πράγμασιν ἐπιστήσουσιν, ἀνθεζόμενόν[2] τε αὐτῶν καὶ ἀειπαγῆ καὶ τὴν εὐδαιμο-

1. γρ. δὴ. 2. χ. ἀνθεξάμενον.

νίαν φυλάξοντα. Ὃν μὲν οὖν τῶν ἄλλων προκεκρίκασιν οὐ νῦν χαρακτηρίζειν βεβούλημαι, οὐ πάντη δὲ τούτους ἀποφανοῦμαι διημαρτηκέναι τοῦ ἀρίστου σκοποῦ, εἰ μὴ ὅσον τοιοῦτος ἐκεῖνος ἦν οὐχ οἷος ἄρχειν, ἀλλ' ἄρχεσθαι μᾶλλον καὶ ἄγεσθαι· ἦν δὲ καὶ τοῦ θέρους ἐγγὺς καὶ τοῦ τετραμήνου ἐντός· αἱ γὰρ τῆς κεφαλῆς αὐτοῦ τρίχες ὑπαργυρίζουσι ξύμπασαι. Τοῦτον γοῦν ἐκείνην πεπείκασιν ἀξιῶσαι τοῦ στέμματος· ἡ δὲ πείθεταί τε αὐτίκα, καὶ τὴν κεφαλὴν ταινιοῖ καὶ ἀναδείκνυσιν αὐτοκράτορα· εἶτα δή τινα βραχὺν ἐπιμείνασα χρόνον[1] τῷ κράτει, ἐνιαυσίου ὥρας δεούσης μιᾶς [ἐτελεύτησε], καὶ ὁ Μιχαὴλ τῶν ὅλων ἐγκρατὴς ἐγεγόνει, αὐτίκα[2] στερήσεσθαι, περὶ οὗ ἐρεῖν βουλόμενος βραχύ τι πρὸς καταστήσω τὸν λόγον.

ΤΟΜΟΣ ΕΒΔΟΜΟΣ,

Ἀρχὴ δὲ τῆς βασιλείας Μιχαὴλ τοῦ Γέροντος· ὁ τοιοῦτος ἐκράτησεν ἔτος α'.

Δοκεῖ πως τοῖς ἄρτι βασιλεύειν λαχοῦσιν ἀρκεῖν εἰς ἕδραν τοῦ κράτους, ἢν[3] τὸ πολιτικὸν γένος τούτους κατευφημήσωσιν· ἀγχίθυροι γὰρ αὐτοῖς ὄντες οἴονται εἰ τὰ[4] παρὰ τούτων αὐτοῖς εὖ ἕξει, ἀρραγῶς κατησφαλῖσθαι τῷ κράτει· ἔνθεν τοι ἅμα τε τῶν σκήπτρων ἐπιλαμβάνωνται, καὶ τούτοις πρῶτον καὶ τὴν φωνὴν καὶ τὴν ὄψιν διδόασιν· ὧν εὐθὺς ἐπισκιρτησάντων καὶ βωμολόχους ἀφέντων φωνάς, καί τινες δημηγορίας φλυάρους πεποιηκότες, ὥσπερ θείαν ἐσχηκότες ἐπικουρίαν, οὐδὲ μιᾶς ἑτέρας δυνάμεως ἐπιδέονται· ἐν τρισὶ δὲ τούτοις τῆς φυλακῆς αὐτοῖς ἱσταμένης, δημοτικῷ πλήθει, καὶ συγκλητικῇ τάξει, καὶ συντάγματι στρατιωτικῷ, τῆς μὲν τρί-

1. χ. χρόνους. 2. προσθετέον [μέλλων]. 3. χ. ἤν. 4. χ. εἶτα.

της ἧττον φροντίζουσι, τοῖς δ' ἄλλοις εὐθὺς τὰς ἐκ τοῦ κράτους προσνέμουσι χάριτας. Ὁ δέ γε πρεσβύτης Μιχαὴλ ἐπιδεικτικώτερον ἢ προσῆκε τὰς τῶν ἀξιωμάτων διανεμήσεις πεποίητο· οὐ γὰρ τῷ προσεχεῖ ἕκαστον συνίστα βαθμῷ, ἀλλὰ καὶ πρὸς τὸν ἐφεξῆς καὶ τὸν ἐπέκεινα ἀνεβίβαζεν· εἰ δέ τις αὐτῷ ἐκ πλαγίου στὰς καὶ τὸν τέταρτον ἐπεζήτησεν, εὐηκόου ἐτύγχανεν ἐκείνου· ἐντεῦθεν ἄλλος ἀντιπαραστὰς καὶ τὴν ἑτέραν διασείσας πλευρὰν, οὐδὲ τοῦ πέμπτου ἡμάρτανε· καὶ ἦν ἀτεχνῶς σύγχυσις τὸ φιλότιμον.

Περὶ τῆς τῶν ἀρχόντων εἰς τὸν βασιλέα Μιχαὴλ εἰσελεύσεως.

Τούτων τοιγαροῦν οἱ στρατιῶται ἀκηκοότες καὶ τῶν στρατιωτῶν ὁπόσον στρατηγικόν τε καὶ ἔκκριτον, καταλαμβάνουσι τὸ Βυζάντιον, τῶν ἴσων ἢ καὶ κρειττόνων τευξόμενοι· ὥριστο γοῦν αὐτοῖς ἡμέρα τῆς εἰς τὸν βασιλέα εἰσόδου, κἀγὼ τηνικαῦτα παρεγενόμην τῷ αὐτοκράτορι· καὶ εἰσῄεσαν ἄνδρες γενναῖοι καὶ ἀτεχνῶς ἥρωες, εἶτα δὴ τὰς κεφαλὰς ὑποκλίναντες καὶ ἐπευφημήσαντες ὅσον εἰκὸς, ἐπὶ μέρος, τοῦ βασιλέως κελεύσαντος, ἔστησαν· εἶτα δέον καθένα τούτους διαιρεῖν καὶ λόγων πρὸς ἐκείνους βασιλικῶν καὶ φιλοτίμων ἀπάρξεσθαι, οὐδὲ πρῶτα μὲν τὸ ἀγενὲς, ὠνείδισε ξύμπασιν, εἶτα δὴ ἐς μέσους τὸν κορυφαῖον τούτων[1] στήσας ἢ τὸν εὐθὺς μετ' ἐκεῖνον (ἐπρέσβευε γὰρ τούτοις ξύμπασιν ὁ Κομνηνὸς Ἰσαάκιος, ἦν[2] δ' ὁ Κεκαυμένος οὗτος ὁ Κολωνείαθεν), ὕβρισι μυρίαις κατέπλυνεν ὡς ἀπολωλεκότα μικροῦ δεῖν τὴν Ἀντιόχου καὶ |
φ. 394. τὰς δυνάμεις καταλελυκότα, καὶ γενναῖον μὲν ἢ στρατηγικὸν οὐδὲν ἐπιδείξαντα, τὰ δὲ τῶν πολλῶν συλλέξαντα χρήματα, καὶ τὴν ἀρχὴν ἐσχηκότα οὐκ εὐκλείας, ἀλλ' ἀπληστίας ὑπόθεσιν· ἐφ' οἷς ἐκείνου παγέντος τῷ ἀθρόῳ τῆς ἐπιπλήξεως, καὶ τὰ κρείττω μὲν προσδοκήσαντος, τοῖς δ' ἐναντίοις καθυβρισθέντος, τῶν τε συστρα-

1. χ. τοῦτον. 2. χ. ἦν.

τήγων ὑπεραπολογήσασθαι ἐκείνου ἐπικειρηκότων, ὁ βασιλεὺς καὶ τούτοις τὴν γλῶτταν ἐπέσχε· καὶ εἰ[1] τῶν ἄλλων κατωλιγωρήκει, δέον τόν γε Ἰσαάκιον πάσης ἀξιῶσαι εὐφημίας τε καὶ τιμῆς, ὁ δὲ κἀκείνῳ ἀπείπατο τὴν εὐμένειαν.

Περὶ τῆς τοῦ Κομνηνοῦ ἀποστασίας.

Αὕτη πρώτη πληγὴ τοῖς στρατιώταις ἐγένετο καὶ ἀφορμὴ τῆς κατ' ἐκείνου ἐπιβουλῆς· τοῦτο τὸ δρᾶμα τὰς ἐκείνων γνώμας διέσεισε, καὶ καινοτέρων αὐτοῖς βουλευμάτων ἀρχὰς εἰσεποίησεν. Οὐκ ἔτι μὲν οὖν εὐθὺς ἐν τῷ περὶ τῆς βασιλείας γεγόνασι σκέμματι, ἀλλὰ καὶ δευτέραν πεῖραν πεποίηνται, εἴ πως εὐνοϊκωτέρου τοῦ αὐτοκράτορος τύχοιεν· ὁ δὲ ἄμμας[2] ἐκείνων ἐπιζητούντων, σκάφας ἐδίδου, εἰ δ' ἀντιπίπτοιεν, οὐδ' ἐκείνας παρεῖχεν, ἀλλ' ἀπωθεῖτο καὶ ἀπεκρούετο. Ὥρμησαν μὲν οὖν εὐθὺς ξύμπαντες μικροῦ δεῖν ἐπιβαλεῖν ἐκείνῳ τὼ χεῖρε καὶ καθελεῖν τῆς ἀρχῆς, ἐπέσχε δὲ τούτους ὁ Ἰσαάκιος, βουλῆς δεῖσθαι τὸ πρᾶγμα συνετωτέρας εἰπών· εἶτα δὴ στήσαντες τὴν ἐπιβουλήν, ἐζήτουν τὸν ἄρξοντα τῶν δυνάμεων καὶ τοῖς ὅλοις ἀρκέσοντα. Ὁ μὲν οὖν Ἰσαάκιος πᾶσι παρεχώρει τοῦ σχήματος, ἕκαστον λέγειν[3] ἀρκεῖν πρὸς τὸ κράτος, οὗτοι δὲ ξύμπαντες ἐκείνῳ ἐδίδοσαν τὴν τιμήν· προεῖχε γὰρ ὡς ἀληθῶς οὐ τῷ γένει μόνον, ἀλλὰ καὶ τῷ τυραννικῷ εἴδει καὶ τῷ γενναίῳ τῆς γνώμης καὶ τῷ σταθηρῷ τῆς ψυχῆς, αἰδέσιμος γάρ τις ἐδόκει καὶ μόνον ὁρώμενος· ἀλλ' ὁ μὲν χαρακτὴρ ἐκείνου μικρόν τι τὸν λόγον ἀναμεινάτω. Ἐπεὶ δὲ ξυνέθεσαν πρὸς ἀλλήλους ὃ[4] καὶ βεβούληντο, βραχέα δὴ ἄττα τῷ βασιλεῖ καθωμιληκότες, ἐπ' οἴκου ξύμπαντες ἀνεχώρησαν· ἑῷοι[5] δὲ ὄντες καὶ ὡς ἀληθῶς πρόσαυγοι ἐκ βραχέων τῶν διαστημάτων ἀπ' ἀλλήλων διειστήκεσαν· διὰ ταῦτα ὀλίγας ἡμέρας ἐπιλιπόντες, εἶτα δὴ ἐς ταὐτὸ[6] συνδεδραμη-

1. χ. ἡ. 2. γρ. ἅμας. 3. γρ. λέγων. 4. χ. ὧ. 5. χ. ἑῶ οἱ. 6. χ. ταὐτῷ.

κότες, τῆς ἐπιβουλῆς ἄρχουσιν. Οὐκ ἔφθασαν δὲ ταύτην ἐδράσαντες, καὶ στρατόπεδον αὐτοῖς γενναῖον ξυνέστη, πλήθους αὐτοῖς γενναίων συρρεύσαντος καὶ τὴν γνώμην κρατύναντος· ἐπειδὴ γὰρ ἠκηκόεισαν ξύμπαντες, ὅτι στρατηγὸς γενναῖος αὐτοῖς βεβασίλευκε, καὶ ὅτι τὰ κράτιστα γένη εἰς αὐτὸν ἀνηρτήσατο, ὀνομαστί τε τούτους[1] ἠπίσταντο, οὐδὲ βραχύν τινα χρόνον διαλιπόντες εὐθὺς αὐτοῖς προσεχώρησαν, ὥσπερ ἀγαθὸς δρομεὺς τὸν ἕτερον προλαβεῖν ἐπειγόμενοι.

Ἐβούλοντο μὲν καὶ πρότερον τὸ στρατιωτικὸν ξύμπαν τὸ κράτος Ρωμαίων ὑποποιήσασθαι, καὶ ὑπήκοοι γενέσθαι στρατηγῷ αὐτοκράτορι, καὶ τὴν πολιτικὴν καταλύσαι τῆς βασιλείας διαδοχήν, ἐπεῖχον δὲ τὰ βουλεύματα, καὶ μόνον ἐνεκυμόνουν τὸν ἔρωτα, ὅτι μηδεὶς αὐτοῖς εἰς ἀρχὴν ἀξιολογώτατος κατεφαίνετο· ἐπεὶ δὲ τὸν Ἰσαάκιον τεθέανται, ὃν οὐδ' ὄναρ εἰς τὸ σχῆμα τοῦ κράτους ἰδεῖν προσεδόκησαν, διὰ τὸ περὶ τὰς τοιαύτας ἐπιχειρήσεις ἀκριβὲς κορυφαῖον γεγενημένον τοῦ τυραννικοῦ σκέμματος, καὶ τὰ μετὰ ταῦτα χειροτονοῦντα βουλεύματα, αὐτίκα οὐδέν τι γνωσιμαχήσαντες τῷ ἀνδρὶ προσερρύησαν, ἀνδρικώτερον ἐπισκευάσαντες ἑαυτοὺς καὶ τὰ πρὸς τὸν πόλεμον ἐξαρτήσαντες. Ὁ δὲ, εἰ καὶ τότε πρῶτον ἦρξε τοῦ τοιοῦδε σκέμματος, συνετώτερον ἢ τολμηρότερον τὸ πρᾶγμα μεταχειρίζεται· καὶ ἐπειδὴ τοῦτο πρὸ πάντων ἤδει, ὅτι χρημάτων πολλῶν δεῖ τῷ συντάγματι, πρῶτον μὲν πάσας τὰς εἰς τὴν πόλιν ἀποφράττει ὁδοὺς, φρουρὰν ἀποχρῶσαν καταλιμπάνων ἑκάστῃ, καὶ μηδενὶ διδοὺς ἐξιέναι τε καὶ εἰσιέναι, εἰ μὴ ἐκεῖνος γνοίη καὶ τὴν ἐφ' ἑκάτερα συγχωρήσῃ πορείαν· ἔπειτα τοῦτο πεποιηκὼς, τὰς δημοσίους εἰσπράττει συνεισφορὰς οὐ φύρδην, οὐ συγκεχυμένως[2], ἀλλ' ἀρχεῖα τάξας καὶ ἀκριβεῖς ἐγκαταστήσας εἰσπράκτορας, καὶ ἀπογραφόμενος ἕκαστα, ἵν' ἔχοι καὶ τελεώτερον βασιλεύσας, ἀκριβεῖς τοὺς τῶν εἰσπράξεων λογισμούς·

1. χ. τούτοις. 2. χ. συγκεχυμένος.

οὕτω τοῦ συνετωτέρου μᾶλλον ἢ τοῦ τολμηροτέρου ἐγίγνετο. Καὶ ἄλλο δέ τις ἐκείνου θαυμάσειεν, ὅτι πλήθους αὐτῷ πολλοῦ προσκεχωρηκότος, φυλοκρινεῖ τὰς τάξεις, καὶ τοὺς γενναιοτέρους ἀποκρίνας τῶν ἄλλων καὶ οἷς ἥδει καὶ τόλμαν λελογισμένην καὶ στάσιμον τὸ γενναῖον, ἐκείνους εἰς λόχους καὶ φάλαγγας [1] καθιστᾷ καὶ τούτοις πιστεύει τὸν πόλεμον· ἦν δ' ἄρα καὶ τὸ ἀποκριθὲν ἀριθμοῦ κρεῖττον καὶ τὸ κριθὲν οὐδὲν ἐκείνων καταδεέστερον.

Πρῶτα μὲν οὖν αὐτοῖς ἐγκελεύεται συνειλέχθαι [2] καθ' ἑαυτοὺς καὶ μὴ συγκεχῦσθαι, μηδὲ συντεταράχθαι, ἀλλ' ὥσπερ εἰς τάξιν καὶ φάλαγγας καταστάντας σιγῇ τε προϊέναι καὶ οὕτως κατασκηνοῦν· ἔπειτα τὸ στρατηγικὸν ἑκάστῳ σιτηρέσιον [3] τάξας καὶ τὴν εἰς πολεμικὴν ἔφοδον ἀποχρῶσαν παρασκευήν, καὶ μειζόνων ἀξιοῖ βαθμῶν, τοὺς μὲν μείζους ἀπονέμων τοῖς μείζοσι, τοὺς ἐλάττους δὲ τοῖς ἐλάττοσι. Ἐπὶ τούτοις συγγενικῷ αἵματι τὸ σῶμα πιστεύσας καὶ κύκλον τινὰ περιελίξας αὐτῷ, ἀδεῶς τε προήει καὶ αὖθις ηὐλίζετο· τὰς μὲν οὖν νύκτας ἀγρύπνους εἰς τὰς τυραννικὰς φροντίδας ἀνήλισκεν, ἡμέρας δὲ λαμπρότερός τε τοῖς πράγμασιν εἴδετο, καὶ ὡς ἐπὶ προκειμένῳ προήει τῷ πράγματι· ἐπεὶ δὲ πολλὰ εἴωθε προσπίπτειν τοῖς στρατοπέδοις, καὶ οἵ γε πλεῖστοι τολμηρότεροι μᾶλλον πεφύκασιν ἢ συνετώτεροι, οὐδενὶ μὲν τὸ ξίφος ἐπανετείνατο, οὐδ' εὐθὺς [4] ἐπὶ τοὺς ἡμαρτηκότας κεχώρηκε, κατέπληττε δὲ ἅπαξ ἰδὼν, καὶ ἡ ὀφρὺς αὐτῷ συναχθεῖσα ἀντὶ πάσης ἤρκει πληγῆς. Ὁ μὲν οὖν οὕτως καὶ συνταξάμενος ἀκριβῶς ἐγγὺς ἤδη τῆς πόλεως ἐγεγόνει· ὁ δὲ τοῦ Βυζαντίου τὴν ἀρχὴν ἤδη μόνην ἔχων καὶ οἱ προκατεσχηκότες ἐκεῖνον, ὥσπερ μηδενὸς καινοῦ γεγονότος, οὔτε τοῖς τολμηθεῖσιν ἀντεβουλεύσαντο, οὔτε τὰς λειπομένας τάξεις ἐπὶ τὰς ἐκείνων συντάξεις ἐκίνουν [5], οὔτ' ἄλλο τῶν πάντων ἐποίουν δι' ὅτου | ἂν τὸ τυραννικὸν σύνταγμα διαλύσαιεν· p. 395.

1. χ. φάλαγγα. 2. χ. συνηλέχθαι. 3. χ. ἑκάστως τηρέσιον. 4. χ. ἐνθὺς. 5. χ. ἐκείνος.

ὡς δ' ἔνιοι τῶν προσκειμένων ἐκείνῳ[1] νύττοντες διώρυξαν τὴν πλευρὰν, ὡς δεῖ καὶ συμβούλων αὐτῷ καὶ χρημάτων πολλῶν, καὶ στρατιωτικῆς τάξεως, ἄλλους τε πλείστους μετακαλεῖται τῶν γενναίων μὲν τὰς γνώμας, τηνικαῦτα δὲ κατολιγωρηθέντων· καὶ δῆτα κἀμὲ εἰσποιεῖται καὶ ὅτι μὴ ἔχοι πάλαι ἐγκόλπιον, ὡς ἄτοπόν τι πεποιηκὼς, σχηματίζεται.

Περὶ τῶν εἰς τὸν βασιλέα συμβουλιῶν[2] διὰ τὴν ἀποστασίαν.

Ἀλλ' ἐγὼ μηδὲν ἐκείνῳ μνησικακήσας, τρία ταῦτα ποιῆσαι εὐθὺς ἐβουλευσάμην αὐτῷ· ἐπεὶ γὰρ ἐγνώκειν ὅτι ἐκ διαφόρου γνώμης τῷ μεγάλῳ ἀντικαθεστήκοι ἀρχιερεῖ, καὶ δυσόργως εἶχεν ἐκεῖνος αὐτῷ, γνώμην αὐτῷ πρώτην ταύτην εἰσήνεγκα, πᾶσαν αὐτῷ διαφορὰν διαλύσασθαι, καὶ εἰς ταὐτὸ ἐκείνῳ συνελθεῖν καὶ σκέμμα καὶ φρόνημα, ἐν τοῖς τοιούτοις μάλιστα δυναμένῳ καιροῖς καὶ συνεπιθησομένῳ τοῖς τυραννεύσασιν, εἰ μὴ προλάβοι τοῦτον εἰς ἀκριβεστάτην οἰκείωσιν· ἔπειτα πρεσβείαν πρὸς τὸν τετυραννευκότα στέλλειν διαλύσαι τὸ σύνταγμα, ἐπαγγείλλασθαί τε αὐτῷ ὁπόσα μὴ ἐπισφαλὲς δοῦναι, τὰ δὲ καὶ προτείνασθαι, μηχανήσασθαί τε ἐπὶ τὸ ἐκείνου στρατόπεδον καὶ ἐπιχειρῆσαι διαλύσαι τὴν φάλαγγα· τρίτην ἐπὶ τούτοις γνώμην προστέθεικα τὴν κορυφαιοτάτην καὶ κρείττονα, τὰς ἐν ἑσπέρᾳ τάξεις συναγαγεῖν, καὶ τὰς καταλιπομένας συγκροτεῖν δυνάμεις, συμμαχίας τε παρὰ τῶν γειτονούντων βαρβάρων ἐπικαλέσασθαι, καὶ τὰς παρ' ἡμῖν ξενικὰς δυνάμεις κρατύναι, γενναῖόν τε τούτοις στρατηγὸν ἐπιστῆσαι καὶ λόχους ἀρκοῦντας ποιήσασθαι, καὶ πανταχόθεν τῷ συγκινηθέντι καθ' ἡμῶν πλήθει ἀντικαθίστασθαι. Δέχεται μὲν οὖν τὰς γνώμας ὁ βασιλεύς.

1. χ. ἐκείνων. 2. γρ. συμβουλῶν.

Περὶ τῆς τοῦ στρατοῦ ἀποστολῆς πρὸς τὸν Ἰσαάκιον.

Εἶτα δὴ πρὸς μὲν τὴν πρώτην ἀνείργεται, ἥτις δὴ [1] αὐτῷ καὶ κατολιγωρηθεῖσα εἰς καταστροφὴν ἤρκεσε, πρὸς δέ γε τὴν δευτέραν καὶ τρίτην παρασκευάζεται· ἀλλὰ παρὰ μὲν τὴν δευτέραν τὸ διηνυσμένον οὐδέν, αἱ δ' ἐκ τῆς ἑσπέρας αὐτῷ δυνάμεις ἐξαρτηθεῖσαι πολεμικώτατα καὶ συμμαχίδας ἑτέρας κτησάμεναι [2], εἵς τε λόχους διαιρεθεῖσαι καὶ συναιρεθεῖσαι εἰς φάλαγγας, ἐμπαρασκεύως ὁμοῦ καὶ γενναίως τοῖς ἑῴοις ἀντικατέστησαν τάγμασιν. Οὐκ ἐκ διαστήματος δὲ πολλοῦ ἑκάτεροι τοὺς χάρακας ἱδρυσάμενοι καὶ βραχύ τι τὸ μεταξὺ πεδίον πεποιημένοι, οὐδέτεροι [3] ἐπ' ἀλλήλους ἐξήεσαν, ἀλλ' ἦν αὐτοῖς κενὸν τὸ μεταίχμιον· ἀλλὰ πλήθει μὲν οἱ βασιλικοὶ τὸ πλέον ἐδείκνυσαν ἔχοντες, δυνάμει δὲ καὶ τάξει οἱ τῆς ἑτέρας προεῖχον μερίδος, καὶ τό γε μεῖζον καὶ θαυμασιώτερον, ἐκείνοις μὲν ἡ σύνταξις ἀρραγὴς καὶ ἡ πρὸς τὸν κρατοῦντα πίστις βεβαία καὶ ἀσφαλής, τὸ δ' ἡμέτερον στρατόπεδον ἐκενοῦτο καὶ διερρήγνυτο, αὐτομολούντων ὁσημέραι πολλῶν ἐπὶ τὴν τυραννικὴν σύνταξιν, ὅ τε τῶν δυνάμεων προηγούμενος, τοὔνομα δὲ οὐδὲν δέομαι λέγειν, ἀμφιρρεπὴς ἦν, ὡς δ' ἐγῷμαι μονομερής. Ὅθεν ἐξ ἀμφοτέρων κατηγωνίσμεθα, καὶ πρὶν ἢ πολεμητέα ἐδόκει, ταῖς τῶν στρατηγούντων γνώμαις ἡττώμεθα· ἀλλ' οἵ γε λόχοι [4] καὶ τὸ ἡμεδαπὸν πλῆθος ὁπόσον ἐλέλειπτο, οὕπω τὴν στρατηγικὴν γνόντες ἀμφιβολίαν, ἐπειδή περ ἀντεκατέστησαν ἄνδρες ἀρήϊοι καὶ θυμοῦ, κατὰ τὴν ποίησιν, πνείοντες, ὅπλοις τε τοῖς καλλίστοις διεσκευασμένοι, καὶ πᾶν εἴ τι ὅπλον γενναῖον τὸ μὲν διεζωσμένοι, τὸ δὲ ἐν χεροῖν ἔχοντες, τὸ ἐνυάλιον ἀλαλάξαντες ἐπὶ τοὺς ἐναντίους τοὺς χαλινοὺς τοῖς ἵπποις ἐνδόντες ἀσχέτῳ ῥύμῃ προσεχω-

1. χ. δὲ. 2. χ. κτησάμενοι. 3. χ. οὐδ' ἕτεροι. 4. χ. λόγχοι.

ρήκασι, καὶ τό γε ἀριστερὸν ἐκείνοις κέρας οἱ τὸ καθ' ἡμᾶς δεξιὸν ἔχοντες ἀναστρέψαντες ἐπὶ πολὺ κατεδίωξαν.

Ἐπεὶ δὲ τὸ δεξιὸν αὐτὸ ἐμεμαθήκεσαν, μὴ ὑπομεῖναν τὴν τῶν πολεμίων βοήν τε καὶ ἔφοδον, ἀλλ' εὐθὺς ὑποκεχωρηκὸς καὶ διασπαρὲν, δείσαντες μὴ οἱ νενικηκότες ἐπ' ἐκείνους γένοιντο, καὶ τούς γε φυγάδας ῥώσαντες ὅλαις αὐτοῖς ἐπισταῖεν [1] δυνάμεσιν, οὐδὲν ἧττον κἀκεῖνοι ἐτράπησαν εἰς φυγὴν, καὶ γίνεται καθαρῶς μετὰ τῶν πολεμίων ἡ νίκη, καὶ ὁ τυραννεύσας πεπηγὼς ἐν μέσοις εἱστήκει κρειττων καὶ τῶν διωκόντων καὶ τῶν φευγόντων· τοῦτον [2] γοῦν ἕνιοι τοῦ καθ' ἡμᾶς στρατοπέδου ἑωρακότες, ἦσαν δὲ τῶν περὶ τὸν Ταῦρον Σκυθῶν τῶν τεττάρων οὐ πλείους, τὰ δόρατα κατευθύναντες ἐπ' αὐτὸν ἐξ ἑκατέρας πλευρᾶς ὥσαντο, καὶ τόν γε σίδηρον τοῖς ἐκείνου ὅπλοις ἐφηρμοκότες διαμαρτάνουσι μὲν αὐτῷ τοῦ σώματος, ἀλλ' οὔτε δὲ ἐπὶ θάτερον παρατρέπουσι μέρος, ἀλλ' ἀντωθήσαντές τε τὸν ἄνδρα ἐς ἴσον [3] αὖθις ἀντεκατέστησαν, ἰσοβαρῆ πεποιηκότες καὶ ἐπὶ τοῦ κέντρου τηρήσαντες· τοῦτο δὴ ἐκεῖνος οἰωνὸν λαβὼν αἴσιον, ὡς εἴη ἀκίνητος [4] βαλλόμενος ἑκατέρωθεν, ταῖς δυνάμεσιν εὐθὺς ἐγκελεύει ἐρρωμενέστερον τοῖς τῶν ἐναντίων ἐμπίπτειν σώμασι, καὶ θαρρεῖν τὸν ἀγῶνα, καὶ τὰ μὲν τρέπειν τοὺς ἐναντίους, τὰ δὲ διώκειν ἄχρι πολλοῦ. Τούτων [5] γοῦν οὕτω διαπεπολεμημένων, ἀγγελίαι δεινότεραί τε καὶ φοβερώτεραι τὰς ἡμετέρας διέσεισαν ἀκοὰς, καὶ τόν γε βασιλέα διαταράξασαι ἀπεγνωκέναι πάσας ἐλπίδας πεπείκασιν· εἰ [6] γὰρ ἦν ἐξ ὑπογύου οὕτω νενικημένον τὸ ἑσπέριον ἀνακαλέσασθαι στράτευμα, ἑτέρους δὲ οὐκ εἶχεν ἀκμήτας [7] καὶ νεολέκτους παρασκευάσασθαι, ὅ τε τῶν δυνάμεων ἄρχων ὁ ἐκτομίας Θεόδωρος, ὃν ἡ βασιλὶς Θεοδώρα πρόεδρον μὲν πρότερον ἐπεποιήκει, εἶτα δὴ τὰ τῆς ἑῴας ἐγκεχειρήκει στρατόπεδα, παντάπασιν αὐτῷ ἀπειρήκει τὴν στρατηγίαν, οὐ τῷ μὴ

1. χ. ἐπεσταῖεν. 2. χ. τούτων. 3. χ. εἶσον. 4. γρ. ἀνίκητος. 5. χ. τούτω. 6. γρ. οὐ. 7. γρ. ἀκμῆτας.

θαρρεῖν μᾶλλον τοὺς δευτέρους ἀγῶνας ἢ τῷ διεστράφθαι τὴν γνώμην καὶ κρυφίως πρὸς τὸν Κομνηνὸν σπείσασθαι.

Περὶ τῆς τῆς πρεσβείας ἀποστολῆς πρὸς τὸν Κομνηνόν.

Διαλιπὼν γοῦν ὁ βασιλεὺς ἡμέρας τινὰς, εἶτα δή με πρὸς τὸν Κομνηνὸν σπείσασθαι ἀξιοῖ, διαπρεσβεύσασθαί οἱ ἀπορρήτους γνώμας πρὸς τὸν πολέμιον, καὶ δι' εὐγλωττίας καὶ σοφιστικῆς δυνάμεως καταμαλθάξαι τὴν ἐκείνου ψυχὴν πρὸς αὐτὸν μεταθήσεσθαι· ἐμοὶ δὲ τήν γε πρώτην ἀκούσαντι, ὥσπερ ἀτεχνῶς καταβροντηθέντι τὴν ἀκοὴν, ἀπηγόρευτο ἡ ἀξίωσις, καὶ « οὐκ ἂν ἑκὼν εἶναι, ἔφην, ὑπηρετήσωμαί | σοι τούτῳ [1] προστάγματι, πολύν τε τὸν φ. 388.
κίνδυνον ἔχοντι καὶ τὸ τέλος οὐκ ἀμφίβολον, ἀλλὰ πάντη μονομερές· δῆλον γὰρ ὡς οὐ πείσεται, ἄρτι νενικηκὼς καὶ ἐπηρμένος τῷ κατορθώματι, τὸ κράτος ἀφεῖναι καὶ ἄλλο τι τῶν ἐλαττόνων μεταβουλεύσασθαι. » Ὁ δ' εὐθὺς ἐπισείσας τὴν κεφαλὴν καὶ πάσης καταγνοὺς φιλίας καὶ οἰκειώσεως, « σὺ δὲ ἄρα, ἔφησεν, ὅπως μὲν πιθανῶς ἐρεῖς διεσπούδακας, ὅπως δὲ ἂν ἀμύναιο ἀτυχοῦσι φίλοις, καὶ σὺν θεῷ φάναι δεσπόταις, οὐ συνενόηκας; ἐγὼ δέ σοι οὐδὲ πρὸς βραχύ τι μετὰ τὸ κράτος παραπεποίημαι, ἀλλὰ μετὰ τοῦ συνήθους ὁμιλῶ σχήματος, κατασπάζομαί τε καὶ συναγκαλίζομαι, ὥσπερ εἴωθα, καί σου τοῦ τῶν [2] χειλέων ὥσπερ δέον ἐστὶν ὁσημέραι ἀπογεύομαι μέλιτος, ὥμην δὲ τῶν ἴσων ἀνταξιοῦσθαι! σὺ δέ μοι οὐδὲ τοσοῦτον δίδως ὁπόσον [3] ἐπιεικὴς ἄνθρωπος ἐχθρῷ παρέσχετο κινδυνεύοντι· κἀγὼ μὲν τὸν πεπρωμένον οἶμον πορεύσομαι, σοὶ δὲ ἄρα τις ἔσται ἐπεγκαλῶν καὶ προσονειδίζων ὅτι τὴν πρὸς δεσπότην καὶ φίλον φιλίαν διέψευσαι! »

Τούτων ἀκούσας τῶν λόγων μικροῦ δεῖν αὖος καὶ ἀπόπληκτος γέγονα, καὶ οὐκ εἶχον ὅπως τὴν πρώτην διαφυλάξωμαι ἔνστασιν·

1. γρ. τοιούτῳ. 2. χ. τούτων. 3. χ. ὁπόσος.

ἄλλως ἐκείνους τῆς αὐτῆς κοινωνεῖν ὁμιλίας καὶ οἰκειώσεως· ἐπεὶ δὲ αὐτὸς τὸ πρᾶγμα αἰσθόμενος, οὐ πολλάκις ἀφικνούμην ἐκεῖσε, ἡ βασιλὶς αὖθις μεταβαλλομένη κατωνείδιζέ τε τῆς βραδυτῆτος καὶ κατητιᾶτο ὡς τῶν ἐκείνης κατολιγωροῦντα προστάξεων. Οὕτω γοῦν αὐτῆς καὶ τὸ βουλόμενον δυσκίνητον ἦν καὶ τὸ ἀπροαίρετον βουλητόν· οὐ γὰρ πάνυ τι θαρροῦσα ταῖς οἰκείαις γνώμαις, εἶτα δὴ δεδοικυῖα μὴ παρὰ ταῦτα τὰ τῆς βασιλείας ἔξει κακῶς, ἑτέροις [1] ἢ ἑαυτῇ μᾶλλον ἐπίστευεν· ἀμέλει τοι καὶ τὸν πρὸ αὐτῆς αὐτοκράτορα ἐσέβετο μὲν καὶ τετελευτηκότα, καὶ τῶν τε καλῶν ἐκείνου ἐμέμνητο, καὶ ἐβούλετο μὲν μηδὲν ὧν ἐκεῖνος ἐγνώκει κατολιγωρῆσαι, διημάρτανε δὲ τοῦ σκοποῦ· διὰ ταῦτα πλεῖστα ὧν ἐκεῖνος ἐπεπράχει διέφθαρτο· ὁ γὰρ τὴν τῶν ὅλων πεπιστευμένος [2] διοίκησιν, περὶ οὗ λέγων [3] νῦν ἐπαυσάμην, ἐπειδὴ μὴ τῶν πρωτείων ἠξίωτο παρ' ἐκείνου, μηδὲ παρὰ τῇ ἐκείνου εἱστήκει πλευρᾷ, ὅπερ δὴ αὐτῷ ἔθος ἐν τοῖς προτοῦ βασιλεύειν ἐγίγνετο, καὶ ζῶντι ἐμέμφετο καὶ ἀπελκηλυθότι τῆς ἀτιμίας ἐμνησικάκησεν. Ἀλλ' ὑπὲρ μὲν τῶν ὑπεραπολογήσαιτ' ἄν τις καὶ τῆς βασιλίδος, καὶ εἴ τις ἄλλος πρὸς ἐκεῖνον [4] ἔσχε κακῶς· τὸ δὲ μήτε ἐκείνην περὶ ἑαυτῆς ὡς ἐκδήμου διανενοῆσθαι καὶ ἐν καλῷ θεῖναι τὰ πράγματα, μήτε τοὺς περὶ ἐκείνην εἰς τὸν τοιοῦτον ἐνάγειν λογισμὸν, ἀλλ' οἴεσθαι ἐκείνην μὲν ἐπὶ τῆς αὐτῆς ἡλικίας ἀεὶ βιώσεσθαι, ἢ καὶ ἀναλύσαι τοῖς χρόνοις καὶ αὖθις ἀνθῆσαι ὥσπερ νεόφυτον, ἑαυτοῖς τε πεπηγέναι τὴν εὐδαιμονίαν καὶ μηδένα βούλεσθαι ἐπιστῆσαι τῷ κράτει, μηδὲ τὴν ἀρίστην μεταβολὴν πρυτανεῦσαι τοῖς πράγμασι, τίς ἂν αὐτοὺς τῆς ἐσχάτης ἐξαιρήσεται εὐηθείας [5];

Ἔγωγ' οὖν καὶ ἐν ἱεροῖς θρόνοις ἐγκαθιδρύουσαν ἐνίους ἐκείνην ὁρῶν καὶ τὰς τοιαύτας προχειρίσεις, ἵνα οὕτως εἴπω, γλωσσαλγοῦσαν, οὐκ εἶχον ἑαυτὸν κατασχεῖν, ἀλλὰ λάθρα τε ὑπετονθόρυ-

1. χ. ἑτέροι. 2. χ. πεπιστευόμενος. 3. χ. λέγω. 4. γρ. τι ἄλλο πρὸς ἐκείνων. 5. χ. ἐσχάτης αἰσχάτης ἐξαιρήσαιται.

ζον, καὶ οἷς εἶχον θαρρεῖν καθηπτόμην τοῦ πράγματος· ἐθαύμαζον δὲ εἰδὼς ἐκείνην εὐλαβεστάτην περὶ τὰ θεῖα τυγχάνουσαν, ἀλλ' ὁ τῆς αὐτοκράτορος ἀρχῆς ἔρως ἀνέπειθε[1] καὶ παρανομεῖν· τοῦτο γοῦν καὶ τῆς περὶ τὰ κρείττω εὐλαβείας ἠλλοίωσε, καὶ ἔτι οὐ πάνυ τὸ συμπαθὲς τῆς ψυχῆς διεφύλαξεν, οὐκ οἶδα εἴτε πρὸς τὴν ἔμφυτον ἕξιν ἐπανελθοῦσα, ἵνα τὸ φθάσαν τοῦ βίου δείξῃ σκηνὴν[2], εἴτ' ἐπιτηδεύουσα τοῦτο, ἵνα μὴ ἁλωτὸς τοῖς πολλοῖς εἴη, μηδέ τις αὐτὴν κατενέγκοι δακρύων εὐθύς. Τῷ δέ γε πατριάρχῃ ξυμπάσης τῆς οἰκουμένης, οὕτω γὰρ νόμος τὸν τῆς Κωνσταντίνου καλεῖν, Μιχαὴλ δὲ οὗτος ἦν ὁ μετὰ τὸν θεῖον Ἀλέξιον τοῦ ἱεροῦ θρόνου προστὰς, καίτοι τὸν πρὸ τῆς αὐτοκρατορίας χρόνον οἰκειότατα προσκειμένη καὶ σεβομένη, ἐπειδὴ καθαρώτερον βεβασιλεύκει ἀπεχθάνετό τε καὶ ἀπεστρέφετο· αἴτιον δὲ τῆς τοιαύτης μεταβολῆς τὸ δυσανασχετεῖν κἀκεῖνον ὑπὸ γυναικὶ τὰ Ῥωμαίων ἄγεσθαι πράγματα, οἷος ἐκεῖνος θυμοῦ ἐν τοῖς | τοιούτοις πιμπλάμενος καὶ παρρησιαζόμενος τὴν ἀλήθειαν· ἴσως μὲν οὖν καὶ μετέθετ' ἂν τὴν ἀρχὴν, εἰ μή τινες αὐτῇ μακροὶ αἰῶνες τῆς ἐπικήρου ταύτης ζωῆς ἐχαρίζοντο. φ. 393.

Οἱ δὲ οὕτω φιλοτιμότατοι καὶ ταῖς μεγαλοδωρεαῖς πᾶσαν[3] γνώμην ἐλευθέριον ὑπερβάλλοντες, οὐκ ἄγγελοί τινες τὰ παρὰ τοῦ κρείττονος ἐκείνῃ διαπορθμεύοντες, ἀλλ' οἱ ἐκείνους τῷ μὲν σχήματι μιμούμενοι, ταῖς δὲ γνώμαις ὑποκρινόμενοι· λέγω δὲ τοὺς καθ' ἡμᾶς Ναζιραίους, οἳ πρὸς τὸ θεῖον μεταπλαττόμενοι, μᾶλλον δὲ νομοθετούμενοι καταπλάττεσθαι, πρὶν ἢ τὴν ἀνθρωπίνην φύσιν ὑπεξελθεῖν ὡς ἡμίθεοί τινες παρ' ἡμῖν ἀναστρέφονται, καὶ τῶν μὲν ἄλλων κατολιγωροῦσι τοῦ θείου, οὔτε γὰρ ψυχὰς πρὸς τὰ κρείττω ῥυθμίζουσιν, οὐ τὰ ἐν ἡμῖν πάθη κοιμίζουσιν, οὐ τοῖς μὲν ἐντιθέασι χαλινὸν, τοῖς δὲ οἷα κέντρα τοὺς λόγους ἐπάγουσιν, ἀλλὰ ταῦτα ὡς μικρὰ παραβλέποντες, οἱ μὲν χρησμολογοῦσι τὴν πρόρρησιν καὶ

1. χ. ἀνέπειθει. 2. γρ. συνιόν. 3. χ. πᾶσιν.

ἄλλως ἐκείνους τῆς αὐτῆς κοινωνεῖν ὁμιλίας καὶ οἰκειώσεως· ἐπεὶ δὲ αὐτὸς τὸ πρᾶγμα αἰσθόμενος, οὐ πολλάκις ἀφικνούμην ἐκεῖσε, ἡ βασιλὶς αὖθις μεταβαλλομένη κατωνείδιζέ τε τῆς βραδυτῆτος καὶ κατητιᾶτο ὡς τῶν ἐκείνης κατολιγωροῦντα προστάξεων. Οὕτω γοῦν αὐτῆς καὶ τὸ βουλόμενον δυσκίνητον ἦν καὶ τὸ ἀπροαίρετον βουλητόν· οὐ γὰρ πάνυ τι θαρροῦσα ταῖς οἰκείαις γνώμαις, εἶτα δὴ δεδοικυῖα μὴ παρὰ ταῦτα τὰ τῆς βασιλείας ἔξει κακῶς, ἑτέροις [1] ἢ ἑαυτῇ μᾶλλον ἐπίστευεν· ἀμέλει τοι καὶ τὸν πρὸ αὐτῆς αὐτοκράτορα ἐσέβετο μὲν καὶ τετελευτηκότα, καὶ τῶν τε καλῶν ἐκείνου ἐμέμνητο, καὶ ἐβούλετο μὲν μηδὲν ὧν ἐκεῖνος ἐγνώκει κατολιγωρῆσαι, διημάρτανε δὲ τοῦ σκοποῦ· διὰ ταῦτα πλεῖστα ὧν ἐκεῖνος ἐπεπράχει διέφθαρτο· ὁ γὰρ τὴν τῶν ὅλων πεπιστευμένος [2] διοίκησιν, περὶ οὗ λέγων [3] νῦν ἐπαυσάμην, ἐπειδὴ μὴ τῶν πρωτείων ἠξίωτο παρ' ἐκείνου, μηδὲ παρὰ τῇ ἐκείνου εἱστήκει πλευρᾷ, ὅπερ δὴ αὐτῷ ἔθος ἐν τοῖς προτοῦ βασιλεύειν ἐγίγνετο, καὶ ζῶντι ἐμέμφετο καὶ ἀπελκηλυθότι τῆς ἀτιμίας ἐμνησικάκησεν. Ἀλλ' ὑπὲρ μὲν τῶν ὑπεραπολογήσαιτ' ἄν τις καὶ τῆς βασιλίδος, καὶ εἴ τις ἄλλος πρὸς ἐκεῖνον [4] ἔσχε κακῶς· τὸ δὲ μήτε ἐκείνην περὶ ἑαυτῆς ὡς ἐκδήμου διανενοῆσθαι καὶ ἐν καλῷ θεῖναι τὰ πράγματα, μήτε τοὺς περὶ ἐκείνην εἰς τὸν τοιοῦτον ἐνάγειν λογισμὸν, ἀλλ' οἴεσθαι ἐκείνην μὲν ἐπὶ τῆς αὐτῆς ἡλικίας ἀεὶ βιώσεσθαι, ἢ καὶ ἀναλύσαι τοῖς χρόνοις καὶ αὖθις ἀνθῆσαι ὥσπερ νεόφυτον, ἑαυτοῖς τε πεπηγέναι τὴν εὐδαιμονίαν καὶ μηδένα βούλεσθαι ἐπιστῆσαι τῷ κράτει, μηδὲ τὴν ἀρίστην μεταβολὴν πρυτανεῦσαι τοῖς πράγμασι, τίς ἂν αὐτοὺς τῆς ἐσχάτης ἐξαιρήσεται εὐηθείας [5];

Ἔγωγ' οὖν καὶ ἐν ἱεροῖς θρόνοις ἐγκαθιδρύουσαν ἐνίους ἐκείνην ὁρῶν καὶ τὰς τοιαύτας προχειρίσεις, ἵνα οὕτως εἴπω, γλωσσαλγοῦσαν, οὐκ εἶχον ἑαυτὸν κατασχεῖν, ἀλλὰ λάθρα τε ὑπετονθόρυ-

1. χ. ἑτέροι. 2. χ. πεπιστευόμενος. 3. χ. λέγω. 4. γρ. τι ἄλλο πρὸς ἐκείνων. 5. χ. ἐσχάτης αἰσχάτης ἐξαιρήσαιται.

ζον, καὶ οἷς εἶχον θαρρεῖν καθηπτόμην τοῦ πράγματος· ἐθαύμαζον δὲ εἰδὼς ἐκείνην εὐλαβεστάτην περὶ τὰ θεῖα τυγχάνουσαν, ἀλλ' ὁ τῆς αὐτοκράτορος ἀρχῆς ἔρως ἀνέπειθε[1] καὶ παρανομεῖν· τοῦτο γοῦν καὶ τῆς περὶ τὰ κρείττω εὐλαβείας ἠλλοίωσε, καὶ ἔτι οὐ πάνυ τὸ συμπαθὲς τῆς ψυχῆς διεφύλαξεν, οὐκ οἶδα εἴτε πρὸς τὴν ἔμφυτον ἕξιν ἐπανελθοῦσα, ἵνα τὸ φθάσαν τοῦ βίου δείξῃ σκηνὴν[2], εἴτ' ἐπιτηδεύουσα τοῦτο, ἵνα μὴ ἁλωτὸς τοῖς πολλοῖς εἴη, μηδέ τις αὐτὴν κατενέγκοι δακρύων εὐθύς. Τῷ δέ γε πατριάρχῃ ξυμπάσης τῆς οἰκουμένης, οὕτω γὰρ νόμος τὸν τῆς Κωνσταντίνου καλεῖν, Μιχαὴλ δὲ οὗτος ἦν ὁ μετὰ τὸν θεῖον Ἀλέξιον τοῦ ἱεροῦ θρόνου προστὰς, καίτοι τὸν πρὸ τῆς αὐτοκρατορίας χρόνον οἰκειότατα προσκειμένη καὶ σεβομένη, ἐπειδὴ καθαρώτερον βεβασιλεύκει ἀπεχθάνετό τε καὶ ἀπεστρέφετο· αἴτιον δὲ τῆς τοιαύτης μεταβολῆς τὸ δυσανασχετεῖν κἀκεῖνον ὑπὸ γυναικὶ τὰ Ρωμαίων ἄγεσθαι πράγματα, οἷος ἐκεῖνος θυμοῦ ἐν τοῖς | τοιούτοις πιμπλάμενος καὶ παρρησιαζόμενος τὴν ἀλήθειαν· ἴσως μὲν οὖν καὶ μετέθετ' ἂν τὴν ἀρχὴν, εἰ μή τινες αὐτῇ μακροὶ αἰῶνες τῆς ἐπικήρου ταύτης ζωῆς ἐχαρίζοντο. p. 393.

Οἱ δὲ οὕτω φιλοτιμότατοι καὶ ταῖς μεγαλοδωρεαῖς πᾶσαν[3] γνώμην ἐλευθέριον ὑπερβάλλοντες, οὐκ ἄγγελοί τινες τὰ παρὰ τοῦ κρείττονος ἐκείνῃ διαπορθμεύοντες, ἀλλ' οἱ ἐκείνους τῷ μὲν σχήματι μιμούμενοι, ταῖς δὲ γνώμαις ὑποκρινόμενοι· λέγω δὲ τοὺς καθ' ἡμᾶς Ναζιραίους, οἳ πρὸς τὸ θεῖον μεταπλαττόμενοι, μᾶλλον δὲ νομοθετούμενοι καταπλάττεσθαι, πρὶν ἢ τὴν ἀνθρωπίνην φύσιν ὑπεξελθεῖν ὡς ἡμίθεοί τινες παρ' ἡμῖν ἀναστρέφονται, καὶ τῶν μὲν ἄλλων κατολιγωροῦσι τοῦ θείου, οὔτε γὰρ ψυχὰς πρὸς τὰ κρείττω ῥυθμίζουσιν, οὐ τὰ ἐν ἡμῖν πάθη κοιμίζουσιν, οὐ τοῖς μὲν ἐντιθέασι χαλινὸν, τοῖς δὲ οἷα κέντρα τοὺς λόγους ἐπάγουσιν, ἀλλὰ ταῦτα ὡς μικρὰ παραβλέποντες, οἱ μὲν χρησμολογοῦσι τὴν πρόρρησιν καὶ

1. χ. ἀνέπειθει. 2. γρ. συνιόν. 3. χ. πᾶσιν.

ἄλλως ἐκείνους τῆς αὐτῆς κοινωνεῖν ὁμιλίας καὶ οἰκειώσεως· ἐπεὶ δὲ αὐτὸς τὸ πρᾶγμα αἰσθόμενος, οὐ πολλάκις ἀφικνούμην ἐκεῖσε, ἡ βασιλὶς αὖθις μεταβαλλομένη κατωνείδιζέ τε τῆς βραδυτῆτος καὶ κατητιᾶτο ὡς τῶν ἐκείνης κατολιγωροῦντα προστάξεων. Οὕτω γοῦν αὐτῆς καὶ τὸ βουλόμενον δυσκίνητον ἦν καὶ τὸ ἀπροαίρετον βουλητόν· οὐ γὰρ πάνυ τι θαρροῦσα ταῖς οἰκείαις γνώμαις, εἶτα δὴ δεδοικυῖα μὴ παρὰ ταῦτα τὰ τῆς βασιλείας ἕξει κακῶς, ἑτέροις [1] ἢ ἑαυτῇ μᾶλλον ἐπίστευεν· ἀμέλει τοι καὶ τὸν πρὸ αὐτῆς αὐτοκράτορα ἐσέβετο μὲν καὶ τετελευτηκότα, καὶ τῶν τε καλῶν ἐκείνου ἐμέμνητο, καὶ ἐβούλετο μὲν μηδὲν ὧν ἐκεῖνος ἐγνώκει κατολιγωρῆσαι, διημάρτανε δὲ τοῦ σκοποῦ· διὰ ταῦτα πλεῖστα ὧν ἐκεῖνος ἐπεπράχει διέφθαρτο· ὁ γὰρ τὴν τῶν ὅλων πεπιστευμένος [2] διοίκησιν, περὶ οὗ λέγων [3] νῦν ἐπαυσάμην, ἐπειδὴ μὴ τῶν πρωτείων ἠξίωτο παρ' ἐκείνου, μηδὲ παρὰ τῇ ἐκείνου εἱστήκει πλευρᾷ, ὅπερ δὴ αὐτῷ ἔθος ἐν τοῖς προτοῦ βασιλεύειν ἐγίγνετο, καὶ ζῶντι ἐμέμφετο καὶ ἀπεληλυθότι τῆς ἀτιμίας ἐμνησικάκησεν. Ἀλλ' ὑπὲρ μὲν τῶν ὑπεραπολογήσαιτ' ἄν τις καὶ τῆς βασιλίδος, καὶ εἴ τις ἄλλος πρὸς ἐκεῖνον [4] ἔσχε κακῶς· τὸ δὲ μήτε ἐκείνην περὶ ἑαυτῆς ὡς ἐκδήμου διανενοῆσθαι καὶ ἐν καλῷ θεῖναι τὰ πράγματα, μήτε τοὺς περὶ ἐκείνην εἰς τὸν τοιοῦτον ἐνάγειν λογισμὸν, ἀλλ' οἴεσθαι ἐκείνην μὲν ἐπὶ τῆς αὐτῆς ἡλικίας ἀεὶ βιώσεσθαι, ἢ καὶ ἀναλύσαι τοῖς χρόνοις καὶ αὖθις ἀνθῆσαι ὥσπερ νεόφυτον, ἑαυτοῖς τε πεπηγέναι τὴν εὐδαιμονίαν καὶ μηδένα βούλεσθαι ἐπιστῆσαι τῷ κράτει, μηδὲ τὴν ἀρίστην μεταβολὴν πρυτανεῦσαι τοῖς πράγμασι, τίς ἂν αὐτοὺς τῆς ἐσχάτης ἐξαιρήσεται εὐηθείας [5];

Ἔγωγ' οὖν καὶ ἐν ἱεροῖς θρόνοις ἐγκαθιδρύουσαν ἐνίους ἐκείνην ὁρῶν καὶ τὰς τοιαύτας προχειρίσεις, ἵνα οὕτως εἴπω, γλωσσαλγοῦσαν, οὐκ εἶχον ἑαυτὸν κατασχεῖν, ἀλλὰ λάθρα τε ὑπετονθόρυ-

1. χ. ἑτέροι. 2. χ. πεπιστευόμενος. 3. χ. λέγω. 4. γρ. τι ἄλλο πρὸς ἐκείνων. 5. χ. ἐσχάτης αἰσχάτης ἐξαιρήσαιται.

ζον, καὶ οἷς εἶχον θαρρεῖν καθηπτόμην τοῦ πράγματος· ἐθαύμαζον δὲ εἰδὼς ἐκείνην εὐλαβεστάτην περὶ τὰ θεῖα τυγχάνουσαν, ἀλλ' ὁ τῆς αὐτοκράτορος ἀρχῆς ἔρως ἀνέπειθε[1] καὶ παρανομεῖν· τοῦτο γοῦν καὶ τῆς περὶ τὰ κρείττω εὐλαβείας ἠλλοίωσε, καὶ ἔτι οὐ πάνυ τὸ συμπαθὲς τῆς ψυχῆς διεφύλαξεν, οὐκ οἶδα εἴτε πρὸς τὴν ἔμφυτον ἕξιν ἐπανελθοῦσα, ἵνα τὸ φθάσαν τοῦ βίου δείξῃ σκηνὴν[2], εἴτ' ἐπιτηδεύουσα τοῦτο, ἵνα μὴ ἁλωτὸς τοῖς πολλοῖς εἴη, μηδέ τις αὐτὴν κατενέγκοι δακρύων εὐθύς. Τῷ δέ γε πατριάρχῃ ξυμπάσης τῆς οἰκουμένης, οὕτω γὰρ νόμος τὸν τῆς Κωνσταντίνου καλεῖν, Μιχαὴλ δὲ οὗτος ἦν ὁ μετὰ τὸν θεῖον Ἀλέξιον τοῦ ἱεροῦ θρόνου προστὰς, καίτοι τὸν πρὸ τῆς αὐτοκρατορίας χρόνον οἰκειότατα προσκειμένη καὶ σεβομένη, ἐπειδὴ καθαρώτερον βεβασιλεύκει ἀπεχθάνετό τε καὶ ἀπεστρέφετο· αἴτιον δὲ τῆς τοιαύτης μεταβολῆς τὸ δυσανασχετεῖν κἀκεῖνον ὑπὸ γυναικὶ τὰ Ῥωμαίων ἄγεσθαι πράγματα, οἷος ἐκεῖνος θυμοῦ ἐν τοῖς | τοιούτοις πιμπλάμενος καὶ παρρησιαζόμενος τὴν ἀλήθειαν· ἴσως μὲν οὖν καὶ μετέθετ' ἂν τὴν ἀρχὴν, εἰ μή τινες αὐτῇ μακροὶ αἰῶνες τῆς ἐπικήρου ταύτης ζωῆς ἐχαρίζοντο. p. 393.

Οἱ δὲ οὕτω φιλοτιμότατοι καὶ ταῖς μεγαλοδωρεαῖς πᾶσαν[3] γνώμην ἐλευθέριον ὑπερβάλλοντες, οὐκ ἄγγελοί τινες τὰ παρὰ τοῦ κρείττονος ἐκείνῃ διαπορθμεύοντες, ἀλλ' οἱ ἐκείνους τῷ μὲν σχήματι μιμούμενοι, ταῖς δὲ γνώμαις ὑποκρινόμενοι· λέγω δὲ τοὺς καθ' ἡμᾶς Ναζιραίους, οἳ πρὸς τὸ θεῖον μεταπλαττόμενοι, μᾶλλον δὲ νομοθετούμενοι καταπλάττεσθαι, πρὶν ἢ τὴν ἀνθρωπίνην φύσιν ὑπεξελθεῖν ὡς ἡμίθεοί τινες παρ' ἡμῖν ἀναστρέφονται, καὶ τῶν μὲν ἄλλων κατολιγωροῦσι τοῦ θείου, οὔτε γὰρ ψυχὰς πρὸς τὰ κρείττω ῥυθμίζουσιν, οὐ τὰ ἐν ἡμῖν πάθη κοιμίζουσιν, οὐ τοῖς μὲν ἐντιθέασι χαλινὸν, τοῖς δὲ οἷα κέντρα τοὺς λόγους ἐπάγουσιν, ἀλλὰ ταῦτα ὡς μικρὰ παραβλέποντες, οἱ μὲν χρησμολογοῦσι τὴν πρόρρησιν καὶ

1. χ. ἀνέπειθει. 2. γρ. συνιόν. 3. χ. πᾶσιν.

τὸ θεῖον ἐξαγγέλλουσι βούλημα, οἱ δὲ καὶ τοὺς πεπηγότας ὅρους μετατιθέασι, καὶ τοὺς μὲν ἀναλύουσι, τοῖς δὲ προστιθέασιν, ἀπαθανατίζουσί τε τὴν μερικὴν φύσιν καὶ ἱστῶσιν ἡμῖν τὴν φυσικὴν κίνησιν, βεβαιοῦσι δὲ τοὺς αὐτῶν λόγους, ὅτι σιδηροφοροῦσιν ἀεὶ κατὰ τοὺς παλαιοὺς Ἀκαρνᾶνας, καὶ αἰθεροβατοῦσιν ἐπὶ χρόνον μακρὸν, ἀφ' ὧν κατολισθαίνουσι τάχιστα, ἐπειδὰν ἐπιγείου αἴσθωνται κνίσσης· ὁποίους ἐγὼ πολλάκις ἑωράκειν καὶ κατεγνώκειν· οὗτοι δὴ καὶ τὴν βασιλίδα ἐξηπατήκασιν ὡς ἐσομένην ἀείζωον, καὶ διὰ τοῦτο ἐκείνη μικροῦ δεῖν αὐτή τε διέφθαρτ' ἂν καὶ τὰ πράγματα πάντη διέφθειρεν.

Ἀλλ' ἐκεῖνοι μὲν αἰῶνας ἀπείρους καὶ ζωὰς ἐκείνῃ ἔπλαττον, ἡ δ' ἐγγὺς ἐγεγόνει τοῦ εἱμαρτοῦ, λέγω δὲ τῇ φωνῇ καταχρώμενος· τὸν γάρ τοι τῆς ζωῆς ὅρον πληροῦσα αὐτῷ δὴ τῷ τέλει προσήγγισε· νόσος γεμὴν αὐτὴν αἱρεῖ δεινοτάτη· ἡ γὰρ ὑποκριτικὴ αὐτῇ ὑποκλαύσασα δύναμις, τήν τε ὀρεκτικὴν κατήνεγκε, καὶ τοῖς τοῦ σώματος ἐπεφόρτιστο μέρεσιν, ἔπειτ' ἀθρόον διαρρυεῖσα καὶ τὸ ἐντὸς μικροῦ δεῖν ξύμπαν ἀποβαλοῦσα, ἐν ὀλίγαις ἐκείνην καταλελοίπει ταῖς ἐκπνοαῖς· ἐπεὶ γοῦν αὐτὴν ξύμπαντες ἀπεγνώκεισαν, λέγω δὲ τούτους ὁπόσοι περὶ ἐκείνην ἐστρέφοντο, αὐτίκα καὶ περὶ τοῦ παντὸς, ἀλλὰ καὶ περὶ ἑαυτῶν σκοπὸν τίθενται, καὶ βουλευμάτων κατάρχουσι· λέγω δὲ ταῦτα οὐ παρά του ἀκηκοὼς, ἀλλ' αὐτὸς τοῖς γε γνωσθεῖσι καὶ βουλευθεῖσι παραγενόμενος, ὀφθαλμοῖς τε ὁρῶν καὶ ὠσὶν ἀκούων, ὅπως αὐτοῖς ὥσπερ ἐν κύβων παιδιαῖς τὰ τῆς βασιλείας ἐστρέφετο πράγματα. Οὔπω μὲν γὰρ ὁ ἥλιος τὸ μεσημβρινὸν κατὰ κορυφὴν εἱστήκει, καὶ ἡ μὲν βασιλὶς ὀλίγον ἀνέπνει καὶ αὐτίκα τεθνήξεσθαι ἐπίδοξος ἦν, οἱ δὲ περὶ τὸ βῆμα εἰς ταὐτὸ συνειλεγμένοι καὶ ἐν μέσῳ τὸν κορυφαῖον ἔχοντες, ἐν σκέμμασιν ἦσαν τίνα δὲ[1] πρὸ τῶν ἄλλων τοῖς πράγμασιν ἐπιστήσουσιν, ἀνθεξόμενόν[2] τε αὐτῶν καὶ ἀειπαγῆ καὶ τὴν εὐδαιμο-

1. γρ. ὃ δὴ. 2. χ. ἀνθεξάμενον.

νίαν φυλάξοντα. Ὃν μὲν οὖν τῶν ἄλλων προκεκρίκασιν οὐ νῦν χαρακτηρίζειν βεβούλημαι, οὐ πάντη δὲ τούτους ἀποφανοῦμαι διημαρτηκέναι τοῦ ἀρίστου σκοποῦ, εἰ μὴ ὅσον τοιοῦτος ἐκεῖνος ἦν οὐχ οἷος ἄρχειν, ἀλλ' ἄρχεσθαι μᾶλλον καὶ ἄγεσθαι· ἦν δὲ καὶ τοῦ θέρους ἐγγὺς καὶ τοῦ τετραμήνου ἐντός· αἱ γὰρ τῆς κεφαλῆς αὐτοῦ τρίχες ὑπαργυρίζουσι ξύμπασαι. Τοῦτον γοῦν ἐκείνην πεπείκασιν ἀξιῶσαι τοῦ στέμματος· ἡ δὲ πείθεταί τε αὐτίκα, καὶ τὴν κεφαλὴν ταινιοῖ καὶ ἀναδείκνυσιν αὐτοκράτορα· εἶτα δή τινα βραχὺν ἐπιμείνασα χρόνον[1] τῷ κράτει, ἐνιαυσίου ὥρας δεούσης μιᾶς [ἐτελεύτησε], καὶ ὁ Μιχαὴλ τῶν ὅλων ἐγκρατὴς ἐγεγόνει, αὐτίκα[2] στερήσεσθαι, περὶ οὗ ἐρεῖν βουλόμενος βραχύ τι πρὸς καταστήσω τὸν λόγον.

ΤΟΜΟΣ ΕΒΔΟΜΟΣ,

Ἀρχὴ δὲ τῆς βασιλείας Μιχαὴλ τοῦ Γέροντος· ὁ τοιοῦτος ἐκράτησεν ἔτος α'.

Δοκεῖ πως τοῖς ἄρτι βασιλεύειν λαχοῦσιν ἀρκεῖν εἰς ἕδραν τοῦ κράτους, ἢν[3] τὸ πολιτικὸν γένος τούτους κατευφημήσωσιν· ἀγχίθυροι γὰρ αὐτοῖς ὄντες οἴονται εἰ τὰ[4] παρὰ τούτων αὐτοῖς εὖ ἕξει, ἀρραγῶς κατησφαλῖσθαι τῷ κράτει· ἔνθεν τοι ἅμα τε τῶν σκήπτρων ἐπιλαμβάνωνται, καὶ τούτοις πρῶτον καὶ τὴν φωνὴν καὶ τὴν ὄψιν διδόασιν· ὧν εὐθὺς ἐπισκιρτησάντων καὶ βωμολόχους ἀφέντων φωνάς, καί τινες δημηγορίας φλυάρους πεποιηκότες, ὥσπερ θείαν ἐσχηκότες ἐπικουρίαν, οὐδὲ μιᾶς ἑτέρας δυνάμεως ἐπιδέονται· ἐν τρισὶ δὲ τούτοις τῆς φυλακῆς αὐτοῖς ἱσταμένης, δημοτικῷ πλήθει, καὶ συγκλητικῇ τάξει, καὶ συντάγματι στρατιωτικῷ, τῆς μὲν τρί-

1. χ. χρόνους. 2. προσθετέον [μέλλων]. 3. γ. ἤν. 4. χ. εἶτα.

της ἧττον φροντίζουσι, τοῖς δ' ἄλλοις εὐθὺς τὰς ἐκ τοῦ κράτους προσνέμουσι χάριτας. Ὁ δέ γε πρεσβύτης Μιχαὴλ ἐπιδεικτικώτερον ἢ προσῆκε τὰς τῶν ἀξιωμάτων διανεμήσεις πεποίητο· οὐ γὰρ τῷ προσεχεῖ ἕκαστον συνίστα βαθμῷ, ἀλλὰ καὶ πρὸς τὸν ἐφεξῆς καὶ τὸν ἐπέκεινα ἀνεβίβαζεν· εἰ δέ τις αὐτῷ ἐκ πλαγίου στὰς καὶ τὸν τέταρτον ἐπεζήτησεν, εὐηκόου ἐτύγχανεν ἐκείνου· ἐντεῦθεν ἄλλος ἀντιπαραστὰς καὶ τὴν ἑτέραν διασείσας πλευρὰν, οὐδὲ τοῦ πέμπτου ἡμάρτανε· καὶ ἦν ἀτεχνῶς σύγχυσις τὸ φιλότιμον.

Περὶ τῆς τῶν ἀρχόντων εἰς τὸν βασιλέα Μιχαὴλ εἰσελεύσεως.

Τούτων τοιγαροῦν οἱ στρατιῶται ἀκηκοότες καὶ τῶν στρατιωτῶν ὁπόσον στρατηγικόν τε καὶ ἔκκριτον, καταλαμβάνουσι τὸ Βυζάντιον, τῶν ἴσων ἢ καὶ κρειττόνων τευξόμενοι· ὥριστο γοῦν αὐτοῖς ἡμέρα τῆς εἰς τὸν βασιλέα εἰσόδου, κἀγὼ τηνικαῦτα παρεγενόμην τῷ αὐτοκράτορι· καὶ εἰσῆεσαν ἄνδρες γενναῖοι καὶ ἀτεχνῶς ἥρωες, εἶτα δὴ τὰς κεφαλὰς ὑποκλίναντες καὶ ἐπευφημήσαντες ὅσον εἰκὸς, ἐπὶ μέρος, τοῦ βασιλέως κελεύσαντος, ἔστησαν· εἶτα δέον καθένα τούτους διαιρεῖν καὶ λόγων πρὸς ἐκείνους βασιλικῶν καὶ φιλοτίμων ἀπάρξεσθαι, οὐδὲ πρῶτα μὲν τὸ ἀγενὲς, ὠνείδισε ξύμπασιν, εἶτα δὴ ἐς μέσους τὸν κορυφαῖον τούτων[1] στήσας ἢ τὸν εὐθὺς μετ' ἐκεῖνον (ἐπρέσβευε γὰρ τούτοις ξύμπασιν ὁ Κομνηνὸς Ἰσαάκιος, ἦν[2] δ' ὁ Κεκαυμένος οὗτος ὁ Κολωνείαθεν), ὕβρισι μυρίαις κατέπλυνεν ὡς ἀπολωλεκότα μικροῦ δεῖν τὴν Ἀντιόχου καὶ |
φ. 294. τὰς δυνάμεις καταλελυκότα, καὶ γενναῖον μὲν ἢ στρατηγικὸν οὐδὲν ἐπιδείξαντα, τὰ δὲ τῶν πολλῶν συλλέξαντα χρήματα, καὶ τὴν ἀρχὴν ἐσχηκότα οὐκ εὐκλείας, ἀλλ' ἀπληστίας ὑπόθεσιν· ἐφ' οἷς ἐκείνου παγέντος τῷ ἀθρόῳ τῆς ἐπιπλήξεως, καὶ τὰ κρείττω μὲν προσδοκήσαντος, τοῖς δ' ἐναντίοις καθυβρισθέντος, τῶν τε συστρα-

1. χ. τοῦτον. 2. χ. ἦν.

τήγων ὑπεραπολογήσασθαι ἐκείνου ἐπικεχειρηκότων, ὁ βασιλεὺς καὶ τούτοις τὴν γλῶτταν ἐπέσχε· καὶ εἰ[1] τῶν ἄλλων κατωλιγωρήκει, δέον τόν γε Ἰσαάκιον πάσης ἀξιῶσαι εὐφημίας τε καὶ τιμῆς, ὁ δὲ κἀκείνῳ ἀπείπατο τὴν εὐμένειαν.

Περὶ τῆς τοῦ Κομνηνοῦ ἀποστασίας.

Αὕτη πρώτη πληγὴ τοῖς στρατιώταις ἐγένετο καὶ ἀφορμὴ τῆς κατ' ἐκείνου ἐπιβουλῆς· τοῦτο τὸ δρᾶμα τὰς ἐκείνων γνώμας διέσεισε, καὶ καινοτέρων αὐτοῖς βουλευμάτων ἀρχὰς εἰσεποίησεν. Οὐκ ἔτι μὲν οὖν εὐθὺς ἐν τῷ περὶ τῆς βασιλείας γεγόνασι σκέμματι, ἀλλὰ καὶ δευτέραν πεῖραν πεποίηνται, εἴ πως εὐνοϊκωτέρου τοῦ αὐτοκράτορος τύχοιεν· ὁ δὲ ἄμμας[2] ἐκείνων ἐπιζητούντων, σκάφας ἐδίδου, εἰ δ' ἀντιπίπτοιεν, οὐδ' ἐκείνας παρεῖχεν, ἀλλ' ἀπωθεῖτο καὶ ἀπεκρούετο. Ὥρμησαν μὲν οὖν εὐθὺς ξύμπαντες μικροῦ δεῖν ἐπιβαλεῖν ἐκείνῳ τὼ χεῖρε καὶ καθελεῖν τῆς ἀρχῆς, ἐπέσχε δὲ τούτους ὁ Ἰσαάκιος, βουλῆς δεῖσθαι τὸ πρᾶγμα συνετωτέρας εἰπών· εἶτα δὴ στήσαντες τὴν ἐπιβουλήν, ἐζήτουν τὸν ἄρξοντα τῶν δυνάμεων καὶ τοῖς ὅλοις ἀρκέσοντα. Ὁ μὲν οὖν Ἰσαάκιος πᾶσι παρεχώρει τοῦ σχήματος, ἕκαστον λέγειν[3] ἀρκεῖν πρὸς τὸ κράτος, οὗτοι δὲ ξύμπαντες ἐκείνῳ ἐδίδοσαν τὴν τιμήν· προεῖχε γὰρ ὡς ἀληθῶς οὐ τῷ γένει μόνον, ἀλλὰ καὶ τῷ τυραννικῷ εἴδει καὶ τῷ γενναίῳ τῆς γνώμης καὶ τῷ σταθηρῷ τῆς ψυχῆς, αἰδέσιμος γάρ τις ἐδόκει καὶ μόνον ὁρώμενος· ἀλλ' ὁ μὲν χαρακτὴρ ἐκείνου μικρόν τι τὸν λόγον ἀναμεινάτω. Ἐπεὶ δὲ ξυνέθεσαν πρὸς ἀλλήλους ὁ[4] καὶ βεβούληντο, βραχέα δὴ ἄττα τῷ βασιλεῖ καθωμιληκότες, ἐπ' οἴκου ξύμπαντες ἀνεχώρησαν· ἑῷοι[5] δὲ ὄντες καὶ ὡς ἀληθῶς πρόσαυγοι ἐκ βραχέων τῶν διαστημάτων ἀπ' ἀλλήλων διειστήκεσαν· διὰ ταῦτα ὀλίγας ἡμέρας ἐπιλιπόντες, εἶτα δὴ ἐς ταὐτὸ[6] συνδεδραμη-

1. χ. ἡ. 2. γρ. ἄμας. 3. γρ. λέγων. 4. χ. ᾧ. 5. χ. ἐῶ οἱ. 6. χ. ταὐτῷ.

κότες, τῆς ἐπιβουλῆς ἄρχουσιν. Οὐκ ἔφθασαν δὲ ταύτην ἐδράσαντες, καὶ στρατόπεδον αὐτοῖς γενναῖον ξυνέστη, πλήθους αὐτοῖς γενναίων συρρεύσαντος καὶ τὴν γνώμην κρατύναντος· ἐπειδὴ γὰρ ἠκηκόεισαν ξύμπαντες, ὅτι στρατηγὸς γενναῖος αὐτοῖς βεβασίλευκε, καὶ ὅτι τὰ κράτιστα γένη εἰς αὐτὸν ἀνηρτήσατο, ὀνομαστί τε τούτους[1] ἠπίσταντο, οὐδὲ βραχύν τινα χρόνον διαλιπόντες εὐθὺς αὐτοῖς προσεχώρησαν, ὥσπερ ἀγαθὸς δρομεὺς τὸν ἕτερον προλαβεῖν ἐπειγόμενοι.

Ἐβούλοντο μὲν καὶ πρότερον τὸ στρατιωτικὸν ξύμπαν τὸ κράτος Ρωμαίων ὑποποιήσασθαι, καὶ ὑπήκοοι γενέσθαι στρατηγῷ αὐτοκράτορι, καὶ τὴν πολιτικὴν καταλύσαι τῆς βασιλείας διαδοχήν, ἐπεῖχον δὲ τὰ βουλεύματα, καὶ μόνον ἐνεκυμόνουν τὸν ἔρωτα, ὅτι μηδεὶς αὐτοῖς εἰς ἀρχὴν ἀξιολογώτατος κατεφαίνετο· ἐπεὶ δὲ τὸν Ἰσαάκιον τεθέανται, ὃν οὐδ' ὄναρ εἰς τὸ σχῆμα τοῦ κράτους ἰδεῖν προσεδόκησαν, διὰ τὸ περὶ τὰς τοιαύτας ἐπιχειρήσεις ἀκριβὲς κορυφαῖον γεγενημένον τοῦ τυραννικοῦ σκέμματος, καὶ τὰ μετὰ ταῦτα χειροτονοῦντα βουλεύματα, αὐτίκα οὐδέν τι γνωσιμαχήσαντες τῷ ἀνδρὶ προσερρύησαν, ἀνδρικώτερον ἐπισκευάσαντες ἑαυτοὺς καὶ τὰ πρὸς τὸν πόλεμον ἐξαρτήσαντες. Ὁ δὲ, εἰ καὶ τότε πρῶτον ἦρξε τοῦ τοιοῦδε σκέμματος, συνετώτερον ἢ τολμηρότερον τὸ πρᾶγμα μεταχειρίζεται· καὶ ἐπειδὴ τοῦτο πρὸ πάντων ἤδει, ὅτι χρημάτων πολλῶν δεῖ τῷ συντάγματι, πρῶτον μὲν πάσας τὰς εἰς τὴν πόλιν ἀποφράττει ὁδοὺς, φρουρὰν ἀποχρῶσαν καταλιμπάνων ἑκάστῃ, καὶ μηδενὶ διδοὺς ἐξιέναι τε καὶ εἰσιέναι, εἰ μὴ ἐκεῖνος γνοίη καὶ τὴν ἐφ' ἑκάτερα συγχωρήσῃ πορείαν· ἔπειτα τοῦτο πεποιηκὼς, τὰς δημοσίους εἰσπράττει συνεισφορὰς οὐ φύρδην, οὐ συγκεχυμένως[2], ἀλλ' ἀρχεῖα τάξας καὶ ἀκριβεῖς ἐγκαταστήσας εἰσπράκτορας, καὶ ἀπογραφόμενος ἕκαστα, ἵν' ἔχοι καὶ τελεώτερον βασιλεύσας, ἀκριβεῖς τοὺς τῶν εἰσπράξεων λογισμούς·

1. χ. τούτοις. 2. χ. συγκεχυμένος.

οὕτω τοῦ συνετωτέρου μᾶλλον ἢ τοῦ τολμηροτέρου ἐγίγνετο. Καὶ ἄλλο δέ τις ἐκείνου θαυμάσειεν, ὅτι πλήθους αὐτῷ πολλοῦ προσκεχωρηκότος, φυλοκρινεῖ τὰς τάξεις, καὶ τοὺς γενναιοτέρους ἀποκρίνας τῶν ἄλλων καὶ οἷς ἥδει καὶ τόλμαν λελογισμένην καὶ στάσιμον τὸ γενναῖον, ἐκείνους εἰς λόχους καὶ φάλαγγας[1] καθιστᾷ καὶ τούτοις πιστεύει τὸν πόλεμον· ἦν δ' ἄρα καὶ τὸ ἀποκριθὲν ἀριθμοῦ κρεῖττον καὶ τὸ κριθὲν οὐδὲν ἐκείνων καταδεέστερον.

Πρῶτα μὲν οὖν αὐτοῖς ἐγκελεύεται συνειλέχθαι[2] καθ' ἑαυτοὺς καὶ μὴ συγκεχῦσθαι, μηδὲ συντεταράχθαι, ἀλλ' ὥσπερ εἰς τάξιν καὶ φάλαγγας καταστάντας σιγῇ τε προϊέναι καὶ οὕτως κατασκηνοῦν· ἔπειτα τὸ στρατηγικὸν ἑκάστῳ σιτηρέσιον[3] τάξας καὶ τὴν εἰς πολεμικὴν ἔφοδον ἀποχρῶσαν παρασκευήν, καὶ μειζόνων ἀξιοῖ βαθμῶν, τοὺς μὲν μείζους ἀπονέμων τοῖς μείζοσι, τοὺς ἐλάττους δὲ τοῖς ἐλάττοσι. Ἐπὶ τούτοις συγγενικῷ αἵματι τὸ σῶμα πιστεύσας καὶ κύκλον τινὰ περιελίξας αὐτῷ, ἀδεῶς τε προήει καὶ αὖθις ηὐλίζετο· τὰς μὲν οὖν νύκτας ἀγρύπνους εἰς τὰς τυραννικὰς φροντίδας ἀνήλισκεν, ἡμέρας δὲ λαμπρότερός τε τοῖς πράγμασιν εἴδετο, καὶ ὡς ἐπὶ προκειμένῳ προῄει τῷ πράγματι· ἐπεὶ δὲ πολλὰ εἴωθε προσπίπτειν τοῖς στρατοπέδοις, καὶ οἵ γε πλεῖστοι τολμηρότεροι μᾶλλον πεφύκασιν ἢ συνετώτεροι, οὐδενὶ μὲν τὸ ξίφος ἐπανετείνατο, οὐδ' εὐθὺς[4] ἐπὶ τοὺς ἡμαρτηκότας κεχώρηκε, κατέπληττε δὲ ἅπαξ ἰδών, καὶ ἡ ὀφρὺς αὐτῷ συναχθεῖσα ἀντὶ πάσης ἦρκει πληγῆς. Ὁ μὲν οὖν οὕτως καὶ συνταξάμενος ἀκριβῶς ἐγγὺς ἤδη τῆς πόλεως ἐγεγόνει· ὁ δὲ τοῦ Βυζαντίου τὴν ἀρχὴν ἤδη μόνην ἔχων καὶ οἱ προκατεσχηκότες ἐκεῖνον, ὥσπερ μηδενὸς καινοῦ γεγονότος, οὔτε τοῖς τολμηθεῖσιν ἀντεβουλεύσαντο, οὔτε τὰς λειπομένας τάξεις ἐπὶ τὰς ἐκείνων συντάξεις ἐκίνουν[5], οὔτ' ἄλλο τῶν πάντων ἐποίουν δι' ὅτου | ἂν τὸ τυραννικὸν σύνταγμα διαλύσαιεν· φ. 393.

1. χ. φάλαγγα. 2. χ. συνηλέχθαι. 3. χ. ἑκάστως τηρέσιον. 4. χ. ἐνθὺς. 5. χ. ἐκείνος.

ὡς δ' ἔνιοι τῶν προσκειμένων ἐκείνῳ[1] νύττοντες διώρυξαν τὴν πλευράν, ὡς δεῖ καὶ συμβούλων αὐτῷ καὶ χρημάτων πολλῶν, καὶ στρατιωτικῆς τάξεως, ἄλλους τε πλείστους μετακαλεῖται τῶν γενναίων μὲν τὰς γνώμας, τηνικαῦτα δὲ κατολιγωρηθέντων· καὶ δῆτα κἀμὲ εἰσποιεῖται καὶ ὅτι μὴ ἔχοι πάλαι ἐγκόλπιον, ὡς ἄτοπόν τι πεποιηκὼς, σχηματίζεται.

Περὶ τῶν εἰς τὸν βασιλέα συμβουλιῶν[2] διὰ τὴν ἀποστασίαν.

Ἀλλ' ἐγὼ μηδὲν ἐκείνῳ μνησικακήσας, τρία ταῦτα ποιῆσαι εὐθὺς ἐβουλευσάμην αὐτῷ· ἐπεὶ γὰρ ἐγνώκειν ὅτι ἐκ διαφόρου γνώμης τῷ μεγάλῳ ἀντικαθεστήκοι ἀρχιερεῖ, καὶ δυσόργως εἶχεν ἐκεῖνος αὐτῷ, γνώμην αὐτῷ πρώτην ταύτην εἰσήνεγκα, πᾶσαν αὐτῷ διαφορὰν διαλύσασθαι, καὶ εἰς ταὐτὸ ἐκείνῳ συνελθεῖν καὶ σκέμμα καὶ φρόνημα, ἐν τοῖς τοιούτοις μάλιστα δυναμένῳ καιροῖς καὶ συνεπιθησομένῳ τοῖς τυραννεύσασιν, εἰ μὴ προλάβοι τοῦτον εἰς ἀκριβεστάτην οἰκείωσιν· ἔπειτα πρεσβείαν πρὸς τὸν τετυραννευκότα στέλλειν διαλύσαι τὸ σύνταγμα, ἐπαγγείλλασθαί τε αὐτῷ ὁπόσα μὴ ἐπισφαλὲς δοῦναι, τὰ δὲ καὶ προτείνασθαι, μηχανήσασθαί τε ἐπὶ τὸ ἐκείνου στρατόπεδον καὶ ἐπιχειρῆσαι διαλύσαι τὴν φάλαγγα· τρίτην ἐπὶ τούτοις γνώμην προστέθεικα τὴν κορυφαιοτάτην καὶ κρείττονα, τὰς ἐν ἑσπέρᾳ τάξεις συναγαγεῖν, καὶ τὰς καταλιπομένας συγκροτεῖν δυνάμεις, συμμαχίας τε παρὰ τῶν γειτονούντων βαρβάρων ἐπικαλέσασθαι, καὶ τὰς παρ' ἡμῖν ξενικὰς δυνάμεις κρατύναι, γενναῖόν τε τούτοις στρατηγὸν ἐπιστῆσαι καὶ λόχους ἀρκοῦντας ποιήσασθαι, καὶ πανταχόθεν τῷ συγκινηθέντι καθ' ἡμῶν πλήθει ἀντικαθίστασθαι. Δέχεται μὲν οὖν τὰς γνώμας ὁ βασιλεύς.

1. χ. ἐκείνων. 2. γρ. συμβουλῶν.

Περὶ τῆς τοῦ στρατοῦ ἀποστολῆς πρὸς τὸν Ἰσαάκιον.

Εἶτα δὴ πρὸς μὲν τὴν πρώτην ἀνείργεται, ἥτις δὴ [1] αὐτῷ καὶ κατολιγωρηθεῖσα εἰς καταστροφὴν ἤρκεσε, πρὸς δέ γε τὴν δευτέραν καὶ τρίτην παρασκευάζεται· ἀλλὰ παρὰ μὲν τὴν δευτέραν τὸ διηνυσμένον οὐδέν, αἱ δ' ἐκ τῆς ἑσπέρας αὐτῷ δυνάμεις ἐξαρτηθεῖσαι πολεμικώτατα καὶ συμμαχίδας ἑτέρας κτησάμεναι [2], εἵς τε λόχους διαιρεθεῖσαι καὶ συναιρεθεῖσαι εἰς φάλαγγας, ἐμπαρασκεύως ὁμοῦ καὶ γενναίως τοῖς ἑῴοις ἀντικατέστησαν τάγμασιν. Οὐκ ἐκ διαστήματος δὲ πολλοῦ ἑκάτεροι τοὺς χάρακας ἱδρυσάμενοι καὶ βραχύ τι τὸ μεταξὺ πεδίον πεποιημένοι, οὐδέτεροι [3] ἐπ' ἀλλήλους ἐξῄεσαν, ἀλλ' ἦν αὐτοῖς κενὸν τὸ μεταίχμιον· ἀλλὰ πλήθει μὲν οἱ βασιλικοὶ τὸ πλέον ἐδείκνυσαν ἔχοντες, δυνάμει δὲ καὶ τάξει οἱ τῆς ἑτέρας προεῖχον μερίδος, καὶ τό γε μεῖζον καὶ θαυμασιώτερον, ἐκείνοις μὲν ἡ σύνταξις ἀρραγὴς καὶ ἡ πρὸς τὸν κρατοῦντα πίστις βεβαία καὶ ἀσφαλής, τὸ δ' ἡμέτερον στρατόπεδον ἐκενοῦτο καὶ διερρήγνυτο, αὐτομολούντων ὁσημέραι πολλῶν ἐπὶ τὴν τυραννικὴν σύνταξιν, ὅ τε τῶν δυνάμεων προηγούμενος, τοὔνομα δὲ οὐδὲν δέομαι λέγειν, ἀμφιρρεπὴς ἦν, ὡς δ' ἐγῷμαι μονομερής. Ὅθεν ἐξ ἀμφοτέρων κατηγωνίσμεθα, καὶ πρὶν ἢ πολεμητέα ἐδόκει, ταῖς τῶν στρατηγούντων γνώμαις ἡττώμεθα· ἀλλ' οἵ γε λόχοι [4] καὶ τὸ ἡμεδαπὸν πλῆθος ὁπόσον ἐλέλειπτο, οὕπω τὴν στρατηγικὴν γνόντες ἀμφιβολίαν, ἐπειδή περ ἀντεκατέστησαν ἄνδρες ἀρήϊοι καὶ θυμοῦ, κατὰ τὴν ποίησιν, πνείοντες, ὅπλοις τε τοῖς καλλίστοις διεσκευασμένοι, καὶ πᾶν εἴ τι ὅπλον γενναῖον τὸ μὲν διεζωσμένοι, τὸ δὲ ἐν χεροῖν ἔχοντες, τὸ ἐνυάλιον ἀλαλάξαντες ἐπὶ τοὺς ἐναντίους τοὺς χαλινοὺς τοῖς ἵπποις ἐνδόντες ἀσχέτῳ ῥύμῃ προσκεχω-

1. χ. δὲ. 2. χ. κτησάμενοι. 3. χ. οὐδ' ἕτεροι. 4. χ. λόγχοι.

ρήκασι, καὶ τό γε ἀριστερὸν ἐκείνοις κέρας οἱ τὸ καθ' ἡμᾶς δεξιὸν ἔχοντες ἀναστρέψαντες ἐπὶ πολὺ κατεδίωξαν.

Ἐπεὶ δὲ τὸ δεξιὸν αὐτὸ ἐμεμαθήκεσαν, μὴ ὑπομεῖναν τὴν τῶν πολεμίων βοήν τε καὶ ἔφοδον, ἀλλ' εὐθὺς ὑποκεχωρηκὸς καὶ διασπαρὲν, δείσαντες μὴ οἱ νενικηκότες ἐπ' ἐκείνους γένοιντο, καὶ τούς γε φυγάδας ῥώσαντες ὅλαις αὐτοῖς ἐπισταῖεν [1] δυνάμεσιν, οὐδὲν ἧττον κἀκεῖνοι ἐτράπησαν εἰς φυγὴν, καὶ γίνεται καθαρῶς μετὰ τῶν πολεμίων ἡ νίκη, καὶ ὁ τυραννεύσας πεπηγὼς ἐν μέσοις εἱστήκει κρειττων καὶ τῶν διωκόντων καὶ τῶν φευγόντων· τοῦτον [2] γοῦν ἔνιοι τοῦ καθ' ἡμᾶς στρατοπέδου ἑωρακότες, ἦσαν δὲ τῶν περὶ τὸν Ταῦρον Σκυθῶν τῶν τεττάρων οὐ πλείους, τὰ δόρατα κατευθύναντες ἐπ' αὐτὸν ἐξ ἑκατέρας πλευρᾶς ὥσαντο, καὶ τόν γε σίδηρον τοῖς ἐκείνου ὅπλοις ἐφηρμοκότες διαμαρτάνουσι μὲν αὐτῷ τοῦ σώματος, ἀλλ' οὔτε δὲ ἐπὶ θάτερον παρατρέπουσι μέρος, ἀλλ' ἀντωθήσαντές τε τὸν ἄνδρα ἐς ἴσον [3] αὖθις ἀντεκατέστησαν, ἰσοβαρῆ πεποιηκότες καὶ ἐπὶ τοῦ κέντρου τηρήσαντες· τοῦτο δὴ ἐκεῖνος οἰωνὸν λαβὼν αἴσιον, ὡς εἴη ἀκίνητος [4] βαλλόμενος ἑκατέρωθεν, ταῖς δυνάμεσιν εὐθὺς ἐγκελεύει ἐρρωμενέστερον τοῖς τῶν ἐναντίων ἐμπίπτειν σώμασι, καὶ θαρρεῖν τὸν ἀγῶνα, καὶ τὰ μὲν τρέπειν τοὺς ἐναντίους, τὰ δὲ διώκειν ἄχρι πολλοῦ. Τούτων [5] γοῦν οὕτω διαπεπολεμημένων, ἀγγελίαι δεινότεραί τε καὶ φοβερώτεραι τὰς ἡμετέρας διέσεισαν ἀκοὰς, καὶ τόν γε βασιλέα διαταράξασαι ἀπεγνωκέναι πάσας ἐλπίδας πεπείκασιν· εἰ [6] γὰρ ἦν ἐξ ὑπογύου οὕτω νενικημένον τὸ ἑσπέριον ἀνακαλέσασθαι στράτευμα, ἑτέρους δὲ οὐκ εἶχεν ἀκμήτας [7] καὶ νεολέκτους παρασκευάσασθαι, ὅ τε τῶν δυνάμεων ἄρχων ὁ ἑκτομίας Θεόδωρος, ὃν ἡ βασιλὶς Θεοδώρα πρόεδρον μὲν πρότερον ἐπεποιήκει, εἶτα δὴ τὰ τῆς ἑῴας ἐγκεχειρήκει στρατόπεδα, παντάπασιν αὐτῷ ἀπειρήκει τὴν στρατηγίαν, οὐ τῷ μὴ

1. χ. ἐπεσταῖεν. 2. χ. τούτων. 3. χ. εἶσον. 4. γρ. ἀνίκητος. 5. χ. τούτω. 6. γρ. οὐ. 7. γρ. ἀκμῆτας.

θαρρεῖν μᾶλλον τοὺς δευτέρους ἀγῶνας ἢ τῷ διεστράφθαι τὴν γνώμην καὶ κρυφίως πρὸς τὸν Κομνηνὸν σπείσασθαι.

Περὶ τῆς τῆς πρεσβείας ἀποστολῆς πρὸς τὸν Κομνηνόν.

Διαλιπὼν γοῦν ὁ βασιλεὺς ἡμέρας τινὰς, εἶτα δή με πρὸς τὸν Κομνηνὸν σπείσασθαι ἀξιοῖ, διαπρεσβεύσασθαί οἱ ἀπορρήτους γνώμας πρὸς τὸν πολέμιον, καὶ δι' εὐγλωττίας καὶ σοφιστικῆς δυνάμεως καταμαλθάξαι τὴν ἐκείνου ψυχὴν πρὸς αὐτὸν μεταθήσεσθαι· ἐμοὶ δὲ τήν γε πρώτην ἀκούσαντι, ὥσπερ ἀτεχνῶς καταβροντηθέντι τὴν ἀκοὴν, ἀπηγόρευτο ἡ ἀξίωσις, καὶ « οὐκ ἂν ἑκὼν εἶναι, ἔφην, ὑπηρετήσωμαί | σοι τούτῳ [1] προστάγματι, πολύν τε τὸν φ. 396.
κίνδυνον ἔχοντι καὶ τὸ τέλος οὐκ ἀμφίβολον, ἀλλὰ πάντη μονομερές· δῆλον γὰρ ὡς οὐ πείσεται, ἄρτι νενικηκὼς καὶ ἐπηρμένος τῷ κατορθώματι, τὸ κράτος ἀφεῖναι καὶ ἄλλο τι τῶν ἐλαττόνων μεταβουλεύσασθαι. » Ὁ δ' εὐθὺς ἐπισείσας τὴν κεφαλὴν καὶ πάσης καταγνοὺς φιλίας καὶ οἰκειώσεως, « σὺ δὲ ἄρα, ἔφησεν, ὅπως μὲν πιθανῶς ἐρεῖς διεσπούδακας, ὅπως δὲ ἂν ἀμύναιο ἀτυχοῦσι φίλοις, καὶ σὺν θεῷ φάναι δεσπόταις, οὐ συνενόηκας; ἐγὼ δέ σοι οὐδὲ πρὸς βραχύ τι μετὰ τὸ κράτος παραπεποίημαι, ἀλλὰ μετὰ τοῦ συνήθους ὁμιλῶ σχήματος, κατασπάζομαί τε καὶ συναγκαλίζομαι, ὥσπερ εἴωθα, καί σου τοῦ τῶν [2] χειλέων ὥσπερ δέον ἐστὶν ὁσημέραι ἀπογεύομαι μέλιτος, ᾤμην δὲ τῶν ἴσων ἀνταξιοῦσθαι! σὺ δέ μοι οὐδὲ τοσοῦτον δίδως ὁπόσον [3] ἐπιεικὴς ἄνθρωπος ἐχθρῷ παρέσχετο κινδυνεύοντι· κἀγὼ μὲν τὸν πεπρωμένον οἶμον πορεύσομαι, σοὶ δὲ ἄρα τις ἔσται ἐπεγκαλῶν καὶ προσονειδίζων ὅτι τὴν πρὸς δεσπότην καὶ φίλον φιλίαν διέψευσαι! »

Τούτων ἀκούσας τῶν λόγων μικροῦ δεῖν αὖος καὶ ἀπόπληκτος γέγονα, καὶ οὐκ εἶχον ὅπως τὴν πρώτην διαφυλάξωμαι ἔνστασιν·

1. γρ. τοιούτῳ. 2. χ. τούτων. 3. χ. ὁπόσος.

ἀθρόον οὖν μεταπλασθεὶς, « ἀλλ' ὦ βασιλεῦ, ἔφησα, οὐ τὴν ὑπηρεσίαν διαδιδράσκων, ἀναβάλλομαι τὸ ἐπίταγμα, ἀλλὰ τὸ πρᾶγμα διευλαβούμενος καὶ τοὺς τῶν πολλῶν ὑποπτεύων φθόνους τὴν πρόσταξιν ὑπερτίθεμαι. — Καὶ τί ποτέ φησι, τοῦτο, ὃ δι' εὐλαβείας αὐτὸς ἔχων οὐ πάνυ τῇ πρεσβείᾳ θαρρεῖς; — Κεκρατηκὼς [1], ἔφησα, ὁ ἀνὴρ πρὸς ὃν με κελεύεις διαπορθμεύσασθαι, καὶ τεθαρρηκὼς πρὸς τὰς μελλούσας ἐλπίδας· οὐκ οἶομαι οὖν τοῦτον εὐμενῶς με προσήσεσθαι, οὐδὲ πρὸς τοὺς ἐμοὺς λόγους μετακληθήσεσθαι· σοβαρώτερον οὖν ἴσως ὁμιλήσει, καὶ ἀτιμάσει μου τὴν πρεσβείαν καὶ ἄπρακτον ἀποπέμψεται· οἱ δέ γε πολλοὶ διαβαλοῦσί [2] με, ὡς αὐτὸς τὴν πρὸς σὲ πίστιν προδοὺς, ἐκεῖνον ἐπῆρα ταῖς κρείττοσι τῶν προσδοκιῶν, μήτέ τινα λόγον ἐκ βασιλέως ἥκοντα, μήτε πρεσβείαν προσίεσθαι, ὡς αὐτίκα τοῦ κράτους ἐπιληψόμενον. Ἀλλ' ἤν γε βούλει [3], ἔφησα, ὑπηρετηκέναι σου τῷ προστάγματι, καὶ ἕτερόν μοί τινα τῶν [4] ἐκ τῆς πρώτης βουλῆς συμπρόπεμψον, ὅπως ἂν καὶ παρ' ἀμφοτέρων καὶ πρὸς ἀμφοτέρους ὅ τε ἡμέτερος λόγος καὶ ὁ ἐκείνου ἀμοιβαδὸν ἐπὶ δημοσίας γένηται ἀκοῆς. » Ἐπήνεσε τὸν λόγον ὁ βασιλεὺς, καὶ « ἐλοῦ, φησὶν, ὃν ἂν βούλει [5] τῆς ἄνω βουλῆς. » Κἀγὼ αἱροῦμαι τὸν κάλλιστόν τε καὶ συνετώτατον, καὶ ὃν μάλιστα ἤδειν τὴν σὺν ἐμοὶ θαρρήσοντα ἔξοδον· ὡς γοῦν κἀκεῖνος εὐθὺς ἀκούσας προσήκατο καὶ τὴν πρεσβείαν καὶ τὴν κοινωνίαν; κοινῇ συνελήλυθότες καὶ ἀλλήλοις ἀντιδόντες τὰς γνώμας, ἕτερον αὖθις αἱρούμεθα τῆς πρεσβείας ἡμῖν συμμεθέξοντα, τὰ πρῶτα Ρωμαίων [6], κορυφαῖον τῆς συγκλήτου βουλῆς, ᾧ ἀνθάμιλλα ὅ τε νοῦς τῇ γλώττῃ καὶ ἡ γλῶττα τῷ νῷ, ὃς δὴ τὰ πρῶτα τὸν αὐτοκράτορα Μονομάχον λεοντοκομήσας, ὕστερον καὶ τὴν πατριαρχικὴν λειτουργίαν ἐκόσμησε, καὶ θῦμα τῷ λόγῳ γεγονὼς αὖθις ἐκεῖνον τῷ πατριάρχῃ ἱερούργησεν.

1. χ. καὶ κρατηκῶς. 2. χ. διαβάλουσι. 3. χ. βούλη. 4. χ. τὸν. 5. χ. βούλη. 6. προσθετέον [τυγχάνοντα].

Ὡς γοῦν καὶ οὗτος φιλορώμαιός τις ὡς ἀληθῶς ὢν, τὸν λόγον οὐχ ὑπερέθετο, ἀλλὰ μέρος τὸ κάλλιστον ἡμῶν γίνεται, ἐπιστολὰς πρὸς ἐκεῖνον ἐκ βασιλέως δεξάμενοι, μᾶλλον δὲ ἡμεῖς ταύτας διασκεψάμενοι καὶ ὅσον εἰκὸς οἰκονομίσαντες, ἵν' ὁμοῦ καὶ στεφανηφοροίη τῷ τοῦ Καίσαρος σχήματι καὶ τῷ βασιλεῖ ὑποτάττοιτο, τὴν πρὸς ἐκεῖνον τεθαρρήκαμεν ἔξοδον, καὶ τὸν πρῶτον ἐκ πόλεως διεληλυθότες σταθμὸν, γνωρίζομεν ἐκείνῳ τὴν ἡμετέραν ἄφιξιν, καὶ διαβεβαιούμεθα ὡς οὐκ ἂν ἄλλως εἰς ὁμιλίαν ἐκείνῳ γενοίμεθα, εἰμὴ [1] πρότερον ὅρκους ἡμῖν ἀπορρήτους δοίη, ὡς οὔτε κατάσχῃ τὴν πρεσβείαν τελέσαντας, οὔτ' ἄλλο τι δεινὸν ἐπενέγκοι, ἀλλὰ τὰ εἰκότα τιμήσας συγχωρήσειε τὴν ἐπάνοδον. Ὡς δὲ ἐκεῖνος πάντα ἐδεδώκει, καὶ πλείονα τῶν ἐζητημένων προσέθετο, ταῖς τριήρεσιν εὐθὺς ἀναπλεύσαντες ἀγχίθυροι ἐγενόμεθα οὗ δὴ ἐκεῖνος ἐναυλισάμενος ἔτυχεν· ἀσπασμοὶ γοῦν εὐθὺς, πρὶν ἐκείνῳ εἰς ὁμιλίαν ἐλθεῖν, καὶ φιλοφροσύναι ἡμᾶς ὑποδέχονται, ἄλλων ἐπ' ἄλλοις ἀφικνουμένων τῶν πρώτων τῆς στρατιᾶς καὶ τοῖς ἡδίστοις ἀνακαλούντων ὀνόμασι, κατασπαζομένων τε κεφαλὴν καὶ χεῖρας ἡμῶν καὶ δάκρυα σπενδόντων, ὅτι ἐμφυλίου αἵματος καὶ συγγενικοῦ ἄγους κατακορεῖς γεγονότες ἀναδεσμοῦνται ταινίαις τὰς κεφαλάς· εἶτα δὴ ἐν μέσοις λαβόντες ἡμᾶς πρὸς τὴν αὔλειον τοῦ κρατοῦντος ἀπήγαγον, οὕτω γὰρ ἔτυχεν ἐσκηνωμένος εἰς ὕπαιθρον· ἔνθα δὴ τῶν ἵππων αὐτοὶ καταβάντες καὶ ἡμᾶς ἀποβιβάσαντες αὐτοῦ περιμένειν παρεκελεύσαντο, εἶτα δὴ μόνοις ἡμῖν ἐδόθη ἡ εἴσοδος· ἔδυ γὰρ ἤδη ὁ ἥλιος καὶ οὐκ ἦν ἐκείνῳ βουλομένῳ πολλοὺς ἐπὶ τῆς βασιλείου συλλεγῆναι σκηνῆς.

Ἀσπάζεται γοῦν εἰσιόντας ἡμᾶς, ἐκάθητο δὲ ἐπὶ θώκου τινὸς ὑψηλοῦ, βραχείας τινὸς περὶ αὐτὸν [2] οὔσης δορυφορίας· ἐσκεύαστο δὲ οὐ τοσοῦτον βασιλικώτερον, ὅσον στρατηγικώτερον· ὑπεξανέστη γοῦν ἡμῖν βραχύ τι, εἶτα δὴ καθίσαι προτρέψας, ἠρώτησε μὲν οὐδὲν

1. εἰμι. 2. χ. αὐτοῦ.

περὶ ὧν ἀφικόμεθα, βραχεῖς δέ τινας κινήσας λόγους ὁπόσοι αὐτῷ τὴν στρατιὰν ἀναγκαίαν ἐδείκνυσαν, εἶτα δὴ καὶ κρατῆρος κοινωνήσας ἡμῖν, ἀφῆκεν ἐπὶ τὰς σκηνὰς, αἳ δ' ἔγγιστα τῆς ἐκείνου ἐφεξῆς ἐπεπήγεσαν. Ἐθαυμάζομεν οὖν ἀπιόντες τὸν ἄνδρα, ὅτι μὴ εὐθὺς μακροὺς προὔτεινε λόγους, μηδέ τι πλέον παρ' ἡμῶν μαθεῖν ἠβουλήθη ἢ ὅσον τὰ περὶ τὴν πορείαν καὶ εἰ εὐκυμάντῳ τῷ πλῷ ἐχρησάμεθα· ἔπειτα διαιρεθέντες ἀπ' ἀλλήλων ἐντὸς τῶν σκηνῶν ἐγεγόνειμεν· βραχύ τε ἀφυπνώσαντες κατὰ τὸ περίορθρον αὖθις συνήειμεν, καὶ ὅπως ἂν ἐκείνῳ διαλεξώμεθα λόγους ἀλλήλοις ἐδίδομεν· ὡμόμεθα γὰρ μὴ ἐνὶ δοῦναι τὴν πρὸς αὐτὸν διάλεξιν, ἀλλ'
φ. 397. ὁμοῦ πάντων πυνθάνεσθαι καὶ οὕτω | λαμβάνειν τὰς ἀποκρίσεις.

Οὕτω δὲ ἡμῖν ὁμιλοῦσιν ἡμέρα τε παρανέτειλεν καὶ ὁ ἥλιος προκεκυφὼς τοῦ ὁρίζοντος λαμπρῷ τῷ κύκλῳ μετεώριστο· οὔπω δὲ πλεῖστον μέρος ὑπεραναβεβήκει, καὶ οἱ τῆς βουλῆς πρῶτοι παρῆσαν εἰσκαλοῦντες ἡμᾶς καὶ οἱονεὶ δορυφοροῦντες καὶ πρὸς τὸν κρατοῦντα ἀπάγοντες· μείζονι οὖν σκηνῇ ἐντυγχάνομεν ὁπόση καὶ στρατοπέδῳ καὶ ξενικαῖς ἀρκέσειεν ἂν δυνάμεσιν· περιεστήκεσαν δὲ ταύτην ἔξω πολύ τι πλῆθος, οὐκ ἀργοὶ καὶ συγκεχυμένως[1] ἑστηκότες, ἀλλ' οἱ μὲν ζίφη περιεζώννυντο, οἱ δ' ἀπὸ τῶν ὤμων ῥομφαίας βαρυσιδήρους ἐπέσειον, καὶ ἄλλοι δὲ δόρατα ἠγκαλίζοντο, ἐφεξῆς ἑστηκότες καὶ κατὰ κύκλους, καὶ βραχύ τι ἀπ' ἀλλήλων διεστηκότες, φωνὴ δέ τις παρ' οὐδενὶ ἐξηκούετο, ἀλλ' ἐν φόβῳ ἑστήκεσαν ἅπαντες τὼ πόδε συμβεβηκότες καὶ ἀτενὲς πρὸς τὸν ἐφεστηκότα τῇ πύλῃ τῆς σκηνῆς ἀπονεύοντες· ὁ δ' ἄρα ἐτύγχανε τῶν σωματοφυλάκων τὰ πρῶτα, ἀνὴρ σὺν τῷ γενναίῳ ἀγχίστροφος καὶ δραστήριος, εἰπεῖν τε κρείττων καὶ σιωπῆσαι ἀμείνων καὶ ἐνθυμηθῆναι βελτίων, ὁ δοὺξ Ἰωάννης, ὃς δὴ πόρρωθεν καὶ ἐκ προγόνων τὸ γενναῖον καὶ σταθηρὸν ἐκεκλήρωτο· οὗτος τῇ εἰσόδῳ καὶ ἡμῖν προσεγγίσασι στῆναι κελεύσας, ἐντός τε τῆς τοῦ

1. χ. συγκεχυμένος.

βασιλέως σκηνῆς ἐγεγόνει, καὶ μικρὸν ἀναμείνας χρόνον, ἔξεισί τε, καὶ μηδὲν πρὸς ἡμᾶς εἰρηκὼς, ἀθρόον τὴν πύλην ἀναπετάννυσιν ἵν' εὐθὺς καταπλήξῃ[1] τῷ ἀπροσδοκήτῳ τῆς θέας. Ἦν γὰρ δὴ πάντα τυραννικὰ τῷ ὄντι καὶ φρίκης μεστά· τὰ μὲν οὖν πρῶτα κατάκροτοι τὰ ὦτα τοῖς τοῦ πλήθους ἀλαλαγμοῖς ἐγεγόνειμεν, αἱ δὲ φωναὶ οὐχ ὁμοῦ ξύμπασαι, ἀλλ' ἡ πρώτη τάξις πληροῦσα τὴν εὐφημίαν τῇ ἐφεξῆς ἐδίδου τὸ σύνθημα, κἀκείνη τὴν[2] μετ' ἐκείνην, καὶ ἦν τοῦτο καινὸν ἀσύμφωνον· εἶτα δὴ ἐπειδὴ ὁ τελευταῖος κύκλος ἠλάλαξεν, αὖθις ὁμοῦ ξύμπαντες συμπεφωνηκότες μικροῦ δεῖν ἡμᾶς κατεβρόντησαν.

Ὡς γοῦν ἐπαύσαντό ποτε, σχολὴν ἡμῖν ἔδοσαν τὰ ἐντὸς τῆς σκηνῆς θεάσασθαι, οὐδὲ γὰρ εὐθὺς ἀναπετασθείσης τῆς πύλης εἰσεληλύθειμεν, ἀλλ' εἱστήκειμεν πόρρωθεν τὸ τῆς εἰσόδου σύνθημα ἀναμένοντες. Ἦν δ' οὖν τὰ ἐν αὐτῇ τοιάδε· αὐτὸς μὲν ὁ βασιλεὺς ἐπ' ἀμφικεφάλου καθῆστο θρόνου, μετέωρος δὲ ἦν, καὶ χρυσὸς τοῦτον ὑπήλειφε[3], σκίμπους τε ὑπέκειτο τοῖς ποσὶ, καὶ τὸ σῶμα ἐσθὴς λαμπρὰ καθωράϊζεν· ὑπερανεστήκει τε τὴν κεφαλὴν καὶ τὸ στέρνον προβέβλητο, τήν τε παρειὰν ὁ ἀγὼν κατεφοίνισσε, καὶ τὰ ὄμματα πεπηγότα ἐπὶ συννοίας καὶ πλήρη ἐνθυμημάτων τὴν καρδίαν δεικνύοντα, αὖθις ἀνέφερον, ὥσπερ ἐκ βυθοῦ εἰς γαλήνην προσορμιζόμενα· κύκλοι δὲ περὶ αὐτὸν πλεῖστοι περιειστήκεσαν, ἀλλ' ὁ μὲν ἀγχοῦ καὶ βραχύτερος τοῖς πρώτοις περιειλίττετο· ἄνδρες οὗτοι τῶν τε καλλίστων γενῶν τὰ πρῶτα καὶ τῆς ἡρωϊκῆς οὐδὲν ἀπεοικότες μεγαλειότητος, εἱστήκεσαν δὲ ὑποδείγματα τοῖς μετ' ἐκείνους, τῆς κρείττονος γενόμενοι τάξεως· τούτους δὲ χορὸς περιεκύκλου ἕτερος, ὑπασπισταὶ τούτων καὶ πρωταγωνισταὶ, ἔνιοι δὲ καὶ τοὺς ἐφεξῆς ἀνεπλήρουν λόχους, οἱ δὲ καὶ ἡμιλοχῖταί τινες ἦσαν τῶν πρώτων, καὶ πρὸς τῷ εὐωνύμῳ κέρατι ἕστασαν· τούτους δὲ περιεστεφάνουν οἱ ἄζωνοι καὶ ἐλεύθεροι, μεθ' οὓς αἱ συμμαχι-

1. χ. καταπλήξω. 2. γρ. τῇ. 3. χ. ὑπέλειφε.

καὶ δυνάμεις ὁπόσαι παρὰ τῶν ἐθνῶν αὐτοῖς παρεγένοντο, Ἰταλιά τε καὶ Ταυροσκύθαι, φοβεροὶ καὶ τοῖς εἴδεσι καὶ τοῖς σχήμασιν, ἄμφω μὲν γλαυκιῶντες, ἀλλ' οἱ μὲν τὸ χρῶμα ὑπονοθεύοντες, καὶ κατακενοῦντες[1] τοὺς τῶν βλεφάρων ταρσοὺς, οἱ δὲ φυλάττοντες γνήσιον, οἱ μὲν ἔμπληκτοι ταῖς ὁρμαῖς, εὐκίνητοί τε καὶ ὁρμητίαι, οἱ δὲ μανικοὶ καὶ ἐπίσχολοι, κἀκεῖνοι μὲν ἀνυπόστατοι τὴν πρώτην [πρὸς] ἔφοδον ὁρμὴν, ταχὺ δὲ τοῦ ὀξέος πιμπλάμενοι, οἱ δὲ ἧττον μὲν ἐφορμῶντες, ἀφειδεῖς δὲ τῶν αἱμάτων, καὶ τῶν κρεϋλίων[2] καταφρονοῦντες. Οὗτοι γὰρ οὖν τὸν κύκλον τῆς ἀσπίδος ἐπλήρουν, ἐπιμήκη τε δόρατα φέροντες καὶ ἀζίνας ἑτεροστόμους· ἀλλ' ἐκείνας μὲν τοῖς ὤμοις ὑπήρειδον, τοὺς δὲ τῶν δοράτων ἑκατέρωθεν ἐπεκτείνοντες στύρακας, τὸ μεταίχμιον[3], ἵν' οὕτως εἴπω, περιωρόφουν.

Καὶ οὗτοι μὲν οὕτως· ἡμῖν δὲ τῆς εἰσόδου τὸ σύνθημα ὁ βασιλεὺς ἐδεδώκει, τῇ χειρὶ καλέσας καὶ βραχύ τι τὴν κεφαλὴν ἐπινεύσας ὅσον ἡμᾶς παρεγκλίναι εἰς τὰ εὐώνυμα· τὸ τοίνυν μέσον τοῦ τε πρώτου καὶ δευτέρου κύκλου διαβαδίσαντες, ἐπειδὴ πλησιέστατα τοῦ βασιλεύοντος ἐγεγόνειμεν, περὶ ὧν φθάσας ἠρωτήκει αὖθις ἐπύθετο· καὶ ἐπειδὴ ἱκανῶς εἶχε τῶν ἀποκρίσεων, ἀλλ' εἷς ἐξ ἡμῶν[4], γεγονωτέρᾳ τῇ φωνῇ, ἐπαναστρέψας καὶ ἐπὶ μέσον τουτωνὶ στὰς, δείξας τοὺς ἑκατέρωθεν ἑστηκότας, « τό τε γράμμα τοῦ ἀπεσταλκότος ὑμᾶς ἐγχειρισάτω μοι καὶ τοὺς λόγους εἰπάτω οὓς παρ' ἐκείνου λαβόντες ἀφίκεσθε ὡς ἡμᾶς. » Ἕκαστος οὖν ἡμῶν ὑπεχώρει θατέρῳ τῆς διαλέξεως καὶ πρὸς ἀλλήλους περὶ τούτου διεκρινόμεθα. Ἐπεὶ δέ με κατεβιάσαντο ἄμφω, ἐμοὶ τὴν παρρησίαν τῶν λόγων εἰρηκότες ἁρμόζειν, ὅτι κατ' ἄμφω φιλοσοφοίην, ἐπαγγειλάμενοί τε ἐπικουρήσειν εἴ πή μοι ὁ λόγος περιτραπείη, πηδήσασαν εὐθὺς τὴν καρδίαν καταστήσας ἠρέμα, εἰς μέσους τε γίγνομαι, καὶ ἐμαυτὸν συστείλας, εἶτα δὴ τὸ γράμμα ἐπιδοὺς καὶ

1. γρ. κατακεντοῦντες. 2. γρ. κρεϋλλίων. 3. χ. μεσαίχμιον. 4. γρ. αὐτῶν.

τὸ σύνθημα τοῦ λέγειν λαβὼν, τῆς διαλέξεως ἄρχομαι. Εἰ μὲν οὖν μὴ ὁ τηνικαῦτα θόρυβος ἐξέπληξέ με διαλεγόμενον[1] καὶ πολλάκις ἀπέκοψε τὴν φωνὴν, κἀντεῦθεν ἐπιλήσμονα τῆς μακρᾶς ἐκείνης δημηγορίας ἐποιήσατο, τάχα ἂν αὐτὸς ἀπεμνημόνευσα τὰς φωνὰς, συλλέγων τε καὶ συνείρων, εἴτε[2] κατὰ περιόδους εἰρήκειν, ἢ πνεύμασιν ἀπεμήκυνα τὰ νοήματα· ἔλαθον γὰρ αὐτοὺς ἰδιωτικῶς φθεγγόμενος ὁμοῦ καὶ σοφῶς· ζηλώσας[3] γὰρ ἐκεῖσε τὴν Λυσιακὴν τῶν ὀνομάτων κοινότητα, τὴν συνήθη λέξιν καὶ ἀφελῆ τεχνικωτάτοις νοήμασι κατεκόσμησα· ἐπιμνησθήσομαι γοῦν τῶν κεφαλαίων τοῦ διαλόγου ὁπόσον μὴ ἐπιλέλησμαι.

Ἐδείνωσα γοῦν εὐθὺς τὸ προοίμιον, οὐκ ἀσαφῶς εἰρηκὼς, ἀλλὰ τεχνικῶς· οὐδὲν γὰρ αὐτοὺς τὴν πρώτην αἰτιασάμενος, ἀπὸ τοῦ Καίσαρος ἠρξάμην, καὶ τῆς κοινῆς εὐφημίας, καὶ χάριτας αὐτοῖς ἄλλας κατέλεξα καὶ τιμὰς μείζονας παρὰ τοῦ κρατοῦντος κεχαρισμένας· οἱ μὲν οὖν περιεστηκότες ἡμᾶς ἡσύχασαν, καὶ τό τε προοίμιον εὐμενῶς ὑπεδέξαντο, τὸ δὲ κατόπιν πλῆθος ἐπεβόησαν ἅπαντες ὡς οὐ βούλοιντ' ἂν ἄλλως τὸν προεστηκότα ἰδεῖν ἢ ἐν βασιλείῳ τῷ σχήματι· οὐ τοῦτο ἴσως | οἱ πλείους βουλόμενοι, φ. 398.
ἀλλ' ἦσαν θῶπες αὐτῶν οἱ λόγοι καὶ μεθαρμοσθέντες πρὸς τὸν καιρόν· κατέδησαν[4] γοῦν καὶ τὰς ἠρεμούσας μερίδας, καὶ συμφωνεῖν ἐκείνοις ἠνάγκασαν, ὁ [δὲ] βασιλεὺς δεδιὼς ἴσως μὴ ἄλλο τι φανείη παρὰ τὸ πλῆθος φαινόμενος, τὰς αὐτὰς ἠφίει φωνάς. Ἐγὼ δὲ μηδέν τι παρατραπείς, ἤδη γὰρ ἐμαυτὸν τοῖς σταθηροτέροις λογισμοῖς ἥδρασα, καὶ ὁποῖος τὸ ἦθος μὴ ἀποδειλιῶν ἅπαξ τοῖς ἀγῶσιν ἐγκαταστὰς, τὴν φωνὴν ἐγκόψας ἡσυχάζων εἱστήκειν, ἀναμένων ὁπότε τὸ πλῆθος ἐφησύχασεν. Ἐπεὶ δὲ πλεῖστα κεκραγότες[5] ἠρέμισαν, αὖθις τὰς αὐτὰς φωνὰς ἐπαναλαβὼν τοὺς ἀγωνιστικωτέρους τῶν λόγων ἠρέμα ἠρξάμην παραγυμνοῦν, οὕπω

1. χ. διαλεγόμενος. 2. χ. εἶτα. 3. χ. δηλώσας. 4. χ. κατήδεσαν. 5. χ. κέκραγώτες.

ἐκεῖνον[1] καταμεμφόμενος· κλίμακος γοῦν ἐμεμνήμην καὶ ἀναβάσεως, καὶ τὸν ὑπερβάθμιον πόδα κατητιώμην, ἐπήνουν τε τὸ κατὰ λόγον ἐπὶ τὴν βασίλειον ἀρχὴν προχωρεῖν, καὶ ὡς τοιοῦτον ἡ τάξις, πρᾶξις, εἶτα δὴ θεωρία, καὶ ὁ καθαρτικὸς πρότερον εἶθ' ὁ θεωρητικὸς, καὶ τῶν βασιλευσάντων οἱ πλείους τε καὶ καλλίους ἐκ τῆς τοῦ Καίσαρος τάξεως εἰς τὴν βασιλείαν ἀνήχθησαν. Ὡς δέ μοι ἔνιοι πρὸς τὸν λόγον ἀπήντησαν, ὡς ἰδιωτικὴ ἡ ἀνάβασις αὕτη, οὗτος δὲ ἤδη βασιλεύειν εἰλήχει, « ἀλλ' οὔπω βεβασιλεύκει, ἀπεκρινάμην εὐθὺς, εἰ δὲ μὴ πάνυ φορτικοὶ τὰς ἀντιθέσεις ἐστὲ, οὐδ' ἐπαινούμενον ὄνομα τῷ καθ' ὑμᾶς[2] προσήρμοσται σχήματι! » ἐδεδίειν γὰρ ὀνομαστὶ εἰρηκέναι τὴν τυραννίδα· εἶτα δὴ ὑπολαβὼν, « ἀποβαλεῖς δὲ εἰρήκειν καὶ τὴν προσηγορίαν, καὶ βασιλεύσεις ἐπὶ κρείττονι σχήματι ». Ἐπεὶ δὲ καὶ τὴν ἐπαγγελθεῖσαν υἱοθεσίαν παρὰ τοῦ κρατοῦντος ἐπήνεγκα, « ἀλλὰ πῶς, ἔφασαν, βασιλέως υἱὸς τοῦ κράτους ἀποστερήσεται; — ναὶ, φημὶ, οὕτω γάρ τε[3] οἱ κρείττους τῶν βασιλέων καὶ περὶ τοὺς γνησίους τῶν παίδων πεπράχασι· » καὶ αὐτίκα ἐμεμνήμην Κωνσταντίνου τοῦ θείου καί τινων ἑτέρων αὐτοκρατόρων, καίσαρας τὴν πρώτην τοὺς υἱοὺς τετιμηκότων, εἶτα δὴ εἰς τὴν βασίλειον ἀναγόντων[4] περιωπὴν, καὶ τὸν λόγον οὕτω συναγαγὼν ἐνθυμηματικώτερον ἐποιούμην τὴν σύγκρισιν· « κἀκεῖνοι μὲν τοὺς ἐκ τῶν σπλάγχνων οὕτως διέθεσαν, οὗτος δὲ εἰσποίητος! » καὶ τὸ ἐπώνυμον τῷ λόγῳ ἀφεὶς ἀπεκρέμασα[5] τὴν περίοδον.

Οἱ δ' ἐγνώκεισαν, καὶ πολλὰς αἰτίας τῆς συγκινήσεως, οὕτω γὰρ εὐφήμως εἰρήκασι, διηρίθμησαν· κἀγὼ μὴ εὐθὺς πρὸς τοὺς λόγους ἐνστὰς, ἀλλ' οἷον συντιθέμενος ἐκείνοις καὶ ἐπαυξάνων τούτοις τὰς συμφορὰς, « οἶδα γὰρ ταῦτα, εἰρήκειν, καὶ πολλάκις ἐπὶ τούτοις διεσπάραγμαι τὴν καρδίαν, καὶ δικαία, ἔφησα, ὑμῖν[6] ἡ ὀργὴ

1. γρ. ἐκείνων. 2. χ. ἡμᾶς. 3. χ. σε. 4. γρ. ἀναγαγόντων. 5. ἀπεκρέμμασα. 6. χ. ἡμῖν.

καὶ τὸ ἀθυμεῖν ἐφ' οἷς ἐπεπόνθειτε! » Οὕτω γοῦν αὐτοῖς διομαλίσας τὰς γνώμας, εὐθὺς πλαγίως ἐπέσεισα, δεινὰ μὲν ἐκεῖνα φήσας, οὐ μὴν ἀποχρῶντα πρὸς τυραννίδα, ἀλλ' οὐδ' ἄλλο τι τῶν πάντων ἀπολογίαν ἔχει πρὸς τοῦτο· « εἰ δὲ βασιλεύων αὐτὸς, προσεθέμην πρὸς τὸν κρατοῦντα μεταβιβάσας τὸν λόγον, ἐπιχολώτατος γένοιο! καὶ ἦν βουληθῶμεν τὸν πρῶτον εἶναι τοῦτον τῆς συγκλητικῆς ἢ στρατιωτικῆς τάξεως, εἶτα δὴ ἐκεῖνος συνωμότας προσειληφὼς καὶ τῆς κακονοίας συλλήπτορας, ἐπιβουλήν τινα κατὰ τοῦ σοῦ κράτους δραματουργήσειεν, ἀντιτιθεὶς ὁπόσα πεπόνθει καὶ ὅπως ἠτίμαστο, ἆρα ἂν αὐτάρκης πρὸς τὴν ἐπιβουλὴν ἡ ἀντίθεσις δόξῃ σοι; » Ὡς δὲ ἀπέφησεν, « σὺ δὲ, ἔφην, οὐδὲ ἠτίμασο, εἰ μὴ ὅσον ἀποτετυχήκοις ὧν προεβούλησαι· ἃ δὲ φῂς δεινὰ πεπονθέναι ἑτέρους[1] ἔχει[2] τοὺς αἰτίους, ἀλλ' οὐ τὸν νῦν βασιλεύοντα! » ἐπεὶ δὲ ἐπεστόμιστο, ἐδίδου γὰρ οὐ τοσοῦτον τῷ πιθανῶς λέγειν, ἀλλὰ τῶν ἀληθεστέρων λόγων ἀκούειν, « μετάλλαξαι οὖν, προσεθέμην, τὸ σχῆμα, καὶ γενοῦ[3] τῆς κρείττονος γνώμης, καὶ γηροκομήσων τὸν πατέρα, ἵνα ἐννόμως τοῦ σκήπτρου[4] κληρονομήσῃς. »

Ἐπεὶ δὲ ἐπεπείκειν λέγων, πολλὰ δὲ προσειρήκειν ἕτερα, αἴρεται κατόπιν φωνὴ ἣν οὐδέπω τῶν ὤτων ἀπειπάμην· ἡ δὲ φωνὴ συμμιγὴς, ἄλλων ἄλλο τι προστριβόντων ἐμοὶ, οἱ μὲν ῥητορείαν ἀνίκητον, οἱ δὲ λόγου δύναμιν, οἱ δὲ ἐνθυμημάτων ἰσχύν· κἀγὼ μὲν πρὸς οὐδένα τούτων τοῖς λόγοις ἀπήντησα· ὁ δέ γε βασιλεὺς τῇ χειρὶ τούτους κατασιγάσας, « ἀλλ' οὐδέν τι ὁ ἀνὴρ ἔφασεν, εἰρήκει, οὔτε οἷον γοητείαν ἐμφαῖνον, οὔτε κατεπᾴδον ἡμῶν· ἑπόμενος[5] δὲ τοῖς πράγμασιν, ἀφελεῖ ταῦτα φωνῇ διηγήσατο· οὐ χρὴ οὖν τὸν σύλλογον θορυβεῖν, οὐδὲ συγχεῖν τὸν διάλογον. » Ὁ μὲν οὕτως, τῶν δὲ περὶ αὐτὸν ἔνιοι διασεῖσαί μοι βουλόμενοι τὴν ψυχὴν, « ἀλλ' ὦ βασιλεῦ, ἔφασαν, σὺ δὲ ἀπολούμενον αὐτίκα σῶσον τὸν ῥήτορα, ἐσπάσαντο γὰρ οἱ πλείους ἐπ' αὐτὸν τὸ ξίφος καὶ

1. χ. ἑτέρους. 2. χ. ἔχοι. 3. χ. γεννοῦ. 4. χ. σκηπτροῦ. 5. χ. ἑπόμενος.

ἐξιόντα διασπαράξουσιν! » Ἐμειδίασα τοῦτον ἀκούσας τὸν λόγον, καὶ « εἰ βασιλείαν, ἔφην, διακομίσας ὑμῖν, δυναστείαν τε ὁπόσην παραλαβόντες ἐσχήκατε, ἀντὶ τουτωνὶ τῶν εὐαγγελίων ταῖς ὑμετέραις χερσὶ σπαραχθήσομαι, ἆρ' οὐ βεβαιοῦτε τὴν τυραννίδα καὶ κατήγοροι ἑαυτῶν γίνεσθε[1]; ἀλλὰ σὺ μὲν εἴρηκας ὡς ἐπισχήσων μου τὴν φωνήν, ἢ καταναγκάσων μεταθεῖναι τὰς γνώμας, ἐγὼ δὲ οὐδὲν ἀλλοιότερον ἢ ἐνθυμήσομαι, ἢ φθέγξομαι. »

Ἐπὶ τούτοις ὁ βασιλεὺς τοῦ θρόνου ἐξαναστὰς καὶ πολλοῖς μετιμηκὼς ἐγκωμίοις, διαλύει τὸν σύλλογον, καὶ τοῖς καταλόγοις ἐντειλάμενος προϊέναι, οὕτω δὴ μόνους παραλαβών, « τί δὲ, ἔφη, ἀλλὰ ὑμεῖς οἴεσθε ὅτι δὴ μοὶ[2] βουλομένῳ τοῦτο δὴ τὸ σχῆμα προστέθειται[3], ἢ ἀποδράναι ἐξὸν ἀνεβαλόμην ἂν τὴν φυγήν; ἀλλά με καὶ τὴν πρώτην πρὸς τοῦτο πεπείκασι, καὶ νῦν περικυκλώσαντες ἔχουσιν· εἰ δέ τινας ἀπορρήτους μοι γνώμας πρὸς τὸν βασιλέα διακομίσαι διόμνυσθε[4], ἐξαγγελῶ ὑμῖν αὐτίκα τὰ τῆς ἐμῆς ψυχῆς κρύφια. » Ἡμῶν δὲ ἐπομοσάντων ἐν ἀπορρήτοις τὰς ἀπορρήτους γνώμας φυλάξαι[5], ἐπήνεγκεν· « οὐ ζητῶ νῦν τὸ βασίλειον κράτος, ἀρκεῖ μοι τὸ σχῆμα τοῦ Καίσαρος· δευτέρας οὖν μοι ὁ βασιλεὺς ἐπιστειλάτω ἐπιστολὰς, ὡς οὔτε ἑτέρῳ παραχωρήσει τοῦ κράτους ἐντεῦθεν ἀπιὼν, οὔτ' ἀφελεῖταί τινα τῶν συστρατευσαμένων[6] ἐμοὶ ὧν ἑκάστῳ πεφιλοτίμημαι· κοινωνήσει δέ μοι καί τινος ἐξουσίας
φ. 399. βασιλικῆς ἵν' ἔχω, ἂν βούλωμαι, τοῖς ἐλάττοσι | τῶν πολιτικῶν ἀξιωμάτων τιμᾶν, τοὺς δὲ καὶ εἰς ἀρχὰς ἀνάγειν στρατηγίας, ταῦτα δὲ οὐκ ἐμοῦ χάριν, ἀλλὰ τῶν πλειόνων αἰτῶ· ἢν δέ μοι ταῦτα κατεπαγγέλλεται, ἀφίξομαί τε αὐτίκα καὶ τῷ βασιλεῖ καὶ πατρὶ τὴν εἰωθυῖαν ἀποδώσω τιμήν· ἀλλ' ἐπειδὴ τοῖς πλήθεσιν οὐ βουλομένοις ἐστὶ ταῦτα δὴ τὰ ὁμολογήματα, διττὰς ὑμῖν ἐπιδώσω ἐπιστολὰς, καὶ τῇ μὲν ἐκείνοις καταχαριοῦμαι καὶ δῶσαι[7]

1. χ. ἑαυτῶ γίνεσθαι. 2. χ. μὴ. 3. χ. πρὸς τέθεισαι. 4. χ. διόμνυσθαι. 5. χ. φυλάξας. 6. χ. συστρατευσαμένω. 7. γρ. δώσω.

ὑπαναγνῶναι, ἡ δὲ ἑτέρα ἀπόρρητος ἐγκατατεθήσεται ταῖς ὑμετέραις ψυχαῖς· δότε δὲ καὶ χάριν ἑτέραν τῷ πλήθει· μεταστήσατε τῶν διοικήσεων τὸν βραχὺν ἐκεῖνον[1] τὴν ἡλικίαν, πρότερόν τε γὰρ δυσμενέστατος ἡμῖν ὤπται καὶ νῦν ὑποπτεύεται· τήμερον οὖν ὁμέστιοι γεγονότες ἐμοὶ, τὴν αὔριον ἐντεῦθεν ἀπάραντες τὰ ἐντεταλμένα μοι ἀπορρήτως διακομίσατε. »

Οὕτω τοιγαροῦν τῆς αὐτῆς τραπέζης αὐτῷ κοινωνήσαντες, καὶ ἀγάμενοι ἔτι τῶν κρατίστων ἠθῶν, ἤδη γὰρ καὶ ὁ ἀνὴρ τοῦ τυραννικοῦ καταβὰς συνηθέστερος ἡμῖν ἐγεγόνει, καὶ κατὰ τὸ περίορθρον αὐτῷ συνταξάμενοι, καὶ τὴν ἑτέραν ἐπιστολὴν εἰληφότες κρυφίως, ταῖς αὐταῖς αὖθις δορυφορούμενοι τάξεσιν ἐπὶ τὴν θάλασσαν ἀπενεύσαμεν, καὶ λειοκυμονοῦσαν αὐτὴν εὑρηκότες, λύσαντες τὰ ἀπόγεια πρὸς τὸ Βυζάντιον κατεπλέομεν· καὶ παρανατειλάσης ἡμέρας ἐπὶ τοῦ τῶν ἀνακτόρων λιμένος γεγόναμεν, καὶ τῷ βασιλεῖ τήν τε σκηνὴν ξύμπασαν καὶ τὰς ἀπορρήτους γνώμας διηγησάμεθα[2], ἐπιδόντες αὐτῷ καὶ τὰς ἐπιστολὰς ἑκατέρας. Ὁ δὲ καὶ ταύτας πολλάκις ἐπαναγνοὺς καὶ ἡμῖν παλιλλογῆσαι[3] τὰ ἐντεταλμένα προτρέψας, « ἀλλὰ ποιητέον, φησὶ, ξύμπαντα, καὶ μηδενὸς ἐκεῖνος ἀτυχησάτω ὧν βούλεται, ἀλλὰ καὶ στεφανηφορείτω λαμπρότερον, στέμματι ἀλλ' οὐ στεφάνῃ τὴν κεφαλὴν ἀναδούμενος, εἰ καὶ μὴ τοιοῦτον τὸ σχῆμα τοῦ Καίσαρος, παραδυναστευέτω τῷ κράτει καὶ παραδιοικείτω τὰς ἀρχαιρεσίας, ἰδία[4] τε αὐτῷ ἀποτετάχθω σκηνὴ βασίλειος, καὶ δορυφορία παρακεχωρήσθω λαμπρὰ, τῶν τε συνδιηγωνισμένων ἐκείνῳ τὴν τυραννίδα ἕκαστος ὡς ἐκ βασιλέως εἰληφὼς ἅπερ παρ' ἐκείνου ἔχει λαβὼν ἀδεῶς τούτοις κεχρήσθω, εἴ τε[5] χρήματα εἶεν, εἴ τε κτήματα, εἴ τ' ἀξιωμάτων λαμπρότητες, ἐπισφραγιοῦμαι δὲ τὰ ὑπεσχημένα καὶ χειρὶ καὶ γλώττῃ, καὶ πράγματι, τὰ μὲν ἐν γράμμασι τιθεὶς, τὰ δὲ ταῦτα ἐπιβεβαιούμε-

1. χ. ἐκείνων. 2. χ. διηγησώμεθα. 3. χ. παλλιλογῆσαι. 4. χ. ἰδιατέ. 5. χ. εἶτα.

νος, τῇ δὲ γλώττῃ ἀρρήτους ὅρκους ὀμνὺς, ὡς οὐδὲν ἂν τούτων παραβαίην ποτέ. Ὥσπερ δὴ ἐκεῖνος πρός με ἀπορρήτους ὑμῖν λόγους ἐπίστευσεν, οὕτω δὴ κἀγὼ ἀπορρητότερα πρὸς ἐκεῖνον [1] ὑμῖν ἀντιτίθεμαι· τοιγαροῦν διόμνυσθε πρὸς αὐτὸν, ὅτι οὐ πολλῶν παρελήλυθεισῶν ἡμερῶν τοῦ βασιλείου κράτους κοινωνὸν τοῦτον ποιήσομαι, προφάσεις ἀναγκαίας πεποιημένος τῆς εἰς τοῦτο ἀναγωγῆς· εἰ δὲ νῦν τὸν καιρὸν ὑπερτίθεμαι, συγγνώμην ἐχέτω μοι· δέδοικα γὰρ τό τε δημοτικὸν πλῆθος καὶ τὴν συγκλητικὴν τάξιν, καὶ οὐ πάνυ τι πιστεύω ὅτι κοινωνήσαιεν τοῦ βουλεύματος· ἵν' οὖν μὴ κινήσω πράγματα ἐπ' ἐμὲ, παραιτοῦμαι νῦν τὴν πρᾶξιν ἐν καλῷ ταύτην γενησομένην· καὶ τἄλλα μὲν ἐν τῷ πρὸς ἐκεῖνον διακριβώσατε γράμματι, τοῦτο δέ μοι μόνον ἐν τῇ καρδίᾳ φυλάξετε [2], καὶ τὴν ταχίστην πρὸς ἐκεῖνον παλινοστήσατε, μηδεμίαν ἀναβολὴν τῷ χρόνῳ ποιούμενοι. »

Ἡμέραν γοῦν μίαν διαλιπόντες κοινῇ πρὸς τὸν Καίσαρα ἀνεπλεύσαμεν, καὶ ἐγχειρισάντων [3] αὐτῷ τὴν ἐπιστολὴν, οὐκ ἐν τῷ αὐτῷ σχήματι προκαθημένῳ ᾧ πρότερον ἑωράκειμεν, ἀλλ' ἐν ὑφειμένῳ [4] τε καὶ ἐλάττονι, ἐπειδὴ λαβὼν εἰς ὑπήκοον πάντων ἀναγνωσθῆναι προστέταχε [5], κεχαρισμένος [6] ἅπασιν ἔδοξεν, ὅτι μᾶλλον ἑαυτοῦ τῶν συμφροντισάντων αὐτῷ τοῦ κράτους προὐνοήσατο. Ἀποστατέον γοῦν αὐτῷ καὶ πᾶσιν ἔδοξεν εἶναι τῶν τυραννικῶν πράξεων. Ἐπεὶ δὲ καὶ τὸ ἀπόρρητον ἐκείνῳ μόνῳ συγγεγονότες προσηγγείλαμεν, ὁ δὲ αὐτίκα ἔνθους τε ἐγεγόνει καὶ ταῖς τάξεσιν εὐθὺς ἐπέστελλε, νῦν μὲν ἐπ' οἴκου ἀναχωρεῖν, προσιέναι δὲ οἱ [7] ὁπότ' ἂν αὐτῷ ἐν καλῷ σταίη τὰ πράγματα. Ἐπεὶ δὲ ἀπωσθῆναι [8] ἐμεμαθήκει τῶν διοικήσεων τὰς βασιλείους φροντίδας μετακεχωρισμένον, ἐπὶ μᾶλλόν τε ἡμῖν ἐπίστευε λέγουσι [9] καὶ τῷ κρα-

1. χ. ἐκείνων. 2. χ. φυλάξεται. 3. γρ. ἐγχειρίσαντες. 4. χ. ἀλλενυφειμένῳ. 5. χ. προτέταχε. 6. χ. καὶ χαρισμένος. 7. χ. δέοι. 8. γρ. ἀποστῆναι. 9. χ. λέγουσα.

τοῦντι ἁπλουστάτην καὶ καθαρωτάτην ἐπεμαρτύρει ψυχήν· ἐπιτελῆ δὲ τὴν ταχίστην πάντα γενέσθαι βουλόμενος, ἡμῖν μὲν τὴν αὔριον ἀπιέναι προστέταχε καὶ ἀπαγγέλλειν τῷ βασιλεῖ ὡς ἀνυπόπτως αὐτῷ ἀφικνοῖτο, αὐτὸς δὲ ἐς τρίτην παρεσκευάζετο σὺν ὀλίγῃ δορυφορίᾳ ἐκεῖθέν τε ἀπάραι καὶ πρὸς τὴν κατ' ἀντικρὺ τῶν βασιλείων θάλατταν ἀπιέναι· τοσοῦτον δὲ αὐτῷ τὸ περιὸν τῆς πρὸς βασιλέα πίστεως, ὅτι μηδὲ βουλομένῳ αὐτῷ ἦν πολυτελεστάτην γενέσθαι τὴν πρὸς τὸ Βυζάντιον εἴσοδον, ἀλλ' ἡμᾶς[1] αὖθις ἐπέστελλε πρὸς αὐτὸν ἐξιέναι καὶ ἐν μέσοις διειληφότας πρὸς τὸν κρατοῦντα δορυφορήσειν. Ἡμῖν μὲν οὖν πεπρεσβευκόσι τὸ δεύτερον ταῦτα κατώρθωτο, καὶ ἡδονῇ ἀρρήτῳ ἐγρώμεθα ὅτι συνεισφοράν τινα τῇ πατρίδι λόγου τε καὶ φρονήσεως πεποιήκαμεν, καὶ παρεσκευάσμεθα[2] ἀπιέναι τὴν αὔριον.

Οὔπω[3] δὲ ὀψίας καταλαβούσης, δρομαῖοί τινες ἀπὸ τοῦ στρατοπέδου τὴν βασίλειον περικυκλοῦσι σκηνήν, εὐαγγέλια τῷ Καίσαρι δῆθεν κομίζοντες ὅτι ἀπωσθείη τοῦ κράτους ὁ βασιλεύς, ἐπιβουλευσαμένων αὐτῷ τῆς συγκλητικῆς τάξεως ἐνίων καὶ καταναγκασάντων τό τε σχῆμα μεταβαλεῖν καὶ φυγῇ πρὸς τὸν τῆς θείας Σοφίας νεὼν χρήσεσθαι· οὗτος δὲ ὁ λόγος οὔτε τὸν Καίσαρα ἐπὶ μέγα ἦρεν, οὔθ' ἡμᾶς εὐθέως διεθορύβησεν, ἀλλὰ πλάσμα τὸ πᾶν οἰηθέντες ἐφ' ἑαυτῶν αὖθις ἐγεγόνειμεν. Οὔπω δὲ τῶν πρώτων πεπαυμένων εὐαγγελίων, δεύτερα προσκεκόμιστο[4], καὶ αὖθις ἄλλοι[5] ἐπ' ἄλλοις προσεφοίτων τὴν φήμην ἐπαληθεύοντες· διεσείσθημεν[6] οὖν ἐπὶ τούτων τὰς γνώμας, καὶ εἰς ταὐτὸ[7] συνεληλυθότες, ἀλλήλων διεπυνθανόμεθα εἴ[8] γε ἐπαληθεύοι | ταῦτα· καὶ ὁ τήν γε φ. 400.
πρώτην ἔχων σκηνὴν ἀληθῆ τὴν φήμην ἐδίδασκεν· ἥκειν γὰρ ἔφησε νῦν ἐκ τῆς πόλεως τῶν αὐτοῦ θεραπόντων τινὰ, ἀκριβέστατόν τε καὶ σπουδαιότατον, ὡς δὴ πάντα σαφῶς αὐτῷ ἀπαγγείλοι, ὅτι

1. χ. ἡμῖν. 2. χ. παρασκευάσμεθα. 3. χ. οὕτω. 4. χ. δευτέρα προκεκόμιστο. 5. χ. ἄλλα. 6. χ. διεσείσθη μὲν. 7. χ. ταὐτῷ. 8. χ. οἵ.

περ στασιώδεις ἄνδρες καὶ ταραχώδεις, οὓς δὴ καὶ αὐτοὶ ἴσμεν τῇ συγκλητικῇ παρεντετριμμένους βουλῇ, οὗτοι γοῦν φησὶ, κυκεῶνα τὴν πόλιν πεποιηκότες καὶ πάντα συνταράξαντες πράγματα, καὶ τοῖς ἠρεμεῖν ἐθέλουσιν ἐμπρησμοὺς ἐπαπειλησάμενοι καὶ κινδύνους ἄλλους, ἐντὸς τοῦ θείου περιβόλου τῆς θείας Σοφίας παρεισφθαρέντες[1] καὶ κατὰ τῶν ἀδύτων τολμήσαντες, εἶτα δὴ τὸν πατριάρχην ῥᾷστα καταβιβάσαντες κορυφαῖον τοῦ χοροῦ πεποιήκασιν, ὀλολύξαντές τε ἐπὶ μέγα, τῷ μὲν βασιλεῖ ἐπηράσσοντο καὶ πᾶσαν δύσφημον ἐπ' ἐκεῖνον ἀφῆκαν φωνὴν, τὸν δὲ Ἰσαάκιον ἐπευφήμησαν ὡς μόνον τῷ κράτει ἐπιδοξότατον. Τοῦτο γοῦν καὶ μόνον ἔφησεν εἰδέναι ὁ νῦν αὐτῷ ἀφιγμένος, εἴ τι δὲ πλέον ἐγεγόνει αὐτίκα δὴ μαθησόμεθα[2]. Ἔδοξε γοῦν ἡμῖν ἐπὶ τούτοις τῇ σκηνῇ προσιέναι τοῦ Καίσαρος ἵνα τι καινότερον ἐκεῖθεν διδαχθείημεν· κοινῇ[3] οὖν ἐκείνῳ συμπαραγενόμενοι, ὑπαγορεύοντα τὴν πρὸς βασιλέα ἐπιστολὴν κατελάβομεν· ἐχρῆτο δὲ καὶ πρὸς ἡμᾶς τοῖς ὁμοίοις λόγοις οἷς δὴ καὶ πρότερον· μετήνεγκε γὰρ αὐτὸν τῶν λεγομένων οὐδέν. Ὡς δὲ ὑπαίθριος σὺν ἡμῖν ἐγεγόνει, οὔπω δῦντος ἡλίου, ἥκέ τις πνευστιῶν πόρρωθεν, καὶ ἐπειδὴ ἄγχιστα ἡμῖν ἐγεγόνει, ἐξ ἐπίτηδες οἶμαι καταπεσὼν τὴν φωνὴν ἐξεκόπη, εἶτα δὴ τὸ φρονοῦν συλλέγειν ὑποκρινάμενος, τόν τε μετασχηματισμὸν τοῦ κρατοῦντος ἀπήγγελλε, καὶ τὴν ἑτοιμασίαν τῆς πόλεως, καὶ ὡς ἤδη καὶ βασίλειος ὁλκὰς αὐτῷ παρεσκεύασται, καὶ οἱ δαδουχήσοντες ἕτοιμοι· ἑωρακέναι γοῦν ἔφησε τὰ ἐπηγγελμένα, καὶ αὐτὸν ἰδεῖν τὸν ἔωθεν βασιλεύοντα μετ' ὀλίγον ἰδιωτεύοντα, τριβώνιόν τι ἀμφιεσάμενον[4] καὶ μετακεκοσμημένον τῷ λοιπῷ σχήματι. Οὔπω τοῦ λέγειν ἐκεῖνος ἐπέπαυτο, καὶ αὖθις ἄλλος ἀφίκετο, καὶ ἐπὶ τούτῳ ἕτερος, τὰς αὐτὰς πάντες ἀφιέντες φωνάς· εἶτά τις τῶν συνετωτέρων καὶ λογιωτέρων παραγενόμενος πᾶσαν ἡμῖν ἐκτραγῳδεῖ τὴν σκηνήν· τούτῳ γοῦν καὶ μόνῳ πιστεύσας ὁ αὐτοκράτωρ, ἡμῖν μὲν ἐπὶ τῶν

1. παρεισφαρέντες. 2. χ. μαθησόμενα, 3. χ. κοινῆς. 4. χ. ἀμφιασάμενον.

σκηνῶν ἡσυχάζειν παρακελεύεται, αὐτὸς δὲ τῆς βασιλείας ἀπάρχεται.

Ὅπως μὲν οὖν οἱ συμπρέσβεις ἐκείνην δὴ τὴν νύκτα διεληλύθεισαν οὐκ ἔχω λέγειν, ἐμοὶ δὲ ἀπειρητέον ἡ ζωὴ ἔδοξεν, καὶ αὐτίκα ὤμην ὥσπερ ἱερεῖον τεθύσεσθαι [1]· ἤδειν γὰρ ὅτι μοι πάντες ἐπιμεμήνασι, καὶ οὐκ ἂν φθάνοιμι πάσαις σφαγαῖς καὶ τομαῖς διολλύμενος· ἐδεδίειν δὲ μάλιστα καὶ αὐτὸν δὴ τὸν κρατοῦντα, μή πως τῶν παρ' ἐμοῦ πρὸς αὐτὸν [2] λόγων ἐπιμνησθεὶς, καὶ ὡς ἐπεποιήκειν [3] τοῦτον ἰδιωτεῦσαι μικροῦ δεῖν, πᾶσάν μοι ἐπενέγκοι τιμωρίαν καὶ βάσανον· πάντων τοιγαροῦν ἀφυπνωσάντων [4], μόνος ἐγὼ τοὺς σφαγέας ἀνέμενον, καὶ εἴ πού τινος αἰσθοίμην φωνῆς ἢ ψόφου [5] περὶ τὴν σκηνὴν πέριξ, αὖος εὐθὺς καθειστήκειν, τοῦτον αὐτίκα τὸν ἐμὸν σφαγέα οἰόμενος. Ὡς δ' οὕτω με λαθὸν τὸ [6] πολὺ τῆς νυκτὸς παρελήλυθεν, καὶ βαθὺς ἐγεγόνει ὄρθρος, ἀνέπνευσά τι βραχὺ, τὸ ἐν ἡμέρᾳ διολεῖσθαι ἔλαττόν τι κακὸν ἡγούμενος· βραχὺ δὲ τῆς σκηνῆς προκύψας ἀνακαιόμενά τε πυρὰ ἑώρων καὶ περὶ τὴν βασίλειον αὐλὴν λαμπάδας ἡμμένας, καὶ πάντα θορύβου μεστά· ἐνετέταλτο γὰρ πᾶσι παρασκευάσασθαί τε καὶ πρὸς τὴν πόλιν [7] μετασκευάζεσθαι· οὕπω δὲ τοῦ φωστῆρος ἐπανατείλαντος, ὁ βασιλεὺς ἀθρόον ἱππασάμενος ἔξεισι· καὶ ἡμεῖς μὲν οὐκ εὐθὺς, κατόπιν δὲ τούτου προήειμεν. Ἐγὼ μὲν οὖν ἐδόκουν, ἐπειδ' ἂν ἀρκοῦν προῇη διάστημα, μετακληθῆναί τε αὐτῷ καὶ λόγους δοῦναι τῆς τῶν λόγων πειθοῦς· ὁ δέ με μετὰ πάσας μετακαλεσάμενος προσδοκίας, οὐδενὸς τῶν πάντων ἐπιμνησθεὶς, οὐ προτάσεων [8], οὐκ ἀντιθέσεων, οὐ λύσεων, οὐ τεχνικῶν ἐφόδων τε καὶ μεθόδων, οὐ πειθοῦς [9], οὐκ ἀπάτης, ἀπορρήτων τέ μοι λόγων ἀπάρχεται καὶ κοινωνὸν τῶν βασιλείων φροντίδων ποιεῖται, καὶ πυνθάνεταί μου πῶς ἂν ἄριστα βασιλεύσειε, καὶ τί ποιῶν τοῖς μεγίστοις αὐτοκρά-

1. χ. τυθήσεσθαι. 2. χ. αὐτῶν. 3. χ. ἐπεπείκειν. 4. χ. ἀφυπρωσάντων. 5. χ. φόρου. 6. χ. δ. 7. χ. πόλην. 8. χ. πρωτάσεων. 9. χ. πηθοῦς.

τορσι διερίσειεν· ἐγὼ δ' ἐπὶ τούτοις θαρρήσας, ἔμπνους τε γίνομαι τὴν ψυχὴν καὶ λόγους αὐτῷ διεξιὼν ἐπὶ τούτῳ μακροὺς, λαμπρῶς εὐδοκίμησα· ἠγάσθη γάρ με ἐπὶ πᾶσιν ὁ βασιλεὺς, ὅθεν πολλάκις ἐπυνθάνετό μου καὶ τὰς ἀποκρίσεις ἐπανεκύκλει, οὐκ ἀφιστάμενος ἕως ἂν σαφῶς αὐτῷ τὸ ἐζητημένον ἐπαγγελθείη. Εἶτα δὴ καὶ τοὺς συμπρέσβεις περὶ αὐτὸν συλλαβὼν, ὥσπερ τισι κοινωνοῖς τῶν γε πρώτων [1] αὐτοῦ βουλευμάτων ἐχρῆτο [2] δὴ καὶ συλλήπτορσιν. Οὕτω δὲ πρὸς ἀλλήλους ἔχουσιν, ἐπάνεισιν ὁ φωστὴρ, καὶ εὐθὺς πάντα ἐν φανερῷ καθειστήκει.

Ἐκκέχυται γοῦν αὐτῷ ὁ τῆς πόλεως δῆμος ξύμπας, οἱ μὲν λαμπάδας ἡμμένας προσάγοντες ὡς θεῷ, οἱ δὲ ἀρώμασι κατευωδιάζοντες, καὶ ἄλλος ἄλλό τι ποιῶν κεχαρισμένον ἐκείνῳ, ξύμπαντες δὲ συμπανηγυρίζοντες καὶ πέριξ ἐπισκιρτῶντες, καὶ ὥσπέρ τινα κρείττονος ἐπιφάνειαν τὴν ἐκείνου πρὸς τὴν βασιλίδα ἡγούμενοι εἴσοδον. Ἀλλὰ πῶς ἂν ὑμῖν ἐν βραχεῖ τὸ πολὺ διηγησαίμην τοῦ θαύματος; ἔγωγ' οὖν καὶ βασιλείοις πομπαῖς πολλαῖς ἐντετυχηκὼς, καὶ πανηγύρεσι θειοτέραις παραγενόμενος, οὔπω τοιαύτην ἐθεασάμην λαμπρότητα· οὐ γὰρ δὴ τὸ δημοτικὸν τοῦτο πλῆθος, οὐδέ γε ἡ συγκλητικὴ τάξις, οὐδ' ὅσον ἐν γεωργίαις καὶ ἐμπορείαις τὴν τελετὴν [3] ἐκείνην ἐπλήρουν, ἀλλὰ καὶ οἱ τὴν κρείττω [4] μετιόντες φιλοσοφίαν καὶ ὅσοι τὰ μετέωρα τῶν ὀρῶν κατειλήφασιν, ἢ γλύμματα πετρῶν ὑποδύντες, τὰς κοινὰς ἀφῆκαν διατριβὰς, ἢ
φ. 401. ὅσοις ἐν αἰθέρι μέσον ἐγεγόνει ὁ βίος, ξύμπαντες, οἱ μὲν | τῶν πετρῶν ὑπεκδύντες, οἱ δὲ τῆς αἰθερίου καταβιβασθέντες διαγωγῆς, οἱ δὲ τῶν μετεώρων τὰ ἱππηλάσια ἀλλαξάμενοι, θαύματος ἐπλήρουν τὴν βασίλειον εἴσοδον. Ἐκεῖνος δὲ, καὶ γὰρ ἦν ἀγχίνους εἰ καί τις ἄλλος καὶ μὴ τοῖς κενοῖς τούτοις κλεπτόμενος [5] ἢ ἐπαιρόμενος, ὑπώπτευσέ τε αὐτίκα τὴν τῆς τύχης ἀκρότητα, καὶ μήπω

1. χ. πρότων. 2. χ. ἐχρήτω. 3. χ. τελευτὴν. 4. χ. κρείττο. 5. χ. κλεπτώμενος.

τοὺς λογισμοὺς καταστὰς ἀθρόον πρός με ἐπιστραφεὶς, « δοκεῖ με, φησὶ, ὦ φιλόσοφε, σφαλερὸν εἶναι τοῦτο δὴ τὸ ἄκρον εὐτύχημα, καί μοι οὐκ οἶδα εἰ τὸ πέρας ἀπαντήσεται δεξιόν. — Φιλόσοφον [1], ἔφησα, τὸ ἐνθύμημα, ἀλλ' οὔτε ἐς ἀεὶ ἐπαρίστερα τὰ τέλη ταῖς δεξιαῖς ἀπαντῶσιν ἀρχαῖς, οὔτε, εἰ οὕτω καθείμαρται, οὐκ ἀναλυτέος ὁ ὅρος · καὶ γὰρ, ὡς ἐγὼ σοφωτέροις βιβλίοις ὡμίλησα, καὶ ἱλαστηρίοις εὐχαῖς [2] εἴ τις τὴν χείρω μεταβάλλει ζωὴν, αὐτίκα δὴ ἀναλύει τὸ εἱμαρτόν · λέγω δὲ ταῦτα ἑλληνικοῖς δόγμασιν ἀποχρώμενος · ἐπεὶ τό γε καθ' ἡμᾶς οὐδέν τι ἡμῖν εἵμαρται, οὐδὲ κατηνάγκασται, ἀλλὰ τὰ τέλη ταῖς προλαβούσαις πράξεσιν ἀνάλογα · εἰ μὲν οὖν τὴν φιλόσοφον γνώμην μεταβαλεῖς, τούτοις δὴ τοῖς λαμπροῖς τὴν σὴν ψυχὴν ἐπαρθεὶς, αὐτίκα σοι ἡ δίκη [3] ἱταμώτερον ἀντιβήσεται · εἰ δ' οὖν, ἀλλ' ἔχε θυμὸν ἀγαθὸν, ὡς οὐ βασκαίνει τὸ θεῖον ἐν οἷς δίδωσιν, ἀλλὰ πολλοῖς καὶ πολλάκις κατ' εὐθεῖαν ἤνεγκε τὴν γραμμὴν τῆς λαμπρότητος · πρῶτον γοῦν ἀπ' ἐμοῦ τῆς ἀρετῆς ἄρξαι, καί μοι μὴ μνησικακήσῃς ὧν πρεσβεύων ἱταμώτερον εἰρήκειν πρὸς σὲ, βασιλέως γὰρ ὑπηρετήκειν βουλήματι, καὶ τὴν εἰς αὐτὸν οὐ προδέδωκα πίστιν · οὐ τοίνυν σοὶ βασκαίνων, ἀλλ' ἐκείνῳ προσκείμενος ἐποιούμην τοὺς λόγους. »

Ἐπὶ τούτοις ἐκεῖνος δακρύων πλήσας τοὺς ὀφθαλμοὺς, « ἀλλὰ μᾶλλον, ἔφη, ἐφίλουν τότε τὴν σὴν γλῶτταν ὑβρίζουσαν, ἢ νῦν εὐφημοῦσάν τε καὶ θωπεύουσαν · ἄρξομαι δὲ ὡς εἴρηκας ἀπὸ σοῦ, τὰ πρῶτα γάρ σε τῶν φίλων ποιοῦμαι, καὶ πρόεδρον ἤδη τιμῶ τε καὶ κατονομάζω τῆς συγκλήτου βουλῆς. » Οὕτω δὲ ταῦτα λέγουσιν, ὁ μὲν ἥλιος ἐπὶ μεσημβρίαν εἱστήκει, ὁ δὲ ὑποδεξάμενος [4] ἡμᾶς κόλπος ἐδείκνυτο · ὡς δὲ καὶ ἡ βασίλειος ὁλκὰς κατεφαίνετο, αὐτίκα γοῦν ἄνθεσί τε καταπαττόμενος καὶ φωναῖς εὐφήμοις κατακροτούμενος, ἐμβὰς διαπόντιος ἀπὸ τῆς Προποντίδος εἰς τὰ βασίλεια πεποίητο θρίαμβον, ἐπ' αὐτῆς δὴ [5] τῆς ἑτοιμασίας πα-

1. χ. φιλόσον. 2. χ. εὐχὰς. 3. χ. ἠδίκει. 4. γρ. ὑποδεξόμενος. 5. χ. δὲ.

ρακαθίσας ἡμῖν· καὶ οὕτω δὴ καθαρῶς τοῦ κράτους ἐπείληπτο. Βασιλεὺς μὲν οὖν Μιχαὴλ ὁ πρεσβύτης ἐνιαύσιον κύκλον ἐν τῇ βασιλείᾳ πεποιηκὼς, ἐκεῖθέν τε καταβεβήκει, καί τινα βραχὺν ἐπιβιώσας ἐν ἰδιώτου σχήματι χρόνον μετήλλαξε τὴν ζωήν.

Περὶ τῆς αὐτοκρατορίας τοῦ Κομνηνοῦ.

Παραλαβὼν δὲ τὴν βασιλείαν ὁ Κομνηνὸς, ἀνὴρ ἐν πᾶσι δραστήριος, τῶν ὅλων εὐθὺς γίγνεται καὶ τῶν τῆς βασιλείας πραγμάτων ἐξ αὐτῆς γραμμῆς ἄρχεται· ἐσπέρας γὰρ εἰσεληλυθὼς εἰς τὰ βασίλεια, πρὶν ἢ τὸν ἐκ τῆς μάχης κονιορτὸν ἀποσείσασθαι καὶ στολὴν μεταλλάξαι, καὶ ἐς αὔριον παραγγεῖλαι καθάρσια, καὶ ὥσπερ ἐκ πελάγους καὶ χειμῶνος πολλοῦ ἀγαπητῶς ἅμα καὶ αἰσίως εἰς λιμένας ἀπονηξάμενος, πρὸ τοῦ τὴν θαλαττίαν [1] ἀποπτύσαι ἅλμην καὶ τὸ πνεῦμα συλλέξασθαι, εὐθὺς καὶ τοῖς στρατιωτικοῖς καὶ τοῖς πολιτικοῖς διαιτᾷ πράγμασι, τό τε τῆς ἡμέρας ἔτι ἐλλελοιπὸς καὶ πᾶσαν νύκτα ἐς φροντίδας καταναλώσας· τοῦ στρατιωτικοῦ πλήθους τῇ πόλει συρρεύσαντος, ὁπόσοι δὴ ἅμα τούτῳ τὸν περὶ ψυχῆς ἀνερρίψαντο κύβον καὶ συγκινδυνεύειν ἐθάρρησαν, δεδιὼς μή τι καὶ παραβολώτερον ἐν τῇ πόλει τολμήσωσιν, ἢ τῷ δι' ἐκείνου θάρρει τὸ πολιτικὸν θορυβήσωσι πλῆθος, σπουδὴν ἔθετο πρώτην τὰ εἰκότα τε τούτους τιμῆσαι καὶ εἰς τὰς οἰκείας ἀφεῖναι πατρίδας, πρὸς βραχύ τι ἀναπνεύσοντας καὶ αὖθις συλλεγησομένους κατὰ τῶν βαρβάρων τῷ βασιλεῖ συμπολεμήσοντας. Εἴκαστο μὲν οὖν ταῦτα ἐν μηνῶν περιόδοις γενήσεσθαι· ὁ δὲ οὐδ' ὅσον ὑπονοῆσαι διεῖλέ τε αὐτοὺς καὶ ὑπεξεῖλεν, ἑκάστῳ ἀπομνημονεύσας τῶν κατὰ πόλεμον πράξεων, καὶ τοὺς μὲν ἀπὸ τοῦ κατὰ χεῖρα γενναίου, τοὺς δὲ ἀπὸ στρατηγικῆς τιμήσας συντάξεως, τοῖς δ' ἄλλο τι ἐπειπὼν ἀγαθὸν, καὶ πάντας ὁμοῦ τεθεραπευκὼς, καὶ τὰς

3. χ. θάλατταν.

καταλλήλους ἀντιδόσεις ἐπενεγκών. Εἴκασα τὸ πρᾶγμα ἐγὼ νέφεσι πολλοῖς αἰθερίοις, καὶ ἡλίῳ ἀθροώτερον λάμψαντι καὶ τὴν ἀχλὺν [1] αὐτίκα σκεδάσαντι.

Ἐπεὶ δὲ ἡ πόλις τῆς φορτικῆς ἐκείνων διαγωγῆς ἠλευθέρωτο, τεθήπασι [2] τὸν βασιλέα καὶ τὰ κρείττονα ἐμαντεύσατο [3]· οἷς γὰρ γενήσεσθαι μὴ πιστεύοντες, γεγενημένοις ἐνέτυχον τούτοις, καὶ ἅπερ οὐκ ἄν τις ἐλπίσειε γενέσθαι ποτὲ προεώρων ὡς συμβησόμενα· ἤλπιζον δὲ τὰ βελτίω, καὶ τῷ τοῦ ἀνδρὸς ἤθει, ᾧ δὴ ἐκ περιόδου μέν τις ἐντυγχάνων, ὁπηνίκα ἐπὶ βήματος ἐκεῖνος καθῆστο ἢ πράγμασι διαιτήσων, ἢ χρηματιούμενος πρέσβεσιν, ἢ ἐπαπειλήσων βαρβάροις τὰ φρικωδέστατα, ἀποτόμῳ τε καὶ σκληρῷ παρεγίγνετο, καὶ οὐδ' ἂν ᾠήθη ποτὲ πρὸς τὸ μαλακώτερον μεταποιηθήσεσθαι· εἰ δὲ καὶ οἰκουροῦντα τοῦτον ἢ ἀρχαιρεσιάζοντα [4] ἴδοι, δυσὶ παραδόξοις ἐπίστευε πράγμασιν· ὥσπερ ἂν εἴ τις τῆς τοιαύτης ἀκούῃ χορδῆς ἅπαξ ἐνταθείσης, νῦν μὲν ἐναρμόνιον, νῦν δὲ σύντονον ἀναπεμπούσης ἠχώ· ἔμοιγ' οὖν ἀμφοτέρων τῶν καιρῶν συγκεχωρημένων, τῆς τε συντονίας καὶ τῆς ἀνέσεως, διπλοῦς τις ὁ αὐτὸς κατεφαίνετο, καὶ οὔτ' ἂν ᾠήθην χαλασθέντα πλέον ταθήσεσθαι, οὔτε μὴν συντονώτερον ἐνταθέντα ἀναθήσεσθαι αὖθις καὶ τοῦ ὑψηλοῦ φρονήματος μεταβήσεσθαι· τοσοῦτον ἐκεῖ μὲν χαρίεις καὶ ἐνδόσιμος ἦν, ἐνταῦθα δὲ, ἀλλὰ καὶ τὸ πρόσωπον αὐτῷ μεθηρμόζετο καὶ οἱ ὀφθαλμοὶ ἤστραπτον, καὶ ἡ ὀφρὺς, οἷα δή τι νέφος τῷ | τῆς ψυχῆς φωστῆρι, ἵν' οὕτως εἴπω, ἐπέκειτο.

Ἐπεὶ δὲ τὸ βῆμα καθειστήκει καὶ ἡ συγκλητικὴ τάξις διέστησαν ἑκατέρωθεν, οὐδὲν εὐθὺς εἰρηκὼς, ἀλλὰ τὴν Ξενοκράτους ἰδέαν ἀκριβῶς μιμησάμενος καὶ τὴν ψυχὴν οἷον ἀνελίξας εἰς ἐνθυμήσεις, δέος οὔ τι βραχὺ τῷ συγκλητικῷ καταλόγῳ ἐπέσεισεν· οἱ μὲν γὰρ ἐπεπήγεισαν, καὶ ὥσπερ ἀστραπῇ βληθέντες | ἐφ' οὗ φ. 402.

1. χ. ἀχλὴν. 2. προσθετέον [πάντες]. 3. γρ. ἐμαντεύσαντο. 4. χ. ἀρχαιριάζοντα.

ἐπλήγησαν εἰστήκεσαν σχήματος, ξηροὶ καὶ ἄνικμοι γεγονότες καὶ τὰς ψυχὰς ὥσπερ ἀποτεθυμένοι[1], οἱ δὲ, ἄλλος ἄλλο τι ποιῶν ἠρέμα ἐδείκνυτο· ὁ μὲν γὰρ τῷ πόδε ἡσυχῇ συνεβίβαζεν, ὁ δὲ ἐπὶ πλέον ταῖς χερσὶν ἐδέσμει τὸ στῆθος, καὶ ἄλλος πρὸς τοὔδαφος ἔνευε, καὶ αὖθις ἕτερος, καὶ ἐφεξῆς ξύμπαντες φρικώδους ἐμπιπλάμενοι δείματος, τὰ σώματα ταῖς ψυχαῖς ἡσυχῇ καὶ κρύβδην συνέστελλον· ἐπεὶ δέ ποτε ἐκεῖνος τοῖς προκειμένοις ἐπανανεύσειε, βραχύ τι τὸ ἀναπνεῦσαν ἦν, καὶ ἡ ἀλλοίωσις ἀριθμητικοῖς ἐγνωρίζετο λόγοις. Καὶ γὰρ ἦν εἴ πέρ τις ἄλλος βραχυλογώτατος, οὔτε ἀθρόον ἐφιεὶς τῇ γλώττῃ, οὔτε ἐνδεῶς γνωρίζων τὰ τῆς ψυχῆς ἐνθυμήματα, ἀλλ' ὥσπερ οἱ χαρακτηρίζοντες τὸν Λυσίαν, φημὶ δὲ τὸν τοῦ Κεφάλου τὸν ῥήτορα, ἄλλην τε αὐτῷ ἀρετὴν λόγου προσμαρτυροῦσιν, εἶτα δὴ καὶ τὴν πρέπουσαν ἡνίαν τῇ ἐκείνου ἐπιβάλλουσιν εὐστομίᾳ, καὶ φασὶν ὡς δυναμένῳ λέγειν, ἤρκει εἰρηκότι τὰ καιριώτατα δι' ὧν ἄν τις συλλογίσαιτο καὶ ὅσα μὴ φθέγξαιτο, οὕτω δὴ κἀκείνῳ ἡ γλῶττα ψεκάζουσα, οὐχ ὑετίζουσα ἐπίαινέ[2] τε τὴν δεκτικὴν φύσιν καὶ ἠρέμα τὸ βάθος εἰσδῦσα πρὸς τὴν τοῦ σιωπηθέντος ἀνεκίνει ἐπίγνωσιν· ἐβούλετο γὰρ μηδενὶ ἁλωτὸς ἐν λόγοις γενήσεσθαι, μηδὲ βασιλεὺς ὢν καὶ τοῖς ὅλοις κρατῶν ἄκαιρόν τινα φιλοτιμίαν ἐντεῦθεν ἑαυτῷ πλάσασθαι.

Ὅθεν τὸ μὲν φιλολογεῖν ἡμῖν ἀφῆκε τοῖς κάτω καὶ ὅσοις ἰδιώτης ὁ βίος, ἐκείνῳ δὲ καὶ νεῦμα, καὶ χειρὸς κίνησις, καὶ κεφαλῆς ἐπὶ θάτερα κλίσις ἀποχρῶντα πάντα πρὸς ὃ βούλοιτο ἐλογίζετο. Νόμους δὲ οὐ πάνυ τι ἐπιστάμενος, τὴν νομοθετικὴν ἑαυτῷ ἐσχεδίαζεν· οὐ γὰρ προλαμβάνων τὴν δίαιταν, ἀλλ' ἐπιτάττων αὐτὴν τοῖς δικάζουσι τῆς κρείττονος μερίδος ἐγίγνετο, εἶτα δὴ ὡς προειδὼς, προΐστατό τε ταύτης καὶ τὰς ψήφους ἐπήνεγκεν· ἵνα δὲ μὴ τὴν φωνὴν σολοικίσῃ[3] τὰς νομικὰς φωνὰς ἐπισημαινόμενος, τοῦτο

1. γρ. ἀποτεθειμένοι. 2. χ. ἐπίενε. 3. χ. σολοικήσω.

μὲν ἑτέροις ἔπρεπεν[1]· ἀεὶ δέ τι ἢ προσετίθει ὡς λεῖπον τοῖς γράμμασιν, ἢ ἀφῄρει ὡς περιττόν.

Πρεσβείαις δὲ χρηματίζων οὐ πάσαις μὲν ἴσος ἐγνώριστο, ἀπὸ δὲ τοῦ κρείττονος πάσαις ὡμίλει σχήματος, καὶ μόνον ἦν ἐνταῦθα τοῖς λόγοις πλημμυρῶν ἢ ὁ Νεῖλος ἀναβαίνων τοῖς Αἰγυπτίοις, καὶ τοῖς Ἀσσυρίοις ὁ Εὐφράτης ἐπικαχλάζων· καὶ τὴν μὲν εἰρήνην αἰτουμένοις ἐδίδου, τὸν δὲ πόλεμον ὑπείλει εἴ τί που παρανομῆσαι τολμήσαιεν[2]· καὶ ταῦτα μὲν πρὸς Πάρθους καὶ Αἰγυπτίους ἐφθέγγετο, τοῖς δὲ λοιποῖς ἔθνεσι πόλεών τε ἐκείνῳ[3] παραχωροῦσι πολλῶν καὶ στρατιωτικῶν τάξεων, αὐτῶν τε πατρίδων καὶ αὐτίκα μετασκηνοῦν αἱρουμένοις[4], ταῦτά τε [οὐ] ξυνεχώρει καὶ ἡσυχάζειν ἐπέταττεν, οὐ τῇ Ρωμαίων βασκαίνων ἡγεμονίᾳ, τῶν ταύτης ὁρίων αὐξανουμένων[5], ἀλλ' εἰδὼς[6] ὡς δεῖ ταῖς τοιαύταις προσθήκαις καὶ χρημάτων πολλῶν καὶ γενναίας χειρὸς, καὶ ἀποχρώσης ὑποδοχῆς, καὶ τοῖς μὴ οὕτως ἔχουσιν[7] ἡ πρόσθεσις ὑφαίρεσις γίνεται. Τοῖς δέ γε πολλοῖς τῶν ἡγεμονίας ἐχόντων βαρβάρων, ὁπόσα αὐτὸς ἐντυγχάνων ἀκήκοα, καὶ ἀνανδρίαν ἐπωνείδιζε καὶ ὡς ἀμελῶς τῶν ἡγεμονιῶν ἔχοιντο κατηγιᾶτο τούτους, ὥρθου[8] τε αὐτοῖς καταπεπτωκυίας τὰς γνώμας· τοῦτο δὲ ἐποίει ἵν' ἐπιτείχισμα ἔχοι πρὸς τὴν βασιλείαν τῶν κρειττόνων ἐθνῶν.

Ταῦτα δὲ αὔταρκες μὲν ἐκείνῳ ἐγκώμιον, εἰ δέ τις ἡγοῖτο καὶ πρὸς τὸ μέλλον διδασκαλία, ἀρέσκοι ἂν ὁ πόνος τῷ ξυγγραφεῖ. Εἰ μὲν οὖν ὥσπερ ἐν τοῖς ἄλλοις ἠρέμα βαδίζων καὶ προχωρῶν ἐπὶ τὸ βέλτιον τὸ κράτος ἀπηύθυνεν, οὕτω δὴ κἂν τοῖς πολιτικοῖς πράγμασι πονήρως ἔχουσιν ἐποιεῖτο τὴν κάθαρσιν, λεπτύνων πρότερον τὴν παχυνθεῖσαν κακίαν καὶ οὕτως ἐπάγων τὸ φάρμακον, αὐτός τε ἂν μέχρι παντὸς ἐγκωμίοις κατέστεπτο, καὶ τὸ πολιτικὸν οὐκ ἂν διέσειστο σῶμα· ἀλλ' ἐκεῖνος μεταποιῆσαι πάντα βουλόμενος,

1. γρ. ἐπέτρεπεν. 2. χ. τολμῆσεν. 3. χ. ἐκεῖνο. 4. χ. ἑρουμένους. 5. χ. αὐξαλουμένων. 6. χ. ἰδὼς. 7. χ. ἔχωσι. 8. χ. ὄρθρου.

καὶ χρόνοις πολλοῖς τὴν Ρωμαϊκὴν βασιλείαν ὑλομανήσασαν σπεύδων εὐθὺς ἐκτεμεῖν, ἢ καθαπερεὶ σῶμα τερατείας πάσης μεστὸν, κεφαλαῖς μὲν διαμεμερισμένον πολλαῖς, δυστράχηλόν τε καὶ πολυτράχηλον, χερσί τε οὐκ εὐαριθμήτοις διαπεπλασμένον, καὶ ποσὶν ἰσαρίθμοις χρώμενον, εἶτα δὴ καὶ τὰ ἔνδον ὕπουλον καὶ κακόηθες, καὶ τὰ μὲν διεξῳδηκὸς, τὰ δὲ φθίνον, καὶ τοῦτο μὲν ὑδεριοῦν, τοῦτο δὲ φθινάδι νόσῳ διαρρυὲν, ἐπιχειρήσας ἀποτεμεῖν ἀθρόον, καὶ ὑπεξελεῖν μὲν τὰς περιττότητας, ἐπαγαγεῖν δὲ τὰς ἰσότητας, καὶ τὰ μὲν καθελεῖν[1], τὰ δ' ἐπαυξῆσαι, τά τε σπλάγχνα ἰάσασθαι, ἐμπνεῦσαί τε τούτῳ πνεῦμα φυσίζωον, οὔτε πρὸς τέλος ἐξήρκεσε, καὶ οὐ πάνυ τι ἐντεῦθεν ἴσος ἑαυτῷ ἔδοξεν· ἵνα δὲ μὴ συγκεχυμένος ἡμῖν ὁ λόγος φανείη, ἐρῶμεν πρότερον ὅπως ἡμῖν τὸ τῆς πολιτείας ἐπερίττευε σῶμα, εἶτα δὴ καὶ ὅπως ἐκεῖνος ἐκτέμνειν ἐπιχειρήκε[2], καὶ τρίτον ὡς ἐντεῦθεν ἐκείνῳ οὐ πάντα ἀπήντησε δεξιῶς, ἐφ' οἷς ἐπενεγκὼν ὅπως ἀποβεβήκει τῆς βασιλείας ὅρον τῇ ξυγγραφῇ θήσομαι.

Μετὰ τὸν θάνατον Βασιλείου τοῦ πάνυ, λέγω δὲ τὸν τοῦ Ρωμανοῦ παῖδα, ὃς δὴ ἐς τριγονίαν τὴν βασιλείαν ἀνέφερεν, ὁ τούτου μὲν νεώτερος παῖς, ἀδελφὸς δὲ ἐκείνου, τὴν βασιλείαν παραλαβὼν πολλῶν χρημάτων ἀνάπλεω, ὁ γάρ τοι ἀδελφὸς Βασίλειος μακροὺς ἐπιβιώσας χρόνους τῷ κράτει καὶ ὅσους οὐκ ἄλλος[3] τῶν αὐτοκρατόρων, ἐθνῶν τε πολλῶν ἐγκρατὴς γεγονὼς καὶ τὸν ἐκεῖθεν πλοῦτον εἰς τὰ βασίλεια εἰσενεγκὼν, πολυπλασίους τε τὰς ἐπιγινομένας εἰσόδους τῶν ἀπογιγνομένων πεποιηκὼς, τῶν ἐντεῦθεν ἀπιὼν θησαυροὺς ἀμυθήτους χρημάτων καταλελοίπει τῷ ἀδελφῷ Κωνσταντίνῳ· οὗτος δὲ εἰς βαθὺ γῆρας τὴν αὐτοκράτορα ἡγεμονίαν ἀναζωσάμενος, ἐκ πολλοῦ τε ταύτης ἐρῶν, οὔτε στρατεύειν ἐπιχειρήκε καὶ τοῖς εὑρημένοις προστίθεσθαι, οὔτε τὰ ὄντα διαφυλάττειν διανενόητο· ἐπεὶ δὲ τὸν ἀπολαυστικὸν ὡρμηκὼς βίον, σπαθᾷν πάντα

1. χ. καθεῖν. 2. χ. ἐπιχείρηκε. 3. χ. ἄλλως.

καὶ ἀναλίσκειν διέγνωκε, καὶ εἰ μὴ ταχὺ τοῦτον ὑπεξεῖλεν ὁ θάνατος, ἦρκεσεν ἂν ἀντὶ πάντων εἰς τὴν τοῦ κράτους διαφθοράν.

Οὗτος μὲν δὴ πρώτως τὸ σῶμα τῆς πολιτείας κακοῦν τε καὶ ἐξογκοῦν ἤρξατο, τὰ μὲν ἑνίους τῶν ὑπηκόων χρήμασι καταπιάνας πολλοῖς, τὰ δὲ ἀξιώμασι διογκώσας, καὶ ὕπουλον αὐτοῖς καὶ | διε- p. 403.
φθαρμένην τὴν ζωὴν καταστήσας· ἐπεὶ δὲ οὗτος ἐτεθνήκει, καὶ ὁ ἐκείνου κηδεστὴς Ρωμανὸς τὴν ἀρχὴν διεδέξατο, ἄρξαι νομίσας οὗτος, τῆς ἐν πορφύρᾳ γέννας ἤδη ἀποτελευτησάσης, θεμελίους ὥσπερ καλοὺς τῆς τοιαύτης γενέσεως ᾠήθη καταβάλλεσθαι, καὶ ἵνα δὴ καὶ [τὸ] πολιτικὸν γένος καὶ ἡ στρατιωτικὴ πληθὺς τὰς ἐγγενεῖς διαδοχὰς ἑτοίμως τε καὶ ἱλαρῶς ὑποδέξαιντο, προλαμβάνει τὰς εἰς αὐτοὺς μεγαλοδωρεὰς, καὶ προστίθησι τῷ περιττεύσαντι σώματι, καὶ αὐξάνει τὴν νόσον, καὶ τὸ διαφθειρόμενον καταπληροῖ ἐκκεχυμένης ποιότητος, καὶ διαμαρτάνει δυοῖν, τῆς τε περὶ τὸ γένος ὑπολήψεως καὶ τοῦ τὴν πολιτείαν τεταγμένην ἀπολιπεῖν.

Ἐπεὶ δὲ τούτου τὴν ζωὴν τελευτήσαντος εἰς τὸν Μιχαὴλ ἡ τῆς βασιλείας μετῆλθε διαδοχὴ, τὸ μὲν πολὺ τῶν νοσοποιῶν ὁ ἀνὴρ οὗτος ἐπέσχεν, οὐ μέντοι γε τοσοῦτον ἐξίσχυσεν ὥστε τολμῆσαι μηδὲ τὸ βραχύτατον ἐκλιπάναι τὸ εἰωθὸς σῶμα χυμοῖς ἐκτρέφεσθαι πονηροῖς καὶ διεφθαρμέναις ἐξογκοῦσθαι τροφαῖς, ἀλλὰ καὶ οὗτος, εἰ καὶ γλίσχρος[1], προσέθετο γοῦν τῇ ποιότητι· ἢ[2] γὰρ ἂν ἐτεθνήκει αὐτίκα, μηδὲ κατὰ βραχὺ τοὺς προηγησαμένους μιμησάμενος αὐτοκράτορας· ἀλλ' εἰ μὲν διεβίω πλείω οὗτος ἔτη τῷ κράτει, ἐμεμαθήκεσαν ἄν ποτε τὸ ὑπήκοον τὴν φιλόσοφον δίαιταν, οὐκ ἦν δὲ ἄρα μὴ διαρραγήσεσθαί ποτε τούτους εἰς ἄκρον εὐεξίας ἐκπιαθέντας. Ταχὺ τοιγαροῦν καὶ τούτου δὴ τοῦ βασιλέως ἀποβεβιωκότος, ἵνα δὴ τὸν ἀνεψιὸν παραλίπω, ὡς ἀθλίως μὲν βεβασιλευκότα, ἀθλιώτερον δὲ τοῦ κράτους ἀποβεβηκότα, Κωνσταντῖνος ὁ Εὐεργέτης, οὕτω γὰρ παρὰ τοῖς πλείοσι κατωνόμασται, φημὶ δὲ τὸν

1. χ. γλίχρως. 2. γρ. καὶ

Μονομάχον, εἰς τὴν τοῦ κράτους περιωπὴν ἄνεισιν· ὃς δὴ ὥσπερ τινα φορτίδα ναῦν[1] τὴν πολιτείαν καταλαβὼν ἄχρι τοῦ τελευταίου ζωστῆρος τὸν φόρτον ἔχουσαν, ὡς βραχύ τι ὑπερκεῖσθαι τῆς τῶν κυμάτων ἐπιρροῆς, περιχειλῆ πεποιηκὼς κατεβάπτισεν, ἢ ἵνα δὴ ἐναργέστερον εἴπω ὁμοῦ δὲ καὶ πρὸς τὴν προτέραν ἐπανέλθω τροπήν, πλεῖστα περιθεὶς μέρη καὶ μέλη τῷ πάλαι διαφθαρέντι σώματι, καὶ χυμοὺς πονηροτέρους τοῖς σπλάγχνοις εἰσενεγκὼν τοῦ μὲν κατὰ φύσιν ἀπήνεγκε, καὶ τῆς ἡμέρου καὶ πολιτικῆς ζωῆς ἀπεστέρησεν[2], ἐξέμηνε δὲ μικροῦ δεῖν καὶ ἀπεθηρίωσε, πολυκεφάλους καὶ ἑκατόγχειρας τοὺς πλείους τῶν ὑπὸ χεῖρα πεποιηκώς. Μεθ' ὃν ἡ βασιλὶς Θεοδώρα γνησιώτερον αὐταρχήσασα, ἔδοξε μὲν μὴ πάνυ τι ἀποθηριῶσαι τὸ καινὸν τουτὶ ζῷον, ἀλλ' οὖν καὶ αὐτὴ λεληθότως καὶ χεῖράς τινας καὶ πόδας τούτῳ προσέθετο.

Καταλυθείσης δὲ καὶ τῆς περὶ ταύτην σκηνῆς, ἐπειδὴ τῷ πρεσβύτῃ Μιχαὴλ ἡ τῆς βασιλείας ἐνεχειρίσθη ἡνία, οὐκ ἐνεγκὼν οὗτος τὴν ξυγκίνησιν τοῦ βασιλικοῦ ἅρματος, τῶν ἵππων εὐθὺς τοῦτον ὑφαρπασάντων, τό τε θέατρον διέθηκεν ἀτακτότερον, καὶ αὐτὸς ὑπερεκπλαγεὶς τὸν θόρυβον, τῆς ἱππικῆς ἀποβεβηκὼς τάξεως ἕστη μετὰ τῶν ψιλῶν· δέον γὰρ ἀντέχειν καὶ μὴ πάνυ τι ἀφεῖναι τὸν χαλινὸν, ᾧ[3] δ' ὥσπερ ἀποζωννυμένῳ ἐῴκει τὸ κράτος καὶ εἰς τὴν προτέραν παλινδρομοῦντι ζωήν. Ὁ μὲν οὖν πρῶτος καιρὸς οὗτος, ὃς δὴ θῆρας τοὺς πλείους ἀντ' ἀνθρώπων πεποιηκὼς καὶ τοσοῦτον ὑπερπιάνας, ὡς δεῖσθαι φαρμάκων καθαρσίων πολλῶν, τὴν ἑτέραν ἐζήτει διαδοχὴν, φημὶ δὴ τὴν τῆς τομῆς καὶ τοῦ καυτῆρος καὶ τῆς καθάρσεως· ἐπανελήλυθει τοιγαροῦν καὶ οὗτος, καὶ ὁ Κομνηνὸς Ἰσαάκιος ἐπὶ τὸν[4] Ρωμαϊκὸν ἄνεισι μετὰ τοῦ διαδήματος ἄξονα, καὶ ἵνα δὴ καὶ τοῦτον[5] τῇ διὰ τῶν ἀλληγοριῶν ἐναργείᾳ κατανοήσωμεν, νῦν μὲν εἰς ἡνίοχον θείημεν, νῦν δὲ τοῖς Ἀσκληπιάδαις καταριθμήσωμεν. Ἦν δὲ οὗτος βίου μὲν ἐραστὴς φιλοσό-

1. χ. νῦν. 2. χ. ἀπεστέρρησεν. 3. χ. ὁ. 4. χ. τὸ. 5. χ. τούτων.

φου, καὶ τὸ νοσοῦν ἅπαν καὶ διεφθαρμένον ἀποστρεφόμενος τῆς ζωῆς, τοῖς ἐναντίοις δὲ περιτυχὼν, καὶ νοσοῦντα πάντα καὶ ὕπουλα εὑρηκὼς, τούς τε βασιλείους ἵππους τῆς ἀφετηρίας ταχὺ διεκθέοντας καὶ πάντας ἑτερογνάθους καὶ δυσηνίους, δέον ἐκείνως μὲν τὸν καιρὸν ἀναμεῖναι καὶ τῆς τομῆς καὶ τῆς καύσεως καὶ μὴ εὐθὺς πεπυρακτωμένον τὸν σίδηρον ἐπιθεῖναι τοῖς σπλάγχνοις, οὕτως δὲ ἠρέμα χαλινῷ καταρτύσαι τὸ ὄχημα καὶ μεταθεῖναι τοὺς ἵππους, παραψαῦσαί τε[1] τεχνικῶς καὶ περιποππύσαι[2], καὶ οὕτως ἐπιβῆναι καὶ τῇ ἡνίᾳ ἐφεῖναι, ὥσπερ δὴ ὁ τοῦ Φιλίππου εὐήνιον τὸν Βουκέφαλον πεποίηκεν, ὁ δὲ βουλόμενος ἀθρόον εὐθυφορούμενον μὲν ἰδεῖν τὸ πρότερον, εἴς τε τὴν φυσικὴν ζωὴν τὸ παρὰ φύσιν γεγενημένον σῶμα μετενεχθῆναι, καὶ τοῦτο μὲν καίων καὶ τέμνων, τοὺς δέ γε ἀτάκτως θέοντας ἵππους πολλοῖς χαλινοῖς ἀνείργων καὶ ἀναστειράζων, ἔλαθέ πως διαφθαρεὶς πρότερον ἢ ἐκεῖνα τάξας καὶ καταστήσας. Τῆς μὲν οὖν ἐγχειρίσεως οὐ διαβάλλω τὸν ἄνδρα, ἐπεγκαλῶ δὲ τούτῳ τὸν καιρὸν τῆς διαμαρτίας· ἀλλ' ὁ μὲν τρίτος ἡμᾶς ἀναμεινάτω καιρὸς, τῷ δὲ δευτέρῳ πλατύτερον ἐμφιλοχωρήσωμεν.

Τῶν γὰρ ἄνω βασιλέων, ὥς μοι πολλάκις εἴρηται, τοὺς βασιλικοὺς θησαυροὺς εἰς τὰς οἰκείας ἀπαντλούντων ἐπιθυμίας, ταῖς τε δημοσίοις συνεισφοραῖς οὐκ εἰς στρατιωτικὰς συντάξεις ἀποχρωμένων, ἀλλ' εἰς πολιτικὰς χάριτας καὶ λαμπρότητας, τέλος δὲ καὶ ὅπως ἂν αὐτοῖς τὸ σῶμα τελευτήσασι λαμπρότερον ἐκκομισθείη καὶ κατατεθείη πολυτελέστερον, μνήματα κατασκευασάντων Φρυγίου λίθου ἢ Ἰταλοῦ, ἢ Προικονησίας[3] πλακὸς, ἐφ' οἷς ταῦτα περιῳκοδομηκότων καὶ ναοῖς τιμησάντων, ἄλση τε καταφυτευσάντων, παραδείσοις τε καὶ λειμῶσι πέριξ περιεστεφανωκότων τοὺς ὅρους, εἶτα δὴ δεῆσαν αὐτοῖς χρήμασί τε καὶ κτήμασι κατευδαιμονίσαι τὰ ἀσκητήρια (τοῦτο γὰρ δὴ τὸ ὄνομα ταῖς οἰκοδομαῖς ἐσχεδίαζον),

1. χ. παραψαύσετε. 2. χ. περιποπτύσαι. 3. χ. προϊκονησίας.

τὰ μὲν τὰ τῶν ἀνακτόρων ἀποκενούντων ταμεῖα, τὰ δὲ τὰς δημοσίους ἀκρωτηριαζόντων τῶν κοινῶν συνεισφορῶν ἀφορμὰς, καὶ οὐ
φ. 404. τὴν ἀποχρῶσαν | μόνον συντέλειαν τοῖς ἀσκητηρίοις (λεγέσθω γὰρ οὕτως) ἀποταξάντων, ἀλλὰ καταδιελόντων τὸν βασίλειον πλοῦτον. τὸν μὲν εἰς ἀπολαυστικὸν βίον, τὸν δὲ εἰς λαμπρότητας καινοτέρων οἰκοδομῶν, τὸν δὲ ὅπως ἂν οἱ μὲν ἀργοὶ τὰς φύσεις καὶ πρὸς τὸν συντελείας κόσμον ἀσυντελεῖς τρυφῷεν καὶ τὸ τῆς ἀρετῆς ἀτιμάζοιεν πρᾶγμα καὶ ὄνομα, ὁ δὲ στρατιωτικὸς σύλλογος ἐκκενοῖτο καὶ διαφθείροιτο[1], ὁ βασιλεὺς οὗτος, ἅτε δὴ τῶν στρατιωτικῶν καταλόγων τὰ πρῶτα τυγχάνων, ἐκ πολλῶν προειδὼς ὅθεν ἡ τῶν Ρωμαίων ἡγεμονία καταπεφρόνηται, καὶ τὰ μὲν τῶν ἐθνῶν ηὔξηται, τὰ δὲ πάντα ὑπέρρευσε, καὶ οὐδεὶς τῶν πάντων ἀνείργειν δεδύνηται βαρβάρων ἐπιδρομὰς καὶ λῃστείας, ἐπειδὴ οἱ ἡ παρὰ τῆς βασιλείας προσεγένετο δύναμις, τὰς ἀφορμὰς εὐθὺς ἀπορριζοῖ τῶν κακῶν· καὶ τοῦτο μὲν ἄξιον βασιλείου φρονήματος, τὸ [2] δ' ἀθρόως πάντα ⸢συνελεῖν ἐπικεχειρηκέναι, οὐ πάνυ τι ἐν ταῖς ἐπαινουμέναις τίθεμαι πράξεσιν· ὃ δ' οὖν ἐκεῖνος ἐπεπράχει [3] ὁ λόγος ἱστορησάτω.

Πρῶτα μὲν γὰρ ἑαυτῷ τὴν βασιλείαν ἁρμόσας, ἀφοῦ δὴ περιεστεφάνωτο, καὶ οὕτως τὴν τυραννίδα μετονομάσας, τὴν ἐντεῦθεν τοῦ πρεσβύτου Μιχαὴλ πρᾶξιν ἠθέτηκεν, ἀφείλετό τε ἅπερ ἐκεῖνος δεδώρητο, καὶ καθεῖλεν εἴ τι φιλότιμον κατεπράξατο· ἔπειθ' οὕτω κατὰ βραχὺ ἀνιὼν ὑπεράλλεται καὶ τουτονὶ τὸν καιρὸν, καὶ πολλὰ μὲν αὐτῷ κἀνταῦθα συντρίβει καὶ καθαιρεῖ, οὐκ ὀλίγα δὲ παντάπασιν ἀναιρεῖ· ἐντεῦθεν τό τε δημοτικὸν πλῆθος ἀπεχθάνεται αὐτῷ, καὶ τῶν στρατιωτῶν οὐκ ὀλίγον [4] τι μέρος, ὅσοις τὰς εὐπορίας ἐξέκοψεν. Ἐπεὶ δὲ ταῦτα ἐπεποιήκει, οὐδὲ βραχύ τι ἀνανεύσας τῶν ἐνθυμημάτων, ὥσπερ οἱ ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ ἀναλύοντες, ἐπὶ τὰ πορρωτέρω χωρεῖ, ἐπισυνάπτων ἀλλήλοις τῶν

1. χ. διεφθείροιτο. 2. χ. τά. ὃ, χ. ἐπεπράχειν. 4. χ. ὀλίγων.

βασιλείων [1] τὰ πέρατα, καὶ οὕτω κατὰ τὸ συνεχὲς ἐπιὼν πάντα καὶ λυμαινόμενος. Οὕτω τοιγαροῦν ἀνιὼν καὶ τοὺς πυρφόρους τοῖς ἀνῃρημένοις προστίθησι· περικρούεται γὰρ τὰ πλείω τῶν ἀποτεταγμένων τοῖς ἐκείνων ναοῖς, καὶ ταῦτα εἰς τὴν δημοσίαν θεὶς σύνταξιν, ἐκείνοις τὸ ἀποχρῶν συλλογίζεται, ἐπαληθεύσας αὐτοῖς τοῦ ἀσκητηρίου [2] τὸ ὄνομα· ἐπεποιήκει δὲ τοῦτο [3], ὥσπερ ἂν εἴ τις ψάμμον τινὰ ὑφέλει ἐκ θαλαττίας θινὸς [4], ἐπεχειρήκει γὰρ, καὶ ἀψοφητὶ τὸ πᾶν ἐγεγόνει, οὐδένα γὰρ τῶν πάντων ἀνθρώπων τεθέαμαι οὔτε τηλικαύταις ἐπιβολαῖς λογισμοῦ χρώμενον, οὔτε ἠρέμα τὰς τοιαύτας ἐνθυμίσεις καταπραττόμενον. Τοῦτο μὲν οὖν τηνικαῦτα ἐξέπληξε τοὺς πολλοὺς, εἶτα δὴ [5] ὠμαλίζετο ταῖς τῶν πλειόνων ψυχαῖς· ἀπολογία γὰρ αὐτάρκης τοῖς διαβάλλειν ἐθέλουσι τὴν πρᾶξιν ὁ δημόσιος καθειστήκει· καὶ ἔδοξεν ἂν τὸ πρᾶγμα θαυμάσιον, εἰ ὥσπερ ἐκ πελάγους ἀνανήξας βραχύ τι ἀνέπνευσεν· ἀλλ' οὗτος οὐκ εἰδὼς προσορμίζεσθαι, οὐδὲ μικρόν τι ἐλλιμενίζειν, ἕτερον αὖθις ἐθάρρησε πέλαγος, καὶ πάλιν ἄλλο, καὶ μετὰ τοῦτο μεῖζον καὶ φρικωδέστατον, ὥσπερ οὐ πολιτικὰς πράξεις διακυμαίνων, ἀλλὰ τὴν Αὐγέου κόπρον ἀνακαθαίρων.

Ὁ γοῦν πολλάκις εἰρήκειν, εἰ ταῖς πράξεσιν ὁ βασιλεὺς οὗτος καιροὺς ἀφωρίζετο, καὶ τὸ μέν τοι [6] καθῄρει, τὸ δὲ τέως ξυνεχώρει ἱστασθαι, καὶ αὖθις τοῦτο διῄρει, καὶ μετὰ τὴν τομὴν ἀναπνέων ἑτέρῳ πάλιν ἐπεχείρει, καὶ οὕτω λανθάνων τοῦ κακοῦ τὴν ἀναίρεσιν προεῖπη κατὰ βραχὺ, ὥσπερ δὴ καὶ ὁ παρὰ Πλάτωνι δημιουργὸς, παραλαβὼν καὶ οὗτος τὸν τῆς πολιτείας κόσμον πλημμελῶς καὶ ἀτάκτως κινούμενον εἰς τάξιν τε ἂν ἐκ τῆς ἀταξίας μετήγαγεν καὶ κόσμον ὡς ἀληθῶς τοῖς πράγμασιν εἰσεποίησεν· ἀλλ' ὁ μὲν θεὸς τῷ δημαγωγῷ Μωϋσῇ εἰσῆκται ἐν ἓξ ἡμέραις τὸν κόσμον δημιουργῶν, ἐκεῖνος δὲ εἰ μὴ αὐθημερὸν [7] πάντα ποιήσειεν, οὐκ

1. χ. βασιλέων. 2. χ. τὸν ἀσκητηρίου. 3. χ. τούτῳ. 4. χ. τινὸς. 5. χ. δι. 6. χ. τι. 7. χ. αὐθ' ἡμερῶν.

ἀνεκτὸν ἐλογίζετο· τοσοῦτον αὐτῷ τὸ περιὸν ἦν τῆς ἐφ' ὅ,τι προθυμηθείη ὁρμῆς, καὶ οὐδὲν αὐτὸν τῶν πάντων ἐπεῖχεν, οὐ λόγος εἰσηγούμενος τὰ βελτίω, οὐχ ὁ περὶ τοῦ μέλλοντος φόβος, οὐ τὸ παρὰ τῶν πολλῶν μῖσος, οὐκ ἄλλο τι τῶν εἰωθότων καταστέλλειν οἰδοῦσαν ψυχὴν καὶ ἐπηρμένον φρόνημα καθελεῖν [1]· εἰ γάρ τις αὐτὸν οὐκ ἤρτυε [2] χαλινὸς, πᾶσαν μὲν ἐκ περιόδου τὴν οἰκουμένην διέδραμε, πάσαις δὲ νίκαις κατέστεπτο, καὶ οὐδεὶς ἂν αὐτῷ τῶν ἀνέκαθεν αὐτοκρατόρων ἀντείρισεν [3]· ἀλλὰ τὸ ἄφετον, ἀλλὰ τὸ ἐλεύθερον, ἀλλὰ τὸ τοῦ ἐπιστατοῦντος ἀπαράδεκτον λογισμοῦ, τὸ γενναῖον ἐκείνου διέφθειρε φρόνημα.

Τὰς μὲν οὖν πολιτικὰς πράξεις οὑτωσί πως διεκύμαινε καὶ ἐτάραττεν· ἐβούλετο δὲ καὶ τοὺς ἑῴους [4] καὶ ἑσπερίους βαρβάρους κατὰ τ' αὐτὸ συνελθεῖν· οἱ δ' ἄρα καὶ ἐπεφρίκεισαν, καὶ τὴν πρώτην νεωτερίσαντες, ἐπειδὴ τὴν τοῦ ἀνδρὸς γνώμην ἐμεμαθήκεσαν, τάς τε ἐφόδους ἀνέλυον, καὶ τειχίον ἐζήτουν ὑφ' ὃ κρυβήσονται· ὁ δέ γε Πάρθος σουλτᾶν, ὃς δὴ κινῆσαι πάντα τετόλμηκε, μικροῦ δεῖν τοῖς ἀναποδισμοῖς χρώμενος καὶ μηδαμοῦ στηρίζων, μηδέ τινα ἐπέχων σταθμὸν, ὕπαυγός τε τὸ παραδοξότατον ἐγεγόνει καὶ οὐδενὶ τῶν πάντων ἐδείκνυτο· ὅ τε τῆς Αἰγύπτου τὴν ἀρχὴν ἔχων καὶ νῦν ἔτι τὸν ἄνδρα πεφόβηται καὶ προκαταλαμβάνει τοῖς ἐγκωμίοις, καὶ μεταβαλόντα τὴν τύχην ὥσπερ ἀπολοφύρεται· τοσαῦτα γὰρ αὐτῷ καὶ ἡ ὄψις καὶ ὁ λόγος ἐδύνατο, ὁπόσα χεῖρες πόλεις τε πολλὰς κατασκάψασαι καὶ τείχη [5] καθελοῦσαι μυρίανδρα. Ἐβούλετο δὲ μηδ' ὁτιοῦν τῶν πάντων ἠγνοηκέναι· ἐπεὶ δὲ τοῦτο τῶν ἀδυνάτων ἐγνώκει, ἑτέρῳ τρόπῳ ἐθήρα τὸ πρᾶγμα, καὶ τὸν εἰδότα μετακαλούμενος, ἐπυνθάνετο μὲν περὶ ὧν ἠγνόει οὐδὲν, τοῖς δὲ λόγοις περιελίττων τὸν ἄνδρα, ἐποίει τὸ ἀγνοούμενον ἐξειπεῖν ὥσπέρ τι τῶν κοινῶν διηγούμενον. Κἀμὲ γοῦν οὕτω πολλάκις ἐθήρασεν,

1. χ. καθαιλεῖν. 2. χ. κατήρτυε. 3. χ. ἀντίρρησεν. 4. χ. αἰώους. 5. χ. τείχει.

ἐπεὶ δὲ τεθάρρηκα ἅπαξ αὐτῷ τὸ ἀπόρρητον ἐξειπεῖν, ὁ δὲ κατηφής [1] τε ἐγεγόνει καὶ ὥσπερ ἐλεγχθεὶς ἠρυθρίασε· τῶν γὰρ ἐλέγχων οὐ μόνον τοὺς δημοσίους, ἀλλὰ καὶ τοὺς τεχνικοὺς, φρονήματος πλήρης ὤν, ἀπεστρέφετο.

Ἀμέλει τοι καὶ τὸν πατριάρχην Μιχαὴλ ἅπαξ πρὸς αὐτὸν παρρησιασάμενον καὶ θρασυτέρᾳ χρησάμενον [2] τῇ φωνῇ, τότε μὲν ἀφῆκεν ἐπισχὼν αὐτῷ τὸν θυμὸν, εἶτα δὴ ἀπόρρητον τῇ ψυχῇ κατ' αὐτοῦ περιελίξας ἐνθύμημα | ἀπροσδοκήτως τε ἀναρρήγνυσι, φ. 405.
καὶ ὡς οὐδέν τι καινοτομῶν ἐξάγει τε τῆς πόλεως καὶ ὅροις κολάζει περιγραπτοῖς, ἐφ' οἷς δὴ καὶ ἀπέθετο τὴν ζωήν. Ἀλλὰ τοῦτο μὲν ὅπως ἐπέπρακτο μακροῦ λόγου δεόμενον ἀναβάλλομαι νῦν· εἰ γάρ τις βούλοιτο ἀμφοῖν διαιτᾶν, τὸν μὲν τῆς ἀρχῆς καταιτιάσαιτο, τὸν δὲ τῆς τελευτῆς ἐπιμέμψαιτο [3] καὶ ἐπεὶ τοῦτον ὥσπερ ἐπωμάδιον ἄχθος ἀπεφορτίσατο. Ἀλλ' ὅ με μικροῦ διέλαθεν, εὐαγγελιά τις αὐτῷ τῆς ἐκείνου ἀποδημίας ἐξ ἀποστολῆς προσήνεγκε πόρρωθεν ἀπαλλάττων ὥσπερ τῶν εἰς τὸ μέλλον φροντίδων αὐτὸν, ὁ δὲ, ἐπειδή περ ἠκηκόει, ἀθρόον πλημμελὴς τὴν ψυχὴν ἀνωλόλυξεν, οὐκ εἰωθὼς τοῦτο ποιεῖν, καὶ πολλὰ ἐκεῖνον ἀπωλοφύρετο, καὶ μετεγνώκει τῆς περὶ αὐτὸν πράξεως, ἐξιλάσκετό τε πολλάκις τὴν ἐκείνου ψυχὴν, καὶ ὥσπερ ἀπολογούμενος, μᾶλλον δὲ ἐξευμενίζων, παρρησίαν τε εὐθὺς ἐδίδου τῷ ἐκείνου γένει καὶ τοῖς τοῦ βήματος συνηρίθμει, τῇ τε διαδοχῇ τῆς λειτουργίας τοῦτον τετίμηκεν, ἄνδρα προσενεγκὼν τῷ θεῷ καὶ κοσμήσας τῷ σχήματι, ὃν δὴ ὅ τε προλαβὼν βίος ἀνέγκλητον ἔδειξε καὶ ἀπαράμιλλον [4], καὶ τοῖς πρώτοις σοφοῖς ὁ λόγος ἐγνώρισεν.

1. χ. κατιφής. 2. χ. χρησάμενος. 3. χ. ἐπιπέμψαιτο. 4. χ. παράμιλλον.

Περὶ τῆς τοῦ πατριάρχου Κωνσταντίνου προχειρίσεως.

Οὗτος γὰρ δὴ ὁ περιώνυμος Κωνσταντῖνος, τὴν βασιλείαν πρότερον ἐκ κυμάτων καταστήσας πολλῶν καὶ πολλοῖς τῶν βασιλευόντων περιάρπακτος γεγονὼς, τέλος καὶ τὴν ἀρχιερωσύνην πιστεύεται, πάντων αὐτῷ παρακεχωρηκότων τοῦ πράγματος καὶ συγχωρησάντων τὸ κατὰ πάντων πρωτεῖον, καὶ κοσμεῖ ταύτην εἰς δύναμιν, πολιτικὸν καὶ γενναῖον φρόνημα ἱερατικῷ βίῳ κατακεράσας· τοῖς μὲν γὰρ ἄλλοις τοιοῦτόν τι ἡ ἀρετὴ λελόγισται, οἷον μήτε καιροῖς ὑπεῖξαι [1], μήτε οἰκονομῆσαι τὴν παρρησίαν, μήτε τῷ ἤθει [2] ἐπιχειρεῖν τοὺς αὐθαδεστέρους καταδουλοῦν· ὅθεν πάσης μὲν θαλάττης κατατολμῶντες, πᾶσι δὲ ἀντιβαίνοντες πνεύμασιν, οἱ μὲν αὐτῶν ἔδυσαν ἁρπασθέντες τοῖς κύμασιν, οἱ δὲ ἀπέστησαν [3] βιαιότερον· τῷ δὲ ἡ κράσις τοῦ βίου πρὸς πᾶσαν ἀκρίβειάν τε καὶ οἰκονομίαν ἐξήρκεσε, καὶ μετακεχείρισται τὸ πρᾶγμα οὐ ῥητορικῶς, ἀλλὰ φιλοσόφως· οὐ γὰρ τὰ μὲν στομύλλεται [4], τὰ δὲ ὑποκρίνεται, ἀλλὰ μιᾷ ποιότητι χρώματος [5] ἑκατέροιν τοῖν βίοιν [6] ἀρκεῖ. Κἂν μέν τις αὐτὸν πολιτικῶς ἐξετάσειεν, ἱερατικῷ σύροι κοσμούμενον ἀξιώματι, εἰ δ' ὡς [7] ἀρχιερεῖ προσίῃ, καὶ τὰ πολλὰ φοβοῖτο [8] καὶ ὑποφρίττοι, ταῖς πολιτικαῖς εὑρήσοι ἀποστίλβοντα χάρισι μετὰ τοῦ στιβαροῦ ἤθους καὶ τῆς μειδιώσης σεμνότητος· ἔνθεν τοι ἅπας μὲν αὐτὸν βίος τεθάρρηκεν, ἐκεῖ μὲν ὁ στρατιωτικὸς, ὁ πολιτικὸς, ἐνταῦθα δὲ τὸ μεγαλοπρεπὲς, τὸ εὐπρόσιτον. Τούτῳ γοῦν ἐγὼ καὶ πρὸ τῆς ἀρχιερωσύνης τὴν ἀρχιερωσύνην πολλάκις προείρηκα, τῷ βίῳ περὶ τοῦ μέλλοντος μαντευσάμενος, καὶ μετὰ τὴν ἱερατείαν μετὰ τοῦ καλλίστου ἐκείνου ἤθους ὁρῶ.

Τοιούτῳ τοιγαροῦν ἀνδρὶ τὸν ἀπεληλυθότα τιμήσας ὁ βασιλεὺς,

1. χ. ὑπῆξαι. 2. χ. τὸ ἦθη. 3. χ. ἀπόστησαν. 4. γρ. στωμύλλεται. 5. γρ. χρώμενος. 6. χ. βιοῖν. 7. χ. εἰδὼς. 8. χ. φοβήτω.

ἐπειδὴ τοὺς ἑῴους βαρβάρους τῶν ἐπιχειρημάτων ἀνεῖρξε, καὶ τοῦτο δὴ ἀπραγμονέστατον αὐτῷ ἐγεγόνει τὸ τμῆμα, πανστρατιᾷ ἐπὶ τοὺς ἑσπερίους χωρεῖ, οὓς Μυσοὺς μὲν ὁ πάλαι χρόνος ὠνόμαζεν, εἶτα δὲ εἰς ὂν [1] λέγονται μετωνομάσθησαν· νεμόμενοι δὲ ὁπόσα ὁ Ἴστρος πρὸς τὴν τῶν Ρωμαίων διορίζει ἡγεμονίαν, ἀθρόον τε ἐπανέστησαν [2] καὶ πρὸς τὴν ἡμεδαπὴν γῆν μετῳκίσθησαν· αἰτία δὲ αὐτοῖς τῆς ἐπαναστάσεως τὸ τῶν Γετῶν ἔθνος, ὁμοροῦντες μὲν ἐκείνοις, ληστεύοντες δὲ τούτους καὶ ληϊζόμενοι, καὶ πρὸς τὴν μετοικίαν ἐκβιαζόμενοι· διὰ ταῦτα ἀποκρυσταλλωθέντι ποτὲ τῷ Ἴστρῳ, ὥσπερ ἠπείρῳ χρησάμενοι, ἐκεῖθεν πρὸς ἡμᾶς μετανίστανται, ὅλον ἔθνος τοῖς ἡμετέροις ἐπιφορτισθέντες ὁρίοις καὶ οὐκ ἔχοντες οὐδ' ὅπως ἂν ἠρεμήσαιεν, οὐδ' ὅπως τοὺς οἷς προσήγγισαν μὴ ὀχλήσαιεν. Εἰσὶ δὲ καὶ μᾶλλον τῶν ἄλλων ἐθνῶν δύσμαχοί τε καὶ δυσπολέμητοι, οὔτε γενναῖοι τοῖς σώμασιν ὄντες, οὔτε τὴν ψυχὴν θαρραλέοι· ἀλλ' οὐδὲ θώρακας ἀμφιέννυνται, οὐδὲ κνημῖδας περίκεινται, οὐδὲ λόφων τισὶ τὰς κεφαλὰς κατασφαλίζονται· ἀσπὶς δὲ αὐτοῖς οὐδ' ἠτισοῦν ἐν χερσὶν, οὔτ' ἐπιμήκης [3] ὁποίας δή φασι τὰς Ἀργολικὰς, οὔτε περιφερὴς, ἀλλ' οὐδὲ ξίφη περιζώννυνται, δόρατα δὲ μόνον ἐναγκαλιζόμενοι, τοῦτο δὴ μόνον τὸ ὅπλον πρόβλημα ἔχουσιν. Οὐ διαιροῦνται δὲ κατὰ λόχους, οὐδέ τις αὐτοὺς ἐπιστήμη στρατηγικὴ προάγει εἰς πόλεμον, οὐδ' ἴσασι μετώπου τάξιν, οὐκ εὐώνυμον κέρας, οὐ δεξιὸν, ἀλλ' οὐδὲ χάρακας ἑαυτοῖς πήγνυνται, οὐδὲ τὴν πέριξ διορυχὴν ἴσασιν, ἀλλ' ὁμοῦ φύρδην συμπλακέντες ἀλλήλοις καὶ τῇ πρὸς τὸ ζῆν ἀπογνώσει ῥωσθέντες, μέγα τε ὀλολύζουσι καὶ οὕτω τοῖς ἀντιτεταγμένοις ἐμπίπτουσι· κἂν μὲν ἀπώσωσιν, οἷα πύργοι ἐπιρραγέντες αὐτοὺς ἀφειδῶς ἐπόμενοι κατασφάττουσιν, εἰ δὲ ἡ πολεμία φάλαγξ ἀντίσχῃ τὴν ἔφοδον καὶ οὐ ῥαγῇ ἐν ταῖς τῶν βαρβάρων ἐμπτώσεσιν ὁ συνασπισμὸς, οἱ δὲ αὐτίκα στραφέντες φυγῇ τὴν σωτηρίαν διώκουσι· φεύγουσι

1. γρ. δ. 2. χ. ἀπανέστησαν. 3. χ. ἐπιμήκις.

δὲ οὐ τεταγμένως, ἀλλ' ἄλλοις ἄλλος ἄλλοθι διασκεδασθέντες· ὁ μέν τις εἰς ποταμὸν ἑαυτὸν ὥσας ἢ ἀπενήξατο, ἢ κατέδυ ταῖς δίναις περιελιχθείς, ὁ δὲ εἰς ὕλην βαθεῖαν ἐμβεβηκὼς τοὺς τῶν διωκόντων ἐκπέφευγεν ὀφθαλμούς, καὶ ἄλλος ἄλλως· καὶ σύμπαντες ἅμα διασπαρέντες, εἶτ' αὖθις εἰς ταὐτὸ, ὁ μὲν ἐξ ὄρους, ὁ δὲ ἐκ φάραγγος, ὁ δέ τις ἐκ ποταμῶν, καὶ ἄλλος ἄλλοθεν ἀπροόπτως συνθέουσι. Δεῆσαν δὲ αὐτοῖς πιεῖν, εἰ μὲν ἐντύχοιεν ὕδασιν ἢ πηγαίοις ἢ ποταμίοις, λάπτουσιν αὐτίκα ἐπεισπεσόντες, εἰ δ' οὖν, τοῦ ἵππου ἕκαστος ἀποβὰς ἐξαιματοῦσι τούτους, σιδήρῳ τὰς φλέβας ἀναστομώσαντες, καὶ τὴν δίψαν οὕτως ἰῶνται, ὡς ὕδατι τῷ αἵματι χρώμενοι· εἶτα δὴ καὶ τὸν πιώτατον[1] τῶν ἵππων ἀνατεμόντες, καὶ τὴν εὑρημένην ἀνακαύσαντες ὕλην, αὐτοῦ που τὰ ἐντετμημένα τοῦ ἵππου μέλη βραχύ τι διαθερμάναντες μετὰ τοῦ λύθρου λαφύσσουσι, καὶ οὕτως ἑαυτοὺς ἀναλαβόντες ἐπὶ τὰς πρώτας ἵενται καλιάς· καὶ ἐμφωλεύουσιν ὥσπερ ὄφεις φάραγξι βαθείαις καὶ κρημνοῖς ἀποτόμοις, ὁπόσα τείχεσι χρώμενοι.

φ. 406. Τοῦτο τὸ γένος δεινοὶ[2] ξύμπαντες | καὶ τὰς γνώμας ὑποκαθήμενοι· οὔτε δὲ συνθῆκαι τούτους φιλίας ἐπέχουσιν, οὔτε κατὰ τῶν θυμάτων ὀμόσαντες τοῖς ὅρκοις ἐμμένουσιν, ἐπεὶ μηδέ τι θεῖον σεβάζονται, ἵνα μὴ λέγω θεὸν, ἀλλ' αὐτόματα τούτοις πάντα συνέστηκε, καὶ τὴν τελευτὴν πέρας συμπάσης ὑπάρξεως οἴονται· διὰ ταῦτα ῥᾷστά τε σπένδονται, καὶ πολεμεῖν δεῆσαν[3] εὐθὺς ἠθετήκασι τὰς σπονδάς· κἂν ἑλοῖεν[4] τῷ πολέμῳ, οἱ δὲ πάλιν δευτέρας ἐπικαλοῦνται[5] φιλίας, εἰ δὲ μαχόμενοι[6] ἕλωσι, τοὺς μὲν ἀναιροῦσι, τῶν δὲ λαμπρὰν πεποίηνται ἀγοράν, καὶ τιμῶσι πολλοῦ τοὺς εὐδαίμονας, ἢν δὲ μὴ ταῦτα λάβωσιν, ἀποκτείνουσι[7].

Τοῦτο δὴ τὸ γένος ἀπελάσαι τῶν Ρωμαϊκῶν ὅρων ἐπιχειρήσας ὁ βασιλεὺς Ἰσαάκιος, ἐπ' αὐτοὺς σὺν καρτερᾷ τῇ φάλαγγι ἴεται·

1. χ. πιότατον. 2. χ. δεινοῖ. 3. χ. δὲ ἦσαν. 4. ελης ἐν. 5. χ. ἐπικαλοῦν. 6. γρ. μαχομένους. 7. χ. ἀποκτένουσι.

καὶ διαιρεθεῖσι[1] μὲν καὶ ἑτερογνώμοσι γεγονόσιν οὐ πάνυ πιστεύει, ἐπὶ δὲ τὸ καρτερώτατον αὐτῶν μέρος καὶ δύσμαχον ὁμοῦ καὶ δυσανάλωτον ἄγει τὴν στρατιάν, καὶ δὴ πλησιάσας αὐτοῖς ἑαυτῷ τε καὶ τῷ στρατοπέδῳ κατέπληξε· πρὸς μὲν γὰρ τὸν οἷα δὴ κεραυνοφόρον ἀντωπεῖν οὐκ ἐτόλμων, τοῦ δὲ στρατοπέδου τὸν ἀρραγῆ συνασπισμὸν βλέποντες αὐτοὶ διελύοντο· ὅθεν καὶ κατὰ μέρη προσβάλλοντες καὶ ἐπωρυόμενοι ταῖς φωναῖς ἀρραγεστέροις αὐτοῖς ἐνετύγχανον· ὡς δὲ οὐκ εἶχον[2], οὔτε λοχήσαντες τούτους ἐλεῖν, οὔτε μὴν εἰς τοὐμφανὲς παρατάξασθαι, πόλεμον ἐς τρίτην αὐτοῖς ἀπαγγείλαντες, αὐθημερὸν τὰς σκηνὰς ἀφέντες καὶ ὁπόσοις οὐκ ἐξήρκει φυγεῖν γέρουσί τε καὶ βρέφεσιν, ἀνὰ τοὺς δυσβάτους τόπους διεσκεδάσθησαν. Ὡς δὲ κατὰ τὰ ξυγκείμενα ὁ μὲν βασιλεὺς συντεταγμένην ἔχων ἐξῆλθε τὴν φάλαγγα, τῶν δὲ βαρβάρων οὐδεὶς ἐωρᾶτο, ἔπεσθαι μὲν ἐκείνοις κατόπιν οὐκ ἐδοκίμασε, λόχους τε ἀφανεῖς δεδιὼς καὶ ὅτι πρότριτα προὔλαβον τὴν φυγήν, τὰς δὲ σκηνὰς αὐτοῖς κατασκάψας καὶ τὴν εὑρημένην λείαν ἀπαγαγὼν, τροπαιοφόρος ἐπάνεισιν. Οὐ δεξιᾷ δὲ τῇ ἐπαναζεύξει χρησάμενος, χειμῶνος ἀθρόον τῷ στρατοπέδῳ ἐξαφθέντος δεινοῦ, πολλοὺς μὲν ἀποβάλλει τῆς στρατιᾶς, ἐπάνεισι δ' οὖν ὅμως τῇ πόλει, στέμμασιν ἀριστείοις ἀναδεδεμένος τὴν κεφαλήν.

Ἐντεῦθεν, ὁπόσα ἐγὼ οἶδα ἀκριβέστερον τὴν ἐκείνου καταμανθάνων ψυχὴν, προσέθετο τῷ ἐμφύτῳ[3] ἤθει, καὶ σοβαρώτερος ἐγεγόνει, καταπεφρονήκει γοῦν ἁπάντων· τό τε γὰρ συγγενὲς ἐν ἴσῳ τοῖς ἄλλοις εἱστήκει, καὶ ὁ ἀδελφὸς, ἐπεὶ ταῖς πόρρω εἰσόδοις τῶν βασιλείων πλησιάσαιεν, ἀπέβαινε τοῦ[4] ἵππου εὐθὺς, προστεταγμένον αὐτῷ, καὶ οὐδέν τι τῶν ἄλλων σεμνότερον προσήει τῷ ἀδελφῷ· ὁ δὲ κάλλιστος ὢν τὸ ἦθος ὧν ἐγὼ οἶδα, ὁμαλῶς δέχεται τὴν μεταβολὴν καὶ οὐ δυσχεραίνει τὴν καινοτομίαν, ἀλλὰ καὶ καλοῦντι τῷ βασιλεῖ σὺν αἰδοῖ παρεγίγνετο, καὶ τὰ πολλὰ ὑπεχώ-

χ. διερεθεῖσι. 2. χ. ἔχων. 3. χ. ἐφύτῳ. 4. χ. ἀπεβαινέτου του.

ρει, καὶ παραδείγματα [1] τοῖς ἄλλοις τῆς ὁμοίας ἐγίγνετο μεταθέσεως.

Οὕτω μὲν οὖν τῷ βασιλεῖ τὸ ἦθος μετεσκεύαστο, καὶ ὁ δεύτερος ἐτελεύτα καιρός· ἄρχεται δὲ ὁ τρίτος ἐντεῦθεν· ἐπτόητο περὶ τὰ κυνηγέσια ὁ βασιλεὺς, καὶ ἦν εἴ πέρ τις ἄλλος ἐραστής τε τῶν ἐντεῦθεν δυσεφίκτων καὶ θηρατὴς ἀκριβής· ἱππάζετο γὰρ ἐλαφρῶς ἐποκλάζων [2] τε, καὶ ἐπιθωΰζων ἑπτέρου μὲν τὸν κύνα, ἐπεῖχε δὲ τῷ λαγῷ τὸν δρόμον, πολλάκις δὲ καὶ ἐκ χειρὸς ἦρει θέοντα, καὶ βάλλων οὐκ ἀπετύγχανε· περὶ δὲ τὴν τῶν γεράνων θήραν καὶ μᾶλλον ἐστρέφετο [3], καὶ τὸ γένος αἰθεροδρομούσας οὐκ ἀπεγίνωσκεν, ἀλλὰ καθῄρει τοῦ ὕψους, καὶ ἦν ὡς ἀληθῶς ἡδονὴ μιγνυμένη θαύματι· τὸ μὲν γὰρ θαῦμα ὅτι παμμέγεθες οὕτω ζῶον τοῖς ποσὶν οἷα δόρασι χρώμενον καὶ τοῖς νέφεσιν ἤδη κρυπτόμενον ὑπὸ βραχυτέρου ἠλίσκετο, τὴν δὲ ἡδονὴν ἡ πτῶσις ἐδίδου, ἔπιπτε γὰρ ἡ γέρανος ἐπορχουμένη τὸν θάνατον, καὶ νῦν μὲν τὰ πρανῆ, νῦν δὲ δεικνύουσα τὰ ὕπτια· ἀμφοτέρᾳ γοῦν τῇ θήρᾳ ὁ αὐτοκράτωρ τερπόμενος, ἵνα μὴ κολάζῃ τὰ συγκεκλεισμένα θηρώμενος, ἐπὶ τὰ ἐλεύθερα καὶ τῷ δρόμῳ καὶ τῷ πτερῷ ἀνέτως χρώμενος, δόξαν αὐτῷ ἐξελήλυθεν, καὶ βασίλειος τοῦτον καταγωγὴ αὐτοῦ που πρὸ τοῦ ἄστεως ὑποδέχεται, περίκυκλος τῇ θαλάσσῃ καὶ ἑκατέρου μέρους ἀνδρὶ αὐτάρκης θηρατικῷ, ἀλλ' οὐχὶ καὶ τῷ βασιλεῖ τούτῳ· ἑῷος γὰρ ἐπανατέλλων τῇ θήρᾳ εἰς ἑσπέραν βαθεῖαν κατήγετο. Πολλάκις δὲ τῇ βολῇ τῆς λόγχης ἐπὶ τὰς ἄρκτους καὶ τὰς ὗς χρώμενος καὶ συνεχῶς ἐπανατείνων τὴν δεξιὰν, ψυχρῷ πνεύματι βάλλεται τὴν πλευρὰν, καὶ τότε μὲν οὐ πάνυ κατάδηλος ἡ πληγὴ ἐγεγόνει, τῇ δὲ ἑφεξῆς ῥιγώσαντα πυρετὸς διαδέχεται.

1. γρ. παράδειγμά τε. 2. χ. ἐπικλάζων. 3. γρ. ἐτέρπετο.

Περὶ τῆς νόσου τοῦ βασιλέως.

Ἐγὼ δὲ τούτων οὐδὲν εἰδὼς, ἔξειμι πρὸς αὐτὸν ὀψόμενός τε καὶ χαριούμενος τούτῳ τὰ εἰωθότα· ὁ δέ με κλινοπετὴς κατασπάζεται· ὀλίγη τε αὐτῷ παρειστήκει δορυφορία, παρῆν δὲ καὶ τῶν Ἀσκληπιαδῶν ὁ κάλλιστος. Ἐπεὶ δὲ ἠσπάσατο καὶ ἱλαρῷ ἐθεάσατο βλέμματι, — « ἀλλ' εἰς καιρὸν[1], φησὶν, ἥκεις! καὶ εὐθὺς τὴν χεῖρα ἐδίδου, τὰς κινήσεις τοῦ σφυγμοῦ γνωματεύσαντος[2]· εἶδει γάρ με καὶ τὴν περὶ τοῦτο τέχνην ἀσκήσαντα. Κἀγὼ ξυμμαθὼν[3] ὅ τί ποτε τὸ νόσημα εἴη, οὐκ εὐθὺς ἐφθεγξάμην, ἀλλὰ πρὸς τὸν ἀσκληπιάδην ἐκεῖνον στραφείς,—σοὶ δὲ, ἔφην, ποδαπὸς οὗτος ὁ πυρετὸς ἔδοξεν; ὁ δὲ γεγονωτέρᾳ χρησάμενος τῇ φωνῇ, ἵνα καὶ ὁ βασιλεὺς ἀκούοι, — ἐφήμερος μέν φησιν, εἰ δὲ μὴ αὐθημερὸν λέλυται, θαυμάζειν οὐ χρή· ἔστι[4] γὰρ καὶ τοιοῦτον γένος, καὶ ψεύδεται τοὔνομα. — Ἀλλ' ἐγὼ ἔφην, οὐ πάνυ σου τῇ γνώμῃ ξυντίθεμαι[5]· ἡ γὰρ τῆς ἀρτηρίας κίνησις τριταίκὴν περίοδόν μοι μαντεύεται· ἀλλ' ἀληθεύειν μὲν τὸ σὸν Δωδωναῖον χαλκεῖον, ὁ δ' ἐμὸς τρίπους ψευδέσθω, ψεύσεται δὲ ἴσως ὅτι μοι πρὸς τὸ χρᾶν ἡ παρασκευὴ οὐκ αὐτάρκης. » Ἦκεν οὖν ἡ τρίτη τῶν ἡμερῶν, καὶ βραχύ τι παραδραμὼν τὴν περίοδον ὁ καιρὸς, τὸν μὲν ἀπεδείκνυ τεχνίτην, ἐμὲ δὲ διημαρτηκότα τοῦ ἀκριβοῦς· ἔνθεν τοι καὶ τροφή τις τῶν οὐ πάνυ ἀδρῶν[6] τῷ βασιλεῖ ἐσκευάζετο, ἀλλ' οὐκ ἔφθη προσιέμενος ταύτην, καὶ ἐκ τοῦ βάθους αὐτίκα ἐκκαίεται πυρετός. Τὸν μὲν οὖν Κάτωνά φασι | πυρέττοντα ἤ τινι ἄλλῳ κατεσχημένον νοσήματι, ἄστροφόν τε μέχρι παντὸς διαμένειν καὶ ἄτρεπτον ἕς τ' ἂν ἡ περίοδος λήξῃ καὶ ὁ καιρὸς αὐτῷ μεταβάλλῃ· ὁ δὲ ἐξ φ. 407.

1. χ. κορὸν. 2 γρ. γνωματεύσαντι. 3. χ. ξυμμαχὼν. 4. χ. ἔστη. 5. χ. ξυντίθεται. 6. χ. ἀνδρῶν.

ἐναντίας ἐκείνῳ διεποικίλλετο τῷ σώματι καὶ ἐστρέφετο, ἤσθμαινέ τε πυκνότερον καὶ οὐδ' ὅπως οὖν αὐτῷ ἀνακωχὴν ἡ φύσις ἐδίδου· ἐπεὶ δέ ποτε ἀνεθείη, τῆς ἐς τὰ βασίλεια ἐπανόδου ἐμέμνητο. Καὶ αὐτίκα τῆς βασιλείου ἐπιβὰς τριήρους ἐν Βλαχέρναις καταίρει, καὶ τῶν ἀνακτόρων ἐντὸς γεγονὼς ῥᾴων τε γίγνεται, καὶ ἐπιτρυφᾷ τῷ καιρῷ, γλωττηματικώτερον ὁμιλήσας καὶ τοῦ συνήθους πλέον χαριεντισάμενος, κατεῖχέ τε ἡμᾶς ἄχρις ἑσπέρας, ἀρχαῖά τε διηγούμενος καὶ ὁπόσα ὁ βασιλεὺς ἐκεῖνος Βασίλειος ὁ τοῦ Ρωμανοῦ παῖς ἐπικαίρως ἐφθέγξατο.

Ἐπεὶ δὲ ἔδυ ὁ ἥλιος, ἡμᾶς μὲν ἀφίησιν, αὐτὸς δὲ πρὸς ὕπνον ἐτράπετο· κἀγὼ ἀπεληλύθειν τεθαρρηκὼς καὶ γλυκείαις ἐπὶ τῷ βασιλεῖ ἐλπίσι τρεφόμενος· πρωϊαίτερον δὲ αὖθις ἐκεῖσε παραγενόμενον ἐπτόησέ τις αὐτίκα πρὸ θυρῶν, νύττεσθαι μὲν φήσας τῷ βασιλεῖ τὴν πλευράν, αὐτὸν δὲ πνευστιᾷν[1] καὶ οὐ πάνυ τι γενναίως ἀναφέρειν τὸ ἆσθμα· ἐπάγην ἀκούσας, καὶ τὸ δωμάτιον οὗ ἐκειτο ἀψοφητὶ εἰσιὼν, ἐπιστυγνάσας αὐτίκα ἠρέμα εἱστήκειν· ὁ δέ μου τοῖς ὀφθαλμοῖς ὥσπερ πυθόμενος, εἰ μὴ παντάπασιν ἔχοι πονήρως καὶ ἀποβιώσκει, τὴν χεῖρα αὐτίκα ὑπέτεινε· πρὶν ἢ δέ με τοὺς δακτύλους ἐπιβαλεῖν τῷ καρπῷ, ὁ πρῶτος τῶν ἰατρῶν, οὐδὲν δὲ δεῖ λέγειν τοὔνομα, — « ἀλλὰ μηδὲ γνωμάτευε τὴν ἀρτηρίαν, φησί· κατείληπται γάρ μοι ἤδη ἡ κίνησις, καὶ κατὰ μῆκος τοῦ συνεχοῦς διακέκοπται, καὶ τὸ μὲν αὐτῆς πλήττει τὸν δάκτυλον, τὸ δὲ ὑπείκει, καὶ ὅπερ ἐστὶν ἡ πρώτη τῇ τρίτῃ κινήσει, τοῦτο ἡ δευτέρα τῇ τετάρτῃ, καὶ ἐφεξῆς οὕτως, ὥσπερ ὅσον[2] τῶν τεμνόντων σιδήρων ἐς ὀδόντας διῄρηνται. » Ἐγὼ γοῦν ὀλίγα τοῦ ἀνδρὸς φροντίσας, κατὰ πᾶσάν τε διάστασιν διηρευνησάμην τὴν κίνησιν, καὶ πρίονα μὲν τὸν σφυγμὸν οὐκ ἐγνώκειν, ἀμυδρότερον δὲ ἀναφέροντα καὶ ἐοικότα οὐ παρέτῳ ποδὶ, ἀλλὰ δεσμώτῃ καὶ βιαζομένῳ τὴν κίνησιν· ἦν δὲ ὁ καιρὸς ἐκεῖνος τὸ ἀκμαιότατον τοῦ διοχλοῦντος

1. χ. πὲν στιὰν. 2. γρ. ὅσοι.

ἐκεῖνον νοσήματος· ἠπάτησε γοῦν τοὺς πολλοὺς, καὶ ἠμφισβήτησάν γε μικροῦ δεῖν ξύμπαντες περὶ τῆς ἐκείνου ζωῆς.

Θόρυβος οὖν ἐντεῦθεν καταλαμβάνει τὰ βασίλεια, καὶ ἥ τε βασιλὶς, θαυμάσιόν τι χρῆμα γυναικῶν αὕτη καὶ εὐγενείας τὰ πρῶτα καὶ οὐδενὶ παραχωροῦσα τῆς μείζονος ἀρετῆς, ἥ τε τοῦν βασιλέοιν θυγάτηρ, ὡραία δὲ καὶ αὕτη κατ' ἄμφω καὶ πρὸ ὥρας ἐκτετμημένη, ἀλλὰ καὶ μετὰ τὴν τομὴν ἠλεκτρώδης τε ὁμοῦ καὶ πυρσὴ καὶ τῷ σχήματι ἄμφω κατασεμνύνουσα, ἄμφω τε οὖν, καὶ ὁ τοῦ αὐτοκράτορος ἀδελφὸς, πρὸς δὲ καὶ ὁ ἀνεψιὸς, τὴν τοῦ αὐτοκράτορος κλίνην περικυκλώσαντες, ἐξόδια τούτῳ ἐδίδοσαν ῥήματα καὶ ἐξιτήρια κατέρρεον δάκρυα, καὶ προέπεμπον αὐτίκα ἐπὶ τὰ μείζω βασίλεια, ἵν' ἐκεῖσε γενόμενος βουλεύσαιτό τι τῶν δεόντων, καὶ μὴ τὸ γένος ἀφήσει συνδυστυχήσαντας ἐκείνῳ τὴν εὐδαίμονα τῆς βασιλείας ζωήν. Ὁ μὲν οὖν συνεσκευάζετο ὡς ἐκεῖσε ἀφιξόμενος· παρεγένετο δὲ τούτῳ οὐ πρὸ καιροῦ καὶ ὁ τῆς θεοῦ Σοφίας ἀρχιερεὺς, σύμβουλος[1] ἐπὶ τὰ κρείττω γιγνόμενος καὶ πᾶσι λόγοις τοῦτον ἐπιρωννύς.

Ὡς δ' οὖν κἀκείνῳ ἡ μετάθεσις ἤρεσεν, οὐ κατέβαλε τὸ γενναῖον ἐνταῦθα ὁ βασιλεὺς, οὐδ' ἐξήει τοῦ δωματίου χειραγωγούμενος, ἀλλ' οἷος ἐκεῖνος ὑψικόμῳ ἐοικὼς κυπαρίττῳ ὥσπέρ τισι πνεύμασι διατινασσόμενος, κατακεκλόνητο μὲν προϊὼν, προῄει δὲ ἀκρατὴς ταῖν χεροῖν καὶ ἀρκῶν ἑαυτῷ· οὕτω τε οὖν καὶ τοῦ ἵππου ἐπιβεβήκει, τῷ δὲ πλῷ οὐκ οἶδ' ὅπως ἐχρήσατο. Ἐγὼ γὰρ διὰ τῆς ἑτέρας ὁδοῦ προλαβεῖν ἔσπευσα· οὐ τοῦ σκοποῦ δὲ ἔτυχον, ἀλλ' ἐπικαταλαμβάνω τοῦτον ἀτεχνῶς διακυμανθέντα καὶ τοῖς ὅλοις ἐξαπορούμενον· περιεκάθητο δέ γε τοῦτον τὸ γένος ἀνολοφυρόμενοι ξύμπαντες, καὶ συνεκπνεύσαντες ἐκείνῳ εἴ γε δύναιντο· κατῆρχε δὲ τῶν θρήνων[2] ἡ βασιλὶς, καὶ ἡ θυγάτηρ ἀντωλοφύρετο γοερότερον ἀντεπικλαίουσα τῇ μητρί. Καὶ τὸ μὲν περὶ αὐτῶν ἐν τούτοις· ὁ δέ γε

1. χ. σύμβολος. 2. χ. θρηνῶν.

βασιλεὺς τῆς πρὸς τὴν κρείττονα ζωὴν ἐμέμνητο μεταθέσεως, καὶ τὸν μετασχηματισμὸν ἐζήτει τοῦ βίου· ἡ δέ γε βασιλὶς ἀγνοοῦσα ὅτι ἔμφυτον αὐτῷ τὸ βούλημα, ἡμᾶς πάντας μᾶλλον ἢ ἐκεῖνον κατητιᾶτο τοῦ σκέμματος· ὡς δ' οὖν κἀμὲ τεθέαται, — « ὀναίμεθά σου, φησὶ, ὁπόσα βούλει τῆς συμβουλῆς, ὦ φιλόσοφε! ὡς καλὰς δὲ ἡμῖν ἀποδίδως τὰς ἀμοιβὰς, μεταθεῖναι σκεψάμενος εἰς τὸν μοναδικὸν βίον τὸν αὐτοκράτορα! » Ἐγὼ δὲ ἀπωμνύμην [1] αὐτίκα μὴ τοιοῦτον ἂν θυμηθῆναί ποτε, ἀλλὰ καὶ τοῦ κειμένου ἐπυνθανόμην ὁ [2] πόθος αὐτῷ ἐγεγόνει τὸ βούλευμα· ὁ δὲ — « ἀλλ' αὕτη φησὶν (οὕτω γὰρ εἰρήκει) στέργουσα τὸν γυναίκιον τρόπον, ἡμᾶς ἐπέχει τε βουλευομένους τὰ κρείττονα, καὶ πᾶσι μᾶλλον ἢ ἐμοὶ τὴν γνώμην καταιτιᾶται! — ναὶ, φησὶ, καὶ ἀναδέχομαι τῷ ἐμῷ τραχήλῳ ὁπόσα σοι διημάρτηται, κἂν μὲν ἀνασταίης, ἔχω δὲ [3] τὸ ζητούμενον καὶ ποθούμενον, εἰ δ' οὖν, ἀλλ' ἐγώ σε ἀπολογήσομαι τῷ δικαστῇ καὶ θεῷ ὧν διημαρτήκεις αὐτός· καὶ σοὶ μὲν τὰ πεπραγμένα ἀνέγκλητα εἴη, ἐμὲ [δὲ] ὑπὲρ σοῦ ἡδέως ἂν καὶ σκώληκες διασπάσαιντο [4], καὶ σκότος τε ἐπικαλύψοι βαθὺ, καὶ πῦρ ἐξώτερον διαφλέξοι [5]! εἶτα δὴ οὐκ οἰκτείρεις τῆς ἐρημίας ἡμᾶς; ποδαπὴν δὲ καὶ ψυχὴν ἔχων σαυτὸν μὲν ὑπεξάγεις τῶν βασιλείων, ἐμοὶ δὲ δυσφορωτάτην ἐγκαταλιμπάνεις χηρίαν [6], ὀρφανίαν τε βαρυτάτην τῇ θυγατρί! καὶ οὐδ' ἀρκέσει ταῦτα ἡμῖν, ἀλλὰ δεινότερα διαδέξεται, καὶ μετακομίσουσιν ἡμᾶς χεῖρες, ἴσως οὐδὲ φιλάνθρωποι [7], εἰς ὑπερορίας μακρὰς, τυχὸν δὲ καὶ διαιρήσουσι τὸ βαρύτερον, καὶ ὄψεταί σου τὰ φίλτατα αἱμάτων [8] ἀνὴρ καὶ ἐλεεῖν μὴ εἰδὼς· καὶ σὺ μὲν ἐπι-
φ. 408. βιώσεις τῷ μετασχηματισμῷ, ἢ ἀποβιώσεις | ἐν καλῷ ἴσως, ἡμῖν δὲ πικροτέρα τοῦ θανάτου διαμενεῖ ἡ ζωή! »

Ταῦτα μὲν οὖν ἡ βασιλὶς, ἀλλ' οὐκ ἔπειθε λέγουσα· ἐπεὶ δὲ ταύτης ἀπεγνώκει τῆς συμβουλῆς, — « ἀλλ' ἡμῖν γε, φησὶ, διάδο-

1. ἀπὸ μνήμην. 2. γρ. εἰ. 3. γρ. δὴ. 4. χ. διασπάσετο. 5. χ. διαφλέξεις. 6. χ. χωρίαν. 7. χ. φιλάνθρωπον. 8. γρ. αἱμάτων.

χον τῆς βασιλείας τὸν εὐνοϊκώτατόν σοι καὶ εὐμενέστατον ποίησον, ὅπως ἂν καὶ σοὶ τὸ ἀξίωμα συντηρήσειε ζήσαντι, κἀμοί γε ὁπόσα παῖς χρηματίσοι[1]. » Ἀνερρώσθη γοῦν ἐπὶ τούτοις ὁ βασιλεὺς, καὶ ὁ Δοὺξ Κωνσταντῖνος εὐθὺς ἐκείνῳ μετάπεμπτος γίνεται, ἀνὴρ περιφανὴς μὲν καὶ τὰς πρώτας τοῦ γένους ἔχων ἀρχάς· εἰς γὰρ τοὺς Δούκας ἐκείνους τὸ γένος ἀνέφερε, τοὺς Ἀνδρονίκους φημὶ καὶ τοὺς Κωνσταντίνους, ὧν πολὺς λόγος ἐν τοῖς τῶν ἱστορησάντων γράμμασι τῆς τε κατὰ γνώμην ἀκριβείας καὶ τῆς κατὰ χεῖρα[2] γενναιότητος, οὐδὲν δὲ ἧττον καὶ ταῖς μετ' ἐκείνους διαδοχαῖς ἐσεμνύνετο· ἀλλὰ ταῦτα μὲν ἐκείνῳ[3] εἰς φιλοτιμίαν ἀρκεῖ, ὁ δὲ περὶ αὐτοῦ λέγειν προθέμενος Ἀχιλλέα τοῦτον οὐκ ἀπεικότως ἐρεῖ· ὥσπερ γὰρ τῷ ἥρωϊ τούτῳ μεγάλη[4] μὲν ἡ ἀρχὴ τοῦ γένους, Αἰακὸς[5] γὰρ ὁ πάππος, ὃν ἐκ Διὸς οἱ μῦθοι γεννῶσι, καὶ Πηλεὺς δὲ ὁ πατὴρ ὢν[6] οἱ τῶν Ἑλλήνων λόγοι ἐξαίροντες τῇ Θέτιδι, θεὰ δὲ αὕτη θαλαττία, συγκατευναζουσιν[7], ἀλλ' ὑπὲρ τὰς τῶν πατέρων δόξας ἀποχρῶντα τὰ οἰκεῖα[8] πεφύκασιν ἔργα, καὶ οὐ μᾶλλον ὁ Ἀχιλλεὺς παρὰ τῶν γεννησαμένων τετίμηται, ἀλλ' ἐκεῖνοι παρὰ τοῦ παιδὸς τὸ σεμνὸν ἀποφέρονται, οὕτω δὴ καὶ τῷ Δουκὶ Κωνσταντίνῳ, ὃν ἤδη πρὸς τὴν βασίλειον ἀρχὴν προβιβάζειν ὁ λόγος βούλεται, λαμπρὰ μὲν καὶ τὰ παρὰ τοῦ ἄνω γένους, λαμπρότερα δὲ καὶ τὰ παρὰ τῆς ἰδίας φύσεώς τε καὶ προαιρέσεως.

Ἀλλ' ὁ μὲν περὶ τῆς βασιλείας λόγος ἀναμενάτω· τὸν δέ γε ἰδιώτην βίον οὗτος ἔτι τελῶν, τὸ μὲν ὅσον εἰς ἀρχικὴν γνώμην καὶ γένους λαμπρότητα καὶ τοῖς κρείττοσι τῶν βασιλέων ἀντήριζε, τὸ δ' ὅπως ἂν εὐλαβῶς βιῴη καὶ μήτε γείτοσι φορτικὸς ὀφθείη ποτὲ, μήτε τινὸς καθυπερηφανεύσοιτο, τοῖς τε βασιλεύσασι προχειρότατος εἰς ὑπακοὴν φαίνοιτο, ὑπὲρ τ' ἄλλα πάντα ἐπραγματεύετο, καὶ ἵνα μηδὲ κατὰ τὴν οἰκείαν αὐγὴν νομίζοιτο, ὥσπερ τις ἥλιος

1. χ. χρηματίσεις. 2. χ. χεῖραν. 3. χ. ἐκείνο. 4. χ. μεγάλω. 5. χ. Ἑακὼς. 6. χ. ὤν. 7. χ. συνκατευναζουσιν. 8. χ. οἰκτὰ.

νέφος ἑαυτοῦ προεβάλλετο· λέγω δὲ ταῦτα οὐχ ἑτέρων ἀκηκοὼς, ἀλλ' αὐτὸς περὶ πάντων αἰσθήσεσιν αὐταῖς καὶ γνώμαις ἀκριβωσάμενος· ὁ μὲν γὰρ σεμνυνέσθω πολλοῖς καὶ καλοῖς κατορθώμασι, ἐμοὶ δὲ ἓν τοῦτο ἀντὶ πάντων ἀρκεῖ, ὅτι τοιοῦτος ὁ θαυμάσιος οὗτος ἀνὴρ καὶ ὢν καὶ δοκῶν, τῶν μὲν ἄλλων ἧττον[1] ἐφρόντιζε, ἐμοὶ δὲ, εἴτέ τι καθεωρακὼς ἐν ταῖς γνώμαις τῶν γε λοιπῶν πλέον, εἰ σύνεσιν, εἴτε τῷ ἤθει μου ἀρεσκόμενος, οὕτω προσέκειτο καὶ οὕτω διαφερόντως τῶν ἄλλων ὑπερηγάπα, ὡς ἐξηρτῆσθαί μου καὶ τῆς γλώττης καὶ τῆς ψυχῆς, καὶ αὐτῷ δή μοι πιστεύειν τὰ τιμιώτατα. Ἐβούλετο μὲν οὖν κεκρύφθαι ἐφ' ἑαυτοῦ, καὶ τῶν ὑπερηφάνων δεινῶς κατεφρόνει ἀρχῶν, ἀτημελέστερόν τε ἠμφίεστο καὶ ἀγροικότερον[2] διεσκεύαστο, ἀλλ' ὥσπερ αἱ καλαὶ τὴν ὥραν ὅσῳ μᾶλλον ἐκ τοῦ τυχόντος κόσμου προφαίνονται, τοσοῦτον ἐν τῷ προβεβλημένῳ νέφει[3] τηλεφανέστερον διαυγάζουσι, καὶ ἔστιν αὐταῖς ὁ ἀμελὴς κόσμος καλλωπισμὸς ἀκριβέστατος, οὕτω δὴ κἀκεῖνον οὐκ ἔκρυπτε μᾶλλον τὰ ἀφανῆ περιβλήματα ταῦτα ἢ λαμπρότερον ἀπεδείκνυε. Πᾶσαι γοῦν ἐπ' αὐτὸν ἐπέπτοντο[4] γλῶσσαι καὶ εἰς βασιλείαν παρέπεμπον, αἱ μὲν ὥσπερ χρησμολογοῦσαι τὴν πρόρρησιν, αἱ δὲ τὸ εἰκὸς ἐκείνῳ λέγουσαί τε καὶ σώζουσαι· ἐδεδίει γοῦν οὗτος οὐ τοὺς ἀπεχθανομένους αὐτῷ, ἀλλὰ τοὺς προτεθειμένους, καὶ πᾶσαν μὲν αὐτοῖς πρὸς αὐτὸν φέρουσαν ὁδὸν ἀπέφραττεν, οἱ δὲ μαχιμώτατοί τε ἦσαν ἢ τολμητίαι καὶ τῶν ἐμποδίων κατατολμῶντες.

Τοσοῦτον δὲ αὐτῷ τὸ περιὸν τῆς εὐλαβείας τε καὶ συνέσεως, ὥστε ὁπηνίκα κρίσις ἐγεγόνει τοῦ τῶν στρατιωτῶν καταλόγου, καὶ τῶν ἄλλων ὁ Κομνηνὸς προτετίμητο, αὐτὸς δὲ οὗτος ὁ ἐπὶ τῷ κράτει κριθεὶς, ἐκείνῳ τῆς ἡγεμονίας παρεχώρει μετὰ τὴν κρίσιν, ἀλλ' ἀπεωθεῖτο καὶ γνώμῃ καὶ χειρὶ, οὕτω[5] δὴ καὶ τοιαύτην κρί-

1. χ. ἥττων. 2. χ. ἀγροικώτερον. 3. χ. προβεβλημένων ἔφη. 4. χ. ἐπέπωντο. 5. γρ. οὔπω..

σιν προσγενομένην αὐτῷ, καὶ οὐδ' ἂν ὅλως οἱ τηνικαῦτα συνελη-λυθότες ὡμογνωμονήκεσαν εἰς τὸ ἔργον, εἰ μὴ μέσον οὗτος παρεν-τιθεὶς τῷ καθ' ἑαυτὸν ἀξιώματι ξυνεδέσμει τὴν βουλήν· καὶ τὸ ξύμπαν δὲ στράτευμα ἐπὶ δυοῖν ὥσπερ ἀγκύραιν ὥρμει, μείζονι καὶ ἐλάττονι, ἢ μᾶλλον ἐλάττονί τε καὶ μείζονι· εἰ γὰρ ὁ μὲν Ἰσαάκιος βασιλεὺς προκεχείριστο, τούτῳ δὲ ἡ[1] τοῦ Καίσαρος ἐλάττων τιμὴ κατεπήγγελτο, ἀλλὰ τὸ ὑπερέχον αὐτῷ τοῦ γένους καὶ τὸ ἐρασμιώτατον ἰδίωμα τῆς ψυχῆς εἰς εὔνοιαν ἀφείλκετο τοὺς πολλούς· καὶ ἵνα τις ἐπὶ πλέον τὸν ἄνδρα θαυμάσειεν, ἐπειδή περ εἰς βασιλείαν ἡ τυραννὶς ἔληξε, καὶ ὁ Ἰσαάκιος ἐπὶ τοῦ θρόνου κα-θῆστο, ὁ δὲ ἐξίσταται τούτῳ καὶ τῆς δευτέρας τιμῆς, δέον καὶ τῆς πρώτης ἀμφισβητεῖν· τοσοῦτον τὸ εἰς ἦθος ἀσύγκριτον τοῦ ἀνδρός· ἐγὼ δὲ τοῦτο τοῖς γενομένοις προστίθημι, ὅτι θεῖον ἄρα ἦν καὶ τὸ μὴ τότε[2] γενόμενον καὶ τὸ νῦν γεγονὸς, ἵνα μὴ ἐκ τυραννικῶν προθύρων, ἀλλ'·ἐξ ἐννόμων ἀδύτων εἰς τὴν τῆς βασιλείας ἀναχθείη περιωπήν.

Περὶ τῆς εἰσελεύσεως τοῦ Δουκὸς εἰς τὸν Κομνηνὸν καὶ προχειρίσεως, καὶ περὶ τῆς τῶν συγγενῶν ἀξιώσεως.

Ὡς δ' οὖν τηνικαῦτα μετεκέκλητο τὰς ἐσχάτας ὡς ἐδόκει ἀνα-πνοὰς τῷ Κομνηνῷ ἀναπνέοντι, οὗτος δὲ ἐρυθριάσας καὶ ὑποπλη-σθεὶς τὰ ὄμματα τῆς συνήθους αἰδοῦς, εἱστήκει κατὰ τὸ εἰωθὸς πε-ριστείλας τὼ χεῖρε· ὁ δὲ ἀκριβέστερον συλλέξας τὸν νοῦν, — « τῶν περιεστηκότων, ἔφησε, τουτωνὶ (δείξας τὸ[3] συγγενὲς χειρὶ), ὁ μὲν ἀδελφὸς, ὁ δὲ ἀνεψιὸς, καὶ τούτων δὴ τῶν φιλτάτων ἡ μὲν ὁμό-λεκτρος καὶ βασίλισσα, ἡ δὲ θυγάτηρ μονογενὴς οὕτως εἰπεῖν, ἀλλά σε ὁ ἐμὸς τρόπος μᾶλλον αὐτῶν οἰκειοῦται, καὶ ἡ σὴ γνώμη τὴν φύσιν νικᾷ, καί σοι τὴν βασιλείαν καὶ αὐτὰ δὴ τὰ φίλτατα πι-

1. χ. ὁ. 2. χ. τό γε. 3. χ. τῶ.

στεύω, οὐδὲ τούτων ἀκόντων, ἀλλὰ καὶ πάνυ βεβουλευμένων· τὸ δὲ καινὸν τουτὶ πρᾶγμα οὐ τήμερον ἤρξατο, οὐδὲ ἡ περίστασις τοῦ νοσήματος εἰς τοῦτό με συνηνάγκασεν, ἀλλὰ καὶ εἰς βασιλείαν κριθεὶς, αὐτόν σε καλλίονα ὑπελάμβανον, καὶ προσήκοντα μᾶλλον τῷ σχήματι, καὶ μετὰ ταῦτα δὲ τοῖς ἄλλοις σε κατὰ μέρος συγ-
φ. 109. κρίνων ἁπάσαις ψήφοις τῶν πάντων ἐτίθουν βασιλικώτερον· | τὸ μὲν οὖν ἐμὸν ὅπη κατέληξε καὶ εἰς βραχείας ἀναπνοὰς ἡ ζωὴ περιείληπται, τὸ δ' ἐντεῦθεν σύ τε μεταχειριεῖς τὸ κράτος καὶ τὰ τῆς ἀρχῆς θήσεις καλῶς, ἄνωθεν μὲν κεκριμένος εἰς τοῦτο, νῦν δὲ τὴν ἡγεμονίαν παρειληφώς· τὴν δέ γε γυναῖκα καὶ τὸ θυγάτριον, τόν τε ἀδελφὸν καὶ τὸν ἀνεψιὸν, τὰς μὲν ἀνέπαφόν σοι παρακαταθήκην πιστεύω, τῶν[1] δὲ ἐγκελεύομαι φροντίζειν καὶ ἐπιμελεῖσθαι. »

Ἐπὶ τούτοις αἴρεται κρότος δάκρυσι σύμμικτος, καὶ τὸ περιεστηκὸς ἐπευφήμησε, καὶ ὁ πρὸς τὴν βασιλείαν κριθεὶς ὥσπερ ἐν ἱεροῖς τελούμενος καὶ μυσταγωγούμενος τὰ θαυμάσια σὺν αἰδοῖ καὶ κόσμῳ παρειστήκει τῷ αὐτοκράτορι. Τὰ μὲν οὖν τοῦ κράτους τῷ ἀνδρὶ προοίμια τοιαῦτα, τὰ δέ γε μετὰ ταῦτα οὐχ ἁπλῆν ἔχει τοῦ λόγου τὴν πρόοδον, ἀλλὰ τὰ μὲν αὐτῷ εὐθύτατα συμβεβήκοι, τὰ δὲ πλάγια ἢ ἀντίρροπα. Εἰ δέ τι τούτῳ καὶ παρ' ἡμῶν ἐγεγόνει, ἐγὼ μὲν οὐδὲν ἂν εἴποιμι, μὴ γὰρ τοσοῦτον καυχήσαιμι, αὐτὸς δ' ἂν εἰδείη ὁ βασιλεὺς, ὡς πρὸς μὲν τὸ ἀντίρροπον ἀντίρροπος ἦν, συνεπικούρουν δὲ φερομένοις τοῖς πράγμασι κατ' ὀρθὸν, καὶ τοσοῦτόν μοι τὸ περιὸν τῆς εἰς τὸν ἄνδρα προθυμίας καὶ διαθέσεως, ὅτι τῶν πραγμάτων ἤδη κυμαινόντων αὐτῷ, αὐτὸς τῶν οἰάκων ἐπιλαβόμενος, καὶ τὰ μὲν ἐνδιδοὺς, τὰ δὲ ἀντιτείνων, ἀκριβῶς τοῦτον εἰς τοὺς βασιλείους λιμένας κατήνεγκα. Ὁποῖον δὲ αὐτῷ καὶ τὸ κράτος καὶ ὁ τῶν πράξεων χαρακτὴρ, τίνας τε γνώμας συνεισενέγκατο τῇ ἀρχῇ, καὶ οἵας ἀρχὰς τεθεικὼς ἐφ' οἷα τέλη διέδραμεν, οἷός τε αὐτῷ ὁ σκοπὸς τῆς ἡγεμονίας, καὶ τίνα μὲν κατώρθωσεν ἀκριβῶς,

1. χ. τὸν.

τίνα δὲ αὐτὸς πρῶτος ἐφεῦρε, καὶ τίνα μὲν αὐτῷ θαύματος ἄξια, τίνα δὲ οὐ τοιαῦτα, καὶ ὅπως μὲν τὰ πολιτικὰ μετεχειρίσατο πράγματα, ὅπως δὲ τῷ στρατῷ προσηνέχθη καὶ τὰ ἄλλα ἔνθεν ἐλὼν διηγήσομαι.

Βασιλεὺς Ρωμαίων Κωνσταντῖνος ὁ Δούκας κρατήσας τῆς βασιλείας ἔτη ἑπτά.

Περὶ τούτου τοῦ αὐτοκράτορος συντεμὼν τὸν λόγον ὅσα εἰκὸς καὶ τὸ σύνηθες τῇ συγγραφῇ μέτρον ἀποδιδοὺς, ἀκριβέστερον ὕστερον ἐρῶ καὶ ἑρμηνεύσω ὁποῖον μὲν αὐτῷ τὸ γένος, ὁποῖον δὲ τοῦ οἴκου τὸ σχῆμα, οἷον δὲ καὶ τὸ ἦθος, καὶ τίνων μὲν ἦρα, τίνων δὲ ἀπείχετο καὶ πρὸ τῆς ἀρχῆς καὶ μετὰ τὴν ἀρχήν· περὶ τίνος γὰρ ἄλλου τῶν βασιλέων μακρότερον διηγήσομαι, ὃν καὶ ἰδιώτην ὄντα ἐπῄνεσα, καὶ βασιλέα γεγονότα ἐθαύμασα, καὶ οὗ μηδὲ βραχύ τι ἀπολελείμμην, ἀλλὰ περὶ αὐτὸν ὑπὲρ τοὺς ἄλλους εἱστήκειν, ὁπότε βασιλικοῦ προκαθέζοιτο βήματος, καὶ συνῆν ἐπὶ λόγοις καὶ τῆς αὐτῆς ἐκοινώνουν τραπέζης, καὶ ἀδιηγήτων χαρίτων ἀπέλαβόν; Οὗτος τοιγαροῦν ὁ θειότατος βασιλεὺς ἅμα τῷ τῆς ἀρχῆς ἐπιβῆναι, πρῶτον τίθεται σπούδασμα ἰσότητα καὶ εὐνομίαν κατασκευᾶσαι τοῖς πράγμασι, καὶ πλεονεξίαν μὲν ἀνελεῖν, μετριότητα δὲ καὶ δικαιοσύνην εἰσενεγκεῖν· φύσεως δὲ τυχὼν πρὸς πᾶν ὁτιοῦν δεξιᾶς, πᾶσιν ἐπεφύκει βασιλικοῖς πράγμασιν· εἴτε γὰρ δικιτῶν δίκαις, οὐκ ἀσύνετος ἦν τῶν πολιτικῶν ὑποθέσεων, ἀλλὰ καὶ λίαν εὐβουλώτατος· φιλοσοφίας δὲ καὶ ῥητορείας οὐ πάνυ μετέχων, κατ' οὐδὲν τῶν φιλοσόφων καὶ ῥητόρων ἀπελιμπάνετο, ὁπηνίκα ἢ λόγους ἀπαγγέλλοι ἢ δημηγορεῖν, ἢ αὐτοσχεδιάζοι γραφήν, εἴτε δὲ περὶ στρατιωτικοὺς καταλόγους ἐσπούδαζε[1], κατὰ δὲ τοῦτο τὸ μέρος πάντων ἐπρώτευε.

1. χ. ἐσπούδαξε.

Τὴν δὲ βασιλείαν ἐν στενῷ ἀπειλημμένην ὁρῶν, πάντων αὐτῇ τῶν χρημάτων ἐξαντληθέντων, χρηματιστὴς ταύτῃ μέσος ἐγένετο, οὔτε ἀπειροκάλως τοῖς ἀναλώμασι χρώμενος, οὔτε θερίζων, ἵν' οὕτως ἐρῶ, ὅσα μὴ αὐτὸς ἔσπειρεν, ἢ συνάγων ὅσα μὴ διεσκόρπισεν, ἀλλ' αὐτὸς πρότερον ἀφορμὰς καταβάλλων οὕτως τῶν οἰκείων πόνων ἀπέλαβεν· ὅθεν οὐ πλήρεις μέν, οὐδ' ἐπιχειλεῖς, ἡμιδεεῖς δὲ τοὺς βασιλείους θησαυροὺς ἐποιήσατο. Εὐσεβέστατος δὲ εἴπερ τις ἄλλος βασιλέων γενόμενος, κἂν τούτῳ τῷ μέρει πάντας ὑπερβαλλόμενος, πολέμους τε πολλάκις ἀπραγματεύτους κατώρθωσε καὶ ἀριστείοις[1] στεφάνοις τὴν κεφαλὴν ἀνεδήσατο. Ἑπτὰ δὲ ἔτη καὶ μικρόν τι πρὸς διαχειρισάμενος τὴν ἀρχὴν, νόσῳ δαπανηθεὶς ἐτετελευτήκει, ἀγῶνα μέγαν καταλιπὼν τοῖς ἐπαινεῖν αὐτὸν βουλομένοις. Ὀργῆς τε καὶ κρείττων ἐγένετο, καὶ οὐδὲν ἀπὸ ταὐτομάτου, ἀλλὰ λογισμῷ ξύμπαντα ἔπραττεν, καὶ οὔτε ψυχὴν ἀφείλετό τινος κἂν τὰ ἔσχατα τῶν κακῶν ἐπεπράχει, οὔτε τινὸς τῶν ἀκρωτηρίων[2] ἐστέρησεν, ἀλλὰ τῇ ἀπειλῇ βραχύ τι χρησάμενος, μετ' οὐ πολὺ καὶ ταύτην διέλυε, δάκρυα μᾶλλον ἐπὶ πᾶσιν ἀφιεὶς ἢ ὠμότητι χρώμενος. Οὕτω μὲν οὖν προσκιάσας αὐτὸν, αὐτίκα πλατύτερον γράψω καὶ διαρθρώσομαι, ὥσπερ δὴ ἐπηγγειλάμην ποιῆσαι τῷ θαυμασίῳ τούτῳ καὶ ὑπερφυεῖ αὐτοκράτορι.

Τὸ μὲν ἄνω γένος ὅσον εἰς προπάππους ἀβρόν τε καὶ εὔδαιμον καὶ ὁποῖον αἱ συγγραφαὶ ἄδουσι· διὰ στόματος γοῦν καὶ μέχρι τοῦ νῦν ἅπασιν ὁ Ἀνδρόνικος ἐκεῖνος, καὶ ὁ Κωνσταντῖνος, καὶ ὁ Πανθήριος, οἱ μὲν ἐξ ἄρρενος γένους, οἱ δὲ ἐκ θήλεως τούτῳ προσήκοντες, οὐδὲν δὲ ἔλαττον αὐτῷ καὶ τὸ προσεχές· ἀλλ' ὥσπερ Αἰακοῦ καὶ Πηλέως ὁ Ἀχιλλεὺς ἐξ ἐκείνων[3] γενόμενος, μᾶλλον ἐκείνων ἐξέλαμψεν, οὕτω δὴ καὶ ὁ αὐτοκράτωρ οὗτος[4] τοιαῦτα ἔχων τοῦ γένους τὰ παραδείγματα, οὐκ ἐμιμήσατο μόνον, ἀλλ' ὥσπερ ἁμιλλησάμενος μακρῷ τοὺς προγόνους ὑπερεβάλετο, δια-

1. χ. ἀριστείαις. 2. χ. ἀκροτηρίων. 3. χ. ἐκεῖνον. 4. χ. οὗτως.

πρεπὴς ἁπάσαις γενόμενος ἀρεταῖς· ἐπίδοξος δὲ εἰς βασιλείαν κατὰ πρώτην εὐθὺς ἡλικίαν γενόμενος, οὕτω τὸ πρᾶγμα μετεχειρίσατο εὖ, ὡς μηδένα τῶν πάντων μωμήσασθαι· τῆς γὰρ ἀγοραίου προπετείας καὶ κομψότητος μακρὰν ἑαυτὸν ποιησάμενος, ἐν ἀγροῖς διέτριβε τὰ πολλὰ καὶ περὶ τὴν πατρῴαν βῶλον ἐπραγματεύετο· γυναῖκα δὲ γήμας καὶ γένει περιφανῆ (Κωνσταντίνου γὰρ ἦν παῖς ἐκείνου, ὃν τὸ μὲν χωρίον ἡ Θάλασσα ἤνεγκεν, ἡ δὲ ῥώμη παντὸς τῆς οἰκουμένης ἐκήρυξε) καὶ κάλλει διαπρεπῆ, σωφροσύνῃ τὸν βίον ἐκόσμησεν· εἶτα δὴ [1] ταύτην θανάτῳ ἀποβαλὼν, ἵνα μὴ καὶ πάλιν συκοφαντοῖτο καὶ τοῖς κακοήθεσιν ἀφορμὴ διαβολῆς γένοιτο, ἑτέραν αὖθις ἑαυτῷ οἰκειοῖ (εὐγενὴς δὲ καὶ αὕτη καὶ τό τε φρόνημα γενναία, καὶ τὸ εἶδος περικαλλὴς), μεθ' ἧς καὶ παῖδας ἀπογεννᾷ ἄρρενάς τε καὶ θηλείας· καὶ μετὰ | τὴν ἀρχὴν καὶ πρὸ φ. 410.
τῆς ἀρχῆς, ὧν ὁ πρώτος ἀποτεχθεὶς, Μιχαὴλ δὲ ἦν [2] ὁ τὴν ἐκείνου βασιλείαν ἀναδεξάμενος καὶ κοινωνοὺς ταύτης καὶ τοὺς ἀδελφοὺς ποιησάμενος, τὰ κατὰ πάντων πρωτεῖα ἐκτήσατο, ὃν ὁ λόγος αὐτίκα δὴ μετὰ τὴν τοῦ πατρὸς ἱστορήσει γραφήν.

Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος συνεισενεγκεῖν καὶ ἐμαυτὸν τῷ συγγράμματι βούλομαι καὶ τῶν ἐκείνου παραπολαῦσαι καλῶν. Ἤνθουν μὲν τηνικαῦτα ἐπὶ τοὺς λόγους ἐγὼ, καί με ἡ γλῶττα μᾶλλον ἢ τὸ γένος ἐκήρυττε, λόγων δὲ ἐραστὴς ἐκεῖνος εἴπερ τις ἄλλος θερμότατος, τοῦτο οὖν μοι πρῶτον ἀφορμὴ φιλίας πρὸς ἐκεῖνον ἐγεγόνει καὶ οἰκειότητος· καὶ συνελθόντες ἅπαξ εἰς λόγους καὶ παῖραν ἀλλήλοις παρεσχηκότες, ἐθαυμάσαμέν τε καὶ ἐθαυμάσθημεν, καὶ τοσοῦτον συμφυεῖς ἐγεγόνειμεν, ὥστε καὶ παρ' ἀλλήλοις [3] φοιτᾶν καὶ φιλικῶν χαρίτων κατατρυφᾶν· συνηνέχθη [4] δέ τι πρὸς φιλίαν καὶ ἕτερον· ἀνάγει με ὁ λόγος εἰς τὰ βασίλεια καὶ ὑπογραμματεύειν ἐδίδου τῷ βασιλεῖ, Κωνσταντῖνος δὲ οὗτος ἦν τοῦ τῶν Μονομάχων γένους ὡς ἀληθῶς τὸ κεφάλαιον, ἔτος δέ μοι τῆς

1. χ. εἶτ' ὀὴ. 2. χ. ὧ. 3. χ. παραλλήλοις. 4. χ. συνέχθη.

ἡλικίας πέμπτον ἐπὶ τοῖς εἴκοσι ἦν· ἐπεὶ δέ μοι λαμπροτέραν ἐδέησε σχήματος καὶ περιφανεστέρας οἰκίας, οὐδὲ τοῦτό μοι τὸ μέρος ἀσπούδαστον ἀφῆκεν ὁ βασιλεὺς, ἀλλά μοι πολλοῦ τὸν τοῦδε τοῦ ἀνδρὸς ἀνταλλάττεται οἶκον, καὶ εἰς ἀκριβεστέραν φιλίαν ἀλλήλους ἀπὸ ταύτης ἐνοῖ τῆς προφάσεως· ἀδεέστερον δὲ αὐτῷ συνῆν ἐφ' ἅπασι τοῖς καιροῖς, καὶ τῷ βασιλεῖ τὸν ἄνδρα διεζωγράφουν, ἐφιεὶς τῇ γλώττῃ [1] τὰ πρὸς εὐφημίαν, καί τι καὶ πρὸς ἀγαθοῦ ἐγιγνόμην αὐτῷ· εἶτά τοι τελευτᾷ οὗτος ὁ βασιλεὺς, καὶ ἵνα μὴ τῶν [2] ἐν μέσῳ πολλῶν ὄντων καὶ αὖθις ἐπιμνησθῶ, ὁ πρεσβύτης Μιχαὴλ ἐπὶ τῆς βασιλείας καθίσταται, καὶ ὠδίνει τὰ πράγματα, ἐν δεινῷ τῶν στρατιωτῶν ποιουμένων, εἰ αὐτοὶ μὲν τὸν ὑπὲρ τῶν ὅχλων [3] ἀγῶνα ὑποδύοιντο καὶ τρῖς σώμασιν ὑπὲρ τῆς ἀρχῆς κινδυνεύοιεν, κατάρχει δὲ τούτων ἐν ταῖς ἀρχαιρεσίαις τοῦ κράτους ἡ σύγκλητος τὰ πολλὰ, μηδὲ τῶν κινδύνων ἐπαισθομένη· ἅμα δί τοι καὶ ὁ βασιλεὺς πρόφασίν τινα δοὺς αὐτοῖς ἀπονοίας εἰς ὀργὴν ἐξάπτει, καὶ συνθέμενοι ἀλλήλοις ἐντὸς τοῦ ἄστεος ἀποστασίαν, αὐτίκα τε ἐξεληλύθεσαν, ὡς [4] ὁ λόγος τὸ ξύμπαν ἐν τοῖς κατὰ τὸν Κομνηνὸν λόγοις ἠκρίβωσε.

Τὸ μὲν οὖν πλῆθος ἅπαν τῷ βασιλεῖ τούτῳ συννενεύκασί τε καὶ συνεκέκλιντο, καὶ τὴν βασιλείαν λαμβάνειν ἐπέτρεπον, ὁ δὲ ἀπεβιάζετο καὶ ὑπεχώρει λαμπρῶς, καὶ τῷ Κομνηνῷ Ἰσαακίῳ παρεχώρει τοῦ πράγματος, οὕτω τοῦ θεοῦ πόρρωθεν οἰκονομοῦντος τὰ κατ' αὐτὸν, ὡς ἐννομώτερον ἐπὶ τὴν ἀρχὴν ἀναβαίη· τὰ δὲ μετὰ ταῦτα, ἵνα μὴ δὶς τὴν αὐτὴν ἀπολεπτύνω διήγησιν, κρατεῖ τῆς βασιλείας ὁ Κομνηνὸς, τὰς πλείους τῶν ὑποσχέσεων Κωνσταντίνῳ τῷ Δούκᾳ διαψευσάμενος· ὁ δὲ καὶ αὖθις ἐπὶ τοῖς δευτέροις ἐφιλοσόφει καὶ κατ' οὐδὲν προσκεκρούκει τῷ βασιλεύοντι· ἐπεὶ δὲ οὗτος νοσήσας πρὸς τὸ θανεῖν ἐγεγόνει, ἀνάμνησιν ποιεῖται τῶν πρὸς αὐτὸν συνθηκῶν, σύμβουλον δὲ κἀμὲ πρὸς τὸ πρᾶγμα λαβὼν, οὐδεὶς γάρ

1. χ. γλώττα. 2. χ. τὴν. 3. γρ. ὅλων. 4. χ. καὶ.

με τῶν [1] ἐπὶ τῆς ἐμῆς ἡλικίας αὐτοκρατόρων πλέον ἐκείνου ἐπήνεσεν ἢ ἐθαύμασε, τοῦ μὲν γένους καταπεφρονήκει, ὅλοις δὲ ἱστίοις πρὸς ἐκεῖνον ἀπένευσεν. Οἷον δὲ τοῦτο τὸ μέρος [καὶ] ὄθεν, βραχύ τι προσδιατρίψω τῷ διηγήματι· μέση μὲν οὖν ἡμέρα, καὶ τὸν βασιλέα ἡ τῆς νόσου συνέσχε καταβολή, καὶ ἡ ἀκμὴ τοῦ κακοῦ δριμυτέρα τῶν ἄλλων· ὡς γοῦν αὐτίκα τεθνηξόμενος μετακαλεῖται τὸν Δούκαν καὶ βασιλέα ποιεῖται τῷ ῥήματι, καὶ τὰ φίλτατα τούτῳ λαμπρῶς ἐγχειρίζει, γυναῖκα καὶ θυγατέρα, καὶ ἀδελφὸν καὶ τὸ λοιπὸν γένος· σύμβολα δὲ αὐτῷ οὔπω ἐδεδώκει βασίλεια, ἀλλ' ἦν ἐν ἐπαγγελίαις τὸ πρόβλημα.

Οἷα δὲ τὰ μετὰ ταῦτα; ῥώννυται βραχύ τι ὁ βασιλεὺς καὶ δόξας οἷον τὴν ἕξιν ἀπειληφέναι, ἀμφίβολος ἐφ' οἷς ἔπραξε γίνεται, καὶ ὁ τῇ βασιλείᾳ προβιβασθεὶς ἐν δεινῷ τε καθίσταται καὶ ἀπορίᾳ συνέχεται· ἐδεδίει γὰρ οὐκ ἐπὶ τῇ ἀποτυχίᾳ μόνον, ἀλλὰ καὶ ἐπὶ τῇ μετὰ ταῦτα δυσπραγίᾳ καὶ ὑποψίᾳ· τί ποτ' οὖν ποιεῖ; Τῶν ἄλλων ἀφέμενος, ἐπὶ τοῖς ἐμοῖς λογισμοῖς γίνεται καὶ τῆς ἀρχαίας ἀναμιμνήσκει φιλίας, καὶ ποιεῖν ὅ,τι βουλοίμην ἢ πρότερον ποιοίμην [2] οὐκ ἀποκνεῖ· ἐγὼ δέ σοι οὐκ ἐψευσάμην τὸν φίλον, ὦ θεία καὶ καθαρωτάτη ψυχή! (προάγομαι γὰρ ὡς ἀκούοντι διαλέξασθαι)· αὐτὸς ἂν εἰδείης ὡς τὰ πρῶτα συνεπεφύκειν, ὡς ἐπεθάρρυνον [3], ὡς ἐπερρώννυον, ὡς ἀθυμοῦντα παρεμυθούμην, ὡς συγκινδυνεύσειν ἐπηγγελλόμην, εἰ καὶ τούτου δεήσειεν, ἔπειτα καὶ τ' ἄλλα, ὡς μετήνεγκά σοι τὸν ἀρχιερέα, καὶ πάντα πεποίηκα ὁπόσα τε ὁ καιρὸς καὶ ὁ λόγος τῆς φιλίας ἀπῄτει.

Ἵνα γὰρ προβιβάσω τῷ λόγῳ τὸ λεῖπον, σφοδροτέρα περίοδος καταλαμβάνει τὸν βασιλέα, καὶ ἤδη τὴν ζωὴν αὐτῷ πάντες συναπεγνώκεισαν, οὐδεὶς δὲ τῶν πάντων ἐθάρρει τοῖς βασιλικοῖς τοῦτον κοσμίσαι συμβόλοις, εἰ μὴ αὐτὸς παρρησίᾳ χρησάμενος, τῶν πάντων μοι παραχωρούντων τῆς ἀρίστης βουλῆς, ἐπὶ τοῦ θρόνου

1. χ. τὸν. 2. χ. ποίμην. 3. χ. ἐπεθάρρυνεν.

τε καθίζω τοῦ βασιλείου καὶ τοῖς φοινικοῖς τέως ὑποδήμασι τοὺς πόδας ἁρμόζω· τὰ δ' ἄλλα τούτῳ συνηκολούθει, τῶν ἐν τέλει συνάθροισις, εἰσαγωγαὶ πρὸς τὸν αὐτοκράτορα, σέβας βασιλεῖ πρέπον, προσκύνησις καὶ ὁπόσα εἴωθεν ἐπὶ ταῖς τῶν αὐτοκρατόρων ἀναρρήσεσι γίνεσθαι. Ἐπεὶ δέ με πρῶτον αὐτῶν[1] εἶδεν ἀπαργόμενον τοῦ σεβάσματος, τοῦ θρόνου τε εὐθὺς ἐξανίσταται καί με λαμπρῶς ἀγκαλίζεται, καὶ τοὺς ὀφθαλμοὺς ἐπιτέγξας δακρύοις οὐκ εἶχεν ὅ,τι καὶ δράσειεν, πλὴν τοσαύτας μοι καθωμολόγησε χάριτας καὶ ἐν τοσαύταις ἐποίησεν ὅσαις οὐκ ἂν μὲν ἐξήρκεσε, τὰς δὲ πλείους εἰς ἔργον ἠγάγετο. Ἑσπέρα μὲν οὖν ἦν ὅτε ταῦτα ἐγεγόνει, τοῦ δὲ καιροῦ βραχὺ προϊόντος, ἀπογνοὺς παντάπασι τὴν βασιλείαν καὶ σωτηρίαν, τὴν κόμην[2] τε ἀποκείρεται καὶ τὸ μοναδικὸν σχῆμα ἐνδύεται, καὶ τῆς περιόδου λωφησάσης αὐτῷ περὶ
φ. 411. μέσας νύκτας βραχύ τι διανίσταται, καὶ γνοὺς ἐφ' οἷς | , καὶ τὸ πᾶν ἀπογνοὺς, τόν τε βασιλεύοντα ἑωρακὼς καὶ κατὰ γνώμην αὐτῷ τὸ πρᾶγμα βεβαιωσάμενος, εὐθὺς τῶν ἀνακτόρων ἀφίσταται καὶ νεὼς ἐπιβὰς ἐπὶ τὴν μονὴν τοῦ[3] Στουδίου ὑποχωρεῖ.

Ὁ μὲν οὖν ἐκεῖσε δυσθανατῶν ἦν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, ὁ δὲ τελέως[4] ἤδη τῆς βασιλείας ἐπειλημμένος, καὶ πρῶτον ἐπὶ τοῦ βασιλείου θρόνου καθιδρυθείς, ἔτι προτεταμένου τοῦ παραπετάσματος (εἱστήκειν δὲ μόνος αὐτὸς ἀγχοῦ ἐπὶ δεξιᾶς), τὼ χεῖρε διάρας ὑπὲρ κεφαλὴν καὶ τοὺς ὀφθαλμοὺς δακρύων πληρώσας, χάριτας ἀνθωμολόγησε τῷ θεῷ, καὶ τοῦτο πρῶτον αὐτῷ καθιέρωσε· ἔπειτα τὸ κάλυμμα διασχὼν καὶ τὴν γερουσίαν εἰσκαλεσάμενος καὶ ὅσοι τοῦ στρατιωτικοῦ γένους τότε ἐτύγχανον ὄντες, τούς τε ἐπὶ τῶν ἀρχείων καὶ τοὺς ἐπὶ τῶν δικαστηρίων τούτοις συναγαγὼν, περὶ δικαιοσύνης καὶ φιλανθρωπίας καὶ πραγμάτων εὐθύτητος σύμμετρον τοῖς εἰσκεκλημένοις δημηγορίαν ἀπεσχεδίασε, τὰ μὲν τῷ δικαίῳ διδοὺς, τὰ δὲ τῷ φιλανθρώπῳ καὶ βασιλικῷ ἤθει·

1. γρ. αὐτὸν. 2. χ. κώμην. 3. χ. τὸν. 4. χ. τέλεος.

ἔπειτα κἀμέ τινα τῷ καιρῷ πρόσφορα ἐπιτρέψας εἰπεῖν, λύει τὴν ἐκκλησίαν.

Εἶτα δὴ τῶν πράξεων τῶν ἐπὶ τοῖς λόγοις ἀπάρχεται, δύο ταῦτα τέως ποιεῖν προθέμενος, εὐεργετεῖν καὶ δικαιοδοτεῖν· οὐδένα γοῦν τῶν πάντων ἀφῆκεν ἀγέραστον, οὐ τῶν ἐν τέλει, οὐ τῶν μετ' ἐκείνους εὐθύς, οὐ τῶν πόρρωθι, ἀλλ' οὐδὲ τῶν βαναύσων οὐδένα· αἴρει γὰρ καὶ τούτοις τοὺς τῶν ἀξιωμάτων βαθμούς, καὶ διηρημένου τέως τοῦ πολιτικοῦ γένους καὶ τοῦ συγκλητικοῦ, αὐτὸς ἀφαιρεῖ τὸ μεσότοιχον καὶ συνάπτει τὸ διεστὼς, καὶ τὴν διάστασιν μετατίθησιν εἰς συνέχειαν. Ὁρῶν δὲ τοὺς πλείους περὶ τὸ ἀδικεῖν τεταμμένους, καὶ τοὺς μὲν τὸ πλέον τοῦ δικαίου ἔχοντας, ἑτέρους δὲ ὑπ' ἐκείνων τυραννουμένους, ἐπὶ τὸ δικάζειν ἐτράπετο, λεῖα, κατὰ τὸν βασιλέα καὶ προφήτην, ὁρῶν· καὶ τοῖς μὲν ἀδικοῦσι γενόμενος ἐμβριθὴς, τοῖς δὲ ἀδικουμένοις χαριέστατός τε καὶ εὐμενής· ἐφειστήκεσαν γοῦν ἄμφω τὼ μέρει, ὅ τε φεύγων καὶ ὁ διώκων, οὐδὲν πλέον οὔτε ἔλαττον ἐπὶ τῆς κρίσεως ἔχοντες, ἀλλὰ τῆς ἴσης ῥοπῆς ἀξιούμενοι· ἐντεῦθεν τὰ κεκρυμμένα τέως ἀνεκαλύπτετο, καὶ ὁ ἑκάστου τῶν πάντων τρόπος ἐδοκιμάζετο, μᾶλλον δὲ ἀπηλέγχετο. Νόμοι δὲ τότε πρότερον πάροδον λαβόντες εἰς τὰ ἀνάκτορα σεμνῶς πάνυ ἀνηγορεύοντο, καὶ συγγραφαὶ μὲν ἄδικοι διερρήγνυντο, πᾶν δὲ τὸ τιθέμενον ἢ γραφόμενον παρ' αὐτοῦ ἢ νόμος ἄντικρυς ἦν, ἢ νόμου τι δικαιότερον. Οἱ δ' ἐπὶ τῶν ἀγρῶν, οἳ τὸ πρὶν μηδὲ τὸν βασιλεύοντα ᾔδεισαν, καθαρῶς αὐτῷ ἐνητένιζον, καὶ φιλανθρώπων μὲν λόγων, φιλανθρωποτέρων δὲ πράξεων μετελάμβανον.

Ταῦτά τε οὖν ἐποίει, καὶ τῶν δημοσίων φόρων ἐφρόντιζεν. Ἐπεὶ δὲ οὐκ ἐγκώμιον τὰ γραφόμενα, ἀλλ' ἀληθὴς ἱστορία, ἑαυτῷ μόνῳ συμβούλῳ περὶ τὰ πρακτέα χρώμενος, ἔστιν οὖν καὶ ἡμάρτανε τοῦ ἀκριβεστέρου σκοποῦ· τὸ γοῦν βουλόμενον αὐτῷ ἦν, μὴ πολέμοις τὰ περὶ τῶν ἐθνῶν διατίθεσθαι, ἀλλὰ δώροις ἀποστολαῖς καί τισιν ἑτέραις φιλοφροσύναις, δυεῖν ἕνεκα, ἵνα μήτε τὰ πλείω κατα-

ναλίσκοι τοῖς στρατιώταις, καὶ αὐτὸς διαγωγὴν ἔχοι ἀθόρυβον. Ἀγνόημα δὲ μέγα ἠγνόησεν, ὅτι τῆς στρατιωτικῆς καταλυομένης μερίδος, τὰ τῶν ἐναντίων αὐξάνοιτο καὶ ἐπὶ τὸ μεῖζον καθ' ἡμῶν φέροιτο· ἔδει μὲν οὖν τὸ τούτων ἀτόπημα, φημὶ δὲ τὸ ἀσύμβουλόν τε καὶ ἀπερίσκεπτον, πάντων ἀπελασθῆναι τῶν βασιλέων, ἀλλὰ τὸ φίλαυτον, καὶ τὸ ἐνίους τῶν αὐτοκρατόρων παρὰ τῶν τυχόντων θωπεύεσθαι ὡς πᾶσιν ἀρκοῦντας πράγμασι, δελεάζει τε τὰ πολλὰ καὶ ἐκτραχηλίζει τοῦ δέοντος, καὶ τὸν μὲν ὑπὲρ τοῦ καλοῦ παρρησιαζόμενον ὕποπτον ἡγηνται, τὸν δὲ ὑποθωπεύοντα ἡδέως ἐναγκαλίζονται καὶ ἀξιοῦσι τῶν ἀπορρήτων· τοῦτο τὴν βασιλείαν Ρωμαίων [1] κατήνεγκε καὶ ἠλλοίωσεν ἐπὶ τὰ χείρονα πράγματα, καίτοι πολλάκις αὐτὸς ἐπειράθην ἐξελεῖν ἀπὸ τούτου δὴ τοῦ βασιλέως τὸ νόσημα· ἀλλ' ἦν αὐθέκαστος περὶ τοῦτο καὶ ἀπαραίτητος· καὶ τοῦτο μὲν ἐνταυθοῖ κείσθω, ὁ δὲ τῆς φιλανθρωπίας λόγος ἐξεταζέσθω αὐτῷ, ὡς δὲ καὶ ὁ τῆς φρονήσεως· τὸν γὰρ τῆς δικαιοσύνης ἀποδεδώκαμεν· ὃ δέ με ἄνω διέλαθεν, τοῦτο νῦν ἀναμνησθεὶς διηγήσομαι.

Ὅτε γοῦν αὐτῷ τὸ στέφος τῇ κεφαλῇ καθηρμόζετο, καθωμολόγησε τῷ θεῷ μήτε μέρους σωματικοῦ [στερῆσαί τινα], τοῦτο δὲ μετὰ προσθήκης ἀποδεδώκει· ἀπείχετο γὰρ καὶ αἰκίας καὶ τῆς διὰ λόγων σχεδὸν ὕβρεως, εἰ μὴ ὅσον μεταμορφώσας αὐτὸν ἐπὶ τὸ δοκοῦν φρικωδέστερον, τιμωρίας μὴ γενησομένας διηπειλήσατο [2]. Διεῖλε δὲ τοῖς καιροῖς εὐθυβόλως τὰ πράγματα, ἑκάστῳ τὸ [3] οἰκεῖον μέτρον φυλάττων καὶ τῆς ἐν τῇ ἀνισότητι φροντίζων ἰσότητος.

Οἷον δὲ αὐτῷ καὶ τοῦ οἴκου τὸ σχῆμα; γλυκύτερον γὰρ τοῖς παισὶ προσεφέρετο, προσέπαιζέ [4] τε τούτοις ἡδέως καὶ προσεμειδία ψελλίζουσι, καὶ ἀνθημιλλᾶτο [5] πολλάκις αὐτῷ τύπτουσιν, εὐπαιδευσίαν τε ἅμα τούτοις καὶ γυμνασίαν ἐντεῦθεν προμνηστευόμενος.

1. χ. Ρωμαίαν. 2. χ. διηπειλήσαντος. 3. χ. τῶ. 4. χ. προσέπεζε. 5. χ. ἀνθημαλλᾶτο.

Τρεῖς μὲν οὖν αὐτῷ υἱεῖς[1] πρὸ τῆς ἀρχῆς ἐγεγόνεισαν καὶ δύο θυγάτρια, καὶ τῶν μὲν ἀρρένων ὁ μέσος μετὰ τὴν ἀρχὴν ὀλίγον ἐπιβιοὺς ἀποθνήσκει, κάλλους χρῆμα ἀμίμητον, καὶ τῶν θυγατέρων ἡ τελευταία ἤδη κατεγγυηθεῖσα ἀνδρὶ, ὡραία τῷ εἴδει σφόδρα καὶ τὴν ψυχὴν ἀγαθή, θατέρα[2] δὲ ἡ τῆς Ἀρετῆς φερώνυμος μνηστεύεται τῷ θεῷ, καὶ νῦν ἔτι ἔστι καὶ εἴη μέχρι πολλοῦ. Μετὰ δὲ τὴν βασιλείαν, οὕπω ἡλίου τὸν ἐνιαύσιον κύκλον περιοδεύσαντος ὁμοῦ δὲ τίκτεται παιδίον τῷ βασιλεῖ, καὶ τοῦ βασιλείου εὐθὺς καταξιοῦται ὀνόματος· | τὼ[3] δὲ ἄλλω ὡς πρὸ τῆς βασιλείας γεγε- φ. 412.
νημένω, ὅ τε θαυμάσιος Μιχαὴλ καὶ ὁ μετὰ τοῦτον Ἀνδρόνικος ἰδιῶται ἵστην· ἀλλ' οὐ πολὺς χρόνος καὶ τὸν πρῶτον[4] αὐτῷ τῶν υἱέων καὶ κάλλιστον, τοῦτον δή φημι τὸν θειότατον Μιχαὴλ, τῷ βασιλικῷ κοσμεῖ διαδήματι· μέλλοντα δὲ ἤδη ἐπὶ τοῦ θρόνου καθίζειν, δοκιμάζει γενναίως εἰ προσῆκον[5] τῇ βασιλείᾳ γένοιτο, καὶ ἐρωτᾷ τοῦτον τομὴν πολιτικῆς ὑποθέσεως, ὁ δὲ καὶ διαγινώσκει τὸ ζήτημα καὶ ἔννομον ποιεῖται ἀπόφασιν· ὁ δὲ οἰωνὸν τοῦτο λαβὼν ψυχῆς διαπρεπούς ἐν βασιλείᾳ γενησομένης, αὐτίκα τούτῳ τὴν βασίλειον πανήγυριν ἐκτελεῖ.

Εἶτά τι γίνεται· βουλὴ κατὰ[6] τοῦ βασιλέως παρ' ἑνίων[7] ἀρτύεται· τὸ δὲ βούλευμα, ἐξῶσαι τοῦτον τῆς ἡγεμονίας καὶ ἕτερον ἐγκαταστῆσαι τοῖς πράγμασι· μέτοχοι[8] δὲ τοῦ σκέμματος οὐ τῶν ἀγενῶν μόνων καὶ ἀνωνύμων, ἀλλὰ καὶ τῶν εὖ γεγονότων καὶ περιφανεστέρων· τῶν δὲ συνωμοτῶν ἐκ συνθήματος οἱ μὲν ἀπὸ θαλάττης ἐπικεχειρήκασι[9] τῷ παρανομήματι, οἱ δὲ ἀπὸ γῆς καθειστήκεισαν ἀπρεπεῖς· ἀλλ' ἐπ' αὐτῆς τῆς ἀκμῆς τοῦ κακοῦ γεγονότος, ἀνακαλύπτει τὸ δρᾶμα θεὸς, καὶ δήλην ποιεῖται τὴν κακοήθειαν· ἆρ' οὖν τὰς κεφαλὰς αὐτῶν ἀποτέμνει; ἢ διαιρεῖ τὰς χεῖρας; ἢ ἄλλο τι ἀφαιρεῖται τοῦ σώματος; πολλοῦ γε καὶ δὴ· τὴν κόμην

1. χ. υἱοῖς. 2. χ. θυγατέρα. 3. χ. τῶ. 4. χ. τὴν πρώτην. 5. γρ. προσήκων. 6. χ. παρὰ. 7. χ. παρενῶν. 8. χ. μετόχοι. 9. χ. ἐπιχειρήκασι.

γοῦν ἐνίοις ἐπιτεμὼν, τῶν ἄλλων ὑπερορίαν καταδικάζει· καὶ ὥσπερ ἀναπνεύσας τοῦ παρὰ βραχὺ κινδύνου, ἐφ' ἑστίας με προσκαλεῖται καὶ ἀπὸ τῆς αὐτῆς σιτεῖσθαι παρακελεύεται· εἶτα δὴ τὴν τροφὴν ἐπισχὼν καὶ ἐπιδακρύσας — « ἆρά γε, εἶπεν, ὦ φιλόσοφε, κατατρυφᾷεν οὕτως καὶ οἱ ἀπαγόμενοι ὑπερόριοι [1]; ἀλλὰ μὴ οὕτω τρυφῴην, ἑτέρων κακοπαθούντων! »

Τῶν δὲ ἀπὸ τῆς ἑσπέρας Μυσῶν τε καὶ Τριβαλῶν ἀλλήλοις ὁμονοησάντων καὶ εἰς ὁμαιχμίαν συστάντων, καὶ μεγάλου κακοῦ ἐπὶ τῇ Ρωμαίων κυμαίνοντος, τὴν μὲν πρώτην ἐπ' ἐκείνους ἐξώρμησε [2], εἶτα δὴ τὰ ἐμοῦ [3] μονονοὺ ταῖς χερσὶν ἐπισπάσαντος, παλινδρομεῖ ἐπὶ τὰ ἀνάκτορα· ὀλίγον δέ τι στράτευμα συλλεξάμενος ἐπ' ἐκείνους ἀφῆκε, καὶ παραδοξοποιεῖ τι θεὸς, τῶν Μωσαϊκῶν τεραστίων [4] οὐκ ἔλαττον· ὥσπερ γὰρ κρείττονα φάλαγγα οἱ βάρβαροι θεασάμενοι καὶ ἀποδειλιάσαντες τὰς ψυχὰς, εὐθὺς τὰ νῶτα μετέβαλλον καὶ ἄλλος ἀλλαχοῦ διεσπάρησαν· οἱ δὲ πλείους ἀπὸ τῶν κατόπιν ἐλαυνόντων ἔργον μαχαίρας γεγόνασιν· καὶ οἱ μὲν τεθνηκότες κατάβρωμα ὄρνυσι [5] προετέθησαν, οἱ δὲ διαφυγόντες πανταχοῦ τῆς γῆς διεσπάρησαν. Εἰ μὲν οὖν ἐγκωμιάζειν προειλόμην, ἀλλὰ μὴ συνοπτικὴν ἱστορίαν ποιεῖν, ἀπέχρησεν ἂν μοι τοῦτο τὸ διήγημα εἰς πᾶσαν εὐφημίας ὑπερβολήν· νῦν δὲ ἐφ' ἕτερα [6] τὴν τοῦ λόγου ὁρμὴν μετενέγκοιμι.

Τὰ μὲν οὖν ἄλλα τῷ βασιλεῖ δέξαιτ' ἂν τὴν πρὸς ἑτέρους ἅμιλλάν τε καὶ σύγκρισιν, τὸ δὲ περὶ τὴν τοῦ θείου δόξαν καὶ μάλιστα τὸ περὶ τῆς ἀρρήτου οἰκονομίας τοῦ θεοῦ λόγου μυστήριον, λόγου κρεῖττον καὶ τοῦ ἐνδιαθέτου καὶ τοῦ κατὰ προφορὰν, τοῦ τε ἁπλοῦ καὶ τοῦ τεχνικοῦ. Ὁπότε γοῦν αὐτῷ ἀπόδειξιν ἐποιούμην τοῦ δι' ἡμᾶς μυστηρίου, ἐγεγήθει [7] τε τὴν ψυχὴν καὶ ὑπὸ χαρμονῆς τὸ σῶμα ξύμπαν συνεκεκλόνητο, καὶ δακρύων κρουνοὺς ὑφίει· ἅπαν

1. ἀπαγώμενοι ὑπερώριοι. 2. χ. ἐξήρμησε. 3. γρ. ταραγμοῦ. 4. χ. στερασtίων. 5. χ. ὄρνησι. 6. χ. ἑφετέρα. 7. χ. ἐγεγήθη.

δὲ τὸ τῆς θείας γραφῆς βάθος ἀναλεξάμενος, οὐ τὸ ἐκκείμενον μόνον ἠπίστατο, ἀλλὰ καὶ βαθὺ καὶ θειότερον· εἰ δ' ἀποσχοληθείη ποτὲ τῶν δημοσίων φροντίδων, ἐπὶ τοῖς βιβλίοις ἐγίνετο· ἐπανεπαύετο δὲ ἐπ' οὐδενὶ τῶν ἄλλων ὡς ἐπ' ἐμοί· ὅθεν εἰ μὴ τῆς ἡμέρας πολλάκις ὀφθείην αὐτῷ, ἐδεινοπάθει καὶ ἠσχαλλε· ἐσέβετό τε διαφερόντως τῶν ἄλλων, καὶ διέκειτο ἀναπιμπλάμενος ἐμοῦ ὥσπερ νέκταρος· θάνατον δέ μου τῶν πολιτῶν ἑνὸς αὐτῷ ἀπαγγείλαντος, [ἰδών με] περιχαρὴς ὤφθη γενόμενος, ἐμοῦ δὲ θαυμάσαντος, [καὶ] τὴν αἰτίαν ἐρομένου ἀνθ' ὅτου « ὅτι τοι, ἔφη, πολλοί μοι κατηγορήκασι τοῦ ἀνδρός· » ἐγὼ δὲ ἀντεῖχον [1], καὶ ἐδεδίειν μήπου καὶ βιασθείη, καὶ εἰς ὀργὴν τούτῳ ἐξενεχθείη. Ἐπεὶ δὲ ἐτεθνήκει, συντεθναίη [2] πάντως τοῖς κατηγόροις καὶ ἡ κατὰ τοῦ ἀνθρώπου κατηγορία, ἐπεὶ καὶ πᾶσα δυσμένεια τῷ βίῳ συγκαταλύεται.

Τὸν μέντοι γε ἀδελφὸν Ἰωάννην εἰς τὸ τοῦ Καίσαρος ἀνενεγκὼν ἀξίωμα ὑπερηγαπήκει καὶ μετὰ ταῦτα διαφερόντως, καὶ κοινωνὸν ἐποιεῖτο τῶν ἀρχικῶν βουλευμάτων· ἐκεκόσμητο γὰρ καὶ ὁ ἀνὴρ οὗτος συνέσει καὶ μεγαλοφροσύνῃ καὶ τῇ [3] περὶ τὰ πράγματα δεξιότητι· ὅθεν καὶ νοσήματι δεινῷ πρὸ πολλοῦ τῆς τελευτῆς κατάσχετος γεγονὼς, ὥσπερ ὑπὸ πατρὶ τοὺς ἰδίους παῖδας πεποίηται, προστιθεὶς τούτῳ [4] καὶ ὃν αὐτὸς τοῦ πατριαρχικοῦ θρόνου ἠξίωσεν, ἄνδρα καὶ τὴν ἀρετὴν τελεώτατον καὶ τῇ ἀρχιερωσύνῃ μάλα προσήκοντα. Ἀλλ' ἐκεῖνος μὲν ἀνερρώσθη τῆς ἀρρωστίας, μετ' οὐ πολὺ δὲ δαπανᾶσθαι τὸ σῶμα ἀρξάμενος, κατὰ βραχὺ [5] τῷ θανάτῳ προσήγγισε· κἀνταῦθα ἐπὶ τῇ γυναικὶ Εὐδοκίᾳ πάντα πεποίηται, σωφρονεστάτῃ τε τῶν καθ' ἑαυτὴν νομιζομένῃ τἀνδρὶ καὶ παιδοτροφῆσαι ἀκριβεστάτῃ, περὶ δὲ ταύτης ἐξῆς ἐρῶ ἀκριβέστερον· ταύτῃ γοῦν τοὺς παῖδας ὑποθέμενος, καὶ διελὼν περὶ πάντων ὥσπερ προείρητο, βραχὺν [5] χρόνον ἐπιβιοὺς τελευτᾷ ἑξηκοντούτης καὶ μικρόν τι πρὸς τὸν ὅλον τῆς ζωῆς χρόνον γενόμενος.

1. ἀντεἶχουν. 2. χ. συντεθναίε. 3. χ. τὸ. 4. χ. τοῦτο. 5. χ. βραχὺ.

Οὐκ οἶδα γοῦν εἴ τις ἐκείνου τοῦ βασιλέως ἢ εὐκλεέστερον τὸν βίον διήγαγεν, ἢ εὐδαιμονέστερον ἐτεθνήκει· ἄπαξ[1] μὲν ἐπιβουλευθεὶς καὶ τοῦ κλύδωνος ἁρπαγεὶς, τὸν δὲ λοιπὸν τῆς ἀρχῆς χρόνον ἀθορύβως καὶ εὐθύμως διενεγκὼν, καὶ βασιλέας υἱεῖς τῷ βίῳ καταλιπὼν, πατρώζοντας ἀκριβῶς καὶ τὸν ἐκείνου χαρακτῆρα ἔν τε ψυχῇ καὶ σώματι φέροντας.

Ἐπεὶ δὲ ἀρκούντως αὐτῷ περὶ ὧν ἔπραξε τὸν λόγον ἐποιησάμεθα, φέρε δὴ εἴπωμεν καὶ εἴ τι ἐπὶ τῆς ἀρχῆς παρεφθέγξατο.
φ. 413. Εἴθιστο λέγειν περὶ τῶν ἐπιβουλευσάντων αὐτῷ, ὡς | τιμῆς μὲν καὶ χρημάτων οὐκ ἀποστερήσοι τούτους, ἀντ' ἐλευθέρων δὲ ὡς ἀργυρωνήτοις αὐτοῖς χρήσαιτο· « ἀφειλόμην δὲ οὐκ ἐγὼ τὴν ἐλευθερίαν αὐτοὺς, ἀλλ' οἱ νόμοι ἐκπτώτους αὐτοὺς τῆς πολιτείας ποιήσαντες. » Τοῖς δὲ λόγοις ἐξόχως προσκείμενος « ὤφελον, ἔλεγεν, ἐκ τούτου ἢ τῆς βασιλείας γνωρίζεσθαι. » Γενναῖος δὲ ὢν τὴν ψυχὴν πρός τινα εἰρηκότα ὡς αὐτὸς ἂν ἡδέως μαχόμενος ἐκείνου τὸ ἴδιον σῶμα προσβάλλοιτο[1] — « εὐφήμει, εἶπεν, καὶ εἰ βούλοιό γε πεσόντι ἐπένεγκαι[2] πληγήν τε καὶ αὐτός ! » Πρὸς δὲ τὸν[3] τοὺς νόμους ἐξακριβούμενον ἐπὶ τὸ βούλεσθαι ἀδικεῖν, — « οὗτοι, ἔφησεν[4], οἱ νόμοι ἡμᾶς ἀπολωλέκασιν. » Ἀποχρῶντα ταῦτα τῷ βασιλεῖ.

Εὐδοκία βασιλὶς σὺν Μιχαὴλ καὶ Κωνσταντίνῳ[5] τοῖς παισί.

Ἡ βασιλὶς Εὐδοκία, κατὰ τὰς τοῦ ἀνδρὸς καὶ βασιλέως διατάξεις τῶν ὅλων ἐγκρατὴς γενομένη, οὐκ ἐφ' ἑτέροις τὴν βασιλείαν πεποίηται, οὐδ' αὕτη μὲν οἰκουρεῖν τὰ πολλὰ ἠξίου, τῶν δὲ ἐν τέλει τισὶ πιστεύειν τὰ πράγματα, ἀλλ' αὐτὴ περιζωσαμένη τὴν δυναστείαν τῆς ὅλης ἡγεμονίας γίνεται, λιτῶς τε τὰ πρῶτα διακειμένη καὶ μηδέν τι περιττὸν ἐπί τε κόσμοις καὶ προόδοις ἐμ-

1. γρ. προβάλλοιτο. 2. χ. ἐπήνεγκε. 3. χ. τὴν. 4. χ. ἔφησαν. 5. χ. Κωνσταντίῳ.

φαίνουσα· ἐν πᾶσι δὲ ἐξεταζομένη καὶ πᾶσιν ἁρμόζουσα πράγμασιν, ἀρχαιρεσίαις, πολιτικαῖς ὑποθέσεσι, δημοσίων συνεισφοραῖς, ἔστιν ὅπη παρείκοι, καὶ τὰς βασιλείους φωνὰς ἀπαγγέλλουσα· τοσοῦτον γὰρ αὐτῇ τὸ περιὸν τοῦ φρονήματος. Ἐμέσευε γοῦν τὼ υἱέων, οἱ δὲ μόνον οὐκ ἐπήγεσαν ἐκείνην ἀκριβῶς δεδιότες καὶ σεβαζόμενοι. Τὸ μὲν οὖν τὸν Κωνσταντῖνον αἰδεῖσθαι ταύτην, παῖδά τε ὄντα καὶ οὔπω τῶν πραγμάτων ξυνιέναι δυνάμενον, οὔτε θαυμάσομαι, οὔτε ἐπαινέσαι τοῦτον τῆς αἰδοῦς προαχθήσομαι· τὸ δὲ τὸν Μιχαὴλ ὑπείκειν αὐτῇ καὶ τῶν ἄλλων πραγμάτων παραχωρεῖν, ἤδη τε πρὸ πολλοῦ τὴν ἥβην ἐκβεβηκότα καὶ τῆς φρονούσης ἡλικίας γενόμενον, τήν τε φρόνησιν τελείαν κτησάμενον καὶ πεῖραν ταύτης δεδωκότα ἐν πολλοῖς πράγμασι, τοῦτο οὔτε συγκρίνεσθαι πρὸς ἕτερον τοιοῦτον ῥᾴδιον, οὔτε ἀρκούντως τινὰ τῶν πάντων δυνατὸν εὐφημεῖν· ἀλλ' εἶδον τοῦτον[1] ἐγὼ πολλάκις, λέγειν[2] μὲν δυνάμενον ἐπὶ τῆς μητρὸς, σιωπῶντα δὲ ὥσπερ οὐ δυνάμενον λέγειν, καὶ πράττειν μὲν πᾶν ὁ,τιοῦν ἐξισχύοντα, πράξεων δὲ βασιλικῶν ἀπεχόμενον. Οὐ μὴν κατωλιγώρει τὰ πρῶτα τούτου ἡ μήτηρ, ἀλλ' ἐφ' ἑαυτῆς προγυμνάζουσα, εἶτα δὴ καὶ ἀρχαιρεσιάζειν ἐδίδου καὶ δικάζειν προέτρεπεν· ἐφίλησε γοῦν πολλάκις προσελθοῦσα, καὶ ἐγκωμίων ἠξίωσε καὶ ὄναεσθαι τούτου κατηύξατο, ἐρρύθμιζέ τε τούτῳ τὸ ἦθος, καὶ ἠρέμα ἐπὶ πᾶσαν ἐνέργειαν βασιλεῖ πρέπουσαν προσβίβαζεν. Ἐμοὶ γοῦν πολλάκις αὐτὸν ἐνεχείρισε καὶ τὰ δέοντα νουθετεῖν τε καὶ συμβουλεύειν παρεκελεύσατο. Ἐκάθητο δὲ ἐπὶ τοῦ βασιλείου βήματος ἅμα τῷ ἀδελφῷ Κωνσταντίῳ[3]· χρηστότατος δὲ ὢν εἴπερ τις ἄλλος, οὐ πάντα ἐφ' ἑαυτοῦ ἔπραττεν, ἀλλὰ καὶ τῷ ἀδελφῷ πολλάκις τῶν βασιλικῶν ἐκοινώνησε πράξεων. Εἶχε μὲν οὖν οὕτω τούτοις τὰ πράγματα, καὶ μέχρι παντὸς ἂν ἡ αὐτὴ τάξις τετήρητο, εἰ μὴ δαίμων τις τοῖς πραττομένοις ἀντέπεσεν.

1. χ. τοῦτο. 2. χ. λέγει. 3. γρ. Κωνσταντίνῳ.

Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος, τοσοῦτον ἂν περὶ τῆς βασιλίδος Εὐδοκίας εἴποιμι, ὅτι οὐκ οἶδα εἴ τις ἄλλη γυναικῶν σωφροσύνης ἐγεγόνει παράδειγμα, ὡς ἐκείνη τὸν [1] μέχρι τούτου τῆς ζωῆς βίον ἐβίωσε· λέγω δὲ οὐχ ὅτι καὶ μετὰ ταῦτα τὴν σωφροσύνην ἠλλάξατο, ἀλλ' ὅτι τῆς ἀκριβείας ὑφῆκε καὶ μὴ τὴν αὐτὴν ἰδέαν μέχρι παντὸς τῆς γνώμης ἐτήρησεν· ἀπολογισαίμην δ' ἂν καὶ τοῦτο ὑπὲρ αὐτῆς, ὡς οὐδ' εἴ τι καὶ παρηλλοίωτο, ἡδονῶν ἥττηται καὶ σαρκὸς ἐπιθυμίας ἠλάττωται, ἀλλὰ διέσεισαν αὐτὴν φόβοι πολλοὶ περὶ τοῖς υἱέσι, μὴ τὴν βασιλείαν ἀφαιρεθεῖεν, μὴ ὄντος τοῦ προεστηκότος καὶ περιέποντος. Ἐκείνῃ γὰρ οὐδ' ὁ βασιλικὸς βίος καθ' ἡδονὴν ἦν· ἐρῶ δέ τι τούτου σύμβολον μέγιστον· ἐγὼ γὰρ ταῦτα συγγράφων, ἦν δὲ ἀδελφὸς τοῦ ἐκείνης πατρὸς ἐκ πνευματικῆς διαθέσεως, καί με ὑπὲρ πάντας ἐθείαζέ τε καὶ ἐξεθείαζεν· ἐφ' ἑνὸς γοῦν αὐτῇ τῶν καιρῶν ἐπὶ θείῳ νεῷ συγγενόμενος, ἐπειδὴ προσηλωμένην εἶδον θεῷ καὶ οἷον ἐξηρτημένην [2], τοῦ κρείττονος ὄνασθαι [3] τοῦ κράτους μέχρι παντὸς κινηθεὶς ἐκ προθυμίας ηὐξάμην· ἡ δέ μοι ἐπιστραφεῖσα τὸν λόγον ἐμέμψατο καὶ ἀρὰν τὴν εὐχὴν ἐλογίσατο — « μὴ οὕτως ὀναίμην [4] τῆς βασιλείας, εἰποῦσα, ὥστε καὶ θανεῖν βασιλεύουσα! » Τοσοῦτον γοῦν με οὗτος ὁ λόγος ἐξεδειμάτωσεν [5], ὥστε ἐκεῖθεν ὡς κρείττονι ταύτῃ προσέχειν τὸν [νοῦν].

Ἀλλ' εὐμετάβλητον ζῶον ὁ ἄνθρωπος, καὶ μάλιστα εἰ καὶ προφάσεις ἰσχυραὶ τῆς μεταβολῆς ἔξωθεν γένοιντο· εἰ γὰρ καὶ τὸ ἦθος στάσιμος ἡ βασιλὶς αὕτη καὶ τὴν ψυχὴν γενναία, ἀλλ' οἱ ἐπιρρέοντες [6] ποταμοὶ κλονοῦσιν αὐτῇ τὸν πύργον τῶν σωφρονικῶν λογισμῶν καὶ πρὸς δευτέραν εὐνὴν ἀνδρὸς κατακλίνουσι· καὶ πολλοῖς [7] μὲν τὸ πρᾶγμα γνώριμον ἐγεγόνει καὶ ἀμφὶ ταῖς γλώσσαις ἐκλώθετο, ἐμοὶ δὲ οὐδ' ὁπωστιοῦν τοῦ ἐνθυμήματος ἡ βασιλὶς ἐκοινώνησεν, αἰδοῖ πάντως τὴν γλῶσσαν ἐπέχουσα, ἵνα μὴ πρὸς τὸν

1. χ. τῶν. 2. χ. ἐξηρτημένον. 3. χ. ὤνασθαι. 4. χ. ὠναίμην. 5 χ. ἐξεδημάτωσεν. 6. χ. ἐπηρέοντες. 7. χ. πολὺς.

αὐτὸν τοὺς ἐναντίους διαπλέκοιτο λόγους, ἐβούλετο δ' ὅμως κἀμὲ τοῦ σκέμματος μετασχεῖν· ὅθεν μοι προσιόντες τῶν τὰ χείρω μυσταγωγούντων αὐτῇ, προὔτρεπον εἰπεῖν αὐτῇ καὶ παρρησιάσασθαι, ὥστε βασιλέα γενναῖον ἐπιστῆσαι τοῖς πράγμασιν. Ἐγὼ δὲ τοσοῦτον πρὸς αὐτῶν [1] εἰρήκειν [2], ὡς οὔτ' ἂν εἴποιμι τοῦτο, οὔτε πείσαιμι εἰρηκὼς, οὔτε εἰς καλὸν τῆς γλώττης ὀναίμην. Τέως δὲ τὸ πρᾶγμα ὑπεψιθύριστο τοῖς πολλοῖς, καὶ τῇ βασιλίδι ὁ βασιλεύσων ἀφώριστο, καὶ κατὰ τὰ ξυγκείμενα τὴν τήμερον μὲν ἐπίδοξος ἐπιδημῆσαι τῆς πόλεως ὁ προσδοκώμενος ἦν, τὴν δὲ αὔριον ὁ βασιλικὸς αὐτῷ θρόνος ἀφώριστο. Ἑσπέρας δέ με προσκαλεσαμένη ἡ βασιλὶς, καὶ μόνον ἀπολαβοῦσα, εἶτα δὴ καὶ δακρύουσα, « οὐκ οἶσθα, ἔφησεν, ὡς ἀπανθεῖ τὰ τῆς βασιλείας ἡμῖν πράγματα καὶ εἰς τοὐπίσω χωρεῖ, πολέμων μὲν ἀναρριπιζομένων συχνῶν, βαρβαρικοῦ δὲ πλήθους πᾶσαν τὴν ἕω ληΐζομένων· πῶς οὖν τὰ δεινὰ σταίη τοῖς πράγμασιν; » Ἐγὼ δὲ μηδὲν τῶν γεγονότων εἰδὼς, μηδ' ὅτι ἐπὶ θύραις τῶν ἀνακτόρων ὁ βασιλεύσων εἱστήκει, « οὐ τῶν προχείρων τὸ πρᾶγμα, ἔφησ' ἂν [3], ἀλλὰ τῶν βουλῆς δεομένων καὶ σκέψεως· τήμερον οὖν προβαλοῦ, καὶ αὔριον ἀκροῶ, τοῦτο δὴ [4] τὸ τοῦ ῥήματος. » | Ἡ δὲ βραχύ τι ἐπιγελάσασα, φ. 414.
« ἀλλ' οὐδ' εἴ τινος, ἔφησε, φρόντισον, τῷ δὲ καὶ πεφρόντισται καὶ διώρισται· ὁ γὰρ τοῦ Διογένους υἱὸς Ρωμανὸς τὸ βασιλεύειν ἠξίωται καὶ τῶν ἄλλων προκέκριται. » Ἐπάγην ἀκούσας εὐθὺς καὶ ὅ,τι γενοίμην οὐκ ἔχων, « ἀλλ' αὔριον, ἔφησα, κοινωνὸς τοῦ πράγματος καὶ αὐτὸς ἔσομαι· » ἡ δὲ, « μή μοι τὴν αὔριον, πρός με εἰρήκει, ἀλλ' αὐτίκα μοι κοινώνει τῆς πράξεως. » Τοσοῦτον δὲ αὖθις αὐτὴν ἠρωτήκειν, « ὁ δέ γε υἱός σου καὶ βασιλεὺς, ὃς δὴ καὶ ἐπίδοξος ἦν μοναρχεῖν, συνίστωρ τοῦ γενομένου καθέστηκεν; » Ἡ δὲ, « παντάπασι μὲν οὐκ ἀγνοεῖν [5], ἔφησε, τὸ δρώμενον, τὸ δὲ ἀκριβὲς οὐκ οἶδε τοῦ πράγματος· ἀλλ' εἰς καλὸν τοῦ υἱέος μοι

1. χ. αὐτὸν. 2. χ. εἰρήκει. 3. χ. ἔφησαν. 4. χ. τούτω δὲ. 5. χ. ἀγνωεῖν.

μέμνησαι, ἀναβησόμεθα κοινῇ πρὸς αὐτὸν καὶ τὸ πρᾶγμα διηγησόμεθα· καθεύδει δὲ ἄνωθί που ἔν τινι τῶν βασιλικῶν κοιτωνίσκων. »

Ἀνεληλύθειμεν γοῦν, ἐκείνη μὲν οὐκ οἶδ' ὅπως ἔχουσα τὴν ψυχήν, ἐγὼ δὲ ἐτεταράγμην καὶ μοί τις κλῶνος ἐξαπιναίως [1] διέσεισε τὰ ὀστᾶ· ὡς δὲ ἐπὶ τῆς κλίνης τοῦ παιδὸς ἡ μήτηρ καθῆστο [2], « ἀνίστασο, ἔφη, κάλλιστέ μοι τῶν υἱέων καὶ βασιλεῦ, καὶ δέξαι τὸν πατρῳὸν, ἀντὶ πατρὸς οὐκ ἄρχοντος, ἀλλ' ὑπείκοντος [3], τοιοῦτον γάρ σοι τοῦτον ἐν γράμμασιν ἡ μήτηρ ἐδέσμησεν. » Ὁ δὲ αὐτίκα ἐξαναστὰς, ἐμὲ μὲν ὑπεβλέψατο οὐκ οἶδ' ὅ,τι ἐνθυμηθεὶς, ἅμα δὲ τῇ μητρὶ τοῦ δωματίου ἐν ᾧ ὕπνωττε κατελθὼν, τόν τε βασιλέα ἤδη τεθέαται, μηδὲν διαλλάξας μήτε τῆς ψυχῆς, μήτε τοῦ χρώματος, καὶ ἀσπασάμενος, κοινωνὸς αὐτῷ καὶ τῆς βασιλείας καὶ τῆς εὐθυμίας καθίσταται. Μετάκλητος δὲ καὶ ὁ καῖσαρ Ἰωάννης [4] ἐπὶ τούτοις γίνεται, καὶ τὴν σύνεσιν τότε μάλιστα ἐπιδείκνυται, καὶ τοῦ ἀνεψιοῦ καὶ βασιλέως φροντίσας ὅσα εἰκὸς. καί τινας φωνὰς ὑπὲρ ἐκείνου ἀφεὶς, συμπανηγυρίζει τοῖς βασιλεύουσι, καὶ μονονοὺ τὸν ὑμέναιον [5] ᾄδει καὶ τῶν ἐπιγαμίων ἐμφορεῖται κρατήρων· καὶ οὕτω ἐπὶ τῷ βασιλεῖ Ρωμανῷ ἡ τῆς βασιλείας ἐγεγόνει κατάστασις.

Ἡ βασιλεία Ρωμανοῦ τοῦ Διογένους.

Τῷ βασιλεῖ τούτῳ, φημὶ δὴ Ρωμανῷ τῷ τοῦ Διογένους τὸ μὲν γένος ἀρχαῖον καὶ εὔδαιμον, πλὴν τοῦ πατρός· οὗτος γὰρ ἐπὶ τυραννικαῖς αἰτίαις ἁλοὺς ἐπὶ τοῦ αὐτοκράτορος Ρωμανοῦ τοῦ κατὰ τοὺς Ἀργυροὺς, ἑαυτὸν ὥσας κατὰ τοῦ κρημνοῦ ἐξαπόλωλε· ὁ δὲ τρόπος ἔστι μὲν οὐ κατευθύνων, τὰ πλείω δὲ εἰρωνικὸς καὶ ἀλα-

1. χ. ἐξαπινέως. 2. χ. καθίστω. 3. χ. εὐπείκοντος. 4. χ. καίραν. 5. χ. ὑμαίνεον.

ζὼν, ἀλλ' οὐδ' αὐτὸς τὰς τυραννίδας ἐκπέφευγεν, ἀλλὰ τὸν μὲν ἄλλον χρόνον ἐλάνθανεν, ἐπὶ δὲ Εὐδοκίας τῆς βασιλίδος, ἣν ὁ λόγος φθάσας ὑπεζωγράφησε, τὸ κρυπτόμενον ἐγύμνωσε βούλευμα· ἀλλ' εὐθὺς ἑαλώκει, καὶ δίκας ἂν ἐδεδώκει ὧν ἐτετολμήκει, εἰ μὴ τὸ τῆς βασιλίδος φιλάνθρωπον ὑπεξεῖλε τοῦτον τῆς κατακρίσεως, παρ' ᾧ καὶ εἰς τὴν κρίσιν ἠπάτηται· ᾠήθη [1] γὰρ ὡς εἰ βασιλέα ποιήσειεν ὃν δέον ἀνελεῖν σέσωκεν, ἑαυτῇ [2] τὸ πᾶν τοῦ κράτους περιποιήσαιτο, καὶ οὐκ ἂν ἐκεῖνον ἄλλο τι φρονεῖν παρ' ὅπερ αὐτὴ βούλοιτο, δίκαια μὲν ὑπολαμβάνουσα, διημαρτήκει δὲ τοῦ σκοποῦ· οὐ πολλὰς γὰρ ἡμέρας ὑποκριθεὶς αὐτῇ τὴν ὑπακοὴν, εὐθὺς τῶν οἰκείων ἐγεγόνει ἠθῶν, καὶ ὅσον ἐκείνη κατάρχειν τούτου ἐβούλετο καὶ οἷον τὸν δυναστεύοντα λεοντοκομεῖν, τοσοῦτον ἐκεῖνος τὸν χαλινὸν ἐδυσχέραινε καὶ δεινῶς πρὸς τὴν ἐπέχουσαν χεῖρα ὑπέβλεπε· καὶ τὰ μὲν πρῶτα ἐντὸς ὀδόντων ὑπετονθόρυζεν [3], εἶτα δὴ καὶ ἐπεδημοσίευε τὴν δυσχέρειαν.

Ἐμοὶ δὲ προσεῖχεν ὡς κρείττονι· ὅτε γὰρ μετὰ τῶν ἰδιωτῶν ἐτέτακτο, δουλοπρεπέστατα πρός με διέκειτο, καί τινος καὶ παρ' ἐμοῦ συμμαχίας ἀπολελαύκει, καὶ ὃς οὐκ ἐπιλέλησθο ταύτης τῆς βασιλείας ἀξιωθεὶς, ἀλλ' ἠγάπα τε καὶ ἐσέβετο τοσοῦτον, ὡς καὶ ὑπανίστασθαί μοι προσιόντι καὶ τὰ πρῶτα χαρίσασθαι τῆς πρὸς αὐτὸν οἰκειώσεως· ἀλλὰ τοῦτο μὲν πάρεργον κείσθω τοῦ λόγου. Ὁ δὲ ἐβούλετο μὲν αὐταρχεῖν καὶ τὸ κράτος τῶν πραγμάτων ἔχειν μονώτατος, οὔπω δέ τι γενναῖον τῇ ἀρχῇ συνεισενεγκὼν ἐταμιεύετο τὸν καιρόν· καὶ τούτου τε ἕνεκα τοῦ σκοποῦ, πρὸς δὲ καὶ τῆς ὑπὲρ τῶν ὅλων σωτηρίας, κηρύττει κατὰ Περσῶν πόλεμον. Κἀγὼ μὲν, ὅπερ δὴ ποιεῖν εἴωθα τὰ συνοίσοντα τοῖς βασιλεύουσι παραινεῖν, ἐπεῖχον τὸν ἄνδρα, καὶ πρότερον ἔφασκον περὶ τῶν στρατιωτικῶν δυνάμεων διαλέγεσθαι καὶ καταλόγους ποιεῖν, καὶ ξενικὴν συμμαχίαν προσαγαγεῖν, εἶθ' οὕτως ἐφ' ἑτοίμοις τοῖς πράγμασι πολεμεῖν

1. χ. ὠήθει. 2. χ. ἑαυτὴν. 3. χ. ὑπετοθόρυζεν.

αἱρεῖσθαι· οἱ δέ γε εἰωθότες παρὰ τὴν ἐμὴν γλῶσσαν λαλεῖν, πλὴν ἐνίων, καὶ τότε καὶ νῦν τὰ πράγματα διεφθάρκασιν. Ἐνίκα γοῦν τὰ χείρω· καὶ τὴν πολεμικὴν πανοπλίαν ἀπὸ τῶν ἀνακτόρων ἐνδὺς, ἀσπίδα τε λαβὼν τῇ ἀριστερᾷ καὶ δόρυ τῇ δεξιᾷ κολλητὸν βλήτροισι δύο καὶ εἰκοσάπηχυ, ᾤετο τῇ μὲν ἀποφράττειν τοῖς πολεμίοις τὴν ἔφοδον, τὸ δόρυ δὲ ταῖς πλευραῖς ἐπωθεῖν· καὶ ἐπὶ τούτοις οἱ μὲν ἄλλοι ἠλάλαζον καὶ τὼ χεῖρε ἐκρότουν, ἐγὼ δὲ ἐσκυθρώπαζον τῶν μελλόντων ὁπόσον[1] εἰκὸς στοχαζόμενος.

Ἐξεληλύθει γοῦν κατὰ τῶν βαρβάρων πανστρατιᾷ, οὔθ' ὅπη πορεύεται ἐπιστάμενος, οὔθ' ὃ δράσειεν· ἐπεπλάνητο γοῦν ἑτέραν μὲν προθέμενος, ἑτέραν δὲ πορευόμενος, καὶ Συρίαν μὲν καὶ Περσίδα περινοούμενος, τοσοῦτον δὲ κατορθῶν ὁπόσον[2] ἀνάγειν τὸ στράτευμα καὶ ἐπὶ μετεώρων λόφων ἱστᾶν, καὶ αὖθις κατάγειν, στεναῖς τε ἀπολαμβάνειν ὁδοῖς καὶ πολλοὺς ἀπολλύειν[3] τῷ στρατηγήματι. Τέως μὲν οὖν τῷ δοκεῖν τροπαιοφόρος ἐπάνεισιν, οὔτε Μηδικὰ σκύλα κομίσας ἡμῖν, οὔτε Περσικά, ἀλλὰ τούτῳ μόνῳ τῶν πάντων ἐπαιρόμενος ὅτι κατὰ τῶν ἐναντίων ἐστράτευσεν.

Αὕτη πρόφασις αὐτῷ πρώτη τῆς ἀλαζονείας ἐγένετο· ἐντεῦθεν καὶ τῆς βασιλίδος κατωλιγώρει, καὶ τῶν ἐν τέλει καταπεφρονήκει, καὶ τῶν συμβούλων ἀφέμενος, τοῦτο δὴ τὸ τῶν βασιλέων ἀνίατον νόσημα, ἑαυτῷ πρὸς πᾶν ὁ,τιοῦν ἐχρῆτο καὶ συμβούλῳ καὶ παραινέτῃ. Ἐγὼ δὲ, ὄμνυμι δὲ θεὸν ὃν ἡ φιλοσοφία πρεσβεύει, ὑποροττόμενα καταλαμβάνων βουλεύματα, καὶ περὶ τῇ βασιλίδι καὶ τοῖς πράγμασι δείσας μὴ πάντα συγχυθείη καὶ ἀνατραπείη, τοῦ
φ. 415. σκοποῦ τε τοῦτον | ἀπῆγον, καὶ τῶν συνθηκῶν ὑπεμίμνησκον, ἐνσείων καὶ φόβον ὅπη παρείκοι, μήπως ἐναντίον αὐτῷ τὸ τέλος τῶν ἐνθυμημάτων γένοιτο. Ἐπεὶ δὲ καὶ ἡ βασιλεύουσα πολλάκις ὑπ' ἐκείνου πληγεῖσα διῳδήκει τὴν ψυχὴν καὶ ὕπουλον εἶχε τὸ

1. χ. ὑπόσων. 2. χ. ὑπόσων. 3. χ. ἀπολύειν.

φρόνημα, ἀμφοτέροις ἐμαυτὸν μερίζων ὑπὲρ ἑκατέρου πρὸς ἕκαστον ἐποιούμην τοὺς λόγους.

Οὐ πολὺς χρόνος διεληλύθει, καὶ πρώτου εὐθὺς ἔαρος τὰ τῶν ἐναντίων ὤδινε, καὶ τὸ προλαβὸν τρόπαιον τοῦ βασιλέως ἠλέγχετο· δευτέρων οὖν αὖθις πολέμων παρασκευαὶ, καὶ ἵνα τὰ ἐν μέσῳ συντέμω, κἀγὼ τῆς στρατείας πάρεργον γίνομαι· τοσαύτην γάρ μοι ἀνάγκην τοῦ συναπαίρειν [1] τούτῳ ἐπήνεγκεν, ὅσην οὐκ ἐνῆν ἀπώσασθαι· λέγειν μὲν οὖν τὴν αἰτίαν, δι' ἣν με ἑαυτοῦ παντάπασιν ἐποιήσατο, νῦν μὲν οὐκ ἂν εἴποιμι, τῆς ἱστορίας τὰ πολλὰ συντέμνων, ἐρῶ δὲ ὁπότε περὶ τούτων ξυγγράφοιμι· οὕτω [2] δὲ ταύτην διαπέφευγα, ὡς μήτ' ἐμοὶ λαβὴν κακονοίας πρὸς ἐκεῖνον γενέσθαι, μήτ' αὐτῷ τὰ πάντα διαπεσεῖν. Λόγων μὲν οὖν ἠττᾶσθαι τῶν ἐμῶν ἐπὶ πᾶσι διωμολόγει, λέγω δὲ τῶν περὶ τὰς ἐπιστήμας, ἐβούλετο δέ μου τὸ πλέον ἔχειν τῆς στρατηγικῆς συνέσεως· ὡς δέ με οἶδε [3] τὴν τακτικὴν ἐπιστήμην ἠκριβωκότα καὶ ὅσα περὶ λόχους καὶ τάξεις, καὶ ὅσα περὶ μηχανημάτων κατασκευὰς, καὶ ἁλώσεις πόλεων, καὶ τἄλλα ὅσα στρατηγικῶν εἰσὶ διατάξεων, ἐθαύμασε μὲν, ἐβάσκηνε [4] δὲ, ἀντείχετο δέ μου τοσοῦτον καὶ περιείχετο· εἰδόσι δὲ λέγω πολλοῖς τοῖς τότε ἡμῖν συστρατεύουσιν, ὡς μὴ τῆς διαθέσεως ταύτης εἶναι ὑπερβολήν.

Ἐγεγόνει δὲ οὐδ' ὁ δεύτερος αὐτῷ πόλεμος ἔχων τι τοῦ προτέρου πλέον, ἀλλ' ἐν ἴσῃ τῇ στάθμῃ καὶ πάντῃ ἰσόρροπος· εἰ δὲ κατὰ μυρίους μὲν ἡμεῖς πίπτοιμεν, δύο δὲ ἢ τρεῖς ἁλοῖεν πολέμιοι, οὐ νενικήμεθα, καὶ πολὺς [5] ἐφ' ἡμῖν κατὰ τῶν βαρβάρων ὁ κρότος. Ἐντεῦθεν οὖν αὐτῷ πλείων [6] ὁ κόμπος καὶ μεῖζον τὸ φρύαγμα, ὅτι δὶς ἐστρατήγησε καὶ λόγος αὐτῷ τῶν πάντων οὐδεὶς [7], ἀλλὰ καὶ παραινέταις [8] χρώμενος κακοήθεσιν τῆς εὐθείας πάντῃ [9] ἐτράπετο. Τὴν μὲν οὖν βασιλίδα ὥσπερ δὴ χειρωσάμενος εἶχεν, καὶ οὐδὲν

1. χ. συναπαίρει. 2. γρ. οὔπω. 3. χ. εἶδε. 4. χ. εὐάσκηνε. 5. χ. πολλοῖς. 6. χ. πλεῖον. 7. χ. δεῖς. 8. χ. παραινέτας. 9. χ. πάντι.

αὐτῷ πρᾶγμα εἰ καὶ τῶν βασιλείων ἀπαγαγεῖν θελήσειεν, τὸν δὲ Καίσαρα[1] ὑπεβλέπετο, καὶ πολλάκις ὁρμήσας ἐλεῖν τε καὶ καθελεῖν αὖθις ἐγνωσιμάχει καὶ οὐκ ἐπεχείρει τῷ σκέμματι, τὸ γοῦν παρὸν τὰς δι' ὅρκων αὐτοῦ τε καὶ τῶν υἱέων[2] πίστεις εἰλήφει. Ἐπεὶ[3] δὲ οὐκ εἶχε γενναίαν πρόφασιν ὥστε [τὰ] κατὰ νοῦν αὐτῷ πληρῶσαι βουλεύματα, τρίτον αὖθις καὶ τελευταῖον κατὰ τῶν ἐπικειμένων βαρβάρων ἐπιστρατεύει· οὐ γὰρ ἀνίεσαν οὗτοι ὑποφαινομένου τοῦ ἔαρος[4] λητίζοντες γῆν τὴν Ρωμαίων καὶ παμπληθεῖ[5] κατατρέχοντες· ἔξεισιν οὖν αὖθις, πλείονα τῶν προτέρων ἐπαγόμενος συμμαχίαν καὶ δύναμιν. Ὥσπερ δὲ εἰώθει ποιεῖν ἐν πᾶσι πράγμασι πολιτικοῖς τε καὶ στρατιωτικοῖς, μὴ γνώμας παρά του λαμβάνειν τῶν πράξεων, ἄρας εὐθὺς τῷ στρατῷ ἐπὶ τὴν Καισαρέων[6] ἐπείγεται· εἶτα δὴ ὀκνεῖ μὲν προσωτέρω προϊέναι, καὶ ἀφορμὰς ἐπανόδου αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐδίδου· ὡς δ' οὐκ ἦν τὴν αἰσχύνην ἐπενεγκεῖν[7], δέον σπονδὰς πρὸς τοὺς πολεμίους ποιήσασθαι καὶ ἐπισχεῖν αὐτοὺς τῆς ἐπετείου ὁρμῆς, ὁ δὲ, εἴτε τὰ πράγματα ἀπογνοὺς, εἴτε θαρρήσας πλέον τοῦ δέοντος ἀνεπιστρεπτεῖ ἐπὶ τοὺς ἐναντίους χωρεῖ. Οἱ δὲ, ὡς τὴν πρόοδον ᾔσθοντο, βουλόμενοι τοῦτον ὑπαγαγεῖν εἰς τὸ ἔμπροσθεν καὶ ἐντὸς ἀρκύων ποιήσασθαι, προέτρεχόν τε τοῖς ἵπποις καὶ αὖθις ἀνθυπενόστουν ὥσπερ δρασμὸν βουλευσάμενοι, καὶ τοῦτο πολλάκις ποιήσαντες ἑνίους τῶν στρατηγῶν συνηρπάκασι καὶ ὑφ' ἑαυτοῖς ἐποιήσαντο.

Ὃ δέ με διέλαθεν, ἔλαθε τοῦτον, αὐτὸς δὴ ὁ σουλτὰν, ὁ τῶν Περσῶν ἢ Κούρτων βασιλεὺς συνὼν τῷ στρατεύματι καὶ τὰ πλείω τῶν κατορθωμάτων ποιῶν· εἰ δέ τις τοῦτον ἐφώρασεν, ὁ δὲ οὐκ ἐπίστευε λέγοντι, ἀλλ' οὐδὲ εἰρήνην ἐβούλετο, ἀλλ' ᾤετο αὐτοβοεὶ αἱρήσειν τὸ τῶν ἐναντίων στρατόπεδον. Τὸ δ' ἀστρατήγητον τούτου διεῖλε τὰς δυνάμεις, καὶ τὰς μὲν αὐτοῦ κατεῖχε, τὰς δὲ ἐπ'

1. χ. καίρ-. 2. χ. υἱέων. 3. χ. ἐπὶ. 4. χ. ἀέρος. 5. χ. πανπληθῆ. 6. χ. Καισαρεῶν. 7. χ. ἐπανεγκεῖν.

ἄλλο τι ἐξαποστέλλει, καὶ δέον ὅλῳ τῷ πλήθει τοῦ στρατεύματος τοῖς ἐναντίοις ἀντικαθίστασθαι, ὁ δὲ τῷ ἐλάττονι μέρει πρὸς αὐτοὺς ἀντετάξατο.

Τὸ δὲ μετὰ ταῦτα ἐπαινεῖν μὲν οὐκ ἔχω, ψέγειν δὲ οὐ δύναμαι, αὐτὸς τὸν ὅλον κίνδυνον δέχεται· τοῦτο δὲ μέσον ἐστὶν ἀντιρρήσεως· εἰ μὲν γὰρ ὡς φιλοκίνδυνον λογίσαιτό τις τὸν ἄνδρα καὶ ἀγωνιστὴν προθυμότατον, ἔχοι ἂν ἀφορμὰς πρὸς ἐγκώμιον· εἰ δ' ὅτι δέον κατὰ τὴν στρατηγικὴν ἀκρίβειαν πόρρω ἵστασθαι, πρωτοστράτηγον τυγχάνοντα τοῦ στρατεύματος, καὶ τοῖς πλήθεσιν ἐπιτάττειν τὰ δέοντα, ὁ δὲ ἀλογίστως παρεκινδύνευε, πολλὰ ἂν ἐς αὐτὸν ἀποσκώψειεν· ἐγὼ δὲ μετὰ τῶν ἐπαινούντων, ἀλλ' οὐ τῶν αἰτιωμένων εἰμί. Ὅπλιστο μὲν οὖν τὴν στρατιωτικὴν πανοπλίαν, καὶ τὸ ξίφος ἐγύμνωσεν ἐπὶ τοὺς ἐχθρούς· ὡς δὲ ἐγὼ πολλῶν ἤκουσα, ὅτι καὶ πολλῶν ἀνῃρήκει τῶν ἐναντίων, τοὺς δὲ καὶ ἐς φυγὴν κατηνάγκασεν. Εἶτα δὴ ὅστις εἴη γνώριμος τοῖς ἐς αὐτὸν βάλλουσι γεγονὼς, κύκλῳ τε ὑπὸ τούτων περιστοιχίζεται, καὶ ὀλισθαίνει μὲν τοῦ ἵππου βληθείς, εἶτα δὴ ἑαλώκει, καὶ δορυάλωτος εἰς τοὺς πολεμίους ὁ βασιλεὺς Ρωμαίων ἀπάγεται, καὶ τὸ στράτευμα διαλύεται· καὶ τὸ μὲν διαφυγὸν μέρος βραχύ τι, τῶν δὲ πλειόνων οἱ μὲν ἑάλωσαν, οἱ δὲ μαχαίρας ἔργον γεγόνασιν.

Ὁ μὲν οὖν ἐν τῇ αἰχμαλωσίᾳ τοῦ βασιλέως χρόνος ἀναμεινάτω καὶ ὅ,τι τῷ κρατήσαντι περὶ τούτου συνδέδοκται. Οὐ πολλαὶ δὲ ἡμέραι διεληλύθεσαν, καὶ τῶν διαπεφευγότων τὸν πόλεμον ἄγγελός τις προλαβὼν τὸ δεινὸν ἐν τῇ πόλει ἀπήγγειλε, καὶ αὖθις ἄλλος, καὶ πάλιν | ἐφ' ἑτέρῳ ἕτερος, σαφὲς μὲν οὐδὲν ἀπαγγέλλοντες, φ. 416.
αὐτὸ δὲ τὸ δεινὸν ἑρμηνεύοντες· οἱ μὲν γὰρ τεθνηκέναι τὸν βασιλέα, οἱ δὲ ἑαλωκέναι μόνον κατήγγελλον, οἱ δὲ τετρωμένον τοῦτον ἰδεῖν καὶ καταγῆς ἐρριμμένον, οἱ δὲ δέσμιον ἀπαγόμενον εἰς[1] τὸ τῶν ἐναντίων στρατόπεδον. Ἐπὶ συμβούλοις οὖν ἐν τῇ πόλει τὰ πράγ-

1. χ. εἰ.

ματα γίνεται, καὶ τί πρακτέον ἡ βασιλὶς διηρώτα· ἔδοξε γοῦν σύμπασιν, ἐκεῖνον μὲν τέως ἐᾶν, εἴτε ἑαλώκει, εἴτε[1] ἐτεθνήκει, ἑαυτῇ[2] δὲ καὶ τοῖς παισὶ κρατύνεσθαι τὴν ἀρχήν.

Ἐνταῦθα οἱ μὲν τῷ υἱῷ καὶ παιδὶ τὴν βασιλείαν ἐδίδοσαν, ὡς ἀπρακτεῖν τὴν μητέρα παντάπασιν, οἱ δὲ τὸ πᾶν τῆς ἀρχῆς καὶ αὖθις ταύτῃ[3] ἀπένεμον. Ἐμοὶ δὲ οὐδ' ἕτερον ἤρεσκεν, οὐ γὰρ διαψεύσομαί γε τὴν ἐμὴν δόξαν, ἀλλὰ συμπράττειν ἀμφοτέρους, ὡς τεκούσῃ[4] τὴν ὑπακοὴν ἐνδείκνυσθαι, τὴν δὲ κοινῇ μετὰ τοῦ παιδὸς τὴν τῶν ὅλων ποιεῖσθαι οἰκονομίαν· τοῦτο μὲν οὖν καὶ τῷ βασιλεῖ Μιχαὴλ ἐδόκει καὶ ἐτίθετο τῷ σκοπῷ. Ἀλλ' οἱ τὴν βασιλείαν ἑαυτῶν ποιεῖν βουλόμενοι, καὶ κέρδους τοῦ σφετέρου ἕνεκα τὰ περὶ τὴν ἀρχὴν πραγματεύεσθαι, τὴν μὲν εἰς μοναρχίαν ἠρέθιζον, τὸν δὲ ἀντιπίπτειν τῇ μητρὶ κατηνάγκαζον. Ἐνταῦθα οὐκ οἶδα ὅ,τι θαυμάσωμαι τοῦ ἀνδρός· ἐμοὶ γὰρ μόνῳ περὶ τῶν ὅλων κοινολογούμενος[5] ἐβούλετο, εἰ ἀρεστὸν τῇ μητρὶ καὶ τῆς ἀρχῆς μεταστῆναι καὶ μηδὲν πρὸς ἐκείνην ἢ μεγαλοπρεπεύσασθαι ἢ σμικρολογήσασθαι· πολλάκις γοῦν ἐγὼ τούτους συνήγαγον εἰς ταὐτὸ, ὁ δὲ τοσοῦτον ἀπεῖχε τοῦ ἀντειπεῖν τῇ μητρὶ, ὥστε καὶ ἀντωπῆσαι[6] αὐτῇ ἠρυθρία καὶ ὑπεστέλλετο. Ἀλλὰ καὶ ἐπὶ τούτοις ἔτι μετεώρου ὄντος[7] τοῦ σκέμματος, ὁ καῖσαρ Ἰωάννης[8] τὴν πόλιν εἴσεισι, τοῦτο παρὰ τῆς βασιλίδος ἐγκελευσθεὶς, καὶ τοῦ ἐμοῦ βουλεύματος γίνεται, καὶ τὴν κοινοπραξίαν τοῦ γένους ἀσπάζεται.

Ἀλλ' οὔπω τοῦτο κατευνάσθη τὸ κῦμα, καὶ τῆς αὐτῆς ἡμέρας ἕτερον ἐγείρεται καὶ ἐπωρύεται[9]· ὁ γὰρ τοῦ πολεμίου στρατεύματος ἀρχηγὸς, ἐπειδὴ τὸν βασιλέα Ρωμαίων ἀλώσιμον ἐθεάσατο, τῷ μὲν κατορθώματι οὐκ ἐπαίρεται, συστέλλεται δὲ λίαν τῷ εὐτυχήματι, καὶ μετριάζει τῇ νίκῃ τοσοῦτον ὅσον οὐδεὶς ἂν προσεδόκησε, παραμυθεῖται τὸν ἑαλωκότα, κοινωνεῖ τραπέζης, τιμῆς ἀξιοῖ, δορυφο-

1. χ. ὅτε. 2. χ. ἑαυτῷ. 3. χ. ταύτην. 4. τεκοῦσα. 5. χ. κοινολογούμενον. 6. χ. ἀντοπῆσαι. 7. χ. οὗτος. 8. χ. καίραν. 9. χ. ἐπορρύεται.

ρίαν ἐφίστησι, λύει αὐτῷ τῶν δεσμῶν οὓς ἐβούλετο, ἀπολύει τῶν αἰχμαλώτων ὁπόσους προέτρεψε, τελευταῖον καὶ αὐτὸν δὴ τῆς αἰχμαλωσίας ἐλευθεροῖ, καὶ σύμβολα κήδους πεποιηκὼς καὶ ὑποσχέσεις παρ' ἐκείνου λαβὼν ἐνωμότους, μεθ' ὅσης ἂν εἴποι τις προπομπῆς καὶ δορυφορίας ἐπὶ τὴν ἰδίαν ἀποστέλλει ἀρχήν, ὅπερ δὴ ἀρχέκακον ἐγεγόνει καὶ πολλῶν συμφορῶν αἰτιώτατον. Τυχὼν οὖν ὁ βασιλεὺς ὧν οὐκ ἤλπιζεν, ἀπραγματεύτως ᾠήθη τὴν βασιλείαν Ρωμαίων αὖθις λήψεσθαι, καὶ ὥσπερ αὐτάγγελος τοῦ μετὰ τὸ ἀτύχημα εὐτυχήματος τῇ βασιλίδι καθίσταται γράμμασι τῆς ἰδίας χειρὸς ἃ συμβεβήκοι τούτῳ σημειωσάμενος. Θόρυβος οὖν εὐθὺς καὶ διαδρομαὶ περὶ τὰ βασίλεια, τῶν μὲν θαυμαζόντων τὸ γεγονὸς, τῶν δὲ ἀπιστούντων τῷ πράγματι· ἀπορία τε καὶ ἡ βασιλὶς συνείχετο καὶ ἀμφίβολος ἦν ὅ,τι καὶ δράσειεν. Ἐν μέσοις τοῖς ἀπορουμένοις καὶ αὐτὸς γεγονὼς, καὶ πάντων προτρεπομένων μοι τὸ συμφέρον εἰπεῖν, μάλιστα δὲ τοῦ καλλίστου μοι βασιλέως προσκειμένου καὶ συναναγκάζοντος, ἐγὼ μὲν ἀπεφαινόμην μὴ δεῖν αὐτὸν ἔτι τῇ βασιλείᾳ προσδέξασθαι, ἀλλ' ἐκ μέσου ποιεῖν, καὶ πανταχοῦ πέμπειν προστάγματα τὴν ἀρχὴν τούτῳ ἀπαγορεύοντα· ὅπερ τοῖς μὲν λυσιτελὲς ἐδόκει τοῖς καθεστηκόσι, τοῖς δ' ἄλλο τι ἐδέδοκτο [1].

Ἐν τούτῳ δὲ τῶν πραγμάτων ὄντων, ὁ βασιλεὺς Μιχαὴλ περὶ ἑαυτῷ δείσας καὶ τὴν τοῦ Διογένους ὑποπτεύσας ὠμότητα, βουλὴν βουλεύεται ἀσφαλεστάτην ἑαυτῷ, εἴποι δ' ἄν τις καὶ συνετωτέραν· ἀποτρέχει τῆς μητρὸς καὶ ἑαυτῷ γίνεται, τοῖς τε ἐξανεψιοῖς συμβούλοις χρησάμενος, φημὶ δὲ τοῖς υἱέσι τοῦ Καίσαρος, τοὺς περὶ τὴν αὐλὴν φύλακας οἰκειοῦται· τοῦτο δὲ γένος ἀσπιδοφόροι σύμπαντες καὶ ῥομφαίαν τινὰ ἀπὸ τοῦ ὤμου [2] ἑτερόστομον καὶ βαρυσίδηρον ἐπισείοντες· κτυπήσαντες [3] γοῦν τὰς ἀσπίδας ἀθρόον [4] καὶ ἀλαλάξαντες ὅσον ἐχώρουν αἱ κεφαλαὶ, τάς τε ῥομφαίας πρὸς

1. χ. ἐδέδεκτο. 2. χ. ὄμου. 3. χ. κτυπίσαντες. 4. χ. ἀθρόοι.

ἀλλήλους συντρίψαντές τε καὶ συνηχήσαντες, ἐπὶ τὸν βασιλεύοντα ὡς κινδυνεύοντα συνανίασι, καὶ χορὸν περὶ αὐτὸν ἑλίξαντες ἀθιγῶς ἐπὶ τὰ ὑψηλότερα τῶν ἀνακτόρων ἀνάγουσιν.

Ἐκεῖνοι μὲν οὖν οὕτως· οἱ δὲ μετὰ τῆς βασιλίδος, ὧν δὴ καὶ αὐτὸς ἐτύγχανον ὤν, ἀγνῶτες τοῦ πράγματος ὄντες[1], μονονοὺ πεπηγότες ἐγεγόνειμεν, ἐφ' ἑαυτοὺς τὸ δεινὸν ἥξειν οἰόμενοι. Ἡ μέντοι γε βασιλὶς οὐδὲ καθεκτὴ ἦν, ἀλλὰ τῆς κεφαλῆς περιελομένη τὸ κάλυμμα, κατατείνει δρόμον ἐπί τι[2] σπήλαιον ἄδυτον· καὶ ἡ μὲν ἐδεδύκει τῷ φωλεῷ, ἐγὼ δὲ περιειστήκειν τὸ στόμιον, οὐκ ἔχων ὅ τι γενοίμην, οὐδ' ὅποι τραποίμην. Ἀλλ' ὁ βασιλεὺς ἐν τῷ ἀσφαλεῖ καταστὰς, ἐμοῦ παρὰ τοὺς ἄλλους ἐφρόντισε, καὶ τοὺς διερευνήσοντάς με καὶ ἀναζητήσοντας πανταχοῦ τῶν ἀνακτόρων ἀπέσταλκεν· οἳ δὴ καὶ εὑρηκότες ἀνελάβοντο ταῖς χερσὶ, καὶ ὥσπέρ τι ἔρμαιον ἢ ἀνάθημα πολυτίμητον τῷ αὐτοκράτορι εὐθύμως προσαγηόχασιν· ὁ δὲ εὐθὺς ἰδὼν ὥσπερ ἀναπνέει τοῦ κλύδωνος καὶ ἐπ' ἐμοὶ τίθεται βουλεύεσθαι τὰ συμφέροντα. Ἐγὼ μὲν οὖν τῶν πολιτικῶν εἰχόμην πράξεων, καὶ τὰ μὲν ᾠκονόμουν, τὰ δὲ διέττατον, ὅπως ἂν ἡμῖν ἀξύγκλυστα γένοιτο τὰ τῆς πόλεως πράγματα· οἱ δὲ περὶ τὴν μητέρα τοῦ βασιλέως ἐπραγματεύοντο, καὶ ἵνα τὰ ἐν
φ. 417. μέσῳ πολλὰ ὄντα ἐάσω, κυροῦται | κατὰ ταύτης βούλευμα, ὑπεξελθεῖν μὲν τῆς πόλεως, οἰκῆσαι δὲ ὅπερ αὐτῇ πρὸ τῆς θαλάττης τεμένισμα τῇ Θεοτόκῳ ἱδρύσατο· καὶ γίνεται τοῦτο εὐθὺς, τοῦ μὲν βασιλέως καὶ παιδὸς, ὅπερ αὐτὸς οἶδα καὶ τοὺς πολλοὺς βεβαιώσαιμι[3] ὑπὸ θεῷ μάρτυρι, ἀπαρνουμένου τὴν τῆς μητρὸς ἐκδημίαν, τοῦ καιροῦ δὲ συναναγκάζοντος καὶ ἀντιπίπτοντος τῷ τοῦ βασιλέως θελήματι.

Ἐπεὶ δὲ, οἷα φιλεῖ ἐν τοῖς τοιούτοις γίνεσθαί τε καὶ λέγεσθαι, ἄλλος ἄλλο τι περὶ τῆς βασιλίδος ἐδόξαζον, καὶ συνεχεῖς κατ' αὐτῆς λόγοι ἀπετοξεύοντο, δεύτερον γίνεται δόγμα εἰς τὴν μονα-

1. χ. ὄντος. 2. χ. τη. 3. χ. βεβαιώσαιμε.

δικὴν αὐτὴν μετατεθῆναι ζωήν· αὐτίκα δὲ καὶ τοῦτο τετέλεσται. Καὶ τὰ μὲν περὶ τὴν βασιλίδα εἰς τοῦτο συντέτμηται· ὁ δέ γε Διογένης οὐκ ἠγάπησεν ἀπολυθεὶς τῆς αἰχμαλωσίας, ἀλλὰ δεινὸν ἐποιεῖτο εἰ καὶ μὴ τῆς βασιλείας ἐγκρατὴς γένοιτο· ἤδη[1] δὲ καὶ πλῆθος αὐτῷ συνερρυήκεσαν τῆς στρατιωτικῆς φάλαγγος. Ὁ δὲ τόπον ἐκ τόπων ἀμείβων, καὶ κατὰ πολλὴν τοῦ κωλύοντος ἄδειαν χρήματα ἑαυτῷ ἀπὸ τῶν δημοσίων φόρων ὑποποιούμενος, τὸ διὰ πάσης γλώττης βοώμενον πτόλισμα μετὰ παντὸς καταλαμβάνει τοῦ στρατοπέδου, φημὶ δὴ τὴν Ἀμάσειαν.

Εὐθὺς οὖν τῶν τοῦ Καίσαρος υἱέων τῷ νεωτέρῳ ὁ βασιλεὺς τὸ Ρωμαϊκὸν πιστεύει στρατόπεδον· οὗτος δὲ καὶ τὴν χεῖρα δραστήριος καὶ τὴν σύνεσιν ὀξὺς καὶ θαυμάσιος, γνῶναί τε καὶ[2] δέοντα καὶ ἑρμηνεῦσαι ἐπιφανέστατος· γενόμενος οὖν ἀγχοῦ τῆς πόλεως οὗ ὁ Διογένης ἐκάθητο[3], πρῶτα μὲν συνεῖχε τὸ στράτευμα, εἶτα δὴ ἀκροβολισμοῖς ἐχρῆτο συχνοῖς, καὶ αὖθις ἠπάτα, καὶ πάντα τρόπον ἐμηχανᾶτο ἢ αἱρήσειν τοῦτον, ἢ ἐξελάσειν τῆς πόλεως. Ὁ δὲ στενοχωρούντων αὐτῷ τῶν πραγμάτων, τολμᾷ τὴν ἐκεῖθεν ἔξοδον καὶ παρατάσσεται πρὸς αὐτὸν παντὶ τῷ περὶ αὐτὸν στρατεύματι· μίγνυται οὖν τὰ στρατόπεδα, καὶ γίνεται ἐξ ἑκατέρου μέρους φόνος[4] πολύς· ἔπειτα δὲ ὁ ἡμεδαπὸς στρατηγὸς ὥσπερ τις πτερωτὸς ἱππότης ἐλᾷ τὸν ἵππον ἐπὶ τοὺς ἐναντίους, καὶ οἷά τις πύργος ἐμπεσὼν τῇ πολεμικῇ φάλαγγι ᾠθεῖ τε ταύτην καὶ εἰς μέρη πολλὰ διασπᾷ· ἐντεῦθεν οἱ μὲν τῶν ἀντικειμένων ἐν αὐτῷ τῷ πολέμῳ μαχόμενοι πίπτουσιν, οἱ δὲ ἑάλωσαν, ὀλίγοι δέ τινες ἐκπεφεύγασι, μετὰ πάντων καὶ ὁ Διογένης ἀνὰ κράτος τὸν ἵππον ἐλαύνων· τοῦτο πρῶτον θάρσους ἡμῖν αἴτιον γίνεται.

Ἐντεῦθεν ὁ Διογένης ἀρχὴν λαμβάνει τῆς καταλύσεως, καὶ σὺν ὀλίγοις τοῖς περὶ αὐτὸν εἴς τι κατακλείεται πολισμάτιον· ἑαλώκει δὲ ἂν αὐτίκα, εἰμή τι ἄλλο συνεμπεπτώκει· ἀνὴρ γάρ τις

1. χ. ἤδει. 2. γρ. τὰ. 3. χ. ἐκάθειτο. 4. χ. φόρος.

ἐξ Ἀρμενίων ἔχων τὸ γένος, τὴν γνώμην βαθὺς, δυσμενὴς ἡμῖν τῆς προαιρέσεως, ἀρχήν τινα παρὰ τούτου τῶν μεγίστων λαβών, ὁπηνίκα βασιλεὺς ἦν, χάριτας αὐτῷ ἐπὶ τοῦ δυστυχήματος ἀνθομολογούμενος, στρατιώτας συχνοὺς ἐπαγόμενος πρόσεισι τούτῳ, καὶ θαρρεῖν παρακελευσάμενος καὶ τὰ μέγιστα ὑποσχόμενος, ἀντικαθίστασθαι μὲν τοῖς ἡμετέροις στρατεύμασιν οὐκ ἐᾷ, εἰς δὲ τὴν τῶν Κιλίκων χώραν ἀπαγαγὼν καὶ εἰς τὴν ἐξ ἐφόδου φυλακὴν τὰ τέμπη τῆς Κιλικίας αὐτοῦ προβαλλόμενος, στρατόν τε ἑαυτῷ ἐξαρτύει καὶ χρήματα δίδωσι, καὶ εἰς βασιλέως σχῆμα καθίστησι, καὶ ὁπλίζει πρότερον, εἶτα ἐν καιρῷ μάχεσθαι πρὸς τὸ ἡμέτερον στράτευμα ὁ δεινὸς οὗτος ἀνὴρ ταμιεύεται. Ἐν βουλεύμασιν οὖν αὖθις τὰ καθ' ἡμᾶς καὶ ὅτι πρακτέον εἴη ἐδοκιμάζετο· τοῖς μὲν οὖν εἰρήνην ἐδόκει πρὸς τὸν Διογένην ποιήσασθαι, καὶ μέρους τινὸς παραχωρήσαντας τῆς ἀρχῆς μηδέν τι πλέον ποιεῖν, τοῖς δὲ πολεμητέα ἐδέδοκτο, καὶ μηδὲ μίαν αὐτῷ ἀφορμὴν τῆς ἔπειτα θρασύτητος παρασχεῖν. Τὰ μὲν οὖν τῆς εἰρήνης πρῶτον ἐπράττετο, καὶ γράμματα παρὰ τοῦ βασιλέως πρὸς ἐκεῖνον ἐξαπεστέλλοντο κοινοπαθῆ καὶ φιλάνθρωπα· ὁ δὲ ὥσπερ ὑβριοπάθει, ὅτι συμπάθειά τις αὐτῷ ἀπηγγέλλετο μηδὲν ὅλως τῶν κακῶν πλημμελήσαντι, εἰς αἰτήσεις δὲ καθιστάμενος, οὔτε τῆς βασιλείας ἀπείχετο, οὔτε μετριωτέραν ἐζήτει μερίδα τοῦ κράτους, ἀλλ' αὐθαδέστερος ἦν ἐν ταῖς ἀποκρίσεσι μᾶλλον ἢ τοῖς βουλεύμασι.

Τούτου μὲν δὴ τοῦ μέρους ἀφέμενος, ἐξ ἀνάγκης ὁ βασιλεὺς τῷ Ἀνδρονίκῳ δοὺς τὰ στρατεύματα, ὁ πρεσβύτερος δὲ οὗτος τῶν υἱῶν τοῦ Καίσαρος ἦν, ἀνὴρ καὶ τὴν ἡλικίαν ἀξιοθέατος καὶ τὴν γνώμην ἐλεύθερος, τήν τε ψυχὴν εὐμενὴς καὶ ἐπιεικέστατος, ξυμπάσης τε τῆς ἕω τὴν ἀρχὴν πιστεύσας ἐπὶ τὸν Διογένην ἐκπέμπει· ὁ δὲ πρῶτα μὲν εἰς μίαν καὶ τὴν αὐτὴν γνώμην ἁρμόζεται τὸ στρατόπεδον, ἑκάστῳ ἐπιεικῶς προσφερόμενος καὶ πρὸς πάντας οἰκείως μεθαρμοζόμενος, δεύτερον δὲ σκοπὸν τίθεται λαθεῖν τὸν Διογένην ὁπότε τοῖς τῆς Κιλικίας στενοῖς προσπελάσειεν, καὶ τοὺς

ἐλιγμοὺς τῶν ἐκεῖσε ὀρῶν [1] καὶ πᾶσαν τὴν δύσβατον ἀτροπὸν [2] ἠρέμα διεξελθεῖν, καὶ ἀθρόον αὐτοὺς τοῖς πολεμίοις φανήσασθαι. Οἱ μὲν οὖν ἐν τούτοις ἦσαν, καὶ κατὰ τὰ βεβουλευμένα τὴν στενὴν καὶ παράκνημον διαβεβήκασιν ἀτροπόν· ὁ δὲ βασιλεὺς ἐν δεινῷ ποιεῖται εἰ ἀλοίη [3] τῷ ἡμεδαπῷ στρατεύματι ὁ πολέμιος, καὶ ἢ πέσοι μαχόμενος, ἢ ζωγρηθεὶς μέρος τι ἀκρωτηριασθείη τοῦ σώματος. Ἐγὼ γοῦν αὐτὸν ἐθεασάμην περὶ τούτου πολλάκις δακρύοντα, καὶ κινδύνου ἰδίου ὠνούμενον τὸ μὴ ἐκεῖνον παθεῖν· ἦν γὰρ αὐτῷ φίλα [4], ὡς ἔλεγεν, πρὸς τὸν ἄνθρωπον καὶ συνθῆκαί τινες αἷς ἐδεδίει μὴ τἀναντία δράσειεν. Ἀνδράσι γοῦν ἱερατικοῖς καὶ εἰρηνικοῖς τὴν ψυχὴν τοὺς περὶ τῆς φιλίας λόγους [5] πιστεύει, καὶ γράμματα πρὸς τὸν πολέμιον ἐγχειρίζει πᾶν μὲν ὁ,τιοῦν ὑπισχνούμενα, πείθοντα δὲ πρὸς ὑπακοὴν καὶ ἀδαμαντίνην ψυχήν.

Ἀλλ' ὁ μὲν, πρὶν ἢ τούτους καταλαβεῖν, ἐπῆρτο πρὸς πόλεμον, ἑαυτὸν μὲν ἔνδον τοῦ φρουρίου συνέχων, ὃ προὔλαβε κατασχὼν σὺν ὀλίγοις τισὶ τῶν περὶ αὐτὸν, τῷ δὲ Χατατούρῃ Ἀρμενίῳ, ὃν φθάσας ὁ λόγος ἐγνώρισε, πάντα σχεδὸν τὸν στρατὸν ὑποτάξας καὶ σὺν ἀγαθῇ ὡς ἐδόκει τύχῃ εἰς τὸν πόλεμον ἀποστείλας· τοὺς πεζοὺς οὖν οὗτος καὶ τοὺς ἱππεῖς ἐπαγόμενος, καὶ τοὺς ἐπικαίρους τῶν τόπων προκαταλαβὼν κατὰ φάλαγγα ἵστησιν, ὧν οἱ πλείους καὶ τὰς ψυχὰς προθυμότατοι καὶ τὰ σώματα ἐρρωμενέστατοι.

Ἀντικαθίσταται δὲ συντεταγμένος | πρὸς τοῦτον καὶ ὁ Ἀν- φ. 418.
δρόνικος· καὶ πρὶν ἢ τὸν συνασπισμὸν γενέσθαι καὶ εἰς χεῖρας ἀλλήλοις ἰέναι, ὁ Φράγγος Κρισπῖνος, γράφω δὲ ταῦτα καθ' ἣν ἐκεῖνος ἐτεθνήκει ἡμέραν· οὗτος οὖν ὁ Κρισπῖνος πολέμιος Ρωμαίοις τὰ πρῶτα φανείς, ἔπειτα τοὺς τρόπους μεταβαλὼν, τοσοῦτον εἰς εὔνοιαν ὤφθη τὸ δεύτερον, ὅσον τὸ πρῶτον εἰς δυσμένειαν· εἱστήκει δὲ σύν γε τῷ Ἀνδρονίκῳ, τὰ μὲν ἐνθαρρύνων αὐτὸν, τὰ δὲ παρ' αὐτοῦ θαρρυνόμενος. Ὡς γοῦν ἑωράκει τὸ τῶν ἐναντίων

1. χ. ὀρῶν. 2. γρ. ἀτραπόν. 3. χ. ἁλύει. 4. γρ. φιλία. 5. χ. λόγοις.

στράτευμα διατεταγμένον, θαρρεῖν ἑαυτῷ παρακελευσάμενος καὶ τῷ Ἀνδρονίκῳ τὴν ἐπὶ τοὺς ἱππέας ἔλασιν προειπών, ἀπὸ ῥυπτῆρος ἐλαύνει τὸν ἵππον τοὺς περὶ ἐπ' αὐτὸν ἐπαγόμενος, καὶ εἰς μέσους ἐμπίπτει τοὺς πολεμίους, καὶ τὴν φάλαγγα τούτων διατεμὼν, ὡς εἶδε βραχύ τι μὲν ἀντιστάντας καὶ ὑποδεξαμένους τοῦτον, εἶτα μεταβαλόντας τὰ νῶτα, σὺν ὀλίγοις τῶν μεθ' ἑαυτοῦ κατόπιν τῶν φυγόντων ἐξήλασεν· ἔνθα πολλοὺς μὲν ἀνεῖλε, πλείους δὲ ζῶντας ἐζώγρησε.

Καὶ ἡ μὲν τοῦ Διογένους φάλαγξ διελύθησάν τε καὶ διεσπάρησαν, τροπαιοφόρος δὲ ὁ Ἀνδρόνικος σύν γε τῷ Κρισπίνῳ ἐπὶ τὴν ἀποτεταγμένην αὐτῷ σκηνὴν ἀναζεύγνυσιν· εἶτα δή τις ἱππεὺς τῶν πολεμίων τινὰ φέρων πρὸς τὸν στρατηγὸν ἐπανέρχεται· ἦν δὲ ὁ Χατατούρης Ἀρμένιος· οὗτος γὰρ ἐν τῷ φεύγειν τοῦ ἵππου διωλισθηκὼς κατά τινα τάφρον, ὡς ἔλεγε, λόχμην ὑπέδυ τινά· ὡς δέ τις τῶν διωκόντων τεθέαται, ἀνελεῖν μὲν ὥρμησεν, ὡς δὲ δακρύοντα εἶδε, τὴν ἐσθῆτα ἀποδυσάμενος καὶ γυμνὸν ὑπὸ τὴν λόχμην ἀφεὶς ἄπεισιν, εἶτα δὴ ἄλλος γυμνὸν αὖθις ἰδὼν ὥρμησεν ἀνελεῖν· ὁ δὲ, « ἀλλ' εἴ μου φείσειας[1], ἔφησε, καὶ εἰς τόνδε τὸν στρατηγὸν ἀπαγάγοις (τοὔνομα προσειπὼν), ἐμπλήσει σοι δώρων τὴν δεξίαν. » Ὡς δὲ διόντα ἐγνώρισεν ὁ Ἀνδρόνικος, δεύτερον τοῦτο ποιεῖται εὐτύχημα, καὶ τὸν ἄνδρα, στρατηγῷ πρέπον γενναίῳ, ἐνδύσας τε καὶ κοσμήσας ἐν ἀδέσμῳ συνεῖχε φυλακῇ.

Τὴν μὲν οὖν περὶ αὐτὸν χεῖρα ὁ Διογένης ἀπεγνωκὼς, Περσικὴν συμμαχίαν ἤλπιζε πρὸς αὐτὸν αὐτίκα ἀφίξεσθαι· ἔνθεν τοι καὶ τὸν περὶ αὐτὸν λαὸν ἐπερρώννυε καὶ ἐλπίδας ἑτοίμους ὑπέτεινεν· ἀλλ' οἷς ἐθάρρει καὶ οἷς τὰ τοῦ φρουρίου κλεῖθρα ἐπίστευεν ἐκείνοις πρῶτον ἁλώσιμος γίνεται· οὗτοι γὰρ τῷ ἡμετέρῳ συνθέμενοι στρατηγῷ καὶ πίστεις τοῦ μὴ παθεῖν εἰληφότες, τὰς εἰσόδους ἀναπετάσαντες, πάροδον τοῖς ἡμετέροις δεδώκασι, καὶ ἐπ' αὐτὸν τὸν οἶκον οὗ ὁ

1. χ. φήσειας.

Διογένης ἐσκήνου ἀπάγουσιν· ὁ δὲ εἱστήκει δεινὸν καὶ ἐλεεινὸν θέαμα, τὰς ἐλπίδας ἀπεγνωκὼς, καὶ τὰς χεῖρας δεσμήσας ὥσπερ ἀνδράποδον, καὶ ἐπὶ τοῖς κατασχοῦσιν ὅ,τι δρᾷν βούλοιντο θέμενος, εἰ δέον μελανειμονῆσαι [1] εὐθὺς, καὶ τὸ κάλυμμα τῆς κεφαλῆς ἀφελόμενος ἐδίδου τῷ βουλομένῳ τὰς τρίχας τεμεῖν· σχεδιάσαντες [2] δὲ οἱ παρατυχόντες αὐτῷ τὴν τοῦ βίου μετάθεσιν, ἐξάγουσι τῷ φρουρίῳ καὶ πρὸς τὸν Ἀνδρόνικον μεθ' ὅσης ἂν εἴποι τις τῆς περιχαρίας ἀπάγουσιν· ὁ δὲ οὐδὲν πρὸς τοῦτον σοβαρευσάμενος, ἀλλὰ καὶ τῆς τύχης οἰκτείρας, καὶ δεξιὰν ἐμβάλλει καὶ εἰς τὴν ἑαυτοῦ ἐπάγει σκηνὴν, καὶ τραπέζης λαμπρᾶς κοινωνεῖ.

Τὸ μὲν οὖν μέχρι τοῦδε εὔδρομος ἡμῖν ὁ λόγος, καὶ διὰ λείας φέρων καὶ βασιλικῆς τῆς ὁδοῦ, ταῦτα δὴ τὰ θεολογικὰ ῥήματα· τὸ δ' ἐντεῦθεν ὀκνεῖ περαιτέρω χωρεῖν καὶ διηγήσασθαι πρᾶξιν, ἣν οὐκ ἔδει μὲν γενέσθαι, ἵνα δὴ παρὰ βραχὺ ταὐτολογήσας ἐρῶ, ἔδει δὲ γενέσθαι παντάπασι, τὸ μὲν διὰ τὴν εὐσέβειαν καὶ τὴν πρὸς τὸ δεινὸν εὐλάβειαν, τὸ δὲ διὰ τὴν τῶν πραγμάτων περίστασιν καὶ τὴν τοῦ καιροῦ περιπέτειαν· οἱ γὰρ περὶ τὸν βασιλέα εὐνοϊκώτεροι δείσαντες περὶ τῷ Διογένει, μὴ διαμηχανήσαιτό τι, καὶ πάλιν ἀφορμὴ πραγμάτων τῷ βασιλεῖ γένοιτο, τὸ σκέμμα τούτῳ συγκαλυψάμενοι, ἐντέλλονταί τε [3] διὰ γραμμάτων [τῷ] ἐπὶ τοῦ καιροῦ δυναστεύοντι ἐκκόψαι τούτῳ τοὺς ὀφθαλμούς. Ὃ δὴ καὶ γενόμενον ἠγνοεῖτο τῷ βασιλεῖ· καὶ οὐ θωπευτικὴν ποιοῦμαι τὴν ἱστορίαν, ἴστω θεὸς, ἀλλ' ἀληθεστάτην παντάπασιν, ὅθεν καὶ πλείω ἀφεῖκεν ἐπὶ τῷ πράγματι γνοὺς ὕστερον δάκρυα ἢ ὅσα ἐκεῖνος πρὸ τοῦ παθεῖν κατήνεγκέ τε καὶ ἀπωδύρετο· ἀλλ' οὐδ' ὅτε [4] ἠγγέλθη τῷ βασιλεῖ τοῦ Διογένους ἡ ἄλωσις, ἢ σκίρτημά τι ἐνεφήνησεν, ἢ ἄλλο τι χαρμονῆς εἶδος τοῖς περὶ αὐτὸν ἐπεδείξατο, ἀλλ' εἰ μὴ τὰ παρὰ τῶν πολλῶν εὐλαβεῖτο ὀνείδη, ἐσκυθρώπαζεν ἂν μέχρι πολλοῦ. Ὁ μὲν οὖν καὶ τοὺς ὀφθαλμοὺς ἐκκοπεὶς εἰς ὃ ἱδρύ-

1. χ. οἱ δέον μελανειμονήσας. 2. χ. σχεδιάσαν. 3. χ. τι. 4. χ. ὅτι.

σατο φροντιστήριον ἐν τῇ νήσῳ ἡ Πρώτη ὄνομα ἐπαναγεται, ἐνθα βραχύ τι ἐπιβιοὺς τελευτᾷ οὔπω ἔτη [δύο] τὴν βασίλειον ἀρχὴν κατασχών, κρατεῖ δὲ καθαρῶς τῆς ἀρχῆς Μιχαήλ.

Βασιλεία Μιχαὴλ τοῦ Δούκα.

Ἱστορεῖν τὸν αὐτοκράτορα Μιχαὴλ τοῦ Δούκα βουλόμενος, ἢ μᾶλλον σκιαγραφεῖν ὅσον ἐπὶ τοῦ λόγου ἐπιτομῇ, τὸν ἀκροατὴν παραιτοῦμαι μὴ κρείττονας τοὺς λόγους ἡγήσασθαι τῶν ἠθῶν ἐκείνου καὶ πράξεων, ἀλλ' ὑστεροῦντας παρὰ πολύ· ἐγὼ δὲ ὅπερ πολλάκις πάσχω ἐκεῖνον ὁρῶν καὶ θαυμάζων, παραπλήσιον πάθος κἂν τῷ γράφειν ἐκεῖνον ὑφίσταμαι· οὐ γὰρ ἔχω ὅπως θαύματος ἐπέκεινα τὸν ἄνδρα ποιήσομαι, καὶ μή τις διαπιστοίη τῷ λόγῳ ἢ ἐς ὑποψίαν φέροι τὰ γραφησόμενα, ὅτι ἐπὶ ζῶντι [1] τῷ βασιλεῖ ταῦτα γεγράφαται· τούτου γὰρ ἕνεκα καὶ τὴν ἱστορίαν πεποίημαι, ἵν' ἔχοι τις εἰδέναι ὅτι ἔστι τοι ἦθος ἀνθρώπου θείας ἄντικρυς μοίρας καὶ περαιτέρω τῆς ἐγνωσμένης φύσεως. Ἀπορῶν δὲ ὅ,τι πρῶτον εἴπω τῶν ἐκείνου, τοῦτο τῶν πάντων προτίθημι· ὅτι μηδεὶς αὐτὸν τῶν ὑπὸ χεῖρα διαλανθάνων, εἴ τε τῶν φαύλων, εἴ τε τῶν περί τι σπουδαίων καὶ ἀγαθῶν, οὐδεὶς κακῶς [2] ἤκουσε παρ' αὐτοῦ, οὐδὲ ὕβρισται δημοσίᾳ, οὐδ' ἐπὶ τῷ κακῷ ἀπέωσται· ἀλλ' εἰ καί τις αὐτῶν ἀπαναισχυντεῖν πρὸς τοῦτον αἱροῖτο, ὁ δὲ ἡττᾶσθαι μᾶλλον τῆς ἀναιδείας τοῦ ἀνδρὸς ἕλοιτο ἢ ἐς μέσους ἐλέγχειν. Τὸ δὲ ὑπερβάλλον, ὅτι καὶ φωράσας ἑνίους, καὶ μάλιστα τῶν περὶ σῶμα
φ. 419. φυλάκων καὶ οἷς ἑαυτὸν | πεπίστευκεν, ἐπὶ τῷ κακῷ δραμόντας ἐπ' αὐτὸν, οὔτε ἤλεγξεν, οὔτε φοβήσας διέσεισε· πολλοὺς δὲ καὶ ἐπ' αὐτοφώρῳ [3] ἐξαιροῦντάς τι τῶν βασιλικῶν κιβωτίων ἑλὼν, εἶτ' ἀφῆκε, μὴ θορυβήσας, μηδὲ τὴν γνώμην αὐτοῖς ὀνειδίσας· τελεώτατος δὲ τὴν φρόνησιν ὢν, καὶ τῶν πραγμάτων ἐπιστήμην ἀπὸ τῆς

1. χ. ζῶντα. 2. χ. κακὸς. 3. χ. αὐτοφόρῳ.

περὶ ταῦτα συνεχοῦς ἐπιμελείας λαβὼν, πᾶσάν τε φόρου συντέλειαν διηκριβωκὼς, συντάξεις τε καὶ πρυτανεῖα, καὶ ἐς ὅσα φέροιτό τις τῶν δημοσίων καὶ ἀφ' ὅσων ἐκχέοιτο αὖθις εἰς τὰ δημόσια, τήν τε τῶν στατήρων ἐξεργασίαν καὶ τὴν τῆς στάθμης ἰσορροπίαν καὶ τὰς ροπὰς καὶ τὰ λείμματα, τήν τε χρυσῖτιν ὅπως ἐργάζοιτο καὶ τῶν χρυσῶν χαρακτήρων ὁπόσα ἕκαστος μέτρα τῆς καθαρᾶς ὕλης ἔχοι· καὶ ἵνα μὴ καθ' ἕκαστον λέγω, πάντα ἐς ἄκρον ξυνειληφὼς, ἔπειτα[1] τοῖς περὶ ἕκαστον ἐπιστήμοσιν ὁμιλῶν, αὐτὸς ἂν τὴν ἡττῶσαν ἐπὶ πᾶσιν ἐνέγκοι, ἢ τοὺς ἐπὶ τούτοις πραγματευομένους τὴν δόξαν ἀφέλοιτο.

Ἄρτι δὲ πρώτως ἀνθοῦντα ἔχων τὸν ἴουλον[2] καὶ ταῖς θριξὶν ἤδη πυκάζων τὴν παρειὰν, οὐδὲν τῶν πρεσβυτέρων διεννηόχει τὴν σύνεσιν· οὔτε γὰρ ἡδοναῖς ἐδεδώκει, οὔτε γαστρὸς ἥττηται, οὔτε κωμάζειν ἀπαρακαλύπτως εἵλετο· ἐρώτων δὲ τοσοῦτον ἀπέσχετο, ὥστε μηδὲ εἰδέναι τοὺς πλείους καὶ ὅσοι πόρρω τοῦ νομίμου τυγχάνουσι· τοσοῦτον δὲ αὐτῷ τὸ περιὸν τῆς αἰδοῦς, ὡς καὶ εἴ τις ἐξενέγκοι ῥῆμα φαῦλον τοῦ στόματος ἢ γυμνὸν ἔρωτος ὄνομα, ἐρυθήματος εὐθὺς γέμον δεικνύει τὸ πρόσωπον.

Ἀλλ' ἔροιτό τις, τίνα τῷ βασιλεῖ παιδικὰ καὶ οἷς ἂν ἀγλαΐζοιτο; βιβλία σοφίας παντοδαποῦς, λόγων χαρακτῆρες σοφῶν, ἀποφθέγματα λακωνικὰ, γνωμολογίαι, καλλιρρημοσύνη συνθήκης, ὁ ποικίλος τῶν λόγων σχηματισμὸς, ἡ τῶν ἰδεῶν[3] ἐξαλλαγὴ, ἡ καινολογία, ἡ ποιητικὴ τοῦ λόγου κατασκευὴ, πρὸ δὲ τούτων ἁπάντων ὁ πρὸς φιλοσοφίαν ἔρως, τὸ τῆς ἀναγωγῆς ὕψος, ἡ τῆς ἀλληγορίας μεταβολή· οὐ γὰρ οἶδα εἴ τις βαθυγνώμων ἕτερος ἐγεγόνει τῶν βασιλέων, ἢ πρὸς ἕκαστον τῶν ζητουμένων εὐθυβολώτατος. Εἰπεῖν δὲ δεῖ διελόντα[4], ὡς τὰ μὲν βασιλέως ἔργα καὶ λόγοι, τὰ δὲ φιλοσόφῳ προσήκοντα, τὰ δὲ ῥήτορι, τὰ δὲ ἐς μουσικοὺς πίπτει, καὶ περὶ [μὲν] τὴν σφαῖραν[5] οἱ ἀστρολογοῦντες, περὶ δὲ τὰς

1. χ. ἔπετα. 2. χ. ἤουλον. 3. χ. ἰδέων. 4. χ. διλῶντας. 5. χ. σφέραν.

τῶν σχημάτων ἀποδείξεις οἱ γεωμετροῦντες, καὶ συλλογισμοὶ μὲν φιλοσόφοις ἀνεῖται, φυσικοῖς δὲ τὰ ἀπόρρητα ἔργα τῆς φύσεως. καὶ ἄλλο τι ἄλλῳ τῳ, καὶ περὶ ἄλλῳ ἕτερος, καὶ διήρηνταί γε τοῖς ἀνδράσι τὰ ὑποκείμενα· τῷ δὲ συνείλεκται ἅπαντα· καὶ γὰρ φιλοσόφοις συνετάξατο[1], καὶ μετὰ ῥητόρων εἶπέν[2] τι περὶ ζεύγματος[3] καὶ ἐμφάσεως, καὶ μετὰ ὀπτικῶν περὶ ἀποστάσεως ἀκτίνων καὶ διαστάσεως, ἀλληγορεῖν δὲ δεῆσαν πολλάκις τὸν συγγραφέα ὑπερεβάλλετο, ὃν δὴ καὶ καθηγητὴν πρὸ πάντων εἵλετο καὶ ἐπὶ πᾶσιν ἐδημοσίευσε τοὔνομα. Ἰάμβων δὲ μὴ προσχὼν μέτροις σχεδιάζει τούτους, εἰ καὶ μὴ ἐπιτυγχάνων τὰ πολλὰ τοῦ ῥυθμοῦ, ἀλλ' ὑγιαίνουσαν τὴν ἔννοιαν ἐκδιδούς. Καὶ ἵνα συνελὼν εἴπω, χρῆμά τι γέγονε τῷ καθ' ἡμᾶς βίῳ ποικίλον καὶ πολυέραστον.

Τὸ δὲ εἶδος αὐτῷ πρεσβυτικὸν οἷον καὶ σωφρονιστῇ προσῆκον ἢ παιδαγωγῷ ὅμοιον· πέπηγέ τε γὰρ αὐτῷ τὰ ὄμματα καὶ ἡ ὀφρὺς οὔτε σοβαρὰ, οὔτε οἷον ὕποπτος καὶ ἐπικαθημένη τοῖς ὀφθαλμοῖς, ἀλλ' ἐλευθέρα καὶ ἐν τῷ προσήκοντι σχήματι· τὸ δὲ βάδισμα οὔτε σεσοβημένον καὶ οἷον ταραχωδέστατον, οὔτε ἀργόν τε καὶ ῥᾴθυμον, ἀλλ' οἷον μουσικός τις ἀνὴρ ἐπαινέσειε περὶ ἄρσεις καὶ θέσεις τὴν πραγματείαν ποιούμενος, ᾧ τε τῆς φωνῆς τόνος ἐμμελής τε καὶ εὔρρυθμος, μήτε καχλάζων τῷ τῆς γλώττης ῥεύματι, μήτε ἀμαυρὸς καὶ δυσήκοος.

Πολλῶν δὲ ὄντων λόγων τε καὶ πραγμάτων τῶν ἢ συστελλόντων ψυχὴν ἢ πρός τι διερεθιζόντων, οὗτος παρ' οὐδενὸς τούτων οὔτε τὸ ἦθος τραχύνεται, οὔτε τὴν γνώμην συστέλλεται· γελᾷ μὲν ὡς ἥδιστα, δακρύει δὲ ὡς οἰκτιστα, καὶ ὀργίζεται μὲν ἥκιστα, καθίσταται δὲ πρὸς τὸ κρεῖττον οὐχ ἥκιστα. Νόμοις μὲν τὰ πολλὰ μὴ ἐμμελετήσας, ἐς δὲ τὴν δίαιταν[4] ἀθρόους τούτους καταριθμούμενος, οὐκ ἀπὸ τῶν δέλτων, ἀλλ' ἀπὸ τῶν στέρνων. Ἐρυθριάσαι

1. χ. συνετάξατε. 2. χ. εἶπον. 3. χ. ζεύματος. 4. χ. δίαιτταν.

μὲν εὔκολος, ἀναιδεύσασθαι [1] δὲ οὐδ' ὅπως τε οὖν· σφαῖραν μὲν ἀναρρίψαι δεινὸς, περὶ δὲ μίαν σφαῖραν ἐπτοημένος τὴν οὐρανίαν· κυβείαν μὲν εἰδὼς τὴν τῶν πραγμάτων φορὰν καὶ μεταβολὴν, καὶ κύβον ἕνα τὸν γεωμετρικὸν [2] ὃν ὁ Πλάτων τῇ γῇ δίδωσι· κυνηγεσίοις δὲ γέγηθε μὲν, τοσοῦτον δὲ τῆς ἡδονῆς αὐτῷ ὅσον ἰδεῖν τὸν φεύγοντα ὄρνιν [3] ἀνάλωτον, εἰ δ' ὁ διώκων προσπελάζοι τούτῳ, ἀποκναίει τὴν γνώμην καὶ οὐκ ἐνατενίζει τῇ ὄψει. Οὐκ ἐπτόηται περὶ τὴν βασίλειον ἀγλαΐαν, οὐδὲ στέμμασιν ἐθέλει τὴν κεφαλὴν ταινιοῦν, ἀλλ' ἀρετῶν εἴδεσιν· οὐχ ὅσα τις περιψιθυρίσει τούτῳ τὴν ἀκοὴν ἐς τὰ στέρνα κάτεισιν, ἀλλὰ τὰ μὲν ἔξω θυραυλεῖ ὅσα τοῦτον λυπεῖν εἴωθε, τὰ δὲ τῇ ψυχῇ ἀπομάττεται ὁπόσα αὐτῷ ἥδιστα· ἐς παράδειγμα τὸν πατέρα βλέπει καὶ πολλὰ τῶν ἐκείνου ὑπερβαλλόμενος, ἡττᾶσθαι πάντων ὁμολογεῖ· τὸ δὲ μέγιστον καὶ ὃ μηδὲ θαυμάζειν δεδύνημαι, ξυγκλυσθέντων αὐτῷ τῶν πραγμάτων κατά τε τὴν ἑῴαν καὶ τὴν ἑσπέραν, ὧν τὰς ἀφορμὰς οἱ πρὸ τούτου δεδώκασιν αὐτοκράτορες, ἄλλος μὲν ἄν τις καὶ τῶν λίαν ἰσχυρογνωμόνων τῆς τῶν κακῶν ἐγεγόνει φορᾶς καὶ ἐνεδεδώκει τοῖς πράγμασιν, εἶτά τι διερράγη ἂν ὁ τῆς βασιλείας κάλως, καὶ κατερράγη μὲν ἡ ὀροφὴ, ἀνέσπαστο δὲ ὁ θεμέλιος, ἀλλ' ἡ τῆς ψυχῆς αὐτῷ στάσις καὶ τὸ τῆς γνώμης ἀκλόνητον ἔστησε τὴν τῶν πραγμάτων φορὰν, καὶ εἰ μὴ τοῖς λιμέσι προσωκείλαμεν τέως, ἀλλ' ἐπὶ μετεώρου σαλεύομεν καὶ οὔπω ἀπώσθημεν ἐς τὸ πέλαγος.

Ταῦτα μὲν οὖν κοινὰ τούτῳ πρὸς ἅπαντας, τὰ δὲ πρὸς τὸν συγγραφέα | οὐκ ἔχει πρὸς τοὺς ἄλλους ἀμιλλαν, οὐδὲ σύγκρισιν· φ. 420.
οὔτε γὰρ τῷ τῶν ἀδελφῶν οὕτω τεθάρρηκεν, οὔτε τοῖς κρείττοσι τοῦ γένους, οὔτε ἱεροῖς καὶ θείοις ἀνδράσιν, ὡς ἐμοί· ἃ μὲν οὖν εὐηργέτηκέ με, διδοὺς ἀεί τι καὶ προστιθεὶς καὶ ἐπὶ μεῖζον αἴρων, καὶ ἄλλο [4] ἐπ' ἄλλῳ τῳ τῶν ἀγαθῶν προσάγων καὶ ἐπαυξάνων τὸ ὑποκείμενον, δέξαιτ' ἄν τινα καὶ πρὸς ἄλλον παραβολὴν, τὸ δὲ

1. χ. ἀνειδεύσασθαι. 2. χ. γεωμετριτῶν. 3. χ. ὄρνην. 4. χ. ἄλλω.

ἐνδιάθετον τῆς γνώμης, τὸ δὲ ἔμφυτον τῆς ψυχῆς, τὸ δὲ διαχεῖσθαί μοι εὐθὺς θεασάμενος καὶ ἀγλαΐας καὶ χαρίτων ἐμπίπλασθαι, καὶ τὸ ὑπεραίρειν οὐχ ὅσων ὁρᾷη σοφῶν, ἀλλὰ καὶ ὅσων ἀκούοι, ταῦτα οὐκ ἄν τις παραμετρεῖν πρὸς ἕτερον δύναιτο. Βασκανίας δὲ μὴ βάλλοι [1] βέλος ἡμᾶς, μηδὲ νεμέσεως.

Ἀλλ' ἐπιτέμνοντα τὸν λόγον πολλά με διέλαθε, τὸ περὶ τὴν γυναῖκα [2] φίλτρον, οἷον ἐξ ἐκείνης ἀποτέκοι παιδίον, τὸ περὶ τοῖν ἀδελφοῖν, ὧν θαυμασίων ὑποκειμένων θαυμασιώτερος ἐκεῖνος γνωρίζεται· καὶ ἵνα μὴ παρὰ τὸ γένος ἐπαινοίην τὴν βασιλίδα, εὐδαιμονίᾳ καὶ ἀρχαιότητι πᾶσαν ὑπεραίρων ἀρχήν, ἀρκεῖ αὐτῇ ἀντὶ πάντων τὸ ἦθος οἷον οὐχ ἑτέρας ἕξεως, καὶ τὸ εἶδος οἷον οὐχ ἑτέρας ὄψεως· εἰ δὲ γυναιξὶ κόσμον ἡ σιγὴ φέροι, κατὰ τὸν τραγῳδὸν, κόσμου παντὸς αὕτη τιμιωτέρα καθέστηκεν, ὅτι μηδενί τῳ ἄλλῳ ἢ τῷ ἀνδρὶ τὴν γλῶτταν ἐγνώρισεν, αὐτομάτως καλλίων τυγχάνουσα ἢ ὁπότε ἀναγκαίως ἔχοι κοσμήσασθαι. Περὶ δὲ τοὺς ἀδελφοὺς ποδαπὸς οὗτος ὁ αὐτοκράτωρ; οὐκ ᾠήθη χρῆναι ὥσπερ ὑπὸ χεῖρα ἔχειν καὶ οἷον ἐφ' ἑκάστου καιροῦ χαλιναγωγεῖν, ἀλλὰ μερίζει ἑκατέρῳ τὰς βασιλείους διατριβὰς καὶ ἐς αὐτεξούσιον ἡγεμονίαν καθίστησιν. Ἐρῶ δὲ καὶ περὶ τοῦ θείου τοῦ Καίσαρος· ἥρηται τῆς γνώμης αὐτοῦ, καὶ τῆς συμβουλῆς θαυμάζει τὴν σύνεσιν, τὴν περὶ πάντα πράγματα δεξιότητα· τῶν μὲν περὶ τὴν πολιτείαν αὐτὸς ἔχεται πράξεων, ἐπ' αὐτῷ δὲ τίθεται ὁπόσα ἐς γνώμην τείνει στρατηγικήν.

Καὶ τοῦτο δὲ προσθήσω τοῖς εἰρημένοις· διεγνώκει με οὗτος ὁ βασιλεὺς μέλλοντα τοῦτον ἐξιστορεῖν, καὶ ἐπιτάξας μὴ γράφειν μέχρις ἂν αὐτὸς ἐκδοίη τῶν ἑαυτοῦ τρόπων κεφάλαια, εἶτα δή μοι ὁ ὑπογραφεὺς ἀνεγνώκει τὰ γεγραμμένα· κἀγὼ μὲν εἰκάζον πρὶν ἢ τοῦ ἀναγνώσματος ἀκροάσασθαι, ἀπορρητότερα εἶναι καὶ κρείττονα· ὁ δέ γε ἐν τούτοις τοσοῦτον κατήνεγκεν ἑαυτὸν καὶ οὕτως [3]

1. χ. βάλι. 2. χ. γυναίκαν. 3. χ. οὗτος.

παραφαῦλον ἔθετο, καὶ τοσαῦτα κατεῖπε τῆς ψυχῆς, ὡς καὶ ἀδαμαντίνην φύσιν κινῆσαι πρὸς θαῦμα τοῦ ὕψους τῆς ταπεινώσεως. Καὶ ἀρκεῖ σοι τοῦτο σύμβολον [1], θειότατε βασιλεῦ, ἀντὶ πάσης ἑτέρας ἀρετῆς τε καὶ ἕξεως!

Κωνσταντῖνος ὁ τοῦ Δούκα τοῦ Μιχαὴλ τοῦ βασιλέως υἱός.

Τὸν τοῦ Μιχαὴλ τοῦ Δούκα βασιλέως υἱὸν Κωνσταντῖνον βρεφύλλιον ἐγὼ καὶ ἐν ἀγκάλαις γαλακτοτροφούμενον ἑωράκειν καὶ ταινίᾳ βασιλικῇ ἀναδεδημένον [2] τὴν κεφαλήν· γράφω δὲ αὐτῷ οὔτε λόγους τινὰς, οὔτε πράξεις, οὔτε γὰρ ἔπραξέ τι, οὔτε οὔπω ἐφθέγξατο· ἀλλὰ καὶ τὸ εἶδος καὶ τὸ ἐμφαινόμενον ἦθος, ὡς οἷόν τε καὶ ἀπὸ τούτων τὴν ἐγκαθημένην ψυχὴν, οὔπω γὰρ οἶδα τοιοῦτον κάλλος ἐπίγειον· τὸ μὲν γὰρ πρόσωπον αὐτῷ εἰς ἀκριβῆ κύκλον ἀποτετόρνευται, οἱ δὲ ὀφθαλμοὶ γλαυκοὶ καὶ εὐμεγέθεις καὶ γαλήνης μεστοὶ, αἵ τε ὀφρῦς εὐθεῖαι γραμμαὶ ἀτεχνῶς, περὶ μὲν τὴν βάσιν τῆς ῥινὸς βραχύ τι διεστῶσαι, περὶ δὲ τοὺς κροτάφους ἠρέμα κάμπτουσαι· ἡ δὲ ῥὶς ἐλευθέρα μὲν τοὺς μυκτῆρας, ἀλλ' ἀρχομένη μὲν βραχύ τι ἐγείρεται, προϊοῦσα δὲ ἐς ἄκρον ἐμφαίνει τι τοῦ γρυποῦ· τῆς τε κεφαλῆς ἡ λειῶσα θρὶξ ἐξανθεῖ· καὶ τὼ χείλη λεπτὼ τοῦτο [3], καὶ [4] βλέπον ἡδὺ καὶ ἀττάλον [5] ἡδύτερον, καὶ τὴν ψυχὴν ἀπὸ τούτου ἐμφαῖνον, οὔτε καταβεβλημένην, οὔτε ἐπιβεβλημένην, ἀλλὰ πραεῖαν [6] μὲν, θείῳ δὲ διεγηγερμένην κινήματι.

Τὸν μὲν οὖν Τελαμώνιον Αἴαντα τιθηνούμενον ἔτι τὸν Ἡρακλέα φασὶν ἰδεῖν καὶ τῇ λεοντῇ περιβαλεῖν, ἐγὼ δὲ ἠγκαλισάμην πολλάκις καὶ ὄνασθαί μου τῶν λόγων ηὐξάμην· ἐναγκαλίσομαι δὲ καὶ αὖθις, καὶ τοῦτο πλειστάκις, καὶ ὀναίμην [7] αὐτοῦ ὁπότε εἰς ἡλικίαν ἔλθοι καὶ τὸ δύνασθαι λάβοι παρὰ τοῦ πατρός. Ὁ μὲν οὖν Νέστωρ

1. χ. σύμβουλον. 2. χ. ἀναδεδομένην. 3. γρ. τούτῳ. 4. προσθετέον [τὸ ὅμμα]. 5. χ. ἀττάλων. 6. χ. πραεῖα. 7. χ. ὀνέμην.

ὁ Πύλιος μετὰ τὴν τῆς Τροίας ἅλωσιν ὑποτίθεται Νεοπτολέμῳ τῷ Ἀχιλλέως υἱῷ ἃ δεῖ πράττοντα ἄνδρα γενέσθαι δεξιὸν, ἐγὼ δὲ τοσοῦτον αὐτῷ ὑποθείμην· ἴσως γὰρ ἀφ' ἥβης γενόμενος ὁ βασιλεὺς οὗτος ἀναγνώσεταί μου τὸ σύγγραμμα, πρὸς παράδειγμα τὸν πατέρα ὁρῶν, κἀκεῖθεν ἑαυτὸν ἱστορεῖν· καὶ ὁμοιωθείης, παιδίον, τῷ φύσαντι, καὶ γένοιο ἂν οὐ κακός· εἰ μὲν οὖν περαιτέρω τῆς καθεστώσης ἡλικίας προβήσομαι, ἕτερόν σοι λόγον συγγράψομαι, ὁπηνίκα καὶ αὐτὸς ἀφορμὰς τοῦ γράφειν παράσχοις ἐμοί· εἰ δ' οὖν, ἀποχρῶν σοι τοῦτο τὸ γράμμα, ἑτέροις ὑπόθεσις τῶν ἐπὶ σοὶ συγγραμμάτων ἐσόμενον.

Ἀνδρόνικος ὁ ἀδελφὸς Μιχαὴλ βασιλέως τοῦ Δούκα.

Χαριέστατος οὗτος ὁ βασιλεὺς καὶ μετὰ τὴν ἥβην εὐθὺς, πρόθυμος δὲ τὴν ψυχὴν περὶ λόγους καὶ οὐδὲ τῶν βαθυτέρων ἀπεχόμενος ζητημάτων· ἐμοὶ γοῦν πράγματα παρέχει περὶ τῶν ἀντιπόδων διαλεγόμενος, ἀπαρνούμενος τούτους, ἵνα μὴ ἀπὸ τῶν ποδῶν ἐς κεφαλὴν αἰωροῖντο· καὶ ἀδρότερος μὲν τὴν χεῖρα, δεξιὸς δὲ καὶ λεπτὸς, περὶ τὰς σκιὰς εὔκολος, τὸ ἦθος οὐ βαθὺ οὐδὲ εἰρωνικὸν ἔχων, ἀλλ' ἐκκείμενον ἅπασιν, εὐγενὴς τὴν προαίρεσιν, ἱππᾶσθαι ἐπιτήδειος, θερμὸς τὰ περὶ τὴν θήραν, ὥστε μήτε τοῦ λαγὼ ἐθέλειν ἀπολείπεσθαι, ἀλλὰ καὶ τοῖς γεράνοις συμπέτεσθαι, πρόχειρος μὲν βραχύ τι τὴν γλῶτταν, εἶτα δὴ εἰς χάριτας κατακλείων εἴ τί που παραφθέγξαιτο.

Κωνσταντῖνος ὁ ἀδελφὸς αὐτοῦ.

p. 421.

Οὐ πρόχειρος οὗτος ὁ βασιλεὺς [τὴν] γνώμην, ἀλλ' εἴσω[1] συννευκὼς[2] καὶ σωφρονιστῇ ἀτεχνῶς ἐοικώς· ἐγρηγορεῖ[3] δὲ τὰ

1. γρ. ἴσῳ. 2. γρ. συννενευκώς. 3. χ. ἐγρήγορε.

πολλὰ, καὶ εἰπεῖν οἷς ἂν[1] τὴν γλῶτταν ὀξύτερος· εἶχει δὲ οὐ ταχέως τοῖς ἀντιπίπτουσιν, ἀλλὰ λόγοις ἀντεμβάλλοι λόγους καὶ πείθειν[2] ἐπιχειρεῖ, ἀποτελευτᾷ δὲ εἰς μειδίαμα καὶ ἠρέμα ἐπιγάννυται οἷς ἐφθέγξατο· τὴν σύνεσιν πολιὸς, τὴν ψυχὴν βεβηκὼς, οὐ ταχὺ μεταπίπτων πρὸς ἅπερ ὁρμήσειεν, τὴν χεῖρα μέσος, οὔθ' ὕπτιος τὴν παλάμην, οὔτε συγκεκλικὼς τοὺς δακτύλους, ἐφ' ἵππον ἐπιβῆναι δεξιὸς, θηράσαι δὲ δεινὸς, πάγκαλον χρῆμα[3] καὶ τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς.

Ἰωάννης Καῖσαρ ὁ Δούκας.

Τί ἄν τις εἴποι περὶ τοῦ ἀνδρὸς τούτου, ὥστε ἐξισῶσαι[4] τοὺς λόγους ταῖς τῶν ἠθῶν ἀγλαΐαις καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς; παντοδαπὸν γὰρ οὗτος χρῆμα καὶ οἷον κάλλιστον τῷ βίῳ ἀνάθημα, καὶ ἐκ δυεῖν[5] τοῖν ἐναντίοιν ξυγκείμενος, ὀξύτατος γὰρ τὴν σύνεσιν ὢν[6] ξυμπάντων ὧν ἐγὼ καὶ ἤσθημαι καὶ τεθέαμαι, οὕτω πραοτάτην ἐνδείκνυται τὴν ψυχὴν, ὡς εἰκάζεσθαι ῥεύματι ἐλαίου ἀψοφητὶ ῥέοντος. Τὰ μὲν οὖν ἐς στρατηγίαν κατὰ[7] τοὺς ἀρχαίους ἐκείνους καὶ πολυϋμνήτους Καίσαρας, καὶ ὁπόσα τετολμήκασί τε καὶ κατωρθώκασιν Ἀδριανοὶ καὶ Τραϊανοὶ καὶ οἱ τῆς αὐτῆς ξυμμορίας, ἐκείνοις[8] ἐλήλυθε πρὸς τὴν τοιαύτην ἐπιστήμην, οὐκ ἀπὸ ταὐτομάτου, οὐδὲ τυχαίως[9], ἀλλ' ἀπὸ τῶν τακτικῶν βιβλίων καὶ στρατηγικῶν καὶ πολιορκητικῶν καὶ περὶ ὅσων οἱ περὶ Αἴλιον καὶ Ἀπολλόδωρον συγγεγράφασιν· ἀλλὰ τὰ μὲν περὶ τὴν στρατηγίαν τοιοῦτος, ἐλάττων[10] δὲ τὰ πολιτικὰ καὶ ὅσα ἐς δίκας φέρει καὶ τὰ δημόσια; πολλοῦ γε καὶ δεῖ· ξυρὸς γὰρ εἰς ἀκόνην πρὸς πάντα τὰ κάλλιστα, τοῦτο δὴ τὸ παροιμιῶδες· ἀλλ' ἐς ὀργὴν πρόχειρος; οὐμενοῦν, εἰ μὴ ὅσον ἐνδείξασθαι· ἀλλὰ μνησικακῆσαι δεινός;

1. χ. ἦσαν. 2. χ. ἐπίθειν. 3. χ. χρῶμα. 4. χ. ἐξιστῶσαι. 5. χ. ἐκδύειν. 6. χ. ὤν. 7. χ. καὶ τὰ. 8. χ. ἐκείνης. 9. χ. τυχέως. 10. χ. ἐλάττω.

ἀλλὰ τοῦτο δὴ τὸ μέρος καὶ μᾶλλον θαυμάσιος[1] καὶ οἷος οὐκ ἄλλος· ἀλλὰ τὴν γλῶτταν πρόχειρος, ἢ πρὸς τὸν ἀδελφὸν πρότερον καὶ τὸν ἀνεψιὸν ὕστερον τόλμαν ἔχων ἢ παρρησίαν; οὐμενοῦν· ὡς γε δὴ καὶ παράδειγμα τοῖς πολλοῖς ἡμῖν εὐλαβείας καθίσταται, ἁπανταχοῦ δὲ μετριάζων καὶ σπουδὴν παιδιᾷ[2] κιρνῶν, ἐν τούτῳ μόνον οὐ καθεκτὸς, οὐδὲ σύμμετρος.

Τὰ παντοδαπὰ κυνηγᾶται· περιεργάζεται οὖν πτερὸν ὄρνιθος καὶ θηρίων ὁρμὰς, ἐπιθωάζει τε κυσὶ καὶ καταδιώκει βαλιὰν ἔλαφον, μαίνεταί τε περὶ τὰς ἄρκτους, ὃ δὴ πολλάκις αὐτῷ προσωνείδισα, ἀλλ' ἔστιν αὐτῷ ἡ θήρα ἀμετάθετα παιδικά· δυοῖν γὰρ τούτοις μερίζει τὸν βίον, βιβλίοις καὶ κυνηγεσίοις, μᾶλλον δὲ σχολάζοντι[3] μὲν φίλα ταῦτα καὶ μελετώμενα, σπουδάζοντι[4] δὲ οἰκεῖα ὅσα, καὶ ὅσα πρὸς τοὺς καιροὺς· εἰρηνεύειν τοῖς ἐναντίοις ἢ μάχεσθαι ἐπίσταται· λόχους, πολέμων τάξεις, διαιρέσεις τάξεων εἰπεῖν, ἢ φάλαγγα στῆσαι, πῶς πυκᾶσαι τὸ βάθος[5], πῶς ἀπολεπτύναι τὸ πλαίσιον σχῆμα, τὸ κοιλέμβολον εἶδος, τὴν συναγωγὴν, τειχομαχίας, ἱππομαχίας, πεζὴν σύνταξιν πρὸς τοὺς καιροὺς, πρὸς τοὺς τόπους, καὶ τί καθ' ἕκαστον λέγω; ἐπὶ πᾶσι τῶν πάντων κεκράτηκε[6].

Γραφὴ τοῦ βασιλέως πρὸς τὸν Φωκᾶν.

Γράφων οὖν ὁ βασιλεὺς πρῶτον μὲν τῆς χαλεπῆς ὑπερορίας καὶ τοῦ[7] ἐν ἐκείνῃ τοῦ Φωκᾶ ἐρευνήσαντος χρόνου, τῆς τε τῶν οἰκείων

1. χ. θαυμασίως. 2. χ. παιδία. 3. χ. σχολάζοντα. 4. χ. σπουδέοντι. 5. χ. βοίθιον.

6. Ἐνταῦθα διακόπτεται ἡ ἱστορία· ἡ δὲ παρεπομένη ἐπιστολὴ διευθύνεται ὑπὸ τοῦ Μιχαὴλ Ζ' πρὸς τὸν ἐπαναστάντα Νικηφόρον Φωκᾶν τὸν Βοτανιάτην (1077) ὅστις καθῄρεσε τοῦτον τῆς βασιλείας.

7. χ. τῇ.

ἐρημίας, καὶ τῆς εὐπόρου πενίας, καὶ τοῦ ῥυπῶντος χιτῶνος καὶ τῶν διερρηγμένων περιβολέων μιμνήσκει[1], εἶτα τὴν οἰκείῳ κελεύσματι γεγενημένην ἀνάκλησιν αὐτοῦ καὶ τὴν ἐν βασιλείοις ἐν μεγίστῃ τιμῇ ὑποδοχὴν, καὶ τὰς σατραπικὰς ὡς εἰπεῖν εὐεργεσίας, καὶ πάντα λόγον παρατρεχούσας δεξιώσεις διεσήμαινε, καὶ ὅπως πᾶν εἴ τι μέγα καὶ σεμνότατον ἔχοι[2] πολιτεία ῥωμαϊκὴ φέρων εὐθέως αὐτῷ προσέθηκε, τιμαῖς τε καὶ στρατηγίαις τὰ πρῶτα ἐλάμπρυνεν καὶ ὑψηλότερον ἁπάντων τέθεικε, οὐσίας τε κύριον κατέστησε τοσαύτης ὅση πρέπειν ἐμφανῶς τῷ ἀξιώματι ἔμελλε· « τίς γάρ φησιν, ἀμείνω σου τάξιν παρ' ἐμοῦ ἐκαρποῦτο, ἢ τίς ἐκρίνετο φίλος βασιλέως καὶ ὦτα καὶ ὀφθαλμός; τίς δὲν ἦν ὁ πάντα πείθων εἰ βούλοιτο[3]; τίνι δὲ τῶν πραγμάτων ἀνεκοινούμην τὰ μέγιστα; ἃ γὰρ τόν τε ἀδελφὸν καὶ τὴν μητέρα ἔκρυπτον, ταῦτά σοι μόνῳ διέφαινον. Τίς δὲ ὁ παύων νῦν καὶ καθιστῶν τὰς μεγίστας ἀρχάς; ἐξ ὧν σοι καὶ ἤκουες τοσοῦτον καὶ ἡ δυναστεία ηὔξηται[4]· καὶ σιωπῶ τὰ εἰς πατέρα καὶ ἀδελφὸν καὶ συγγενεῖς διὰ σὲ πεπραγμένα μοι, καὶ τοὺς ὅσους ἐξ ἰδιωτικῆς ταπεινότητος εἰς ὕψος ἀξιωμάτων σὴν χάριν ἀνήνεγκα, καὶ τοὺς ὅσοι οὐ τοὺς τυχόντας πλούτους κατεκτήσαντο, ἐξ ἀπορίας προγονικῆς ἀρχὰς στρατηγικὰς καὶ πολιτικὰς διέποντες, ὧν καὶ ἀδικούντων λάθρα τε καὶ προδήλως οὐκ ἐποιούμην ἐπιστροφήν· εἰδὼς γὰρ ὡς πλῆθος, ἐσιώπων[5] τὰ τοιαῦτα, σοῦ δὲ ἕνεκα πάντων ἀνεχόμενος· μίαν γὰρ τῶν κακῶν σὲ μοὶ[6] γενέσθαι μετὰ τὴν θείαν ῥοπὴν ἤλπιζον παραψυχήν· διὰ γὰρ τούτων καὶ συνεργόν σε ἐφ' ᾧ τῶν ἐμῶν κύριος καταστῆναι ἄθραυστος εἰλόμην τε καὶ προσείληφα, σὲ μόνον[7] τὸν ἐν ἀνθρώποις σύμμαχον καὶ συμμύστην[8] κατακτήσασθαι οἰηθείς, καὶ διά σου τοὺς ἐν μέσῳ κατευνασθῆναί μοι προσδοκήσας ταράχους· νῦν δὲ, ὦ[9] τῶν ματαίων βουλευμάτων, ὦ τῶν ἀστηρίκτων ἐλπίδων, καὶ

1. χ. μιμνήσκειν. 2. χ. ἔχον. 3. χ. ἐβούλοιτο. 4. χ. ηὔξηνται. 5. χ. σιωπῶν. 6. χ. μὴ. 7. χ. σεριόναν. 8. χ. συμμυσιστὴν. 9. χ. τῶ.

ἐπὶ τῆς ἐπὶ τοσοῦτον ἀγνωμοσύνης! ἄνθρακες ὁ θησαυρὸς ἀνασκαπτόμενος[1]· οὐ γὰρ αἱ ἐλπίδες τὸ μάταιον ἔχουσι, μόνον εἰ μὴ[2] παρὰ πολλῶν ἀπελπίσεται· ἀλλὰ καθ' ἑαυτῶν[3] κεκινήκαμεν τὸν ἀνάγυρον[4], ἐλαίῳ[5] πῦρ κατασβέσαι πεισθέντες.

« Ἀντὶ γὰρ παραψυχῆς συμφορὰν, καὶ ἀντὶ συμμάχου πολέμιον, καὶ ἀντὶ συνεργοῦ καθαιρέτην τὰ λογοποιούμενα, εἴ γε ἀληθείας ἔχεται, ἀναφανδὸν σὲ δεικνύει· ὥσπερ γὰρ τὰ ἔσχατα ἠδικημένον καὶ τεταραγμένον ὑπ' ἐμοῦ, οὕτω τὰς κατ' ἐμοῦ τιμωρίας ὑπλίζεσθαί σέ φασι, πάσῃ[6] σπουδῇ τῆς βασιλικῆς καὶ διαφερούσης ἑστίας ἐμὲ μὲν ἐξῶσαι ἀγωνιζόμενον, σαυτῷ δὲ ταύτην μνηστευόμενόν[7] τε καὶ οἰκειούμενον. Ἀλλὰ μὴ τοῦτο, μή με μάγιστρε, μηδὲ εἰς νοῦν ποτὲ βάλλοιο! ὡς ἀπόλοιντο οἱ λογοποιοὶ καὶ οἱ τῶν παραλαλουμένων δημιουργοὶ, οἱ τὰ ζιζάνια ἐπισπείροντες πονηροὶ καὶ ὑπὸ μόνου τοῦ βασκαίνειν τὰ μὴ ὄντα τερατευόμενοι, ὧν τοῖς ἀλόγοις ἢ[8] ἀλλοκότοις οὐ προσέχειν δεῖ, ἐς τοῦτο μάλιστα, ὥς γε πείθομαι, ξυγκειμένοις, ὅπως τὴν κοινὴν ἡμῶν διαστήσωσι γνώ-
φ. 122. μην | καὶ τὴν τῆς προαιρέσεως καταστασιάσωσιν οὐ προσήκοντες ὁμόνοιαν! πλὴν ἀλλὰ καὶ αὖθις λέγει, μὴ ἐπιχαρῇ ὁ ἐχθρὸς ἐφ' ἡμῖν, μηδὲ τῆς[9] οὕτω θεομισοῦς[10] καὶ πᾶσαν ἰδέαν κακίας παρελαυνούσης κἂν εἰς μνήμην ἔλθοιο πράξεως· μηδὲ ἀγνώμων ἐπὶ τοσοῦτον καὶ ἄδικος ὀφθῆναι βουληθείης, μηδὲν ἔχων τοῖς εὐεργετηκόσιν ἐγκαλεῖν, μηδὲ τῷ βίῳ ἄπευκτον γενέσθαι διήγημα καὶ πονηρὸν ὑπόδειγμα καταδέξαιο!

« Ἐπὶ τούτοις τοῦ εἰς μέσον παραληφθέντος ἐν τοῖς φρικτοῖς αὐτῷ ὁμωμοσμένοις θεοῦ ἀνεμίμνησκε, καὶ ὅπερ τῆς δραστικῆς αὐτοῦ προνοίας τρόπος τῆς περὶ τὴν οἰκουμένην διατρεχούσης ὁσημέραι, καὶ ἐδίδασκεν ὡς ἀκοιμήτῳ ὀφθαλμῷ τὰ τῇδ' ἐπισκοπεῖ.

1. χ. ἀνασκόμενος. 2. χ. ἤ μοι. 3. χ. ἑαυτὸν. 4. χ. ἐνέγκυρον. 5. χ. ἔλαιον. 6. χ. πᾶσα. 7. χ. μνησκόμενον. 8. χ. οἱ. 9. τοῖς. 10. χ. θεομισουσῶν.

καὶ τὰς ἀντιδόσεις τῶν βεβιωμένων τοῖς ἀνθρώποις πρυτανεύει ἀεί· ἀντιμετρεῖται γὰρ παρ' αὐτῆς ἑκάστης τὰ πράγματα, ἧς καὶ τῷ δικτύῳ οἱ σκολιῶς ἁλίσκονται πορευόμενοι, δι' ἧς καὶ ταύτης τύχης εἰς τὸν ἀντίρροπον μεταφέρεται. « Εἰ μὲν καὶ τὴν τοῦ θεοῦ κρίσιν πτοῇ[1] κἀκεῖνον τῶν σῶν[2] ἀναμένεις ἐξεταστήν, δυσωπήθητι τὴν τῶν ἔργων ἀσφάλειαν· ἡγείσθω ἐσβουλία[3] τῆς ἐγχειρίσεως, τὸ συνῆσον τῆς ἐπιβουλῆς τῶν πραγμάτων, πρὸ τῆς ἐπιβουλῆς ἡ βουλή· τὸν γὰρ κακῶς βουλευόμενον πρῶτον ἡ ἐγχείρισις ἔβλαψεν. »

1. χ. πτοεῖ. 2. χ. τῶν τῶν. 3. γρ. ἡ σὴ βουλή.

ΤΕΛΟΣ.

* | Τοῦ αὐτοῦ· ἐγκωμιαστικὸς εἰς τὸν μακαριώτατον πατριάρχην κῦρ Μιχαὴλ τὸν Κηρουλλάριον.

Οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων οἴονται, καὶ τῶν γε σπουδαιοτέρων ἔνιοι, ἐπιλιπεῖν τῷ καθ' ἡμᾶς βίῳ ὥσπερ ἀπὸ κλήρου καὶ τῆς ἀρετῆς τὴν ἰσχὺν καὶ τοῦ λόγου τὴν δύναμιν, μαρτυρίοις οἷς ὁρῶσιν, ἢ μᾶλλον οἷς ὑπολαμβάνουσι χρώμενοι· ἐγὼ δὲ τὴν μὲν ἀρετὴν μὴ καὶ αὖθις ταῖς τῶν ἐλομένων ψυχαῖς ἐπανθεῖν οὐκ ἄν ποτε φαίην, περὶ δὲ τὸν λόγον τοὺς πολλοὺς ἡμῶν ἐρραθυμηκέναι συνομολογήσαιμι καὶ αὐτὸς, οὐ κλήρῳ διδοὺς τὴν τῶν πραγμάτων ἐπίδοσιν ἢ ἐλάττωσιν, ἀλλὰ γνώμης ἐθελουσίοις ὁρμαῖς, καὶ τῇ περὶ τὰ κρείττω τε καὶ χείρω ροπῇ τῆς ψυχῆς. Ὅσοι μὲν γὰρ οὐρανίων ἡμᾶς ἀναρτῶσι κινήσεων ἀφαιροῦνται τὸ χαρακτηριστικώτατον τῆς ἡμετέρας φύσεως, φημὶ δὴ τὴν αὐτεξούσιον τῆς ψυχῆς περὶ τὰ πραττόμενα κίνησιν, καὶ οὔτε στεφάνοις ἀναδοῦνται τοὺς ἀγωνιζομένους, οὔτε τοῖς ἐναντίοις καταδικάζουσι τοὺς κατωλιγωροῦντας περὶ τὰ κρείττονα· ὅσοι δὲ κατὰ τὸ βούλημα τῶν ἡμετέρων λογίων ἐν ὁρμῇ τὴν ψυχὴν κρειττόνων καὶ χειρόνων τιθέασι καὶ περὶ ἑκάτερα ἐπίσης αὐτὴν ταλαντεύουσιν, οὗτοι καὶ τὸν λόγον ἡμῖν ἀποσώζουσι καὶ τό γε τοῦ αὐτεξουσίου δόγμα ἰσχυρὸν τιθέασι καὶ ἀναμφισβήτητον. Οὐ τοίνυν ὁ προλαβὼν χρόνος τὰ μέτρα τοῦ καλοῦ ἐν ἑαυτῷ περιείληφεν, ἀλλ' οὐδ' ὁ καθ' ἡμᾶς βίος ὥς πέρ τι ὅριον τῶν χειρόνων γεγένηται, ἀλλ' ἐν ἀμφοῖν τοῖν βίοιν, ἢ μᾶλ-

* Ἀντεγράφη ἐκ τοῦ ὑπ' ἀριθμὸν 1182 ἑλληνικοῦ κώδικος τῆς ἐν Παρισίοις ἐθνικῆς βιβλιοθήκης (φύλ. 116-132).

λον ὁμοίως ἐν ἅπαντι μέρει χρόνου, τῶν ψυχῶν τὰ τῆς ἀρετῆς ἐχουσῶν σπέρματα, αἱ περὶ τοὺς τόκους ἐπιμέλειαί τε καὶ ῥᾳθυμίαι τὰς διαφόρους αὐτῶν ἀποτελοῦσι γονάς.

Ἀλλὰ πάλαι μὲν ἐν πολλοῖς ὁ λόγος ἰσχύων, μείζονα τῶν ἐργαζομένων τὴν ἀρετὴν ἐποιεῖτο τὴν εὐφημίαν, νῦν δὲ ἡ τοῦ καλοῦ τὸν λόγον νικῶντος, ἢ τούτου πρὸς ἐγκωμίων μέτρον ἐξασθενήσαντος, συγκινδυνεύει τῇ τοῦ λέγοντος γλώττῃ ἡ τῆς ἀρετῆς δύναμις· ἀντεστράφθαι γοῦν μοι δοκεῖ τοῖς τε πρὸ ἡμῶν καὶ τοῖς καθ' ἡμᾶς ἡ τοῦ καλοῦ πρᾶξις πρὸς τὴν τοῦ λόγου ἰσχύν· ἄνω μὲν γὰρ ὁ λόγος ἐνίκα τὰ πράγματα, καὶ παρ' ἐκεῖνον ταῦτα βελτίω ἐκρίνετο· νῦν δὲ καὶ ὑπερτείνει τὸν λόγον τὸ τῆς ἀρετῆς μέγεθος, καὶ παρὰ τοῦτον τὸ ὑπερπίπτον ταπεινοῦσθαι δοκεῖ· ὥς τέ με δεδιέναι ἐντεῦθεν καὶ μὴ παντάπασι τὴν παροῦσαν εὐφημίαν θαρρεῖν, μὴ τἀναντία μοι ὧν βούλομαι γένηται, καὶ τῆς τε τῶν ἀκροωμένων
φ. 116*. ὑμῶν | περὶ τὸν ἐγκωμιαζόμενον ὑπολήψεως, τῆς τε ἀληθείας τῶν περὶ ἐκεῖνον θαυμάτων, οὕτω γὰρ εἰπεῖν κάλλιον, ἐλάττων ὁ λόγος ἐλθὼν, ἐκείνῳ μὲν τοῖς ἐπιγιγνομένοις ἐλαττώσει τὴν ἀρετὴν, ὑμῖν δὲ τοῖς ἀκριβῶς εἰδόσι τὸν ἄνδρα τὴν ἐναντίαν ἢ προσῆκεν ἀπενέγκηται δόξαν. Συμβέβηκε δέ μοι καὶ μεῖζον ἐν εὐτυχήμασι τὸ ἀτύχημα· τὸ γὰρ ὑπερκεῖσθαι τὸν εὐφημούμενον καὶ τῶν ἐπισημοτέρων εἰς ἀρετὴν, ἐκείνῳ μὲν αὐτόθεν ἐπίδηλον ἔχει τὴν λαμπρότητα, τῷ δέ γε λόγῳ ἐν πολλοῖς παρέχον ἐπεντρυφᾶν καὶ τὸ μηδαμῆ ἐφικνεῖσθαι τοῦ ὕψους δίδωσι· γέγονεν οὖν αὐτῷ τὸ ὑπερβάλλον πρὸς τὸ οἰκεῖον μέτρον ἀντίρροπον, καὶ ἡ λαμπρότης τοῦ πράγματος, ἀχλὺς τούτῳ καθέστηκε πρὸς ἀντίβλεψιν. Ἐπεὶ δὲ οὐ διὰ ταῦτα δίκαιον τὸν ἄνδρα ἐκεῖνον τῆς ἐπὶ τῷ λόγῳ μνήμης εἰς τὸ ἐπιὸν ἐστερῆσθαι τοῦ λόγου, καὶ γενέσθαι αὐτῷ τὴν ἀπρόσιτον τοῖς πολλοῖς μαρμαρυγὴν ἀμαυρώσεως ἀφορμὴν, ἀρκτέον ἡμῖν τῶν περὶ αὐτὸν ἐγκωμίων, τοσοῦτον προειρηκόσιν, ὅτι μὴ πρὸς τὸ ἴσον ὁ λόγος ἐκείνῳ διαμιλλᾶται, ἀλλ' ὥς τε μετρίως περὶ τῶν ἐκείνου θαυμασίων εἰπεῖν καὶ δεῖξαι πᾶσιν, ὡς εἰ καὶ μὴ πάνυ

πολλὰ ὑπείληπται ἐν τῷ καθ' ἡμᾶς βίῳ τῆς ἀρετῆς παραδείγματα, ἀλλ' εἰς ἀνὴρ τῷ τε ἄνω βίῳ ἀποχρώντως ἀντήρκεσε, κἂν τῷ παρόντι εἰς θαῦμα γεγένηται, οἶμαι δὲ καὶ τῷ μέλλοντι τοῖς ἀρετὴν ἐργασομένοις εἰς πρωτότυπον τοῦτον καὶ ἔμψυχον γραφὴν στήσεσθαι.

Τῷ μεγάλῳ τούτῳ καὶ θείῳ πατρὶ δοκεῖ πως τὰ συνεληλυθότα παρά τε τοῦ ἄνω γένους καὶ τῶν δυοῖν ἀφ' ὧν προσεχῶς προεληλύθει πηγῶν, παρά τε τῆς ἐνεγκούσης πατρίδος, παρά τε τῆς περὶ αὐτὸν φύσεως, προαιρέσεώς τε καὶ βίου καὶ γνώμης, παιδείας τε καὶ ψυχῆς μεγαλοφυοῦς, παρά τε τῶν ἄλλων περὶ ὧν ὁ λόγος ἐρεῖ προϊών, ἐκ θειοτέρας εἶναι καινοτομίας καὶ κρείττονος περὶ ἕνα τῶν πάντων προνοίας ἢ θαύματος· ἀλλὰ τῆς μὲν ἀφ' ὧν προῆλθε πόλεως, οὐ πάνυ τοῦτον ἐντεῦθεν εὐδαιμονίσαιμι, καί τοί γε τοῖς ἄλλοις εἰς ἀποχρῶσαν εὐφημίαν ἀρκοῦν· τὸ γὰρ μετὰ πολλῶν ἄλλων τῆς κρείττονος τοῦτον εὐμοιρῆσαι πατρίδος, οὐκ ἴσον ἐμοὶ καταφαίνεται τοῖς ἄλλοις περὶ αὐτὸν ἐγκωμίοις, ὧν πολλῶν ὄντων οὐδείς ἐστιν οὕτως εὐμοιρήσας ἁπάντων· ἀπὸ δὲ τῶν ἄλλων ἐκείνῳ τὴν ἀποχρῶσαν ἐμοὶ εὐφημίαν μνηστεύσομαι. Οἱ γὰρ πόρρω τοῦ γένους αὐτῷ καὶ πρωταίτιοι τοῖς ἐξ ἑτέρας γενεαλογουμένοις σειρᾶς ἀπαράμιλλοι καθεστηκότες εἰς ἀρετὴν, τοὺς ἐξ αὐτῶν ἐπιγεννωμένους οὐκ εἶχον νικᾶν, ἀλλὰ ταὐναντία ἔπασχον τοῖς ἀπὸ τῶν πηγῶν ῥεύμασιν· ἐκεῖ μὲν γὰρ τὸ εὐθὺς προϊὸν ὑπερβάλλει τοῦ προχεθέντος πολλῷ, καὶ ὅσῳ τὸ ῥεῦμα πρόεισι, λεπτότερον τοῦ ἐπιρρέοντος γίνεται· ἐνταῦθα δὲ ὡς ἀναστρεφόντων τῶν ὀχετῶν εἰς πηγὴν, μείζους οἱ ἐφεξῆς καὶ τὴν ἀρετὴν τελεώτεροι τῶν τεκόντων ἐγίνοντο· ἔδει γὰρ τῶν ποταμῶν ὡς εἰπεῖν ἀποθαλαττωθῆναι μελλόντων, τὰ ἐγγυτέρω τῆς ἀναστοιχειώσεως ῥεύματα πλείονα τε ὁμοῦ καὶ λαμπρότερα γίνεσθαι. Ἀμέλει τοι οἱ τὸν ἄνδρα τοῦτον τεκόντες τοὺς μὲν ἄλλους ἁπλῶς οὑτωσὶ λέγειν νικῶντες, ἑαυτοὺς δὲ οὐ τοῦτο μόνον, ἀλλ' ὑφ' ἑαυτῶν νικώμενοι καὶ οὐδενὶ τῶν πάντων τοῦ πρωτείου παραχωροῦντες, τῷ παιδὶ μόνῳ τῶν πρωτείων ἁπάντων

ἐξέστησαν· καὶ διὰ τὸ τοῦ χρόνου πρεσβεῖον ἐν παραδείγματος αὐτῷ ἑστηκότες μερίδι, διὰ τὸ τῆς ἀρετῆς πρωτεῖον ὡς πρὸς παράδειγμα τοῦτον ἀπεικονίσθησαν, καὶ μέχρι τινὸς τοῦτον καταχρωννῦντες τοῖς τῶν ἀρετῶν ἄνθεσιν, ἀθρόον ἐκεῖθεν εἰς τὸ ἀκριβὲς ἑαυτοὺς τῶν ἐνθέων ἀπέξεσαν πράξεων. Ἀλλὰ τοῦτο μὲν ὕστερον· ἡ δέ γε ἀμφοῖν ἰσότης θαυμασία καὶ πάντως οὐκ ἀθεεὶ· οὔτε γὰρ τοῖς ἀπὸ τοῦ γένους εἶχον πρὸς ἀλλήλους τὸ ὑπερβάλλον, οὔτε τοῖς ἀπὸ τῆς γνώμης ἀντέπιπτον, ἀλλ' οὐδ' ἄτερος θατέρου προέθει· ἀλλὰ τό γε παραδοξότερον ἀντιτρέχοντες ἀλλήλοις, περὶ τὴν τοῦ καλοῦ ἐργασίαν τρόπον τινὰ καὶ συνέτρεχον· ἦν δὲ αὐτοῖς καὶ τὸ ἀμελούμενον ἴσον καὶ τὸ σπουδαζόμενον ὅμοιον· αἵ τε γὰρ τῶν σωμάτων εἰκόνες ἀντιμετρούμεναι πρὸς ἀλλήλας, αἵ τε τῶν ψυχῶν ἀρχετυπίαι οὐδ' ὁτιοῦν παραλλάττουσαι· λέγω δὲ ταῦτα οὐ κομψεύων τὸν λόγον, ἀλλ' εἰδόσιν ὑμῖν ἄμφω ἐπιδιηγούμενος τὰς ἰσότητας.

Τίς γὰρ τῶν πάντων οὐκ οἶδε τὸν τούτου πατέρα, τὸ μέγα θαῦμα τῆς ἀρετῆς, ὅπως τε θειοτέρου βίου ἐπιμελόμενος, καὶ πολιτικῶν ἅμα πράξεων προϊστάμενος, βήματός τε βασιλείου κριθεὶς ἄξιος, καὶ τήν γε φυλακὴν πεπιστευμένος τῶν θησαυρῶν, οὐ παρὰ θάτερον ἦσχυνε θάτερον, ἀλλὰ κάλλιον ἑκάτερον παρ' ἑκατέρου ἐποίει, τὴν μὲν ἀρετὴν ἐπαυξάνων οὐκ ἀπὸ τῶν ἰδίων μόνον πηγῶν, ἀλλὰ μὴν καὶ ἀπὸ τῶν ἀλλοτρίων, τὰς δέ γε πολιτικὰς πράξεις ἐκεῖθεν ἀπευθύνων καὶ ὑπὸ στάθμην τιθεὶς ἀκριβῆ, τῷ τε κρατοῦντι τὴν περὶ ἑαυτὸν μὴ ψευσάμενος πίστιν, πολλοῦ γε καὶ δεῖ, ἀλλὰ τιμήσας ἐκεῖνον τῆς κρίσεως, ἢ ἑαυτὸν εὐδόκιμον πεποιημένος τῆς προαιρέσεως; Τὸ δέ γε τούτων θαυμασιώτερον, ὅτι πηγὴ καθάπερ διειδεστάτη καὶ πότιμος ἁλμυροῖς καταμιχθεῖσα ῥεύμασιν, οὐκ ἐκεῖθέν τινος πικρίας ἐσπάσατο, ἀλλ' ἐκεῖνα μᾶλλον εἰς γλυκύτητα μετεποίησε· τὸ γὰρ ἀγοραῖον καὶ βωμολόγον καὶ τῆς γνώμης πόρρω ποιησάμενος καὶ τῆς γλώττης, ἀντὶ τῆς εὐτραπελείας καὶ τῆς ἐντεῦθεν ἡδύτητος, τὴν ἔννομον καὶ ἀκριβῆ τῶν τε λόγων καὶ τῶν

ἠθῶν χάριν ἐτήρησε· καὶ ἰδὼν μὲν ἄν τις αὐτὴν τὴν πρώτην, οὐκ ἂν ὠήθη μετρίων λόγων ἀκούσεσθαι, ἀκούσας δὲ τῆς πλάνης ἑαυτὸν κατεμέμφετο. Ἐκόσμει δὲ αὐτὸν πρὸ πάντων καὶ τὸ περιεσκεμμέ-
νον | τῆς γνώμης καὶ ἡ εὔλογος σιωπὴ, καὶ τὸ μὴ ταχὺ θαρρεῖν φ. 117.
οἷς ἅπαξ εἴη ὡμιληκώς· φασὶ γὰρ οἱ τούτῳ πολλάκις ξυγγεγονότες, ὅτι καὶ θεωριῶν κρειττόνων τετύχηκε, καὶ νεὼ πύλαις κεκλεισμέναις ἐπιτυχὼν, διέστειλεν ἀθρόον καὶ παραδόξως καὶ τὴν εἰς τὰ ἅγια τεθάρρηκεν εἴσοδον. Τούτοις οὖν τῶν πάντων κρατῶν, δυοῖν μόνοιν τῶν πρωτείων ἐστέρηται· τῇ μὲν γὰρ γυναικὶ ἐξίσωτο, οὐ γὰρ ἔχω τί πλέον ἐρεῖν, τοῦ δὲ παιδὸς ἥττητο, καὶ ὁ λόγος ἔχει παρὰ τῆς ἐπιστήμης τὸ βέβαιον· ἐξ ἰσότητος γὰρ καὶ παρὰ τοῖς ἐκείνης λόγοις αἱ ἀνισότητες.

Ὡς περ δὲ τῷ πατρὶ εἰς ἀρετῶν ἐργασίαν καὶ πολιτείαν ὁ βίος διαιρεθεὶς ἀνθάμιλλος καὶ ἴσος ἀμφοῖν ἔδοξεν, οὕτω δὴ καὶ τῇ μητρὶ τά τε τῆς οἰκουρίας, τά τε τῆς περὶ τὰ κρείττονα ροπῆς τε καὶ νεύσεως ἀντιπεπονθότως τε ἀλλήλοις ἔχει καὶ ἰσοτίμως· ἡ δὲ καὶ πρὸς τὴν φύσιν ἀντέκειτο, καὶ τὰ μὲν ἐνίκα, τὰ δὲ ἐνικᾶτο· κάλλους γὰρ κατολιγωροῦσα σώματος, καὶ τὸ περὶ αὐτὴν ἄνθος μήτε περισκάπτουσα, μήτε μὴν ἄλλως ἀρδεύουσα, τὰ μὲν ἐκράτει τὴν ἄνθην ἐκκόπτουσα, τὰ δὲ ἡττᾶτο, παντάπασι τοῦ φυτοῦ τὸ κάλλος ἀλλοιῶσαι μὴ δυναμένη· ἐπὶ γὰρ τῷ θεῷ ζῶσα καὶ τῷ ἀνδρὶ, ὃ μᾶλλον ἐκείνοις ἐράσμιον ἤδει, τούτου δὴ καὶ μάλιστα ἐπεμέλετο, ὃ δὲ κατωλιγώρητο, τοῦτο καὶ ἀπεστρέφετο· οὐ γὰρ ὁ μὲν θεὸς τοῦ κεκρυμμένου κάλλους ἦρα, ὁ δέ γε ἀνὴρ τοῦ φαινομένου ἐπιθυμητὴς ἐτύγχανεν ὤν, ἀλλὰ καὶ οὗτος τὸ εἶδος ἐτίμα τῶν ἀρετῶν, καὶ τὴν ὁμόζυγον ἐντεῦθεν μᾶλλον ἐσέβετο καὶ ἠσπάζετο.

Ἀλλ' ὁ μὲν λόγος ἐς τὸ τῆς ὑποθέσεως ἄνω ἀναδραμὼν, ἐπιλελῆσθαι τοῦ προκειμένου δοκεῖ· ὡς οὖν ἀρκούντως ἐκεῖσε ἐμφιλοχωρήσαντά τε καὶ πλατυνάμενον, ἐφ' ὃ δραμεῖν βούλεται μεταγάγωμεν. Οὕτω τοιγαροῦν τῷ θείῳ πατρὶ τῶν τοκέων καθεστηκότων

αὐτῷ, μεθ' ἑτέρους ὁμογενεῖς τῷ βίῳ παρεισενήνεκται, ὑψηλῶν ὑψηλότερος, καὶ τὴν ἀρετὴν θαυμασίων θεοειδέστερος· οὐ γὰρ ἀπωλιγώρησε τοῖς τεκοῦσιν ἡ φύσις εἰς τὴν τελευταίαν προϊοῦσα γονήν· μᾶλλον μὲν οὖν ὅπερ αὐτοὶ πεπόνθασι, πεποιήκασι, καὶ προσωτέρω τοῖς τόκοις χωροῦντες εἰς τὴν κρείττω κατέληξαν. Ὡς δ' ἐγὼ ἐνίων τὰ ἐκείνων ἀκριβωσάντων ἤκουσα, ὅτι καὶ ὀμφαὶ κρείττους προεμήνυσαν ἐκείνοις καὶ τὴν σύλληψιν τοῦ παιδὸς καὶ τὸν τοκετὸν, καὶ τὰ κρείττω παρὰ τοῦ κρείττονος τούτῳ ἐπεμαρτύρησαν· ἐπεσφράγιζε δὲ τὰς ὑψηλὰς μαρτυρίας προβαίνων ὁ παῖς, ἐναπαστράπτων τοῖς κάλλεσιν, οὐ τοῖς ψυχικοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἀπὸ τοῦ σώματος.

Οἶδα μὲν οὖν πολλοὺς τῶν εἰς ἄκρον φιλοσοφησάντων μὴ διδόντας τὸν λόγον τῷ κάλλει τοῦ σώματος, μηδ' ἐντεῦθεν τὸν τετυχηκότα ἐγκωμιάζειν προῃρημένους, ἀλλ' ἀπό γε τῶν κρειττόνων καὶ σεμνοτέρων, νοῦ βεβηκότος, λογισμοῦ καθεστηκότος, ψυχῆς γενναίας, ἀγχινοίας καὶ σταθηρότητος, καὶ ὅσοις ὁ ἔσω κεκόσμηται ἄνθρωπος· ἐγὼ δὲ οὕτω πως τίθεμαι περὶ τοῦτο, καὶ δόγμα εἶναι τὸν λόγον νομοθετῶ· δυοῖν μὲν, ψυχῆς φημὶ καὶ σώματος, περὶ κάλλους ἀντεριζόντοιν πρὸς ἄλληλα, καὶ τῆς μὲν τὴν οἰκείαν ἀρετὴν προβαλλούσης, τοῦ δὲ τὸ ἑαυτοῦ κάλλος ἐπιδεικνύοντος, κἂν μὴ ἐν ἴσῳ τὰ ἀντιθέμενα ᾖ, ἀλλὰ τὸ σωματικὸν εἶδος παρὰ πολὺ τοῦ ψυχικοῦ τῷ οἰκείῳ λόγῳ λαμπρότερον, νικᾷν τὴν ψυχὴν κἂν τῷ βραχεῖ κάλλει πρὸς τὸ τοῦ σώματος μέγεθος καὶ κάλλος ἐρίζουσαν· δύο δέ τινων πρὸς ἀλλήλους ἀντισυγκρινομένων, καὶ τοῦ μὲν ταῖς ψυχικαῖς χάρισιν ἀπαστράπτοντος, εἰδεχθοῦς δὲ τὴν ἔξω πεφυκότος μορφὴν, τοῦ δὲ ἀνθαμίλλου μὲν ἐκείνῳ τὰ εἰς ψυχὴν, ἐπανθοῦντος δὲ καὶ σωματικοῖς ὡραΐσμασι, τὴν νικῶσαν τούτῳ ἐπιβραβεύσαιμι· εἰ γὰρ καὶ περιττόν πως δοκεῖ τὸ σωματικὸν κάλλος πρὸς τὴν ἀρίστην τῆς ψυχῆς ἰδέαν, ἀλλ' ἐπὶ τῶν διηρημένων ταῦτα κρίνεται φύσεων, τὸ γέ τοι κρᾶμα εἰ ἐξ ἀμφοῖν καταλλήλως ὥςπερ λύρα συνήρμοσται, κρεῖττον τοῦ ἐκ θατέρου ὡς

προσῆκε συνεστηκότος. Οὔκουν ἀτιμαστέον ἡμῖν εἰς ἐγκωμίου λόγον, εἰ καλὸς καὶ τὴν ἔξω περιβολὴν ὁ ἐγκωμιαζόμενος εἴη· ἀλλὰ καὶ τοῦτο τὸ μέρος προσυφαντέον τῷ λόγῳ, καὶ τόσῳ μᾶλλον, ὅσῳ καὶ ἡ ἐνδυθεῖσα τοῦτο ψυχὴ πρὸς τὴν ἐκείνου ἰδέαν ἀντήρκεσεν. Εἰ μὲν γὰρ ἁπλῶς ὕλη τις ἦν ἀνίδεος τὰ ἡμέτερα σώματα, ἐχρῆν δι' αὐτὸ τοῦτο ἀποδιοπομπεῖσθαι τοῦ λόγου τὸ ἄμορφον αἶσχος, καὶ αὐτὸ δὴ τοῦτο τελευταῖον καὶ ὑλικώτατον· ἐπεὶ δὲ καὶ ἐξ ἐνύλων εἰδῶν συμπεπήγαμεν, οὐκ ἀτιμαστέον μᾶλλον ἡμῖν διὰ τὴν ὕλην τὰ σώματα, ἢ τιμητέον διὰ τὸ εἶδος, ὃ δὴ ἄνωθεν ἀπὸ τοῦ νοεροῦ προεληλυθὸς ἐς τὰ σώματα λῆξαν ἀχώριστον ἔμεινε. Κείσθω γοῦν ἡμῖν καὶ τὸ τοῦ ἀνδρὸς εἶδος εἰς εὐφημίας μέρος ἀρκοῦν. Οὕτω γοῦν αὐτὸν ἡ φύσις ἐκάλλυνεν ἀποξέσασα, ὡς τοῦτον μόνον οὕτως ἐργασαμένη, ἔπειτα πρὸς δευτέραν τοιαύτην σωματοποιΐαν ἀποκαμεῖν· οὔκουν ἐξ οὗ τοῦτον πεποίηκεν ἄλλον οὕτως ἐμόρφωσεν, οἶμαι δὲ μὴ δὲ προτοῦ πᾶσαν ἰδέαν καλοῦ συνεισενεγκεῖν ἑτέρῳ· ἔστω δὲ ἡμῖν ταῦτα πρὸ τῶν ψυχικῶν χαρίτων ὥσπερ ἑωσφόρος ἡλίου προανατέλλων. Ὃ γοῦν εὐθὺς ὤπτο γεννωμένῳ, τοῦτο θαυμάζω τῷ λόγῳ πρῶτον ἀπολαβών, καθάπερ πρὸ τῆς ὀπώρας τὴν ἄνθην, ἵν' ἐπειδὰν ἐπανατείλῃ τῷ λόγῳ ἡ τῆς ψυχῆς ὥρα, ἀφεὶς τὸ πρώτως φανθὲν, ἐπὶ τὸ αὖθις ἐκραγὲν φῶς μετενέγκω τοὺς ὀφθαλμούς.

Εἶχε μὲν οὕτω κάλλους, ὡς τῶν πάντων οὐδεὶς, καὶ τήν γε πρώτην | εὐθὺς ἔδοξεν ἀπαράμιλλος· εἶτα δὴ προϊὼν, ὡς καὶ τὴν σύνεσιν τῆς ψυχῆς καταβραχὺ παρεδείκνυεν, ἐπ' ἄλλό τι μετέγραφε τοὺς θαυμάζοντας· ὀφθαλμοῖς γοῦν ἢ ἀκοῇ καὶ νοῦ προσοχῇ τὰ ἐκείνου ἐκρίνετο· καὶ εἰ μέν τινες παρὰ μέρος ταῦτα ἢ τεθέανται, ἢ ἀκούσειαν, ἢ τὸν νοῦν αὐτῷ ἐπερείσειαν, ξύμπαντες νικῶντες ἀπήεσαν· εἰ δ' ὁ αὐτὸς πάντων μετεσχήκει, προήει νικώμενος ἄχρι τῆς τοῦ ὁρωμένου συνέσεως· ἰδὼν μὲν γὰρ εὐθὺς κατεπλήττετο, εἶτα προϊὼν καὶ ἀκούσας, ἀφεὶς τὸ εἶδος, τὴν γλῶτταν ἐθαύμαζε, προσωτέρω δὲ χωρῶν καὶ τὸν ἐκείνου ἀνασκεπτόμενος νοῦν, ἄμφω

φ. 117*.

καταλιπὼν, ἐστεφάνου τὸ τελευταῖον, καὶ ἀπὸ τῆς συνθέσεως μᾶλλον αὐτὸν ἀνηγόρευε.

Τὰ μὲν οὖν τῆς τύχης ἐπὶ τὰς τῶν ἀνακτόρων τοῦτον εἵλκεν αὐλὰς ἐκ πρώτης ἡλικίας εὐθὺς, τὰ δὲ τῆς γνώμης ἐπὶ τοὺς λόγους ἐπέστρεφε· καὶ τοῖς γε πρώτοις ἀρκούντως στοιχειωθεὶς, ἐπειδὴ καὶ ῥητορικοῖς λόγοις ὡμίλησεν, οὐ τὸ φαινόμενον αὐτῶν κάλλος καὶ πρὸς πειθῶ ἀρκοῦν ἠγαπήκει, ἀλλὰ τὸ ἀληθὲς καὶ στερρὸν, ὃ δὴ καὶ φιλοσοφία ἑαυτῇ ὑποποιεῖται καὶ τοῦ περὶ αὐτὴν οὐκ ἀπαξιοῖ κύκλου· καὶ τῷ μὲν πατρὶ ὡς παραδείγματι πρὸς τοῦτο ἐξεπαιδεύετο, τῷ δέ γε ἀδελφῷ ὡς πρὸς τὸ ἴσον διαμιλλώμενος ἦν, περὶ οὗ τι βραχὺ ὁ λόγος ἐρεῖν βούλεται.

Τῶν μὲν οὖν ἑλληνικῶν φιλοσόφων οἱ δόξαντές τι τῶν ἄλλων πλέον ἰδεῖν, πίθους τινὰς ἀντιθέτους αἰτιῶνται τῆς διαφόρου τῶν αὐτῶν τοκέων γενέσεως, καὶ τῶν γε μέσως ἀρετῆς καὶ κακίας ἐσχηκότων μίξιν τινὰ κατηγοροῦσι τῶν ἐν τοῖς πίθοις κειμένων· ἡμῖν δὲ ἐνταῦθα ἡ τοῦ θεοῦ δημιουργία καὶ πρόνοια τοῖς ἀδελφοῖς ἐπίσης σχεδὸν εἰπεῖν ἤρκεσε· γεγόνασι γοῦν ἄμφω καὶ τὰ σώματα καὶ τὰς ψυχὰς ὅμοιοι· τὸ δέ γε παραλλάττον αὐτοῖς τοσοῦτον· ὁ μὲν γὰρ θατέρου κατὰ τὸ πρεσβεῖον κρατῶν τῆς γενέσεως, τοῦ μέτρου τῆς ἀρετῆς ἥττητο· ὁ δὲ ἐντεῦθεν νικῶν, οὐκ εἶχε καὶ τῷ προλαβόντι μέρει κρατεῖν τῆς ζωῆς· ὅθεν ὁ μὲν προανατείλας ἐκείνου, κατά γε τοῦτο τὸ μέρος τοῦ ἀδελφοῦ προϊστάμενος, ὑφεῖτο τῆς περὶ τὰ κρείττω προκοπῆς καὶ ἀναγωγῆς· ὁ δέ γε νεώτερος, προϊὼν ἐκείνου κατὰ τὴν σύνεσιν, τὰ δευτερεῖα εἶχε κατὰ τὴν γένεσιν· καὶ ἦν ἄτερος θατέρῳ ἀντιπαραχωροῦντες ἀλλήλοις τῶν καθ' ἑαυτοὺς πρωτείων, καὶ νικῶντες ὁμοῦ καὶ νικώμενοι. Ἐξ ἐναντίων δέ πως ἠθῶν συγκείμενοι ἐς τὴν ὁμοίαν ἀπετελεύτων προαίρεσιν· ὁ μὲν γὰρ πρεσβύτερος χαροπός τε ἦν ἰδεῖν, καὶ περιεχόρευεν αὐτῷ ἐν τῷ εἴδει καθαρῶς ἡ ψυχὴ, καὶ ὅλως χαρίτων μεστὸν εἶχε τὸ πρόσωπον, λόγων δὲ ἴυγγες τοῦ στόματος ἐκθοροῦσαι ὥσπερ τινι σαγήνῃ ἀφύκτῳ τοὺς προσδιαλεγομένους ἐθήρων· ὁ δέ γε νεώτερος,

καὶ ὃν ὁ λόγος σκοπὸν πεποίηται τήμερον, ἐς τὸ εἴσω μᾶλλον συννενεύκει, καὶ οὐκ εὐθὺς θηρατὸς ἦν τῷ προσομιλοῦντι, οὐδὲ τοῖς ἑλεῖν βουλομένοις ἐκκείμενος, ἀλλὰ σκεπτόμενος ἅμα ὅ,τι τε αὐτὸς προενέγκοι τοῦ στόματος καὶ ὃ προενεγκόντος ἑτέρου ἕλοιτο. Ἀμφοῖν δὲ οὕτω διακειμένοιν, ζῆλος ἀμφοτέροις ὃ μᾶλλον ἄτερος ἐσχήκει παρὰ τῆς φύσεως κτήσασθαι· καὶ ὁ μὲν χαρίεις ὢν, τὸ σύννουν ὑπερηγάπα, ὁ δὲ συννοίᾳ προσκείμενος, τὴν τοῦ ἀδελφοῦ χάριν ἐζηλοτύπει, καὶ τὸ ἑτέρου μᾶλλον ἐπῄνει ὁ ἕτερος. Ἀλλὰ τὰ μὲν τοῦ ἤθους αὐτοῖς οὕτω διάφορα, ἡ δέ γε παιδεία κοινὴ καὶ ὁ λόγος ἴσος ἀμφοῖν, καὶ ἡ σύνεσις τοῦ μὲν ὀξυτέρα τοῦ μείζονος, τοῦ δὲ ἀκριβεστέρα· ὅ τε λόγος ἐκείνῳ μὲν καλλιρρημονέστερος, τούτῳ δὲ τεχνικώτερος· ἥ τε δίαιτα καὶ ἡ ἐσθὴς (μὴ δὲ γὰρ μὴ καὶ τούτων ὁ λόγος ἀπόσχοιτο), τῷ μὲν πολυτελεστέρα, εὐπάρυφόν τε τὸ ἔσθημα, τῷ δὲ βραχὺ μέν τι ἀφελεστέρα, μᾶλλον δέ τι ἡδύνουσα, ἥ τε περιβολὴ φιλόσοφος ἅμα καὶ στίλβουσα. Διελόμενοι δὲ καὶ τὴν σωφροσύνην, ὁ μὲν ἐννόμῳ γάμῳ ἑαυτὸν καθωσίωσε, καὶ τὴν ἀρίστην ἑλόμενος τοὺς ἀρίστους ἀπέτεκε, περὶ ὧν ὁ λόγος μνημονεύσει κατὰ καιρόν· ὁ δέ γε νεώτερος, καὶ τὸ ἔννομον ἀτιμάσας, ὑπὲρ τὸν νόμον, ταὐτὸν δὲ εἰπεῖν καὶ ὑπὲρ τὴν φύσιν προείλετο ζῆν. Ἦστην δὲ καὶ ἄμφω ὁμωροφίω, καὶ ἡ διαίρεσις μέχρις αὐτῶν, τὰ δ' ἄλλα, οὐδαμῆ θατέρου χωρὶς ἄτερος· ἐξῆγόν τε καὶ εἰσῆγον ἐκ τῶν αὐτῶν θησαυρῶν καὶ ἐς τοὺς αὐτοὺς, μᾶλλον δὲ ἄμφω ἀμφοῖν ἐξήντλουν ἐκ τῶν αὐτῶν, τὰ μὲν μεγαλοπρεπῶς ἅμα καὶ φιλοτίμως τοῖς ὑπάρχουσι χρώμενοι καὶ τοῖς ἄλλοις ὄντες μεγαλοψυχίας παράδειγμα, τὰ δὲ κρυφίως τοῖς πένησιν ἀποθησαυρίζοντες καὶ ἐς οὐρανίους κατατιθέμενοι θησαυρούς· καὶ αὐτοῖς μὲν ἤρκει τὰ πατρῷα, αὐτοὶ δὲ ἀποχρῶντες τοῖς πλείοσιν ἐνομίζοντο.

Εἶλε τούτους ὕστερον καὶ φιλοσοφίας ἔρως, καὶ ἀντείχοντο τῆς διαλεκτικῆς μάλιστα· προὔκυψαν δὲ οὐκ εἰς τὸν ἁπλοῦν μόνον συλλογισμὸν, ἀλλὰ καὶ τάς τε ἀρχὰς εἶχον τῶν ἀποδείξεων, καὶ

ἀφ' ὧν αὖθις ἐκεῖναι προΐασιν· ἀλλ' οὗτος μὲν τοῦ πεζοῦ μᾶλλον εἴχετο λόγου, ὁ δέ γε πρεσβύτερος ἀδελφὸς ῥυθμοῖς ἑαυτὸν ἐπεδίδου καὶ μέτροις· καὶ προσειρήκασί γε ἄμφω τῶν ἀποθανόντων ἐνίους, καὶ τῶν γε καθοσιωσάντων ἑαυτοὺς τῷ θεῷ οὐκ εἰκόνας ἐπεποίηντο μόνον, ἀλλὰ καὶ ταύτας λόγοις ἐκόσμουν καὶ ἐπιγράμμασι. Τῷ μὲν οὖν πρεσβυτέρῳ προσγειοτέρα πως ἡ φύσις ἐδόκει, λέγω δὲ τοῦτο, ὅτι τὴν περὶ τὰ κάτω παιδείαν ἑλόμενος, χαίρειν εἰρήκει τοῖς περὶ τὸν οὐρανὸν θαύμασί τε καὶ κάλλεσι, τὸν δὲ ὁ
φ. 118. νοῦς ἑπτέρου καὶ περὶ ταῦτα· καὶ ἵνα | τὰ τοῖς πολλοῖς ἄδηλα διηγήσωμαι, ἃ τοῖς ἄλλοις οἱ τῶν σοφῶν λόγων ὀφθαλμοὶ πρὸς τὴν ἄνω θεωρίαν ἐγένοντο, ταῦτα ἐκεῖνος αὐτομάτως ἐλάμβανεν· ἤδει γοῦν καὶ τοὺς ἀπλανεῖς καὶ τοὺς πλάνητας, τούς τε παραλλήλους τῶν κύκλων καὶ τοὺς ἐκλειπτικοὺς συνδέσμους, καὶ τὰς αἰτίας τῶν τε ἐπισκοτήσεων καὶ τῶν ἐκλείψεων. Εἰ δὲ τί που αὐτὸς ἐπεμαρτυράμην οἷς ἐκεῖνος ἐσχήκει καταστοχασάμενος, ὁ δὲ αὐτίκα ἠγάλλετό τε καὶ σκιρτῶν τῇ ψυχῇ ἡδύτερον ἐμειδία, ὡς παρὰ τοῦ κρείττονος περὶ ταῦτα τὴν μαρτυρίαν λαχών. Γεωμετρίᾳ δὲ μὴ πάνυ ἐσχολακὼς, ὁπόσα ἐκείνη ἐν ταῖς οἰκείαις ἀποπερατώσεσι δέχεται, ταῦτα ἐκεῖνος εἰργάζετο, εὐμήχανος εἴπερ τις ἄλλος περὶ τὰς ὀργανοποιΐας γενόμενος. Ἀλλὰ ταῦτα μὲν ἕως οὔπω τοῦτον ὁ σφοδρότερος ζῆλος ἐσχήκει τῆς κρείττονος ἀρετῆς· ἐπεὶ δὲ ἐγνώκει ὡς τὸ ἐπιμεληθῆναι ἠθῶν οὐκ αὔταρκές ἐστιν ἀγαθὸν, ἀλλ' ὁδὸς εἰς τέλος, τὴν θεωρίαν φημὶ φέρουσα, τὰς χαμαιπετεῖς ἀφεὶς πτέρυγας, τὰς περιηργυρωμένας τῆς θείας περιστερᾶς ἑαυτῷ προσηρμόσατο, καὶ τῶν πολιτικωτέρων μεθέμενος πράξεων, τῶν πνευματικωτέρων ἀντείχετο.

Ἐπεὶ δὲ ἔδει τέλειον αὐτὸν ἀθλητὴν γεγονέναι καὶ στεφανίτην ἀναίμακτον, αἰτησαμένῳ τῷ πειράζοντι δίδωσι τοῦτον, ὡς τὸν μέγαν ἀγωνιστὴν Ἰὼβ, ὁ θεός· ὁ δὲ παραλαβὼν, οὐ κατὰ μέρος ἐπῆγε τὰ πειρατήρια, οὐ δὲ νῦν μὲν ἀφαιρεῖται αὐτοῦ τὰ βουκόλια καὶ τὰ ποίμνια, αὖθις δὲ ἄλλο τι προσάγει, καὶ τέλος μά-

στιγι πλήττει βαρείᾳ τὸν ἀθλητὴν, οὐ δὲ πλῆξαι λαβὼν ἕλκει παίει πονήρῳ, ἀλλ' ὁμοῦ πᾶσι προσβάλλει καὶ τῇ χείρονι τῶν πληγῶν· τὸ δ' ὅπως καὶ ἐξ οἵων ἀρχῶν ὁ βάσκανος δαίμων τούτου κατέδραμεν, ὁ λόγος εἰπεῖν βούλεται· διαιτήσω δὲ δικαίως τῷ πράγματι, τούτῳ τε τὴν ἀτιμίαν ὡς μαρτυρίαν προσάγων, καὶ τὸν ἠτιμηκότα οὐ πάνυ τι ἀτιμάζων ἐντεῦθεν διὰ τὴν περὶ τὰ κρείττω τῆς ψυχῆς ροπὴν καὶ οἰκείωσιν.

Ἴθυνε μὲν τὰ σκῆπτρα Ρωμαίοις ὁ μετὰ τὸν Ρωμανὸν Μιχαὴλ, Ρωμανὸν ἐκεῖνον ὃς τὴν τοῦ Ἀργυροῦ πατρόθεν κλῆσιν ἐσχήκει· τὸ δὲ ἐντεῦθεν τῆς ἀρχῆς εἶδος διπλοῖς ἤθεσιν ἐμερίζετο, τοῖς τε αὐτοῦ φημὶ τοῦ κρατοῦντος καὶ τοῖς πρὸ ἐκείνου ἢ μετ' ἐκεῖνον ἀπὸ τῶν αὐτῶν ἀποτεχθεῖσι λαγόνων· ἀλλ' ἡ μὲν ἐπ' ἐκείνῳ μερὶς ἔννομός τε ἐδόκει καὶ δυναστείας ἀπηλλαγμένη, ἀτέρα δὲ ἡ τῶν πολλῶν, τυραννική τε καὶ βίαιος· διὰ ταῦτα δὴ καὶ τῶν ὑπ' ἐκείνους ἡ γνώμη διχῇ ἐμερίζετο, ἢ τῶν αὐτῶν τἀναντία περὶ ἐκείνους ἀνὰ μέρος βεβουλημένων ζῆν τε ὁμοῦ καὶ τεθνᾶναι, τὸ μὲν διὰ τὸν κρατοῦντα, τὸ δὲ διὰ τὴν τυραννοῦσαν συγγένειαν, ἢ ἐνίων μὲν, καὶ ὁπόσοι περὶ ἐκεῖνον, τῆς προτέρας ὄντων αἱρέσεως, τῶν δέ γε πλειόνων τῇ ἑτέρᾳ προστεθειμένων. Ὁ γὰρ βασιλεὺς οὗτος, εἰ καὶ τὰ προεισόδια παρηνομήκει τοῦ κράτους, ἀλλὰ τά γε μετὰ ταῦτα ἀντίρροπός τε τοῖς προηγησαμένοις ἐγεγόνει, καὶ οὐ πρὸς τὰς ἀρχὰς καὶ τὰ λήμματα ἐποιεῖτο τὰ ἐφεξῆς, ἀλλ' ἑτέροις τραπόμενος, ἑτέραν αὖθις διήει, ἢ μᾶλλον ἀφ' ἑτέρας τὴν ἐναντίαν ἐβάδισεν· οἱ δὲ κεκοινωνηκότες αὐτῷ τοῦ αὐτοῦ αἵματος, ἐκ διαμέτρου ταῖς ἐκείνου γνώμαις ἠναντιώθησαν· ἐκυμαίνετο γοῦν τοῖς ὑπηκόοις τὰ πράγματα, ἐκεῖνοί τε ταραχωδῶς εἶχον καὶ οὐκέτι καθεκτοὶ ἦσαν παντάπασιν ἐκκεῖσθαι τῇ τυραννίδι. Ὅθεν ἵνα τἆλλα ἐάσω τῶν τότε ῥηθέντων τε καὶ πραχθέντων, σχίζεται μερὶς οὐκ ὀλίγη ἀφ' ὅλης τῆς πόλεως, τὰ πρῶτα τῶν γενῶν, οἱ τολμηρότατοί τε καὶ ἀνδρειότατοι καὶ τὰς γνώμας ὀξύτατοι· καὶ πρινὴ παραγυμνῶσαι τὰ τοῦ τολμήματος, καταλύουσι μὲν τῷ

λόγῳ τὴν τυραννίδα, ἐννομωτάτην δὲ καθιστῶντες ἀρχήν, περὶ τοῦ βασιλεύσοντος σφίσι σκέμμα πεποίηνται· καὶ ἵνα μὴ εἰς φιλοτιμίαν ἀνενεχθῇ ἡ βουλή, ἑαυτὸν μὲν ἕκαστος πόρρω ποιεῖ τῆς ἀρχῆς, κοινῇ δὲ πάντες περὶ τοῦ κρείττονος ἁπάντων ψηφίζονται· καὶ ὥσπερ πάλαι νόμος Αἰθίοψιν ἦν τὸν ἐν πᾶσιν εὐδοκιμώτατον εἰς βασιλέα προάγειν, οὕτω δὴ καὶ τούτοις ἐδέδοκτο τὸν ἐν ἅπασι τὰ πρωτεῖα εἰληφότα παρὰ θεοῦ, τῇ πρώτῃ τιμῆσαι τιμῇ. Ὥσπερ οὖν πάλαι τοῖς Ἕλλησι χρᾶσθαι βουλομένοις, τὸ Πυθοῖ χρηστήριον τῶν λοιπῶν προεκέκριτο, καὶ οὐκ ἦν περὶ τοῦ κρείττονος ἀμφισβήτησις, εἰ καὶ πλάνην εἶχεν ἡ κρίσις περὶ τὸ πρᾶγμα, οὕτω δὴ καὶ τούτοις πρὸς αὐτὸν αἱ ψῆφοι ἐγίγνοντο· καὶ ἐδόκει μὲν ἕκαστος ἑλέσθαι τὸν κρείττονα· ἦν δ' ὁ αὐτὸς πᾶσιν ὁ νῦν εὐφημούμενος. Ἐπεὶ δὲ καὶ τοῦτο ᾔδεσαν, οὐ ῥᾳδίως ἐκεῖνον ἐψόμενον τῇ τιμῇ (ἦν γὰρ καὶ ταύτης ὁ ἀνὴρ ὑψηλότερος), ὥσπερ ἤδη προάγοντες ἐπὶ τὰ βασίλεια κατήπειγον βουλευόμενον καὶ πρὸς ἀνθεστηκότα διηγωνίζοντο. Ἐπεὶ δὲ ἤδη ἐστεφανώκασι, καὶ τὴν ἡγεμονίαν αὐτῷ προσανέθεσαν ταῖς σκιαγραφίαις τῶν βουλευμάτων, ὥσπερ οἱ περὶ τὴν οἰκοδομίαν, μετὰ τὴν θεωρίαν κατήρχοντο ἤδη τῶν πράξεων. Ἦν δὲ τὸ βουλευόμενον τούτοις οὐκ ἀποκτιννῦναι τὸν αὐτοκράτορα, ἀλλ' ἐπισχεῖν προϊόντα, καὶ τοῦτον μὲν μεταστήσασθαι τῆς ἀρχῆς, τὸν δὲ ταῖς ψήφοις κριθέντα ἀντ' ἐκείνου ἐπὶ τὴν βασιλείαν προαγαγεῖν. Τοσαύτη δὲ τούτοις περὶ τὸν ἄνδρα ἐγεγόνει εὐλάβεια, ὡς μὴ δὲ εἰπεῖν θαρρῆσαι τούτῳ τὸ βούλευμα·
φ. 118*. ᾔδεισαν γὰρ ὡς οὐκ ἂν ἀκούσας, ἢ τὴν κρίσιν ἔλοιτο, | ἢ τὴν βουλὴν ἐπαινέσειεν. Ὁ μὲν οὖν οἶκοι καθῆστο, οὐδὲν εἰδὼς ὧν ἐκεῖνοι καθ' ἑαυτόν τε ἕκαστος καὶ πρὸς ἀλλήλους ἐβουλεύοντο· ἐπεὶ δὲ πολὺ προειλήφει τὸ σκέμμα τὴν πρᾶξιν, καὶ τὸ μὲν ἐγεγόνει, ἡ δὲ ἔμελλεν, καὶ οἱ μὲν ἐθάρρουν τὸ βεβουλευμένον, οἱ δὲ περὶ τοῦ μέλλοντος ἐδεδίεσαν, ἀπορρήγνυνταί τινες τῶν συνομοσαμένων, ἡ φαυλοτέρα μερὶς, καὶ πρὸς ἀλλήλους διαλεχθέντες, εἶτα δὴ καὶ οἰηθέντες ὡς οὐκ ἂν λάθοι τὸ βούλευμα, αὐτάγγελοι τῷ βασιλεῖ

τῆς συνωμοσίας οἱ συλλήπτορες γίνονται καὶ τὴν σκέψιν πᾶσαν ἀνακαλύπτουσι, καὶ δῆλα ποιοῦσι τὰ ὠμοσμένα καὶ τὴν ὅλην ἐπιβουλὴν προσαγγέλλουσι, καὶ ὡς οἱ μὲν αὐτόθεν κεκοινωνήκασι τῶν βεβουλευμένων, οἱ δὲ πόρρωθεν ἐγνωκότες τὸ σύνθημα ἀναμένουσι, καὶ ὡς αὐτίκα ἐν χεροῖν αὐτοῖς γένοιτο, εἰ μὴ προανέλοι τὸ δραματούργημα. Ταράττεται τούτων ἀκούσας ὁ βασιλεὺς καὶ τὴν ψυχὴν ἀθρόως ἐκδειματοῦται, καὶ αὐτίκα προκαταλαμβάνει τὴν πόλιν, καὶ δορυφορίᾳ ἑαυτὸν περιτειχίζεται μείζονι· καὶ τοὺς ὁμωμοκότας ἀθρόως καὶ καθ' ἕνα ἑλὼν, ἐντός τε ἔσχεν ἀρκύων, καὶ ἀνακρίνει περὶ ὧν ὠμωμόκεσαν. Οἱ δὲ, ἐπειδὴ βελῶν ἐντὸς ἐγεγόνεισαν καὶ οὐκ ἦν ὀπίσω φυγεῖν, ἀλλὰ τὸν δρασμὸν εἶχεν ὁ συγκλεισμὸς, πάντα σαφῶς ἀπογυμνοῦσι ῥητά τε ὁμοῦ καὶ ἄρρητα, τὰς πρώτας αἰτίας, τοὺς ἐπὶ ταύταις διαλόγους, τὰς συνωμοσίας, τὰς ψήφους, καὶ ὡς ἐπὶ τούτοις βασιλεὺς αὐτοῖς αἱρεθείη ὁ τήν τε γνώμην, τό τε γένος καὶ τἄλλα προσήκων τῷ πράγματι· ἐς τοῦτο δὲ τοὺς λόγους ἐκείνων συμπερανάντων, ὁ βασιλεὺς τῶν μὲν ἄλλων λεγομένων καταφρονεῖν ἐῴκει, καὶ ἕκαστον τῶν συντεθειμένων ἐμέμφετο· τὸ δὲ ἀκροτελεύτιον τῆς ἐξαγγελίας ἀκηκοὼς, συνέστρεψέ τε εὐθὺς τὸν νοῦν καὶ βαθεῖαν τὴν συνωμοσίαν ἐντεῦθεν ὑπολαβὼν, ἠρώτησέ τι βραχὺ, εἰ κἀκείνῳ συνδοκοῦν ἐγεγόνει τὸ δρᾶμα· ὡς δ' ἀπειρήκασι σύμπαντες, αὖθις ἐπύθετο, ἅ του χάριν οὐκ εἴη συνεγνωκώς· ὡς δὲ τὴν αἰτίαν ἐμεμαθήκει, ὡς οὐκ ἂν συνευδοκεῖν εἵλετο ἄνθρωπος μὴ δοὺς ἑαυτῷ κατηγορίας ὑποψίαν ποτὲ, ἔτι μᾶλλον τούτους τε θαυμάσας τῆς κρίσεως, κἀκεῖνον τοῦ ἀκριβοῦς δείσας φρονήματος, τούτων μὲν καὶ αὖθις καταπεφρονήκει, καὶ πρὸς τὸ τῆς πονηρίας εἶδος ποιεῖται τὰς τιμωρίας αὐτοῖς, μᾶλλον δὲ ὑφαιρεῖ τι ἑκάστῳ τῆς δικαίας κολάσεως· ἐκεῖνον δὲ, δέον ἐπαινεῖν τοῦ ἀναμαρτήτου φρονήματος, μᾶλλον κολάζει τῶν ἄλλων, καὶ ὧν ἕτεροι ὑπὲρ τούτου ἐγνώκεσαν, δίκας τοῦτον εἰσπράττεται, καὶ κρίνει ἐφ' οἷς οὐκ ᾔδει, καὶ κατακρίνει ἐφ' οἷς οὐκ ἐπεποιήκει, καὶ ὑπ' εὐθύνην ποιεῖται ἐφ' οἷς τὸν ἅπαντα χρόνον ἀνεύθυνον πᾶσιν

ἑαυτὸν διετήρησε· καὶ τό γε πάντων ἀτοπώτερον, ὁ μὲν ἐγίγνωσκε τῶν λεγομένων ἢ πραττομένων οὐδὲν, τοσοῦτον μόνον εἰδὼς, ὅτι περ ἑάλωσάν τινες ἐπὶ τὸν αὐτοκράτορα μεμελετηκότες.

Κατήγορος δὲ ἅμα καὶ δικαστὴς προὐκάθητο τούτῳ ὁ βασιλεὺς, καὶ τοὺς μὲν τὰ δεινότατα μεμελετηκότας οὐκ εἰς τὸ ἀκριβὲς τὰ τῆς τιμωρίας μετρεῖ, ἀλλὰ τοῖς μὲν καὶ παντάπασι τὰς εὐθύνας ἀφίησι, τοῖς δὲ μετριωτέρας ψηφίζεται· περὶ δὲ οὗ σύμπαντες οἱ κατειπόντες ἀλλήλων ὡς ἀναμαρτήτου παντάπασιν ἐμαρτύρησαν, τοῦτον ἐκεῖνος ὑπὸ μείζονα καταδίκην ποιεῖ. Καὶ ὁ μὲν ἐπιεικῶς πάνυ τῶν ἑαλωκότων ἐκήδετο, καὶ ὅπερ αὐτῷ σύνηθες, διηγωνίζετο ὑπὲρ ἐκείνων τοῖς λογισμοῖς, καὶ ὅπως ἂν ἐλευθερίαν εὕροιεν ἐξελιπάρει τὸ κρεῖττον. Ὁ δ' οὐδὲν παρ' ἐκείνου δεινὸν πεπονθὼς, ἀλλὰ μᾶλλον τὴν περὶ αὐτοῦ μαρτυρίαν ἐχέγγυον ἔξων καὶ τῆς εἰς τὸ μέλλον εὐνοίας καὶ πίστεως, ὡς τὰ δεινότατα μεμελετηκότα τὸν ἄνδρα δεινοτάτης ἀξιοῖ κατακρίσεως· ἦν δὲ τὸ σύμπαν οὐ κόλασίς τινος πράξεως, οὐδ' εὐθύνη τόλμης ἢ ἀτόπου βουλεύματος, ἀλλὰ ζηλοτυπία γενναίου φρονήματος καὶ βασκανία τῆς τῶν πολλῶν περὶ τὸν ἄνδρα κρίσεως καὶ τῆς ἐκείνου περὶ πάντα εὐδοκιμήσεως· ἐδεδίει γὰρ μὴ καὶ αὖθις τοιαύτης γεγενημένης αἱρέσεως, ἐκεῖνον ξύμπαντες ἕλοιντο, καὶ οὐκ ἂν αὐτῷ κρίσις ἑτέρα γένοιτο, τοῦ παντὸς μέρους πρὸς ἐκεῖνον συνερρυηκότος καὶ ἀφελόντων ἐκεῖνον τὸ ἐπ' αὐτοῖς δικαστήριον· διὰ ταῦτα ἑαυτῷ δικάζει τὸ πρᾶγμα, καὶ οὐδὲ πρᾴως τὴν ἐπ' αὐτῷ δίκην μέτεισι. Τοῦτο γάρ ἐστιν ὃ μάλιστ' ἄν τις ἐκείνου κατηγορήσειε· τὸ μὲν γὰρ δεδιότα τὴν τῶν πολλῶν πρὸς ἐκεῖνον κρίσιν ἑαυτῷ μνηστεύσασθαι τὴν ἐξ ἐκείνου ἀσφάλειαν, εἰ καὶ τοῦτο παντάπασιν ἄδικον, ἀλλὰ βασιλεῖ γε δοτέον, οὐ πάντη ἐφ' ἑαυτῷ θαρροῦντι, ἀλλὰ τὴν βασιλείαν τειχίζοντι ἀπὸ τοῦ τοὺς κρείττονας ἀπείργειν τοῦ βήματος· τὸ δὲ ἐφ' οἷς ἐδόκει [1] κατ' ἐκείνου κακῶς, ἔτι δὲ προσθήκην ἐπινοεῖν

1. Διορθοῦται ἐν τῷ κώδικι « ἐγνώκει ».

ἀδικήματος, τί ἄν τις μεταγάγοι σοφιστικῶς, ὥστε ἐλευθερῶσαι κακίᾳ τὸν ψηφισάμενον; Δέον γὰρ τῶν μὲν ἄλλων αὐτὸν ἀξιῶσαι καλῶν, οὐ μακρὰν δὲ τῶν τειχῶν ἴσως ποιήσασθαι, ἵν' αὐτὸς εἴη ἔξω βελῶν, καὶ τοῦτο ἐπιεικῶς καὶ μετὰ τῆς προσηκούσης ἀπολογίας, ὁ δὲ σείει μὲν αὐτῷ καὶ τῷ ἀδελφῷ, εἰπεῖν δὲ καὶ γένει παντὶ τὴν ξύμπασαν, ἵν' οὕτως εἴποιμι, γῆν, ἐπεισπίπτει τε τούτοις ὥσπερ λαίλαψ ἀθρόον καὶ κορυφοῖ ἐπ' αὐτοὺς κύματα αὐτίκα τούτους καλύπτοντα· περιτειχίζει γὰρ αὐτοῖς τὸν πατρῷον οἶκον καὶ καθείργνυσι καθαπερεί τινας θῆρας, τάς τε διεξόδους αὐτοῖς ἀποφράττει, μικροῦ δεῖν καὶ τὸν ὑπὲρ κεφαλῆς ἀέρα συγκλείει, ἵνα μὴ ἀναπτάντες ἀθρόον ἐπ' ἐκεῖνον πτερύξαιντο. Οἱ δὲ τοσοῦτον οὐχ ἑαυτοὺς ἀπεκλαίοντο, οὐδὲ τῶν πραττομένων ὠκτίζοντο, | ὅτι μὴ ἐκεῖνον μόνον τῆς περὶ ἑαυτοὺς ἐμέμφοντο κρίσεως· ἐποίει γὰρ αὐτοῖς πραοτέραν τὴν καταδίκην τὸ σὺν ἀλλήλοις εἶναι καὶ κουφίζειν ἔχειν ἕκαστον ἑκάστῳ τὴν συμφοράν. φ. 119.

Ἐπεὶ δὲ καὶ τοῦτο ἀρκοῦν εἰς δεῖγμα ἐδόκει τῷ αὐτοκράτορι, καὶ τὸ τῆς διαιρέσεως γράμμα ἐγέγραπτο καὶ διεδέδοτο, τηνικαῦτα ἔγνωσαν ἐξαιτηκότες παρὰ τοῦ ἀντικειμένου εἰς πειραστήρια· καὶ οἱ μὲν ἠλλάξαντ' ἂν ἀσμένως τὸ ἐπὶ κοπρίας εἶναι, εἰ σὺν ἀλλήλοις εἶεν, τοῦ ἀπ' ἀλλήλων διῃρῆσθαι, εἰ καὶ ἐν κρείττοσι μέρεσι τῶν θειοτέρων διοικισθεῖεν μονῶν· ὁ δὲ μὴ καλῶς αὐτοῖς κρίνων τὰ πράγματα, οὐ διαιρεῖ μόνον, οὐδ' ἀποτέμνει ἀλλήλων τοὺς μέχρι τοῦ τότε καιροῦ σύμπνους καὶ συμφυεῖς, ἀλλὰ καὶ πόρρω ποιεῖται καὶ οὐδὲ ἐν καλῷ τίθησι γῆς· ἀλλὰ τὸν μὲν πρεσβύτερον οὐ πάνυ τι κρημνώδει χωρίῳ ἐφίστησι, τὸν δὲ ἀπελαύνει τε μακρὰν καὶ αὖθις ἀνάγει ἐπὶ στενοῦ, εἶτα δὴ ζοφώδει κατακλείει οἰκήματι, μετρεῖ τε αὐτῷ τά τε ἄλλα καὶ τὸ ποτὸν, καὶ δεινοὺς ἐφίστησι φύλακας. Καὶ οὐδὲ μέχρι τούτου ταραττομένην ἵστησι τὴν ἰδίαν ψυχήν, ἀλλὰ καὶ ἐκτομὴν βίου αὐτῷ ἐγκελεύεται, καὶ πνεύματι δῆθεν προσάγει τὸν πόρρωθεν εἰσπεποιημένον θεῷ, καὶ μεταρρυθμίζειν αὐτῷ τὴν ἰδέαν πειρᾶται τοῦ βίου· ὁ δὲ, καίτοι

τἆλλα ἐπιεικὴς ὢν, γενναίως πρὸς τοῦτο ἀνθίσταται, οὐχ ὡς τὸ πρᾶγμα μισῶν, οὐδ' ἀποπεμπόμενος τὴν κρείττω μεταβολὴν, ἀλλ' ὑπὲρ τοῦ πνεύματος αἰσχυνόμενος, ἵνα μὴ τέλος αὐτῷ καταδίκης ἡ πρὸς θεὸν οἰκείωσις γένηται.

Ταῦτα οὐκ ἀκριβὴς ὑπὲρ θεοῦ μαρτυρία; οἷς γὰρ ἐπιεικῶς καὶ θεοφιλῶς ἐβίω, κρειττόνων ἐκρίνετο ἄξιος, καὶ οἷς ἐκρίνετο, ἐκολάζετο. Ἐμοὶ γὰρ μάρτυς οὐχ ὃς μόνον πρὸς τοὺς Διοκλητιανοὺς ἐκείνους καὶ τοὺς Μαξιμιανοὺς καὶ Λικιννίους ὑπὲρ τῆς εἰς θεὸν εὐσεβείας διηγωνίσατο, καὶ πολλὰ αἰκισθεὶς εἶτα δὴ καὶ ξίφει τὴν κεφαλὴν ἀπετμήθη, ἢ πυρὸς ἔργον ἐγεγόνει, ἢ θῆρες αὐτὸν διειληφότες διεσπάραξαν καὶ κατέτεμον, ἢ θάλασσα ζῶντα παραλαβοῦσα τοιοῦτον αὖθις ἀπέδωκεν, ἀλλὰ καὶ εἴ τις ἐπιεικείας εἰσπράττεται δίκας, ἢ τοῦ μὴ ἐθέλειν συνομολογῆσαι τοῖς χείροσιν, ἢ καὶ ὧν ἕτεροι ἡμαρτήκεσαν, αὐτὸς μηδὲν εἰδὼς τιμωροῖτο, ἢ καὶ εἴ τινες, ἐξὸν ἀντιτολμᾷν τοῖς κακῶς πράττουσι, τοῖς πειρασταῖς ὑποπίπτοιεν, στεφάνων καὶ οὗτοι μαρτυρικῶν ἄξιοι· τὸ δέ γε τῆς παρατάσεως τῆς ἀδίκου κολάσεως, ποῦ τίς ἂν θείη, ἢ ποῖον εἶδος τοῦτο μαρτυρίας οὐχ ὑπερβάλλει; τὸ δ' ἀναχθέντα τινὰ εἰς τὴν ἐσχάτην περιωπὴν τῶν κακῶν, αὖθις ἐπανιέναι καὶ μὴ ἵστασθαί πη ἀναγόμενον τῆς κακώσεως, τοῦτο ποίῳ τίς ἂν εἴδει πειρατηρίου παραμετρήσειεν;

Ἔμενον οὖν ἀπ' ἀλλήλων διαιρεθέντες οἱ ἀδελφοὶ, καὶ τὸ σύμπνουν αὐτοῖς τότε πρώτως διακοπὲν, ἠμιθνῆτας τοὺς διαιρεθέντας ἐποίει· ἀλλ' ὁ μὲν τῷ λόγῳ εἰς εὐφημίαν προκείμενος, τὸ μὲν ἀληθὲς καὶ παρὰ τοῦ κρείττονος εἰς τὸ μέλλον ταμιευόμενος, τὸ δὲ καὶ γενναιοτέροις ἑαυτὸν ἀνορθῶν λογισμοῖς, κατεφαρμάκευε τὴν τομὴν, καὶ τὸ δεινὸν ἐθεράπευε, τὸ τραῦμα τῆς διαιρέσεως, συνέλεγέ τε τὸ πνεῦμα καὶ ἀνεκαλεῖτο τὴν ψυχὴν ἀποπνέουσαν, καὶ ἣν ἀτεχνῶς ὑπὸ κύμασι ζῶν, καὶ θάλλων τεμνόμενος, καὶ ὥσπερ ὑπὸ πυρὶ σπαργανούμενος, ἡ εὔπρεμνος ἄμπελος τοῦ θεοῦ ἡ εὐκλήματοῦσα ἀεὶ καὶ τὸν βότρυν πέπειρον τῆς ἐλπίδος βλαστάνουσα, ἣ

μᾶλλον ἡ φιλοσοφωτάτη ψυχὴ ἡ πρὸς θεὸν ἀκλινῶς νεύσασα καὶ ξυμπάσης ἄλλης πραγματείας καταφρονήσασα, ὁ θεοειδὴς νοῦς καὶ ἀκριβῶς προσχωρήσας τῷ ἐπέκεινα πάσης νοήσεως, καὶ μηδ' ὁπωστιοῦν τῶν τῇδε ἐπιστρεφόμενος, εἰ μὴ ὅσον τῷ ἀδελφῷ συνέζη. Τοῦτο γὰρ μόνον φιλοσοφῶν οὐκ ἐδόκει φιλοσοφεῖν, ἀλλ' ἦν ἄρα καὶ τοῦτο φιλόσοφον, ὅτι καὶ φιλόθεον, εἴπερ ἐκεῖνο φιλάδελφον· τὸ γὰρ πάντη πρὸς ἅπασαν σχέσιν ἀπαθές τε καὶ ἀμετάκλητον, δέδοικα μὴ ἀναλγήτου ψυχῆς, ἀλλὰ μὴ φιλοσόφου ἔργον εἶη καὶ ἀποτέλεσμα· οὕπω γὰρ παρ' οὐδενὶ τὴν τοιαύτην φιλοσοφίαν διέγνωκα, εἰ μὴ παρ' ὅσοις ἡ φύσις ἀπότομος πρὸς τὰς συμπαθείας ἐκ πρώτης ἐγεγόνει καταβολῆς· καταφρονητέον μὲν γὰρ καὶ τοκέων καὶ ἀδελφῶν καὶ υἱέων, καὶ ψυχῶν αὐτῶν εἰ οἷόν τε, τοῦ κρείττονος ἕνεκα, καὶ ἀνθαιρετέον τούτων θεὸν, οὐκ ἀποβλητέον δὲ τὰ γένη παντάπασιν, ἀλλὰ τοσοῦτον αὐτῶν ἀνθεκτέον, ὅσον ἄν τις θεῷ προσχωρήσειε· τοῦτο γοῦν αὐτὸ καὶ ἡ Δεκάλογος σαφῶς πάνυ νομοθετεῖ, πατέρας τιμῶσα καὶ τοὺς ἐν γειτόνων μετά γε θεὸν τιθεῖσα, καὶ εἰς αἰδῶ καὶ φιλίαν τοὺς νομοθετουμένους εἰσάγουσα.

Ὁ μὲν οὖν, ὥς πέρ μοι λέλεκται, ἅπαξ ἐμβεβηκὼς τοῖς δεινοῖς, καὶ τὴν μὲν πρώτην οἷα εἰκὸς διαταραχθεὶς τὴν ψυχὴν, ἔπειτα συστρέψας τὸν νοῦν, εἶτ' αὖθις πρὸς θεὸν στρέψας, καὶ τῶν ἐλπίδων γενόμενος, ἐπιεικῶς ἑαυτῷ διετίθει τὴν συμφοράν. Τῷ δέ γε ἀδελφῷ τὰ μὲν ἄλλα μέτριά πως ἐδόκει καὶ οὐκ ἀπωλιγώρει παντάπασιν, ἓν δὲ τῶν πάντων ἀφόρητον ἦν τὸ κεχωρίσθαι τοῦ ἀδελφοῦ· ὅθεν καὶ ἡμέρας ἀπωλοφύρετο καὶ νυκτὸς ἀπεκλαίετο, | καὶ οὐκ εἶχεν ὅπως ἂν ἑαυτὸν ταῖς ἐλπίσιν ἐπιστηρίξειεν, ἀλλ' ἐδυσφόρει δεινῶς, ἠνιᾶτο, κατετιτρώσκετο, ἐσπαράττετο, ἐπόθει τὴν προτέραν συνάφειαν, ἐζήτει δευτέραν ἐπίνοιαν ὅπως ἂν αὐτῷ τὸ πρότερον ἐπανέλθοι καλόν· οὐχ εὕρισκε τὸ τῆς ἑνώσεως φάρμακον· γίνεται γοῦν αὐτῷ τὸ ἄλγημα περὶ τὴν καρδίαν πάθημα, καὶ λανθάνει τις ὑφέρπουσα τὰ ἔνδον χειρίστη διάθεσις, καὶ γίνεται αὐτῷ τὸ συμβεβηκὸς ἀντ' ἄλλου τινὸς σφοδροτάτου νοσήματος, καὶ ἐς τὴν κε- φ. 119*.

φαλὴν ἄνεισι τὸ δεινὸν, καὶ ἐξ ἀκροπόλεως αὐτῷ τὸ τυραννικὸν πάθος ψηφίζεται τὴν τομήν· καὶ νεκρὸς αὐτίκα ἐγεγόνει ὁ προβραχέος εὐρώστως κινεῖσθαι δοκῶν. Τοῦτο τὸ πάθος ἀκουσθὲν τῷ μεγάλῳ πατρὶ, ἐπέστρεψέ τε βραχὺ τῶν κρειττόνων, καὶ αὖθις μετέστρεψε τελεώτερον· τῶν μὲν γὰρ ἄλλων ἦ παντάπασιν ἀνήκοος ἦν, ἢ κατεγέλα φιλοσόφως ἀκούων, πρὸς δὲ τοῦτο μόνον τῶν πάντων οὔτε τὸ πρῶτον αὐτῷ ἐγεγόνει, οὔτε τὸ δεύτερον, οὔτε παραβάλλων συμφοραῖς ἑτέραις βαρυτέραις καὶ μείζοσι, δεῖν ᾠήθη ἐκεῖθεν φιλοσοφεῖν· οὐ γὰρ ἦν εὑρεῖν οὐδ' εἴ τις ὑπέλθοι τὰ δράματα.

Τὰς γὰρ ὑπερβολὰς τῶν παθῶν οὐ πρὸς αὐτὰ ἐγὼ κρίνω τὰ πράγματα, ἀλλὰ ταῖς τῶν ὑφισταμένων ψυχαῖς διαιρῶ· καὶ τό τε μεῖζον πάθος καὶ τὸ ἔλαττον παρὰ τὴν τούτων σχέσιν λογίζομαι· οὐ γὰρ εἴ τις τῶν ὑπὲρ τὸν Ἴστρον Σκυθῶν υἱέας ἀποβάλοι πεντήκοντα, οὗτος ἐμοὶ βαρυσυμφορώτατος, οὐδ' εἴ τις τῶν ὑπὲρ τὸν Εὐφράτην Περσῶν δηουμένην αὐτῷ ἴδοι τὴν γῆν, ἢ τὰ φίλτατα δορυάλωτα, τοῦτον ἐρῶ πολυαλγῆ καὶ βαρυδαίμονα· ἐκείνῳ μὲν γὰρ ἡ φύσις τὴν Σκυθικὴν φιλοσοφίαν ἐπεσχεδίασε, τούτῳ δὲ ἡ συνήθεια τῶν κακῶν τὴν συμφορὰν ἐξωμάλισεν· ἀλλ' εἴ τις κοινοπαθὴς ὢν ἄνθρωπος καὶ φιλάνθρωπος, ἔπειτα περὶ ἐκεῖνο μάλιστα δυστυχήσειεν οὗ μᾶλλον τῶν ἄλλων κήδεται, οὗτος ἐμοὶ τὰ ἔσχατα ὑφίσταται τῶν κακῶν, εἰ καὶ φαίνοιτο τοῖς ἄλλοις ἔλαττον τὸ δυστύχημα. Τί δ' ἂν ἐγεγόνει τῷ θείῳ πατρὶ μεῖζον εἰς συμφορᾶς λόγον, τοῦ τὸν ἀδελφὸν ἀκοῦσαι ἀθρόον οὕτω καὶ παρ' ἐλπίδα μεταλλάξαντα τὴν ζωήν; ᾧ γὰρ τοῦτο τὴν ζωὴν ἐμέτρει τὸ τὸν ἀδελφὸν περιεῖναι, οὗτος πῶς οὐκ ἂν ἀπολώλει, τοῦ ζωογονοῦντος ἀπολωλότος; καὶ ᾧ τὸ κάλλιστον πάντων ὁ ἀδελφὸς, τούτῳ πῶς οὐκ ἂν εἴη τὸ χείριστον, ἐκείνου παρ' ἐλπίδα ἀπορραγείς; καὶ ὃν ὑπὲρ τὸν φωστῆρα ὁ ἀδελφὸς ἔθελγε, πῶς ἂν ἔτι τοῦτον ἡδέως καταλάμποι ὁ ἥλιος, ὑπὸ γῆν ἄφνω κρυβέντος τοῦ λαμπρότερον αὐτῷ μαρμαρύσσοντος; τὸ δ' οὕτως περὶ ἐκεῖνον

ἔχοντα, ἔπειτα τοῦ φιλτάτου διαφθαρέντος, μηδέ τι τῶν ἀπρεπῶν μήτε εἰπεῖν, μήτε μὴν ἐνθυμηθῆναι, ἢ τοῦτο δόξαι τισὶν, ἀλλὰ καὶ τὴν τοῦ Ἰὼβ ὑπερβαλέσθαι φωνὴν οἷς τε εἶπε καὶ οἷς διεπράξατο, τοῦτο ποῦ τίς ἂν θείη, ἢ ποίας ἀξιώσοι φιλοσοφίας; Σκοπητέον δὲ οὕτως· ἐτυράννει τούτῳ βασιλεὺς τὴν τοῦ βίου μεταβολὴν, καὶ γράμματα τὰ μὲν ἐπέμπετο, τὰ δὲ ἐγράφετο, καὶ ὁ προστάττων τῶν γραμμάτων βαρύτερος· καὶ ὁ μὲν ἠπείλει κεφαλῆς ἐκτομὴν, εἰ μὴ βουληθείη δρᾶσαι τὸ κελευόμενον, ὁ δὲ ὑπέκυπτε· καὶ ὁ μὲν τὸν σίδηρον ἐπὶ τοὺς ὀφθαλμοὺς ἔθηγέ τε καὶ ἔκαμπτεν, ὁ δὲ αὐτίκα συγκλείσας εἶχε τὰ βλέφαρα, ὡς πρὸ τῆς ἐκτομῆς ἐθισθείη τὴν ἀβλεψίαν· ὡς δ' οὐκ ἦν ἐλεῖν τὸν ἀήττητον, ὁ μὲν ἀπαγορεύσας ἀπῄει, ὁ δὲ αὖθις τῶν οἰκείων εἴχετο λογισμῶν. Τοῖς μὲν οὖν γενναιοτέροις γενναῖον ὡς ἀληθῶς τὸ πρᾶγμα καὶ τοῦ ἀληθοῦς φρονήματος ἔδοξε, τοῖς δέ γε μεμψιμοίροις καὶ φιλαιτίοις ἄλλό τι πρὸ τοῦ ἀληθοῦς ἐνομίσθη, καὶ μελλόντων ἐλπίδας αὐτῷ προστετρίφασιν. Ἐπεὶ δὲ τὸ τοῦ ἀδελφοῦ ἐγεγόνει πάθος, λύει τῷ μὲν βασιλεῖ τὸν φόβον, τοῖς δὲ βασκάνοις τὰς ὑποψίας, καὶ ὃ μὴ τυραννὶς ἴσχυσεν ἐπ' αὐτὸν, τοῦτο ὁ τοῦ ἀδελφοῦ αὐτῷ κατέπραξε θάνατος· μᾶλλον δὲ ὃν μὴ τὰ ἔξωθεν δείματα ποιῆσαι τὸ κελευόμενον πεῖσαι δεδύνηντο, πρὸς τοῦτο ἡ γνώμη τοῦτον καὶ τὸ ἐθελούσιον μετέκλινε βούλημα, καὶ δείκνυσι πᾶσιν ὅτι σύμπας μὲν αὐτῷ ὁ βίος μετάθεσις ἦν πρὸς τὸν θεὸν, ὃ δὲ βραχύ τι ἔζη τῷ κόσμῳ, τοῦτο τῷ συγγόνῳ ἀπομεμάριστο· καὶ ὃ μὲν ἡρπάσθη αὐτῷ ἐκεῖσε ἐμεμενήκει, ὃ δέ τι καταλέλειπτο συνηρπάζετο· καὶ ἦν τὸ γεγονὸς ἐκ μέρους θυσία καὶ ὁλοκαύτωσις, εἰ καὶ παράδοξος ὁ λόγος δοκεῖ.

Μεταποιεῖται γοῦν ὅλος καὶ τῷ πλείονι προστίθησι καὶ τὸ ἔλαττον, καὶ ἀφιεροῖ θεῷ ἑαυτὸν ὁ ἀφιερωμένος καὶ πρὸ γενέσεως· καὶ ἦν τὸ μὲν ἔργον πρῶτον τοῦ σχήματος, τὸ δὲ σχῆμα τῆς προλαβούσης σφραγὶς προαιρέσεως, ἀφῄρει δὲ οὐδὲν ἡ περίδυσις, ἀλλ' ἦν ἡ μεταμφίασις γνώρισμα τῆς προλαβούσης μεταποιήσεως. Ἐπὶ

τούτοις ὅρον τῷ βασιλεῖ ὁ βίος λαμβάνει, καὶ μετατίθεται πρῶτα μὲν τῆς ἐπὶ τῇ βασιλείᾳ ζωῆς, εἶτα δὴ καὶ τῆς ἐπὶ τῇ φύσει, ἣ ταύτης ὡς εἰπεῖν ἀφαρπάζεται, καὶ μεταβολὴν ὥσπερ εἰκὸς ἐν τοῖς τοιούτοις χρηστοτέραν λαμβάνει τὰ πράγματα. Καὶ ὁ μετ' ἐκεῖνον τὴν ἀρχὴν οὐκ εὐτυχῶς εἰληφὼς τοῖς τε ἄλλοις τὰς τῶν τετολμημένων εὐθύνας ἀφίησι, καὶ τοῦτον τῆς ὑπερορίας ἀνακαλεῖται, καὶ ἐπανάγει πρὸς τὴν πατρίδα τὸν παρανόμως ταύτης ἀπελαθέντα·
φ. 120. οὐ γὰρ ἐδόκει δεδιέναι | τὸν μεταθέμενον· εἶτα ἰδὼν ἐθαύμασε μὲν τῆς γνώμης καὶ ᾠκτείρησε τῆς μεταβολῆς, ὥσπερ δὲ κεκληρονομηκὼς τῆς ἐπὶ τούτῳ τοῦ προβεβασιλευκότος δυσμενείας καὶ τυραννίδος, οὐδέν τι πρὸς τοῦτον φιλότιμον ἢ μεγαλόψυχον ἐπιδείκνυται. Ἀλλὰ καὶ οὕτως διῆγε φιλοσοφῶν καὶ τῷ θεῷ ζῶν. πρὸς ὃν ἐκ πολλοῦ μετέθετο καὶ αὖθις προσεχώρησε τελεώτερον· καὶ ἵνα τὰ ἐν μέσῳ συντέμω, ὁπόσα τῷ βασιλεῖ τούτῳ ἐδέδοκτό τε καὶ κατέπρακτο, ἑνὸς τῶν πάντων μνησθεὶς τῶν ἐφεξῆς ἕξομαι.

Πολλὰ τετολμηκὼς πρότερον ὁ δεινὸς οὗτος ἀνὴρ, καὶ μήτε συγγενείας πεφροντικὼς, μήτε τῶν ἄλλων ὁσίων οἷς ἐξ ἀνάγκης προσδεδέμεθα ἢ προσκείμεθα, ἀλλὰ πάντας τοὺς ἔγγιστα καὶ τῆς αὐτῆς φύσεως μεταστήσας τῶν βασιλείων, καὶ τὰ καθεστηκότα μεταποιήσας, τέλος καὶ τῶν πρὸς θεὸν ἐπιλανθανόμενος συνθηκῶν καὶ τῶν ὅρκων οὓς πρὸς ἐκεῖνον ὑπὲρ τῆς βασιλίδος πεποίηνται, ἥτις ἄνωθεν ἐκ τοῦ γένους τὴν βασιλείαν Ρωμαίων εἰς κλῆρον λαβοῦσα, ἐκεῖνον πρὸ τῶν ἄλλων τοῦ διαδήματος ἀξιοῖ· μεθιστᾷ γοῦν καὶ ταύτην τῶν ἀνακτόρων εὐθὺς, καὶ περιτειχίζει τὸ κράτος ἑαυτῷ μόνῳ, καὶ μηδένα οἱ προσιέναι προστάττει, ἀλλ' ὥσπερ θῆρα δεδιέναι καὶ πόρρωθεν καθορᾶν· καὶ ὅπερ δὴ τέλος τοῦ καινοτομεῖν τίθεται, τοῦτο δὴ καὶ τέλος αὐτῷ τοῦ καινοτομεῖν γίνεται· οὔτε γὰρ εἶχεν ὅτι ἄλλο χεῖρον ἐργάσαιτο, οὔτε ἄλλό τι ἐδόκει ἀξιόχρεων τοῦτον ἀκριβῶς κατεργάσασθαι. Ἡ γὰρ ξύμπασα πόλις, οὐκ ἐνεγκόντες τὴν ὑπερβολὴν τοῦ κακοῦ, ἀλλὰ ζήλῳ θείῳ ῥωσθέντες, οὐχ οἱ ἀνώνυμοι μόνον, ἀλλ' ἤδη καὶ οἱ ἐν

τέλει καὶ περιώνυμοι, καθαπερεὶ θῆρες ὡς ἀληθῶς ἐπ' αὐτὸν ξύμπαντες ἔθεον, ὁμοῦ τε ἰδεῖν καὶ σπαρᾶξαι τοῦτον θυμούμενοί τε καὶ προθυμούμενοι. Ὁ δὲ, ἵνα τὸ πολὺ συνέλω τοῦ δράματος, ἐπεὶ μηδεμίαν ἑαυτῷ καταλελοίπει καταφυγὴν, πάσας τοῖς ἄλλοις ὑπεξελὼν πρότερον, θαλάττῃ ἑαυτὸν πιστεύει καὶ κύμασιν· οὐδὲ γὰρ εἶχε καὶ ταύτην τῇ ἠπείρῳ συνεξελεῖν· ἡ δὲ οὐ ψευσαμένη τὴν πίστιν, πρὸς τὴν γῆν αὖθις αὐτὸν ἀποδίδωσιν· ἥπερ δὴ παραλαβοῦσα ταῖς τῶν δημίων χερσὶ παρατίθησι. Καὶ ἵνα μὴ πρὸς εἰδότας καὶ πολλάκις τὰ τοῦ δράματος ἀκηκοότας παλιλλογῶ, ὁ μὲν τοῦ ἐπὶ τοῖς ὀφθαλμοῖς στερεῖται φωτὸς, καὶ μονώτατος κατακλείεται πρὸς ὃ δὴ αὐτὸν, εἰ καὶ δι' ἑτέρου σχήματος, ἡ γνώμη συνήλαυνεν, ἡ δὲ τυραννηθεῖσα κακῶς ἐπὶ τὸν κλῆρον τῆς βασιλείας αὖθις ἁρπάζεται· καὶ κατάστασιν παρ' ἑαυτῆς χρόνον ὅσον βραχὺν τοῖς πράγμασι πρυτανεύσασα, βασιλέα τούτοις αὖθις τὸν ἐννόμως ἄρξοντα καὶ συνετώτατον ἀποδίδωσιν, ὃν τῶν κυμάτων ὑπεξελὼν ὁ θεὸς πρότερον καὶ ἐν ἀκλύστοις ὅρμοις ἐγκαθιδρύσας τοῖς βασιλείοις ἐγκαθιστᾷ. Κωνσταντῖνος ἦν οὗτος ὁ Μονομάχος, οὗ πολὺς λόγος ἡμῖν τε καὶ τοῖς ἔπειτα γένοιτο. Τὸ μὲν οὖν πάντα ἐφεξῆς περὶ τούτου λέγειν τοῦ αὐτοκράτορος, τοῖς ἱστορεῖν βουλομένοις τἀκείνου ἀφίημι· τὸ γὰρ περὶ οὗ τὸν λόγον ποιοῦμαι ἔλαττον ἴσως τοῦ παρέργου δόξειεν, εἴ γε τοῖς ἐκείνου κατὰ μέρος ἐπεξελεύσομαι· ὃ δὲ καὶ τοῦ κατ' ἐκεῖνον διηγήματος χαριέστερον καὶ τῇ ὑποθέσει προσῆκον καὶ ἅμα τοῖς ἔπειτα λεχθησομένοις λυσιτελέστερον, τοῦτο θεὶς ἐνταυθοῖ ἐπὶ τὰ ἐφεξῆς βαδιοῦμαι.

Ἐπανῄει μὲν ἐκ τῆς ὑπερορίας βασιλεύσων ὁ Μονομάχος (οὕτω γὰρ τῇ τε βασιλίδι καὶ τῇ συγκλήτῳ ἐδέδοκτο), ἐπανῄει δὲ πόρρωθεν μὲν ἰδιωτικῶς τε καὶ ἀφελῶς· ἐπεὶ δὲ τῇ πόλει ἐγγίσειε καὶ πρὸ τῶν τειχῶν γένοιτο, μεγαλοπρεπής τε αὐτὸν ὑποδέχεται κατασκήνωσις, καὶ πολυτελὴς εὐτρεπίζεται δίαιτα, καὶ τὸ σύμπαν εἰπεῖν, βασιλεῖ πάντα τὰ περὶ ἐκεῖνον προσήντα· τὸ μέντοιγε διάδημα οὔπω τούτῳ ἐδέδοτο· ἔμελλε γὰρ τοῦτο τῇ κεφαλῇ δέξασθαι στε-

φανούμενος τῇ ὁμοζύγῳ καὶ βασιλίδι· καὶ ἵνα δὴ τελεωτέρα αὐτῷ καὶ τῷ ὄντι βασίλειος ἡ πρὸς τὰ βασίλεια εἴσοδος γένοιτο, ἀνέῳκτο ξύμπασι πᾶσα πρόοδος, εἴ τινες ἐπ' ἐκεῖνον ἀπιέναι βούλοιντο· καὶ συνέρρει τὸ πλῆθος, ἄλλοι κατ' ἄλλο τι μέρος, καὶ οἱ μὲν ἐξήεσαν, οἱ δὲ εἰσήεσαν, καὶ ἦν τὸ πρᾶγμα πανήγυρις ἀτεχνῶς. Ἐπὶ πᾶσι γοῦν καὶ ὁ νῦν εὐφημούμενος ἔξεισιν, εἰδὼς μὲν τὸν ἄνδρα, ἅτε πολλάκις ἰδών, οὔπω δὲ εἰς ὁμιλίαν ἐκείνῳ ἐληλυθὼς, ἀλλ' ἦν οὕτως περὶ ἐκεῖνον, ὡς περὶ τοῦτον ἐκεῖνος· ἐθαύμαζον οὖν ἐξ ἀκοῆς ἀλλήλους ἀμφότεροι, καὶ βουλομένους εἰς ταὐτὸ συνελθεῖν διέστησεν ὁ καιρός. Ἐπεὶ δὲ καὶ οὗτος πρὸς ἐκεῖνον ἐξεληλύθει, ἦρως τῷ ὄντι πρὸς τὸν τὴν ἰδέαν χαρίεντα, καὶ τὴν ψυχὴν ἀγαθὸς πρὸς μεγαλοπρεπῆ καὶ φιλότιμον, ὁμοῦ τε εἶδεν ἐκεῖνος, καὶ θαυμάσας εὐθὺς τοῦτον τοῦ σχήματος, πρὶν εἰς λόγους ἐλθεῖν, « προσήκων ὁ ἀνὴρ, ἀνεβόησε, τῷ ἀρχιερατικῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ, » ἐνθέῳ στόματι τὸ μέλλον προαγορεύσας· καὶ εἰπὼν εὐθύς τε τοῦτον προσήκατο, καὶ ὑποτείνας τὴν χεῖρα, οἷα δὴ φίλτατον, ᾧ μηδέπω πρότερον καθωμίλησε, κατεφίλησεν. Ὥσπερ γὰρ ἐν ἐσόπτρῳ τῇ ἐκείνου μορφῇ καὶ ψυχῇ ἑαυτὸν ἐπιγνοὺς, οὐχ ἕτερον παρ' ἑαυτὸν, ἀλλ' ἑαυτὸν ἐκεῖνον ἀπέφηνεν· ὅθεν καὶ τῶν τῆς βασιλείας καλῶν ἀπαρξάμενος, τῷ θεῷ πρῶτον ἐκεῖνον τῆς προσηκούσης τιμῆς ἠξίωσεν, αὐτὸ δὴ τοῦτο ὁμωρόφιον ὀνομάσας καὶ ὁμοδίαιτον. Οὐ γὰρ εἶχέ τι πλέον ποιεῖν, οὐκ ὄντος ἄλλου ὑπερκειμένου καὶ προσήκοντος τῷ σχήματι ἀξιώματος. Ἐπεὶ δὲ καὶ ψῆφος αὐτῷ τῆς εἰς τὰ βασίλεια εἰσόδου ἐδέδοτο καὶ ἐντὸς ἐγεγόνει τῶν ἀνακτόρων, ἥλιος ὥσπερ ὑψωθεὶς ἐπὶ λέοντος, ἡ τὴν λάμπουσαν μοῖραν τῆς ἀρχῆς ἐπισχὼν τοῦ κύκλου, οὐκ ἐπιλανθάνεται οὐδ' ἀκαρῆ τοῦ ἀνδρὸς, ἀλλὰ τῆς δεξιᾶς μέμνηται καὶ τῶν συνθηκῶν ἔχεται, καὶ συνοικίζει τοῦτον εὐθὺς ἑαυτῷ τοῖς ἀδύτοις,
φ 120ᵛ. καὶ τὰ πρῶτα | τῶν περὶ ἐκεῖνον ποιεῖται, ἀνακαλεῖταί τε αὐτῷ τὰ πρῶτα καὶ ἐς τὴν προτέραν εὐκληρίαν ἀποκαθίστησι, καὶ διασπαρεῖσαν αὐτῷ τὴν δόξαν συνάγει· καὶ τοῖς μὲν ἄλλοις ὅσοι τε

αὐτῷ τῶν ἀφ' αἵματος, καὶ ὅσοι τῆς ἐν τῇ ὑπερορίᾳ ταλαιπωρίας κεκοινωνήκασιν, ἐκ διαστημάτων κελεύει συνιέναι οἱ· καὶ ἕκαστον περίοδός τις ἀποκαθίστα τῷ βασιλεῖ· ἐκείνῳ [δὲ] οὐκ εἶχε μέτρον οὐδ' ὅρον ἡ σύνοδος, οὐδὲ τὸ τοῦ βασιλέως μᾶλλον ἢ τὸ ἐκείνου κύριον τῆς προσελεύσεως ἦν. Ἐπεὶ δὲ ἐγνώκει τοῦτον μέτοχον ἅμα τῶν τε θειοτέρων καὶ τῶν ἀνθρωπίνων, ἑκατέροις ἐφίστησι, καὶ δεσμὸν αὐτὸν ποιεῖται τῶν διεστώτων καὶ δι' αὐτοῦ ἀμφοῖν ὁμιλεῖ· καὶ τοῖς μὲν ἄλλοις χαριέστατος μόνον ἐδόκει καὶ προσηνέστατος, πρὸς δὲ τοῦτον καὶ ταῦτά τε ἦν ἐκ μέρους [καὶ αὖθις]* σύννους καὶ πεφρικώς· εὐλαβεῖτο γὰρ τὴν τοῦ ἀνδρὸς σύνεσιν καὶ ὥσπερ πρὸς ἐκεῖνον μετεμορφοῦτο καὶ μετετίθετο· [ἦν δὲ οὕτω] καὶ τοῦ βασιλεύοντος ὑψηλότερος· τὸ γὰρ βουλευμάτων κατάρχειν αὐτῷ καὶ γνώμην εἰσάγειν, καὶ ὡσανεὶ δογμάτων τῶν [ἑαυτοῦ] λόγων τὴν ἐκείνου καταπληροῦν ψυχήν, εἰς τὴν ὑπερτέραν τοῦτον ἐτίθει τάξιν· καὶ τό γε θαυμασιώτερον οὐδὲ βασκανία τοῦ ἀνδρὸς ἐπὶ τούτοις ἥψατο, ἄλλως πως εἰωθυῖα ταῖς ὑπερβολαῖς ταύταις ἐπιφύεσθαί τε καὶ ἐπαυξάνεσθαι, ἀλλ' ὑπεχώρησαν αὐτοῦ ξύμπαντες, καὶ ἐθελοντὶ τῶν κρειττόνων ἐξέστησαν. Ἐγὼ δὲ ταῦθ' ὁρῶν ἀνεμιμνησκόμην [τῶν] τοῦ Ἰώβ· κἀκεῖνον γὰρ οὕτω μετὰ τὰ δυσχερῆ μεταβαλὼν ὁ θεὸς κρείττοσι καὶ ὑψηλοτέροις προσῆγε, πλὴν ὅπου ἐκεῖνον μὲν βουκολίοις καὶ ποιμνίοις πολλαπλασίοις ἐπλάτυνε, τούτῳ δὲ κεκρυμμένας ἀρχὰς ἀπορρητοτέρων ἀγαθῶν κατεβάλλετο· ὑπερβάλλουσι δὲ καὶ αὗται μακρῷ τὴν παρὰ τῷ Ἰώβ εὐκληρίαν· τὸ δ' ἐν ὑστέρῳ γενόμενον οὐκ ἄν τις εὖ φρονῶν ἐκείνοις ἀντισυγκρίνειε· συλλογίζομαι οὖν μή ποτε μείζοσιν ἆθλοις μείζους ἀντεδόθησαν στέφανοι.

Εἶχε μὲν οὖν οὕτω ταῦτα, καὶ ὑπερβολὴν τέως οὐκ εἶχε τὰ κατ' ἐκεῖνον· ἐπεὶ δὲ ἐχρῆν ἐπὶ τῆς λυχνίας τὸ ἐκείνου τεθήσεσθαι

* Τὰ ἐν μέσῳ ἀγκυλῶν, ἐξίτηλα ὄντα ἐν τῷ χειρογράφῳ, κατ' εἰκασίαν συνεπληρώθησαν.

φῶς, καὶ τὴν λαμπάδα ἐπ' ὄρους ὑψηλοῦ ἀναφθήσεσθαι, καὶ τὴν νοητὴν σάλπιγγα εἰς ἅπαντα περιηχήσειν τὰ πέρατα, τί γίνεται καὶ πῶς οἰκονομεῖ τὸ πρᾶγμα θεὸς, οὐκ ἐκ τῶν ἐναντίων ὥσπερ εἰώθει, ἀνεκτῶς γὰρ ταῦτα προεγεγόνεισαν, ἀλλὰ διὰ ῥᾳδίας καὶ ὡς ἄν τις εἴπῃ βασιλικωτέρας ὁδοῦ; Σβέννυται τὸ φαινόμενον, ὁ μέγας τῆς ἐκκλησίας φωστὴρ Ἀλέξιος, ἀνάπτεται δὲ τὸ νοούμενον, καὶ τὸ σῶμα λιπὼν, οὗ πάλαι καταπεφρονήκει, ἅπεισι πρὸς θεὸν, τοσοῦτον προμελετήσας τὸν θάνατον, ὥστε μὴ δυσχεραῖναι τῆς φύσεως τὴν διάζευξιν, ἀλλ' ἠρέμα διαλυθῆναι, χαλασθέντος αὐτῷ ὁμαλῶς τοῦ δεσμοῦ· καὶ ἦν ὁ περὶ γῆν οὐρανὸς (οὕτω γὰρ ἐγὼ τὸ τῆς τοῦ θεοῦ Σοφίας τέμενος οἶδα καλεῖν) φωστῆρος τέως ἐστερημένος καὶ ἡλιακῶν ἄτερ αὐγῶν. Ἄλλῳ μὲν οὖν ἄλλος ἐδόκει προσήκων τῷ θρόνῳ, καὶ οἱ μὲν πρὸς τούτους ταῖς γνώμαις ἀπήεσαν, οἱ δὲ πρὸς ἑτέρους, καὶ ἕκαστος ἐχειροτόνει τῷ λογισμῷ ὃν ἡ ἀρετὴ αὐτῷ, ἢ θεσμὸς συγγενείας, ἢ φιλίας λόγος ᾠκείωσε· τῷ δέ γε βασιλεῖ οὐκ ἐταλαντεύετο τὰ τῆς γνώμης, οὐδὲ κρίσιν ἐποιεῖτο τῶν δοκιμωτέρων παρ' ἑαυτῷ, ἀλλ' ὥσπερ βέλος κατ' εὐθὺ βληθὲν πρὸς τοῦτον καὶ μόνον ἀπετοξεύετο ἡ ψυχή· τοῦτο δ' ἄρα θεοῦ ἐγεγόνει ἔργον, ὃς δὴ πρὸς τὸν ἀρχιερατικὸν τοῦτον προορίσας θρόνον καὶ πρὸς τοῦτο καθαγιάσας, ὥσπερ δὴ τὸν Ἱερεμίαν καὶ πρὸ γενέσεως, τὰ πολλὰ ἐκεῖνα προῳκονόμει περὶ τὸν ἄνδρα, τοῦτο μὲν καὶ ὑπεξάγων βελῶν, τοῦτο δὲ ἀποφράττων τὰς ἑτέρωσε φερούσας ὁδοὺς, τὸ δέ γε ἀκριβέστερον τῶν ἐκείνου δικαιωμάτων πρὸ τῶν στεφάνων προάγων εἰς ἆθλους ὥσπερ ἀγωνιστὴν τὸν στεφανωθήσεσθαι μέλλοντα, ἵν' ὁμοῦ καὶ χάρις εἴη τῷ ἀθλητῇ τὸ στεφανοῦσθαι καὶ ἔπαθλον. Εἰς τοῦτο γοῦν ἐμοὶ φέρουσιν αἱ ὑπερορίαι, αἱ τῶν οἴκοι διασποραὶ, τἆλλα ἃ δὴ πρᾴως ἐκεῖνος ὑπενεγκὼν λαμπροτέρας ἀξιοῦται τῆς ἀναρρήσεως· τὸ δ' ὅπως, ὁ λόγος σαφέστερον γνωριεῖ.

Κυροῦται τὸ δόξαν τῷ βασιλεῖ καὶ θειοτέροις ὀνείρασι, καὶ τὸν ἄνδρα ὡς ἐπ' ἄλλοις μετακαλέσας, ἐδόκει μὲν εὐαγγέλιά τινα

τούτῳ ἐρεῖν, καὶ τὸν ἀρχιερατικὸν εὐθὺς αὐτῷ θρόνον μνηστεύεται· ὁ δὲ, ὥσπερ οὐδενὸς καινοτέρου ἀκηκοὼς ῥήματος, τοσοῦτον ἀπέσχε τοῦ σὺν εὐθυμίᾳ τὸν λόγον λαβεῖν, ὅσον καὶ βαρυνομένῳ ἐῴκει καὶ τὴν πρώτην ἀκοὴν εὐθὺς δυσχεραίνοντι· ὥσπερ γὰρ οὐδὲν πρὸς τοῦτο καταβαλόμενος, οὐδέ τι τῆς χάριτος προεισενεγκὼν ὁ πᾶσαν προειληφὼς καὶ ὅλον ἑαυτὸν ἐκείνῃ εἰσποιησάμενος, « ἑτοισμαθῆναι δεῖν πρότερον, ἔφη τῷ βασιλεῖ, ὥς τέ με μὴ ταραχθῆναι τῷ πράγματι· εἰ δ' ὁ τῆς ἑτοιμασίας οὐκ αὐτάρκης καιρὸς πρὸς τὴν καταδοχὴν τοῦ πνεύματος, χρῶ τοῖς ἑτοίμοις ἑτοίμως· ἐμοὶ γὰρ οὔπω καιρὸς λαβεῖν τὸ διδόμενον. » Τοῦτο καὶ μᾶλλον ἀκουσθὲν τὸν βασιλέα συνετώτερον περὶ τὰ δόξαντα ἀπειργάσατο· ἀγχίνους γὰρ ὢν ὁ ἀνὴρ, οὐχ οἷς ἀπειρήκει προσέσχε τὸν νοῦν, ἀλλ' ὅπως ἀπειρηκὼς ἦν· τὸ γὰρ ἀκούσαντα τὴν ἐπαγγελίαν τοῦ πράγματος μὴ διαχυθῆναι τὴν γνώμην, ἀλλὰ πράως ἐνεγκεῖν τὸ ἀπόρρητον, καὶ ὁμαλῶς πρὸς τὸν λόγον ἀπολογήσασθαι, σημεῖον καθεστηκυίας ψυχῆς ἐποιήσατο καὶ τῆς περὶ τὰ κρείττονα εὐλαβείας. Ὅθεν χειροῦται τοῦτον μᾶλλον ἀποδιδράσκοντα, καὶ θηρᾶται φυγεῖν ἐθέλοντα, ἢ διολισθαίνοντος τῶν ἐκείνου χειρῶν ἀντιλαμβάνεταί τε ἀπρίξ καὶ προσάγει τῷ πράγματι βιαιότερον. Ὡς δ' οὐκ εἶχεν ἔτι ἀποδιδράσκειν, πείθεται μὴ βουλόμενος, καὶ συνομολογεῖ τοῖς λόγοις τοῦ αὐτοκράτορος, μὴ πάνυ οἷς ὡμολόγησεν ἀρεσκόμενος. Οἶμαι μὲν οὖν, εἰ καὶ μηδὲν ἄλλο τῷ λόγῳ προσῆν εἰς εὐφημίαν ἐκείνου ἀρκοῦν, τοῦτο ἀντὶ παντὸς συντελέσειν εἰς ἐγκωμίου | ὑπόθεσιν· κἂν εἴ τις τὴν τέχνην ἀπαρνησείη καὶ τὸ μεθόδοις ἐθέλειν τὰ πεπραγμένα ὑψοῦν, ἀλλ' αὐτὴ τῶν γεγονότων ἡ φύσις ἀντ' ἄλλης τινὸς ἀποχρῶσα δεινότητος. φ. 121.

Ἐξεταστέον δὲ οὕτω τὰ πράγματα· δυοῖν ὄντοιν [τῶν κατὰ τὸν] βίον εἰς εὐκληρίαν λαμπρῶν, οὓμενουν ἐχόντων ὑπερβολὴν, βασιλείας καὶ ἀρχιερωσύνης φημὶ, ἀμφοτέρων τε ἄξιος καὶ ἑκατέρῳ κατάλληλος ἔδοξε τὸ θαυμάσιον· τὸ γὰρ διεστηκότων ἐκείνων τῇ φύσει τοῦ πράγματος. αὐτὸν ἀμφοτέροις ἀρκέσαι ταῖς τῶν

πολλῶν ὑπολήψεσι, πῶς οὐχὶ πᾶσαν ὑπερβολὴν θαυμάτων ἀπολελοιπέναι δοκεῖ, τὸ δὲ μηδενὸς τῶν εἰρημένων ἐπιθυμήσαντα, πολλοῦ γε δέω λέγειν τούτοις ἐπιχειρήσαντα, παρ' ἑτέρων εἰς ἄμφω [κριθήσεσθαι καὶ] μηδενὶ προσδραμεῖν, ἀλλ' ἀπειπεῖν ἀμφοτέροις, ποίαν οὐχ ὑπερβάλλει τέχνην λόγου καὶ δύναμιν; ὁπότε [πολλοὶ] τῶν παρ' οὐδενὸς ἀξιωθέντων τῆς κρίσεως, ἑαυτοὺς εἰς ἑκάτερον παραβεβιάκασι, καὶ σὺν αἰσχύνῃ ἀπελαθέντων [αὖθις] εἰς μέσους ὡσάμενοι, δευτέρων χρόνων ὡς εἰπεῖν τετυχήκασιν; Ἀλλ' οὐ τοιοῦτος ἐκεῖνος, πολλοῦ γε καὶ δεῖ, ἀλλὰ τὰς ὑπερβολὰς εὐλαβούμενος, ἢ τό γε ἀληθέστερον εἰπεῖν ἑκατέρων τῇ γνώμῃ μακρῷ ὑπερκείμενος· εἰ γὰρ καὶ μεγίστη ἀρχιερατικὴ τελειότης ἐστὶν καὶ χερουβικὸν ὡς ἂν εἴπῃ τις ἀκριβούμενος τὸ ἀξίωμα, ἀλλὰ τὸ πάντων εἰδέναι καταφρονεῖν, καὶ τῆς ὑπερτέρας τιμῆς πολλῷ ὑψηλότερον. Οὐ γὰρ οἱ θρόνοι προσάγουσι τῷ θεῷ τὸν τελούμενον, οὐδὲ διὰ τούτους ὁ ἐπὶ τούτων σεβάσμιος, ἀλλ' οἱ τρόποι τούς τε θρόνους κοσμοῦσι, καὶ τὸ ἐπέκεινα πάσης νοήσεως τὸν νοερῶς ἐθέλοντα ζῆν προσεγγίζουσιν· ᾧ πλησιάσας ἐκεῖνος πᾶν εἴ τι ἄλλο δοκοῦν ὑψηλὸν κατὰ δεύτερον ἡγεῖτο τῆς ἑαυτοῦ τάξεώς τε καὶ στάσεως.

Οὕτω γοῦν κἀκεῖνος ἐπὶ τὸν τῆς ἀρχιερωσύνης θρόνον ἀναβεβηκὼς, καταβεβηκέναι ᾠήθη· ἐκείνως μὲν γὰρ μόνῳ ζῆν ᾤετο τῷ θεῷ, οὕτως δὲ καὶ τοῖς ἐνταῦθα διδόναι μερίδα τῶν πολλῶν προϊστάμενος, καὶ πρὸς τοὺς παρανομεῖν ἐθέλοντας ἀνθιστάμενος. Θεῖον μὲν γὰρ καὶ τοῦτο τὸ πρᾶγμα, ἀλλὰ μερισμός τίς ἐστιν τῶν πρὸς τὰ κρείττω θεωριῶν καὶ τῶν ἐκεῖθεν θαυμασιωτέρων ἐλλάμψεων· ἀλλὰ καὶ ταῦτα ἐκεῖνος εἰδὼς, πείθεται ὅμως τῷ μὴ πείσαντι μὲν, τυραννήσαντι δέ· καὶ ὃς ἡσθεὶς τῷ θηράματι, οὕτω γὰρ εἰπεῖν οἰκειότερον, ἀβρότερος ἑαυτοῦ καὶ βασιλικώτερος γίνεται, καὶ ἀτεχνῶς ἀπὸ σκήπτρου θεμιστεύει τὴν χειροτονίαν αὐτῷ, καὶ πιστεύει τὸ πνεῦμα καὶ τοῖς ἱεροῖς τὸν ἱερὸν ἀποδίδωσι. Καὶ ἡ πομπὴ ἀπὸ τῶν βασιλείων ἐπὶ τὰ ἅδυτα, τῶν μὲν προϊόντων, τῶν δ' ἑφεπομένων, τῶν τε ἐν τέλει καὶ τῶν περὶ τὴν ἁγίαν τράπεζαν·

εἴκασεν ἄν τις ἰδὼν τὴν πρόοδον, τὸν μὲν ἡλίῳ, τοὺς δὲ ἀστράσιν ἐν μέσῳ ἐκεῖνον συγκλείουσι· τοσοῦτος καὶ τὸ φαινόμενον ὁ ἀνὴρ, τὸ γέ τοι κρυπτόμενον ὑπὲρ τὴν ἀναλογίαν οὐ πολλαπλάσιον· ἐπήστραπτε δὲ αὐτῷ τηνικαῦτα τὸ τῆς ἀγαλλιάσεως πνεῦμα, καὶ ἦν οὐ κατηφὲς αὐτῷ τὸ ἔνθουν, οὐδὲ συννοίας μεστὸν, ἀλλὰ πνευματικοῦ γέμον σκιρτήματος. Ὡς δὲ καὶ τοῦ νεὼ ἐντὸς ἐγεγόνεισαν οἱ ἐκείνῳ τελοῦντες τὴν πρόοδον, τὸν μὲν ἱστῶσι πρὸ τοῦ ἱεροῦ βήματος, αὐτοὶ δὲ πέριξ ἑστῶσι δορυφοροῦντες ἐκείνῳ τὰ προεισόδια. Ἐπεὶ δὲ ἱκανῶς εἶχε τῶν προτελείων, ἔδει δὲ καὶ τῇ θείᾳ προσεγγῖσαι τραπέζῃ, ἀθρόον οὗτος εἰς γόνυ κλιθεὶς, ἃ μὲν κρυφίως ὡμίλησε τῷ θεῷ καὶ οἷους ἐκείνῳ προὔτεινε λόγους, οἵους δὲ ἐκεῖθεν ἐδέξατο, αὐτὸς ἂν εἰδείη ὁ μόνος μόνῳ μυσταγωγούμενος. Ἀνατέλλει δὲ ὥσπερ χαμόθεν ἀκηράτοις ἀπαστράπτων μαρμαρυγαῖς, καὶ ἡ μεταβολὴ γνώριμος πᾶσι, καὶ εἰς ἀπορρήτους αἰτίας τὸ φανθὲν ἀνεφέρετο. Εἶτα δὴ καὶ τὸν λαὸν ἁγιάσας καὶ τὰ λυσιτελοῦντα πᾶσι πρὸς τὸν καιρὸν ὑποσχεδιάσας, ὥσπερ ἄρτι πηγὺς τῆς ἀρετῆς τὸν θεμέλιον, οὕτω τῆς τελειώσεως ἄρχεται.

Ὁ δὲ λόγος ἄχρι τούτου δραμὼν, οἷς μὲν περὶ αὐτοῦ εἴρηκε, τῶν ἄλλων ἀποκρύπτει τὰς ἀρετὰς, οἷς δὲ εἰπεῖν βούλεται αὐτὸν τοῦτον καταδεέστερον τίθησιν οἷς ἐξειργάσατο. Ἐκεῖνο τοίνυν πρὸ τῶν ἄλλων ἐρῶ· ὅτι τῶν μὲν περὶ τὴν ἄνω θεωρίαν ἐσχολακότων καὶ πρὸς τὰ τῇδε γενομένων ἀνεπιστρόφων, ἑτέρων δὲ πρὸς μὲν τὴν τοιαύτην οὐκ ἀναβεβηκότων ζωὴν, τὰ δὲ κάτω κοσμεῖν δυνηθέντων καὶ πρὸ πάντων ἑαυτοὺς ῥυθμισάντων εἰς ἀρετὴν, εἶτα καὶ τοῖς πολλοῖς καταστάντων ὀρθότητος βίου παράδειγμα καὶ τὰς ἐκείνων κυβερνησάντων ψυχὰς, ἐνίων δὲ μετρίως ἑκατέροις χρησαμένων τοῖς βίοις, καὶ νῦν μὲν πρὸς τὰ κρείττω ἀπονευόντων, αὖθις δὲ καὶ πρὸς τὰ ἐνταῦθα ἐπιστρεφόντων τοὺς ὀφθαλμοὺς, καὶ οὕτω τριῶν οὐσῶν τῶν πρὸς ἀρετὴν φερουσῶν ὁδῶν, καὶ τῆς γε τρίτης ἡ μέσης τῶν ἄλλων ἀκριβεστέρας καθεστηκυίας καὶ παρὰ τοῖς κρείττοσι τῆς μείζονος εὐφημίας ἀξιουμένης, ἐκεῖνος καὶ τε-

τάρτην ἐκαινοτόμησεν, ἣν εὗρε μὲν οὐδεὶς τῶν πάντων, τὸ δὲ ὑπὲρ ἡμᾶς εὐαγγελικὸν γένος ἐκ πρώτης παραγωγῆς παρὰ τοῦ δημιουργήσαντος εἰλήχει.

Τίς δὲ ἡ καινοτομία; ὅτι μὴ παρὰ μέρος ἔζη θεῷ καὶ ἀνθρώποις, μηδὲ πτερούμενος τῇ εὐχῇ πρὸς τὰ κρείττω, ἐπιλήσμων τῶν τῇδε ἐγίγνετο, μὴ δ' αὖθις πρὸς τὰ τῶν ἀνθρωπίνων ψυχῶν τῆς ἄνω θεωρίας ἀπελιμπάνετο. Ἀλλ' οἱ μὲν φυσικοὶ λόγοι τὰς ἐναντίας κινήσεις στάσει διειλῆφθαί φασι, καὶ τὸ ἄνω κινούμενον, εἰ κάτω αὖθις κινηθῆναι ῥοπὴν σχοίη, ἢ τὴν οἰκείαν, ἢ τὴν ἀλλοτρίαν, οὐκ ἂν τοῦτο ἔξειν, εἰ μὴ σταίη λῆξαν τῆς πρώτης κινήσεως. Ἐκείνῳ δὲ ἤρκει ἡ αὐτὴ καὶ πρὸς τἀναντία ῥοπή· καὶ ἦν ἡ ἐκείνου ζωὴ κέντρον ἀκριβέστατον καὶ εὐμέγεθες, εἰ καὶ παράδοξός
φ. 121*. πως | ὁ λόγος δοκεῖ, τῶν ἐναντίων καὶ οὐκ ἐναντίων ζωῶν· τοῦτο δὲ μόνον ἀγγέλοις κἀκείνῳ ὁ λόγος προσμαρτυρεῖ· οὐ γὰρ ἐπειδὴ αἱ ὑπὲρ ἡμᾶς τάξεις προστασίαν ἐθνῶν ἢ πόλεων ἐπιστεύθησαν, ὡς οἱ ἱεροὶ λόγοι διδάσκουσιν, οἷς ἐκείνων προΐστανται τῶν ἄνω θεωριῶν ἀθέατοι καθεστήκασιν, οὐδὲ οἷς ἐκεῖθεν ἐλλάπονται[1], ἀκυβερνήτους ἐῶσιν ἃς εἰλήχασι μερίδας τῆς κάτω ζωῆς. Εἴτε οὖν πρὸς ταύτην τὴν φύσιν ἐκεῖνος ἀπιδὼν, ἑαυτὸν πρὸς τὴν πρωτοτυπίαν ἀπεικόνισεν ἀκριβῶς, εἴτε καὶ παρ' ἑαυτοῦ τὸ καινὸν εὕρατο, εἴτε καὶ θειοτέρας πρὸς τοῦτο ἠξιώθη χάριτος, ὃ καὶ μάλιστα πείθομαι, ἀλλά γε τὴν τοιαύτην ζωὴν μόνος ἀκριβωσάμενος τῷ γε μηδένα κοινωνὸν ἔχειν τῶν[2] τῆς αὐτῆς κεκοινωκότων φύσεως, πρὸς οὐδένα τῶν πάντων κατά γε τοῦτο τὸ μέρος σύγκρισιν δέξαιτο.

Περὶ δὲ τῶν ἑτέρων μερῶν τῆς ἀρετῆς καὶ δυνάμεων ἃς ἐκεῖνος ἐκτήσατο, εἰ δεῖ οὕτως εἰπεῖν, ἀλλὰ μὴ τῇ ψυχῇ ἐνούσας εἰς ἐνέργειαν ἤνεγκε καὶ μετεχειρίσατο προσφυῶς καθ' ὅσον οἷόν τε ἦ καὶ ὁ λόγος ἐρεῖ, νῦν τε καὶ αὖθις ἐν τοῖς προσήκουσι διαληψόμεθα μέρεσι· καὶ ἵνα δὴ ἀπὸ τῶν περιεκτικωτέρων ποιήσωμαι τὴν ἀρ-

1. γρ. ἐλλάμπονται. 2. χ. τῆς τῆς.

χὴν, τίς οὕτως πρὸς τὴν τῶν παθῶν ἀντανέστη φορὰν καὶ καθαρᾷ σωφροσύνῃ διέλαμψεν, οὐ μεσότητα τὴν ἕξιν ἀλλ' ἀκρότητα ποιησάμενος; τίς δὲ οὕτω τὴν φύσιν ἐνίκησε καὶ κρείττονι ἑαυτὸν περιετείχισε φυλακῇ, τῇ ἀπὸ τῶν ἄλλων ἐγκρατείᾳ φημὶ, ἀφ' ὧν τὸ ἀντίθετον τῇ ἀρετῇ πάθος εἴωθε παραγίγνεσθαι; Τὸ μὲν γὰρ τριβωνίῳ κατατρύχειν τὰς σάρκας, καὶ τῆς ἔξω παντάπασι περιβολῆς ἀμελεῖν, καὶ μήτε γυμνοῦν τὸ σῶμα λουτροῖς, ἀλλὰ πάσης ἁπαξαπλῶς φείδεσθαι θεραπείας, λείως δὲ ἔχειν πρὸς τὴν τραχύτητα καὶ τἆλλα τὰ τούτων σκληρότερα, οἷς ἐκεῖνος ὡς ἀπαλωτέροις ἐνετρύφα καὶ καθηδύνετο, ὡς καὶ πολλοῖς ἑτέροις ζηλωθέντα τε καὶ κτηθέντα, δοκεῖ μοι παραλιπεῖν ὁ λόγος· οὐ γὰρ ζηλωτὴν ἑτέρων, ἀλλ' εὑρετὴν τῶν μειζόνων τὸν ἄνδρα τίθεμαι· τὸ δὲ καὶ τὴν φαντασίαν παιδαγωγῆσαι μὴ ἄν ποτε μορφωθῆναι τοῖς χείροσιν, ἀλλὰ τὰς κρείττους μόνον ἰδέας ὑποδύεσθαι, πῶς οὐχὶ μεῖζον ἢ κατὰ παράδειγμα; ὃ γὰρ οὐκ ἄν τις ἕτερος δυνηθείη μιμήσασθαι, τοῦτο πάντως ἀρχετυπίας καθέστηκεν ὑψηλότερον. Τοῦτο δὲ ὁποῖόν ἐστι τῷ λόγῳ ἐνδείξομαι, ἵν' ὁμοῦ τις καὶ τὴν γνῶσιν ἔχῃ τοῦ πράγματος, καὶ τὸν τρόπον εἰδείη ὃν ἐκεῖνος ἐφιλοσόφει.

Τῇ λογικῇ τῆς ψυχῆς φύσει ἐν τῷ καθ' ἡμᾶς συγκρίματι παραμέμικταί τι καὶ μέρος ἀντίθετον, ἄλογον μὲν, λόγῳ δὲ παιδαγωγεῖσθαι δυνάμενον· τοῦτο δέ ἐστιν ὁπόσον τοῦ φαινομένου κάλλους ἐρᾷ, λυσιτελοῦν τῇ κράσει διὰ τὴν γένεσιν· μιχθὲν δὲ τῷ λόγῳ ὥς εἴρηται, εἰ μὲν ἐφ' ἑαυτοῦ κρατυνθείη καὶ κατὰ τῆς λογικῆς ἰσχύσει δυνάμεως, αὐτό τε ἐξηνέχθη πλέον τοῦ δέοντος, κἀκείνην ἑαυτῷ συγκατέσπασεν· εἰ δ' ὁ ἐφεστηκὼς λόγος ὡς κρείττων τῷ χείρονι, τὰ μὲν πρῶτα χαλινὸν ἐμβαλὼν τῷ ἀντιθέτῳ μέρει καταναγκάσει σιγᾷν, ἔπειτα καὶ πρὸς ἑαυτὸ μεταθείη, καὶ πείσει τῆς μὲν οἰκείας ἐπιλαθέσθαι φύσεως, ἀντέχεσθαι δὲ τοῦ κρείττονος. ὥς περ εἴ τις θῆρα δεινὸν ἡνίᾳ τιθασσεύσας, ὡς καὶ ταύτης ἀφαιρεθείσης ἀτεχνῶς ἠρεμεῖν, τηνικαῦτα ἡ ἄτοπος αὕτη ἐπιθυμία καὶ ἄλογος, χαλιναγωγηθεῖσα παρὰ τοῦ λόγου τὰς ἔξω μορφὰς ἀπο-

δύεται μόνον, ἀλλὰ ταῖς ἔνδον καὶ ὑψηλοτέραις καταμορφοῦται· οὕτω γοῦν ἐκεῖνος τὴν ἄλογον ἐπιθυμίαν λόγῳ ποιήσας κατήκοον, καὶ μέχρι φαντασίας τὰς ἀτόπους ὀρέξεις ἐκόλαζεν. Ἵνα δέ τι τῶν ἀποκρύφων ἐκείνου ἐρῶ, ὃ τοῖς ἄλλοις τέως ἄχρι τοῦ παρόντος ἀνήκοον, ἐμοὶ δὲ τὸν λόγον ὡς τῶν ἄλλων οἰκειοτάτῳ ἐπίστευσεν ὁ ἀνήρ· ἐγρηγορότα μὲν ἐδεδίει πως τοῦτον ἡ φανταστικὴ τῆς φύσεως δύναμις, ὑπνώττοντος δὲ πολλάκις κατεξανίστατο· ὁ δὲ, ὡς ψυχὴ μόνον ὢν λογική, οἷα δὴ πρὸς ἑτέραν τὴν ἄλογον δεινῶς ἀπεμάχετο, καὶ τὰ μὲν ὕβριζε, τὰ δὲ τῷ ἰσχύοντι ἀπεκρούετο λόγῳ. Εἰ δὲ καί τινες αὐτῇ συνήργουν ἀποτρόπαιοι δυνάμεις καὶ αὐτὸ δὴ τοῦτο χθόνιοί τε καὶ ἔνυλοι, καὶ πρὸς ταύτας ἀντέπραττε νοερῶς· οὕτως αὐτῷ καθεύδοντι ἐπηγρύπνει ὁ νοῦς, καὶ τοσοῦτον αὐτὸν καὶ τὰ πάθη καὶ οἱ δαίμονες ἐδεδίεσαν, ὡς μὴ δύνασθαι μὲν προσβαλεῖν ἡμέρας, ἅτε δὲ νυκτερινοί τε καὶ σκότιοι τῇ νυκτὶ χρῆσθαι συμμάχῳ πρὸς τὴν ἀντίθεσιν. Οἶδα μὲν οὖν ἐγὼ τοὺς τοσοῦτον πρὸς τὰς ἡδονὰς ἀντιθέτους, ἱδρῶτός τε πλέως καὶ ἀγωνίας μεστοὺς, τά τε ἄλλα καὶ σκυθρωποὺς, καὶ ξηροὺς μὲν τοὺς ὀφθαλμοὺς, σύννους δὲ τὰς ὀφρύας, καὶ ἀποστρόφους πρὸς ἀνθρωπίνην ὁμιλίαν τε καὶ συνήθειαν· ἐκείνῳ δὲ ἡ ζωὴ καὶ οὕτως ἔχοντι, χαρίτων μεστὴ, ὅ,τε λόγος ἡδύς τε καὶ πότιμος, καὶ προσηνὲς μὲν τὸ βλέμμα, μεστὸν δὲ τὸ πνεῦμα ἀγαλλιάσεως· ἐλίπαινε γὰρ τοῦτον ἡ ἐκ τῆς ἀγωνίας ἀπάθεια, καὶ οὐχ οἷς ἀντηγωνίσατο δεινοπαθῶν ἦν, ἀλλ' οἷς προσεκτήσατο πνευματικῶς εὐθύμει καὶ ἠγαλλία.

Ἀλλ' ὅ γε λόγος ἐπιμεμνήσθω τῶν ἐξ ἀρχῆς· τίς μὲν οὖν οὕτως ἐστεφανώθη τοῖς κατὰ τῶν παθῶν ἀγωνίσμασι; τίς δὲ τοσαύτης μετὰ τὴν πάλην τετύχηκε χάριτος; φρονήματος δὲ τίς οὕτω καὶ τοσοῦτον μετέσχηκε; λέγω δὲ τοῦ τε θειοτέρου καὶ τὸν τῆς ψυχῆς ὀφθαλμὸν κατάπλεων ποιοῦντος φωτὸς, καὶ τοῦ πολιτικωτέρου καὶ ὅσον τῆς πράξεως. Ἐκεῖνον γὰρ οὔτέ τι τῶν ἄνω, εἰ δεῖ καὶ τοῦτο εἰπεῖν, ἐλάνθανεν, οὔτε ἡ πρὸς τὰ κάτω παντοδαπὴ σύνεσίς τε

καὶ πολυμάθεια· τοσοῦτον αὐτῷ τὸ τῆς καρδίας πλάτος, ὃ δὴ καὶ Σολομῶν δεξάμενος ἄνωθεν ἀκριβής τε τὰ θεῖα ἔδοξε, καὶ τὴν κάτω φύσιν ἀνεθεώρησεν, ἀπὸ τοῦ δρυὸς ἐς τὴν ὕσωπον[1] καταλήξας, κἀκεῖσε καταπαύσας τὴν θεωρίαν. Ἀλλ' οὗτος ῥιζῶν μὲν καὶ | χυμῶν ἧττον ἐφρόντισε, καὶ τῶν ἄλλων περὶ ἃ ἐκεῖνος ἐπραγματεύσατο· ὥσπερ δὲ οἱ περὶ τὸν λόγον δεινοὶ, τούς τε καταλλήλους τοῖς πράγμασι καιροὺς ἀνεσκόπησε, καὶ τήν τε παιδαγωγίαν πρὸς ταῦτα διεῖλε, τήν τε παρρησίαν τούτοις ἐμέτρησε καὶ πρὸς τὸ ἑκάστου ἦθος τοὺς λόγους συνήρμοσεν, οὐ τέχνην τὴν τοιαύτην ποιούμενος δύναμιν, ἀλλ' ἐπιστήμην ἀληθινὴν καὶ φιλοσοφίαν ἀκριβεστάτην· τὸ γὰρ τοῖς πράγμασιν ἐναλλὰξ χρᾶσθαι καὶ πρὸς ἑκάστους διαιρεῖν τοὺς καιροὺς, ἀπατᾷν μὲν βουλομένῳ τεχνικὸν καὶ σοφιστικὸν, ἀφελεῖν δὲ προαιρουμένῳ πνευματικὸν καὶ φιλόσοφον· οὐ γὰρ ἐπειδὴ φιλοσοφία ἑαυτῇ ἐστιν ὅμοιος καὶ οὐ μεταβάλλεται τοῖς καιροῖς, οὐδὲ τοῖς πράγμασι μετατίθεται, ἀτιμαστέον τὴν πρὸς τοὺς καιροὺς παιδαγωγίαν τε καὶ νουθέτησιν· οὐ γὰρ ἐκκοπὴ τοῦτο σοφίας, οὐ δὲ μεταβολὴ πρὸς τὸ χεῖρον, ἀλλ' ἀκριβεστέρα μᾶλλον ἰδέα, καὶ ἥν γε δεῖ πρὸ πάντων ἔχειν τὸν λαοῦ προϊστάμενον. Ἀλλ' [ἐκεῖνος] ἔστιν οὗ καὶ πρὸς τοὺς ἐναντίους καιροὺς ἀντιθέτως ἐχώρησεν, ὡς καὶ πολλοῖς δόξαι οὐ χρήσασθαι τῇ παρρησίᾳ, καταχρήσασθαι δέον. Τοῦτο δὲ ὑπερβολὴ μᾶλλον τῆς κρείττονος ἐπιστήμης· δεῖ μὲν γὰρ τῶν πραγμάτων καταστοχάζεσθαι τὸν διδάσκαλον τῶ..... καλοῦ, ἀντιπιπτόντων δὲ πολλάκις καὶ παρὰ τοῦτο τοῦ λυσιτελοῦντος ἀναιρουμένου, δεῖ τὸν λόγον αὖθις ἰσχύειν, καὶ εἰς [μέσους] τοὺς κινδύνους ὠθίζεσθαι. Ἐκεῖνος γοῦν, οὐκ ἐπειδὴ παρὰ τοῦ αὐτοκράτορος τὴν ἀρχιερωσύνην εἴληφει, περὶ οὗ φθάσας ὁ λόγος ἐγνώρισεν, ὥσπερ χάριν εὐεργέσιας ἀντεδίδου ἐκείνῳ τὸ παντάπασιν ὑποτάττεσθαι, ἀλλ' οὐδὲ χάριν ἐκείνῳ τὴν χάριν τοῦ πνεύματος ἐλογίζετο, ἀλλ' ὡς φ. 122.

1. γρ. ὕσσωπον.

εἰληφὼς ταύτην παρὰ θεοῦ, μέρος κἀκεῖνον τὸ μέγιστον τῆς οἰκείας προστασίας ἐνόμιζε, καὶ τῆς γε τῶν πολλῶν ὠφελείας ἐκεῖθεν ἀπήρχετο.

Ὥσπερ γὰρ εἴ τις εὐκίνητον τὸ σῶμα αἱροῖτο ποιεῖν, ἐπιστημονικώτατα καθαίρει τὴν κεφαλὴν, τῶν ἐνδομυχούντων αὐτῇ ἀπαλλάττων χυμῶν, καὶ τοὺς ὀχετοὺς τῶν αἰσθήσεων ἀποσμήχων δι' ὧν τὸ ψυχικὸν πνεῦμα πρὸς αὐτὰ τὰ αἰσθητήρια κάτεισιν, οὕτω δὴ κἀκεῖνος ποιεῖν ᾤετο δεῖν, καὶ τὴν βασίλειον τὰ πρῶτα ῥυθμίζειν ἐβούλετο κεφαλὴν, ἵν' ἐκεῖθεν τῷ παντὶ τοῦ λαοῦ σώματι τὸ τῆς ὑγείας ἐπιχεθείη καλόν. Ἵνα δὲ μὴ φιλόσοφον μὲν, ἀγνώμονα δέ τις τὸν ἄνδρα διὰ ταῦτα δοξάσειε, καὶ χάριτας αὐτῷ κατετίθει ὧν εἰλήφει λαμπράς· τὸ γὰρ ῥυθμίζειν τοῦτον πρὸς ἀρετὴν, καὶ τῶν ἀτοπωτέρων ἀνείργειν ἐνθυμημάτων, καὶ ἀπευθύνειν πρὸς τὸ λυσιτελοῦν, καὶ ἁρσμιώτερον τοῖς ὑπηκόοις ποιεῖν, πῶς οὐκ ἀντίδοσις εἴη κρειττων καὶ τελεωτέρα, καὶ ὄντως ἀρχιερεῖ καὶ βασιλεῖ πρέπουσα; Εἰ δὲ συνωμολόγει πᾶσιν οἷς ἐκεῖνος ἐβούλετο, οὐ παντάπασι συμφέρουσιν οὖσι τοῖς πλείοσιν, εἰ μὲν ἐκ διαθέσεως, οὐ μᾶλλον ἐκεῖνος κακὸς, ἢ χείρων οὗτος τὸν βίον ἔχων προσκείμενον· εἰ δ' ἐχαρίζετο μόνον, οὐκ οἶμαι εἴ τις καὶ τοῦτο ἐξέλοι μέμψεως· τὸ γὰρ δᾶον ἀνείργειν τὴν ἡνίαν ἐπιδιδόναι, τοῦ ὠθοῦντος μᾶλλον ἢ τοῦ πίπτοντος ποιεῖ τὸν κρημνόν. Ὅτι δὲ μὴ δυστρόπως πρὸς ἐκεῖνον εἶχεν, ἀλλ' εὐμενῶς καὶ οἰκείως, ἐδείκνυεν οἷς συνεκινδύνευε μὲν κινδυνεύοντι, τῶν τε προσπιπτόντων ἐκοινώνει ἀνιαρῶν, καὶ τῶν γε τελευταίων στεφάνων καὶ αὐτός τι μέρος εἶχε τῆς ἀναρρήσεως. Ἀλλ' οὔπω ταῦτα, καὶ ὁ λόγος ἐπὶ τὸν οἰκεῖον δρόμον αὖθις ἀγέσθω.

Τίς οὖν ἐκείνου πλέον καὶ παρρησίας καὶ ὑποχωρήσεως οἶδε καιροὺς καὶ καταλλήλως ἀμφοῖν ἐχρήσατο; τίς δὲ χάριν ἀπέδωκεν εὐεργέτῃ, ἢ γνώμην εἰσενεγκὼν τούτῳ συμφέρουσαν, ἢ τὴν προσήκουσαν εἰσαγαγὼν πρόνοιαν; Τῷ δέ γε τοῦ δικαίου μέρει, τίς οὕτως ἐχρήσατο; Οἱ μὲν γὰρ ἄλλοι ὥσπερ τινα τεμάχια

τοὺς τῆς ἀρετῆς λόγους οἰόμενοι, καὶ ἀπ' ἀλλήλων διῃρημένα τμήματα, καθ' ἑαυτὴν ἑκάστην ἐργάζεσθαι βούλονται, καὶ τῇ δικαιοσύνῃ οὕτω προσχόντες ἔνεισιν, ἀπανθρωπότεροι μᾶλλον ἢ δικαιοτέροι ἔδοξαν· ἔστι γὰρ διάλληλος αὐτῶν ἡ σειρὰ, καὶ θατέρα παρὰ τὴν ἑτέραν καλλίων· εἰ δὲ ἑκάστη στερηθείη τῆς καταχρωννύσης, οὐχ ἑαυτὴν ἔσωσε μᾶλλον, ἢ τὴν ἀντικειμένην ἕξιν ἠλλάξατο, εἰ δεῖ οὕτω λέγειν· ἐπεὶ καὶ ἐλάττων ἀσπὶς, εἰ μὴ τῇ μείζονι προσχωρήσειεν, ἁλώσιμός τε τῇ ἀντιθέτῳ γίνεται καὶ τὸν ἐκείνης λόχον ἀναπληροῖ. Διὰ ταῦτα ἐκεῖνος παρὰ τὴν φιλανθρωπίαν σεμνοτέραν τὴν δικαιοσύνην ποιούμενος, τό τε δίκαιον ἠκρίβου μὴ δεκάζων τὰς κρίσεις πρὸς εὔνοιαν, καὶ τὸ ἔλαττον ἀντανίσου, διδοὺς κἀκείνῳ ἀφ' ἑαυτοῦ τὴν ῥοπήν. Ἐπεὶ δὲ τῆς πολιτικῆς δικαιοσύνης παραδείγματα τῇ ἡμετέρᾳ φύσει κατέσπειρεν ὁ θεὸς, ἃ δὴ τῶν ὑψηλοτέρων εἰκόνες εἰσὶ, πρὸ τῆς ἐν πράγμασιν ἐκεῖ ἀκριβοῦς κρίσεως, ψυχῇ μὲν καὶ νῷ δικάζων, τῷ μὲν τὰ πρωτεῖα, τῇ δὲ τὰ δευτερεῖα ἀπένεμε· λέγω δὲ νοῦν, εἴτε τὴν νοεράν τις ἔλλαμψιν νοεῖν βούλοιτο, εἴτε τὸ τῆς διανοίας ἀκρότατον, εἴτε τὸν οὐσιώδη καὶ παντάπασι χωριστὸν, εἴτε τὸ μέγιστον μέρος τῶν ἐν τῇ ψυχῇ δυνάμεων· οὐδενὸς γὰρ τῶν ἀπηριθμημένων ἡ ψυχὴ κρείττων· εἰ γὰρ καὶ τοῦ τελευταίου ὡς ὅλον ὑπερέχει μέρους, ἀλλ' ἡττᾶται τῷ κρείττονι. Καὶ τούτοιν μὲν ἀμφοῖν οὕτως ἐχρῆτο δικαίως, καὶ προῆγε τὸν νοῦν τῆς ψυχῆς, καὶ διὰ μέσου τούτου θεῷ προσήγγιζε. Ψυχὴ μὲν ὡς ὀργάνῳ χρῆται τῷ σώματι, τῷ δέ γε νῷ οὐδέν τι μέρος αὐτοῦ διωργάνωται· καὶ ψυχὴ μὲν ἐν σώματι γενομένη, συνδιίσταται τούτῳ τρόπον τινὰ, ὁ δὲ νοῦς ἀπανταχοῦ ἀμερής· παραγινόμενος δὲ τῇ ψυχῇ θεὸς οὐκ αὐτόθεν ποιεῖται τὴν σύνοδον, ἀλλὰ διὰ μέσου νοὸς πρὸς τὴν ἐλάττονα φύσιν ἔπεισιν· εἶτα δὴ τὴν δευτέραν κρίσιν ποιούμενος ψυχῆς καὶ σώματος....., τὴν μὲν ἐπιθυμίαν ὑπετίθει τῷ λόγῳ, τῷ δὲ θυμῷ τὸ χαῦνον αὐτῆς ὑπετόνου, ἀμφοῖν δὲ προΐστα τοῦ λόγου τὴν δύναμιν. Ἑαυτῷ δὲ πρῶτον τὰς τοιαύτας κρίσεις ποιούμενος, | οὕτως ἑτέρους τὰς ἀμφι- φ. 122*.

σβητουμένας, ἢ ἑαυτὸν διδοὺς τοῖς κρινομένοις ἀρχέτυπον πίνακα, ἢ διαιρῶν ἐκείνοις [τῷ λόγῳ] τὰ κρείττονα καὶ τὰ χείρονα, καὶ τὰ μὲν προϊστῶν, τὰ δὲ ὑποτάττων, καὶ οὐκ ἐξ ἴσων τὸ τῆς φύσεως ἡμῶν κρᾶμα δεικνὺς, ἀλλ' ἐξ ἀνίσων μερῶν· οὐδὲ γὰρ ἂν οὐδὲν ἐστασίαζεν ἡμῖν, ἰσότητος ἐχούσης τὴν κράσιν, ἢ τῆς κράσεως ἐχούσης [ἰσότητα]. Ἐκείνῳ τοίνυν ὁ μὲν νοῦς ἐπτέρωτο ἀεὶ πρὸς θεὸν, ἡ δὲ ψυχὴ συνανήγετο, τὸ σῶμα δὲ οὐκ ἀντέπιπτε ταῖς ἐπάρσεσι, πολλοῦ γε καὶ δεῖ, ἀλλὰ δύναμις μᾶλλον ἦν τῇ ψυχῇ τῆς διὰ τῶν πρακτικῶν ἀρετῶν ἀναγωγῆς καὶ ὑψώσεως· οὕτως ἐν τῷ καθ' ἑαυτὸν παραδείγματι τῇ δικαιοσύνῃ χρησάμενος, ὡς ἐν εἰκόνι τῇ πολιτικῇ ἀρετῇ ταύτην ἐδείκνυεν.

Ἀμέλει τοι κἂν τοῖς πράγμασιν καὶ ὧν ἐκεῖνος μᾶλλον προΐστατο, κατὰ τοὺς ἄνω λόγους ἐνομοθέτει τὸ δίκαιον, ἢ τό γε μετριώτερον εἰπεῖν, τῆς ἀρχαίας νομοθεσίας καὶ διαιρέσεως εἴχετο. Ὥσπερ γὰρ ὁ ἄνω κόσμος μείζοσι καὶ ἐλάττοσι διήρηται τάξεσι, καὶ αἱ μὲν ἐγγυτέρω θεῷ εἰσι καὶ ἀμέσως ἐκεῖθεν ἐλλάμπονται [1], αἱ δὲ τὰς πρώτας ἐλλάμψεις δέξασθαι μὴ δυνάμεναι, καταλληλοτέρας ἑαυταῖς διὰ τῶν μέσων δυνάμεων ὑποδέχονται, ὧν δὴ ταῖς προσεχῶς ἑαυτῶν ὑφειμέναις μεταδιδόασι, καὶ αὐταὶ ταῖς ἐφεξῆς, καὶ οὕτως ἡ ὑπερκόσμιος ἐννεὰς εἰς τὴν ἀγγελικὴν δυναμοῦται ἀποπεράτωσιν καταλήγουσα· οὕτω δὴ κἀν ταῖς ἐκκλησιαστικαῖς διατάξεσιν, οἱ μὲν τῶν λειτουργούντων πτερύσσονται ἢ διομματοῦνται πρὸς τὰ θειότερα, οἱ δὲ ἐπαναπαύουσιν ἑαυτοῖς τὸν θεὸν, οἱ δ' ἄλλό τι τῶν μειζόνων ἐνεργοῦσιν ἢ πάσχουσιν· ὧν ἐκεῖνος, οἷα θεὸς προϊστάμενος καὶ ἑκάστῳ προσφυῶς μεριζόμενος, ὑπερφυῶς τὰ ὑπὲρ φύσιν ἐδίκαζεν.

Ἀλλὰ ταῦτα μὲν ὀλίγοις τε γνωστὰ, καὶ τοὺς πολλοὺς ἐκεῖνος ἐλάνθανεν οὕτω ποιῶν. Περὶ δὲ ὧν ἀμφισβητοῦσιν ἄνθρωποι, παρὰ τῶν θείων κανόνων τὰς λύσεις ποιούμενος, ῥᾴστά τε τὸ ἀμφίβολον

1. γρ. ἐλλάμπονται.

ἔλυε καὶ ὁμονοεῖν τοὺς ἀντικρινομένους ἔπειθε τῷ ἀκριβεῖ καὶ δικαίῳ τῆς ἀποφάσεως. Οὕτω γὰρ τὰς πατρικὰς παραδόσεις ἠκρίβου, οὕτω τὰς ἀποστολικὰς διατάξεις ἐσέβετο, ὡς θεοῦ ταύτας ἡγεῖσθαι φωνὰς πᾶσαν ὑπερηχούσας ἀκοὴν καὶ ψυχήν. Τοῖς μὲν οὖν ἄλλοις καὶ τῶν πολλῶν κρείττοσιν ἔν τι δοκεῖ καὶ ἁπλοῦν τὸ τῆς ἀρετῆς εἶδος, καὶ κρίσις οὐδεμία παρὰ τούτοις τῶν ἕξεων, ἀλλ' οὐδὲ ἀνάβασις ἀπὸ τῶν ἡττόνων ἐπὶ τὰ κρείττονα, εἰ δέ γε καὶ ἀναβαίνουσιν, ἀλλ' αὐτὸ τοῦτο τὴν ἄνοδον οὐκ ἐπίστανται· ἐκεῖνος δὲ καὶ πρὸ τῆς τελεωτέρας ὑψώσεως ἐν προθύροις ἔτι καὶ τῆς καταδεεστέρας ἑστὼς, εἴς γε ἀριθμὸν ὡρισμένον διηρίθμησε τὰς ἀνόδους, καὶ ἑκάστην τοῖς οἰκείοις μέτροις ἀφώρισε, καὶ πρὸς τῷ τέλει τῆσδε ἢ τῆσδε γινόμενος, ἤδει τῆς μὲν τὸ τέλος, τῆς δὲ τὴν ἀρχήν. Καὶ οὕτως ἀπὸ τῶν πρακτικῶν ἀρετῶν προϊὼν, εἶτα δὴ καθηράμενος, καὶ τὴν ψυχὴν νοερῶς ἀποστήσας τοῦ σώματος, θεωρὸς ἔστη τῶν ὑπὲρ φύσιν, καὶ οὕτω καὶ θεουργὸς τῶν μυστικωτέρων ἐγένετο. Προσήκουσαν δὲ μᾶλλον τῷ ἀρχιερεῖ τὴν θεουργικὴν ἀρετὴν ὑπελάμβανεν· οὐ γὰρ δεῖ τὸν ἐγγὺς γεγονότα θεοῦ ἀναβαίνειν διὰ τῆς πράξεως, τοῦτο γὰρ καὶ ἄλλως ἄλογον, ἀλλ' οὐδὲ τῶν σωματικῶν ἀφίστασθαι τόν γε ἀφεστηκότα, διὰ τὴν ἐγγύτητα· τὸ δέ γε θεωρεῖν, οἰκεία τις ἐστὶν ἔλλαμψις καὶ ἀπόλαυσις· ἡ δὲ θεουργία, θεοειδὴς ἀρετή· ἀποθεοῖ γὰρ τὸν τελούμενον ἢ θεῷ ποιεῖ ὅμοιον, ἐφ' ὅσον ἡ τοῦ θεουμένου φύσις ἐφικνεῖται· τὸ γάρ τοι τῆς θεώσεως ὄνομα οὐχ ὅμοιον ἁπάσαις φύσεσιν, οὐδὲ εἰς τὴν αὐτὴν φέρον θειότητα· ἀλλ' ἐπειδὰν ἡ ψυχὴ τὰ μέτρα τῶν οἰκείων δυνάμεων ἐξελίξασα εἰς τὴν ἑαυτῇ φθάσῃ προσήκουσαν τελειότητα, τὸ ἀναλογοῦν αὐτῇ τῆς θεώσεως εἶδος ἀπείληφεν· οὐ γὰρ ἂν ὑπερεκταθείη τὴν τοῦ ἀγγέλου ἀξίαν, ὥσπερ οὐδ' ἐκεῖνος τοῦ κρείττονος, οὐδ' οὗτος τοῦ ὑπερκειμένου· οὕτω γὰρ ἂν συγχυθείη τὰ πάντα, καὶ ἀκοσμία τὸ πᾶν, ἀλλ' οὐ κόσμος ἔσται τὴν τοῦ ὀνόματος σημασίαν δυνάμενος. Ἐπεὶ δέ τινες καὶ φυσικὴν ἀρετὴν ὀνομάζουσι, τιθέντες ταύτην μετὰ τὴν πρᾶξιν, ἣ δέ ἐστι τὸ τοὺς

λόγους τῶν ὄντων κατανοεῖν οὐχ ἱστορικῶς, ἀλλὰ θεωρητικῶς, καὶ τί μὲν τὸ σῶμα, τί δὲ τὸ ἀσώματον, καὶ πῶς ἄμφω, καὶ τίνες αἱ τούτων ἀρχαὶ, οὐχ ἵν' ἐντρυφῴη τοῖς θεωρήμασι, τοῦτο γὰρ ὕστερον, ἀλλ' ἵν' ἐκεῖθεν ἀνάγοιτο πρὸς τὴν τοῦ κρείττονος ὥσπερ ἐξ ἰχνῶν κατανόησιν, οὐδὲ ταύτης ἠμέλει τῆς ἕξεως, ἐμοὶ τὰ πολλὰ πρὸς τοῦτο τὸ μέρος κοινωνῶν καὶ συνεργῷ χρώμενος· διήρει γοῦν ἕκαστα, ὁπόσα ἐγὼ οἶδα, κατὰ τοὺς οἰκείους λόγους· καὶ εἴ τις αὐτῷ τὸ τῆς φύσεως ἀνεκάλυπτε κρύφιον, ἐφήδετο τούτῳ ὡς οὐδενὶ ἄλλῳ, καὶ προϊὼν πολλὰ τῶν ἀπόρων τοῖς προλαβοῦσι συνήρει. Εἰ μὲν οὖν ἑτέρῳ λέγοντι περὶ τούτων αὐτὸς παρετύγχανον, τάχ' ἂν ἠπίστουν τοῖς λεγομένοις, ὡς τοῖς ὑπὲρ φύσιν προσήκουσιν, ἐπεὶ δὲ αὐτὸς παραγινόμενος τῷ ἀνδρὶ ἕκαστα τούτων παρ' ἐκείνῳ κατεθεώρουν, αὐτός τε ἐμαυτῷ πεπεισμένα λέγω, καὶ μηδένα διαμφισβητεῖν περὶ ὧν φημὶ ἐγκελεύομαι.

Ἴσως μὲν γὰρ καὶ ἡ τοῦ λόγου τομὴ ποικιλώτερον τὰ ἐκείνου διερμηνεύουσα θαυμασιώτερά πως ἐργάζεται· τὸ δέ γε ἀληθὲς, αὐτόθεν ἰσχύει τὰ πράγματα, καὶ ὁ λόγος τοσοῦτον δέχεται, ὅσον εἰ καὶ διειδεστάτην πηγὴν ποικιλωτέροις ὀνόμασιν ἀπεσέμνυνεν, ἢ βλοσυρὸν θῆρα καταπληκτικωτέροις ῥήμασι διερμήνευεν· ἐγὼ δὲ δύναμαι μὲν τὰ μεγάλα σμικροπρεπῶς διηγήσασθαι, καὶ πρὸς τὴν νῦν ἰδέαν τοῦ λόγου τὰ ὑπὲρ φύσιν μετενεγκεῖν, αἰσχύνομαι δὲ μὴ πρὸς τὸ οἰκεῖον ταῦτα μέγεθος ἐξαγγέλλων, ἀλλ' οἷς τὸν λόγον ποιοῦμαι μεταμορφῶν· ἄλλως τε καὶ πολλῶν ὄντων τῶν τοῦ λόγου μερῶν καὶ ποικίλων, καὶ τῶν μὲν ὑψηλοτέρων, τῶν δὲ ταπεινοτέρων, δεῖ τὸν τὰς ἰδέας τῶν ὑποθέσεων μεταχειριζόμενον, πρὸς τὰ
φ. 123. συμπίπτοντα καὶ τὴν λέξιν ἁρμόττειν καὶ τὴν διάνοιαν· ἐγὼ δὲ | πειράσομαι μὲν μετρίως ἀμφοῖν χρήσασθαι, ὅπῃ δὲ τὸ πρᾶγμα αὐτὸ ἀναγκάζει τὸν λόγον ὑψοῦσθαι, [οὐ ..... τοῦ μεγέθους] τὴν αἰτίαν δοτέον, ἀλλὰ τῷ τὰς πράξεις ἐργασαμένῳ ἀφ' ὧν οἱ λόγοι τὸ μέγεθος ἔχουσιν.

Εἶχε μὲν οὕτω ταῦτα, ἢ οὕτως ἐκεῖνος εἶχε πρὸς ταῦτα· ἠκο-

λούθει δὲ ταῖς θεωρίαις καὶ ταῖς ὑψώσεσι, πῶς ἂν εἴποιμι καὶ τὰ πράγματα· ποῦ ..... ταῦτα, ἀνδρὶ οὐ χρημάτων μόνον καὶ κτημάτων καταφρονήσαντι, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα περιφρονήσαντι; Καὶ γὰρ τἆλλα μεγαλοπρεπὴς ὢν τὸ ἦθος καὶ ὑψηλὸς τὴν διάνοιαν, ταῦτα μὲν ἄλλοις ἐδείκνυ ἔνθα καὶ μᾶλλον κέρδος ἐκείνῳ ..... τῶν ἀρετῶν· τὸ δὲ τῆς διαίτης εἶδος καὶ ἡ περὶ ἐκεῖνον δορυφορία, εἰ δεῖ οὕτως εἰπεῖν, καὶ ὁπόσα τούτοις ἕπεται, ἀσκητικὰ πάντα καὶ ὄρεια. Οὐ τάπητες ἀλουργοὶ εἰς ὕπνον ἐκείνῳ ἐξήρκουν, πολλοῦ γε καὶ δεῖ, ᾧ γε ῥάκος μὲν ἦν ....., ῥάκος δὲ τὸ περίβλημα, καὶ ἡ ἐναλλαγὴ τούτων, τὸ μετεστράφθαι· καὶ τό γε θαυμασιώτερον καὶ ὅ με πολλάκις [ὁρῶντα ἐξέπληττεν], ὅτι τῶν πολλῶν οὐδὲν ὄντα μετριώτερα, εἰ μὴ καὶ τούτων φαυλότερα, ἤνθει πως ἀπορρήτῳ κάλ[λει ἐκεῖ]νος, κρειττόνων καταδυναστεύων ὑλῶν, ἐκεῖνά πως ἀθιγῆ διεφύλαττεν. Οὐκ ὀψοποιοὶ τούτῳ ἀκριβεῖς τὴν [τέχνην τὰ ὄ]ψα κατακαρυκεύοντες, οὐδὲ πολυτελὴς αὐτῷ ἡ τράπεζα ἦν. Χρῶμαι δὲ περὶ ταῦτα τῷ λόγῳ, ἐφ' ὧν τοῖς ὀφθαλμοῖς ἐχρησάμην, καίτοι γε λαμπροτέρα μὲν ἦν ἡ δεξίωσις, καὶ τότε οἷος ἐκεῖνος προηρημένος με θεραπεύειν οὐ τῇ ..... μόνον, ἀλλὰ καὶ τῷ τῆς ὑποδοχῆς εἴδει, ἀλλ' οὖν οἱ ἄλες οὐ μετεμείβοντο· τὰς γὰρ δημοσίους πανηγύρεις ἀφι.... ἐκεῖνος, ἢ τῶν ἐν τέλει τινὰς ἐθεράπευεν, ἢ τοῖς περὶ τὰ θεῖα τὰς νενομισμένας ἀπεδίδου τιμάς· τότε γὰρ καὶ λαμπρότερον τῶν ἄλλων καθίστατο καὶ μακρῷ δαψιλέστερος καὶ πολυτελέστερος. Ὅπερ γὰρ ὁ λόγος ἄνω τῇ τοῦ ἀνδρὸς ἐπαληθεύων ψυχῇ πᾶσι πράγμασι κατάλληλον ἀπεδείκνυε, τοῦτο καὶ νῦν εἰπεῖν βούλεται. Ὅτι ὅπερ ἂν ἐθελήσειε, τοῦτο τοιοῦτον ἦν ὁποῖον οὐκ ἂν ἄλλο ἐγεγόνει, μᾶλλον δὲ ὃ δεῖ πράττειν ποιῶν, ἀπαράμιλλον τοῖς ἄλλοις εἰργάζετο.

Καὶ ἵνα ἀπὸ τῶν μεγίστων ἄρξωμαι· δέον πρὸς θεὸν πτεροῦσθαι, κατὰ τὰς ἀγγελικὰς δυνάμεις ἡ ἔπαρσις· δέον εὐχαῖς ἐντυγχάνειν, οὐδὲν ἐκείνῳ τὰ αἰσθητήρια σεσίγητο πάντα, ὁ νοῦς μόνος

ἐνήργει τῷ θείῳ πυρούμενος ἔρωτι· δέον καταβαίνειν ἐκεῖθεν μὴ κατιόντα καὶ ἀνθρώποις προσομιλεῖν θεῷ προσδιαλεγόμενον, τηνικαῦτα τούτῳ ἡ φύσις πρὸς νοῦν καὶ αἴσθησιν ἐμερίζετο, καὶ πάντα κατάλληλα καὶ πάντα ὑπερφυῆ.

Εἶτα δὴ ἀσκητικῷ βίῳ καὶ αὖθις πολυτελεῖ διδοὺς ἑαυτὸν, τὸ μὲν διὰ τὴν σύντροφον ἀρετὴν καὶ τοῦ καλοῦ ἕνεκα, τὸ δὲ διὰ τὴν συνήθειαν, ἐξήλλακτο πρὸς ἑκάτερα· καὶ εἴ μέν τις αὐτὸν ἴδοι πολιτικώτερον τοῖς πράγμασι χρώμενον, ἀπέγνω ἂν τὸν ἄνδρα πρὸς τὸ ἕτερον τῆς ζωῆς εἶδος, εἰ δ' ἀσκοῦντα θεάσαιτο, πρὸς τοῦτο μόνον κατάλληλος ἀπεφαίνετο· εἰ δ' ἄμφω πράττοντι παρεγένετο, θαυμάζων ἀπῄει. Τοσοῦτον ἦν αὐτῷ τὸ πρὸς πάντα προσκεχωρηκὸς, καὶ παρὰ πάντων αὐτῷ δεδομένον τὸ ὑπὲρ πάντας, οὐκ ἐν ἅπασιν, ἀλλ' εἴ τινες καὶ τῶν πάντων ἦν μετεχειρίσαντο προσφυῶς. Εἰ μὲν οὖν καί τινες ἄλλοι τῶν ὑπὲρ ἡμᾶς οὕτω τοῦ σώματος ἐπελάθοντο, ὡς κρείττους εἶναι τῶν ἐκεῖθεν ἀναγκαιοτήτων τῆς φύσεως, οὐ πάνυ τι οἶδα, τούτῳ δὲ καὶ τοῦτο ὑπερφυές· τὸ γάρ τοι καινότερον, οὐκ ἐπ' ἐκείνῳ ἦν τὸ μεμνῆσθαι τοῦτον τροφῆς, ἀλλ' ἐπ' αὐτῷ τὸ τρέφειν ἐκεῖνο, καὶ θεραπεύειν τοσοῦτον ὅσον αὐτῷ πρὸς συντονίαν καὶ οὐχ ἡδυπάθειαν ἐπαρκεῖν· οὐ γὰρ ὡς ἐπίβουλον ἤδη περιεφρόνει καὶ ἀπωθεῖτο, ἀλλ' ὡς συνεργὸν ἐθεράπευε, καὶ εἰρηνεύσαντι ἐτήρει τε τὰς σπονδὰς τούτῳ καὶ τῶν συνθηκῶν οὐκ ἐπελέληστο· τὸ δὲ καὶ μετρίως ἴσως θεραπευόμενον, αὖθις εἰρήνευε, καὶ ὥσπερ εὐεργετούμενον εὐγνωμόνως εἶχεν ἐκείνῳ, τὸ πνεῦμα ἐπιστηρίζον καὶ συνέχον τὴν δύναμιν.

Εἰ δὲ μοί τις τὰς εὐλόγους λέγει ἐξαγωγὰς, ἀντιπαραθήσομαι τούτῳ κἀγὼ τὰ οἰκεῖα, τὸ μὴ δεῖν ἐκ τοῦ δεσμοῦ τινὰ ἑαυτὸν λύειν, πρὶν ἂν ἐπιτάξῃ θεός. Ἡ γὰρ τοῦ θανάτου μελέτη, καὶ τὸ ἀφεστηκέναι σώματος, οὐ τοῦτό ἐστι τὸ διαιρεῖν τὴν φύσιν καὶ διασχίζειν τὴν συζυγίαν, καὶ διϊστᾶν ἀπ' ἀλλήλων ἃ θεὸς πρὸς τὸ λυσιτελοῦν ἑκάστῳ συνήνωσεν, ἀλλὰ τὸ μὴ τὴν ζώου ζωὴν ζῆν, ἀλλὰ τὴν τῆς ψυχῆς, καὶ ἐναντιοῦσθαι πρὸς τὴν φύσιν τοῦ σώμα-

τος, τὰς ὁρμὰς τῶν παθῶν ἀνακόπτοντα, ἢ τὰς ἐφόδους αὐτῶν ἀναστέλλοντα τό γε δὴ μετριώτατον. Ἔχω δέ τι καὶ πλέον ἐρεῖν περὶ τῆς συζυγίας ἡμῶν, καὶ οὐ πάνυ κατὰ τὴν προσηγορίαν τὸ πάρεργον. Ἀντιπεπονθότως πρὸς τὴν μίξιν τῶν ἐναντίων ἐστήκασι φύσις καὶ ψυχή· ἡ μὲν γὰρ φύσις σῶμα ἐν τοῖς μητρῴοις κόλποις ὑφάνασα, ψυχῇ τοῦτο προσέδησεν· ἡ δὲ ψυχὴ μιγεῖσα ἢ κραθεῖσα, ἢ οὐκ οἶδ' ὅτι λέγειν, τῷ σώματι, δεύτερον δεσμὸν πρὸς αὐτὸ ἔσχηκε τὴν ῥοπὴν τοῦ θελήματος· δύο φύσεις καὶ δύο δεσμοί, ἀλλ' ἐκεῖ μὲν σώματος πρὸς ψυχήν, ἐνταῦθα δὲ ψυχῆς πρὸς σῶμα· ὡς οὖν ἑκάτερον ἔδησεν, οὕτω καὶ τὴν λύσιν ποιεῖται. Ἡ μὲν οὖν φύσις, προστάξαντος αὖθις θεοῦ, τὸ σῶμα τῆς ψυχῆς ἀπολύει ἐν τῷ λεγομένῳ θανάτῳ· ἡ δὲ ψυχὴ διὰ φιλοσοφίας ἑαυτὴν χωρίζει τοῦ σώματος, μελετῶσα οὐ τὸν φυσικὸν καὶ συνεγνωσμένον θάνατον, ἀλλὰ τὸν ὑπερφυῆ καὶ κρείττονα, ὃν ἐκεῖνος οὐχ ἅπαξ ἀλλ' ἀεὶ ἐτεθνήκει, ἀπολύτους τὰς τῆς ψυχῆς ἐνεργείας πρὸς τὴν τῶν ὄντων θεωρίαν ποιούμενος.

Ὁ μὲν οὖν ἀπόστολος Παῦλος τοῖς πᾶσι τὰ πάντα γιγνόμενος, μικροῦ δεῖν τὰ πάντα ἐκέρδησεν· ἐκεῖνος δὲ καὶ τἀναντία πολλάκις ἑαυτῷ ποιῶν, τὸ αὐτὸ τέλος ἠνέγκατο· τὸ γὰρ πρὸς αὐτὸν εὔνουν, οὐκ ἐφ' οἷς πρὸς τοὺς ἁμαρτάνοντας εὐμενῶς εἶχεν, ἐνεπορεύετο, ἀλλ' ἐφ' οἷς οὐ συνωμολόγει τοῖς παίουσιν, τἄλλα δὲ τοῖς πράγμασιν ἁρμοζομένῳ | ἐν τούτῳ οὐκ εἶχεν αὐτῷ διαφορὰν ὁ πένης καὶ ὁ δυνάστης, ἀλλ' ὁ Φινεὲς ἐκεῖνος ἐπ' ἀμφοῖν. Ἕνα τὸν ζῆλον οὖν εἶχε καὶ τὴν θερμότητα· ὅς γε καὶ αὐτῷ τῷ βασιλεῖ, τἄλλα οἰκείως ἔχων ἐκείνῳ καὶ εὐμενῶς διακείμενος, οὐχ ὑπεχώρει . . . . . ἔστιν οὗ πράττοντι, οὐδ' ὑπεστέλλετο, ἀλλ' ὑπὲρ ἐκείνου πρὸς ἐκεῖνον διηγωνίζετο, καὶ τόν τε θυμὸν αὐτῷ κατέστελλε καὶ τὰς ἐπιθυμίας συνέστελλε· καὶ εἴ πού τινα συνθήκην παραβεβήκει, ὃ δὲ αὐτίκα ἐξήλεγχε, τὰ μὲν πρῶτα [...ὑστέρου] τὴν νομοθεσίαν ποιούμενος, οὕτω γὰρ εἰπεῖν οἰκειότερον, εἶτα δὴ ὀνειδίζων, καὶ τέλος εἰς ἔλεγχον ἐκπηγνύμενος . . . . . οὐκ ἔχει

φ. 128*.

τις ἐπαινεῖν ἀποχρώντως· ὅτι διορθούμενος μὲν ἐκεῖνον, βαρύς τε ἐδόκει καὶ δυσπαραίτητος· [εἰ γάρ τι] πρὸς αὐτὸν ὁ βασιλεὺς ἐξυβρίσειε, πράως τὰς ἀντιθέσεις ἐδέχετο, καὶ μεταβαλόντι πρὸς τὸ δέον τῷ αὐτοκράτορι, ἐπιλήσμων ἐγίγνετο παραυτίκα τῶν ἀντιρρήσεων· εἰ δὲ καὶ τὴν πρώτην ἀποπεμφθείη, οὐκ ἀπωλιγώρει εὐθὺς, οὐδ' ὅτι τὸ οἰκεῖον ἐπεπράχει, ἀρκούντως εἶχε τῶν ἀντιστάσεων· ἀλλ' ὅτι μὴ τὸ πᾶν ἐπεποιήκει, ἐσφάδαζέ τε αὐτῷ ἡ ψυχὴ καὶ δεινοῖς βέλεσιν ἐτιτρώσκετο· καὶ οὐκ ἦν αὐτῷ τὸ τραῦμα ἰάσιμον, εἰ μὴ τὸ τῆς παρρησίας ἔργον ἐργάσαιτο. Ὁ δὲ δυσμενῶς ἔχων τὰ πρῶτα, τοῦ θυμοῦ λήξαντος, καὶ ἐπανελθόντος τοῦ λογισμοῦ, οὐκ ἐφ' οἷς ἐπεσχέθη δυσχερῶς εἶχε πρὸς τὸν κωλύσαντα, ἀλλ' ὅτι πρὸς τὸ δέον μετεποιήθη, χάριν αὐτῷ εἶχε καὶ τῆς ἐπισχέσεως καὶ τῆς πρὸς τὸ καλὸν μεταθέσεως.

Ἐπεὶ δὲ τῶν μὲν ἄλλων καλῶν πάντες παραχωροῦσι τῷ μεγάλῳ τούτῳ πατρὶ, καὶ τῶν πάντων οὐδείς ἐστιν ὃς μὴ ἐκείνῳ ταῦτα χαρίσαιτο, ἔνιοι δὲ, οἷς ἐκεῖνος προσκεκρουκὼς βαρὺς ἔδοξε καὶ πρὸς ὀργὴν ἔμμονος, τοῦτο δὴ αὐτὸ τὴν βαρύτητα ἐκείνῳ προστρίβουσιν, ἐρῶ καὶ περὶ τούτου ὁπόσα ἐκείνῳ σύνοιδα, καὶ οἷα περὶ τοὺς πολλοὺς οἰκονομίᾳ ἐκέχρητο. Ἐκεῖνος ἐν μὲν καὶ πρῶτον ἐβούλετο ζήλῳ περὶ τοῦ καλοῦ θείῳ ῥωννύμενος [1], μηδένα τῶν πάντων ἀντιθέτως ἔχειν πρὸς ἀρετὴν, ἀλλ' ἕκαστον μορφοῦσθαι κατὰ θεὸν καὶ τοῖς ἐκείνου πάθεσι περιποιεῖσθαι εἰς σωτηρίαν, ἔπειτα τοὺς ἄλλως ἔχοντας βουλόμενος διορθοῦν, παιδαγωγικῶς τὸ πρᾶγμα μετήει, λόγῳ πλήττων καὶ συννοίᾳ προσώπου μαστίζων καὶ τῷ τῆς ὀφρύος ἤθει καταπλήττων καὶ σωφρονίζων, ταῦτα δὴ τὰ τῇ εὐαγγελικῇ διδασκαλίᾳ προσφυῆ καὶ κατάλληλα ἰδιώματα. Ἵνα δὲ μὴ τοῖς πολλοῖς οἱ χαρακτῆρες οὗτοι ὑποκρίσεις δόξαιεν καὶ πλάσματα, μὴ οὔσης ἀγαναικτήσεως, τὸν καιρὸν ἐλάμβανε συνεργὸν πρὸς τὴν παίδευσιν, καὶ οὐ ταχὺς ἦν μετα-

1. Ἐν τῷ κώδικι διορθοῦται : πυρούμενος.

θέσθαι τὸ προσωπεῖον. Ὅθεν καὶ τοῖς ἀγνοοῦσι τὸ τοῦ ἀνδρὸς ἦθος καὶ τὸ ἀκριβὲς τῆς οἰκονομίας, οὐ πλάσις, ἀλήθεια δὲ τὸ φαινόμενον ἐνομίζετο, καὶ τῷ μακρῷ χρόνῳ παιδαγωγούμενοι πρὸς τὴν τοῦ καλοῦ ἕξιν ἀποκαθίσταντο. Τοῦτο λανθάνον ἐνίους δύσοργον τὸν ἄνδρα ἐποίει φαίνεσθαι καὶ πρὸς τὸ εὐμενὲς δυσμετάθετον.

Καὶ ἵνα μή τισι δόξω τὸν λόγον οἰκονομῶν, ἀλλ' οὐκ αὐτὸ τὸ ἀληθὲς ἐξαγγέλλων, ἐρῶ τι καὶ τῶν ἀπορρήτων τοῖς ἄλλοις. Ἐθάρρησά ποτε τῷ μεγάλῳ τούτῳ πατρὶ τὴν περὶ τοῦ τοιούτου πάθους ἐρώτησιν (ἐζηλοτύπουν γὰρ αὐτὸν ἄχρι καὶ παροραμάτων), καὶ ὅτου ἕνεκα τἄλλα χρηστότητι βρύων ἐμφύτῳ, τούτῳ μόνῳ πρὸς τὴν λοιπὴν τῆς ψυχῆς αὐτοῦ ἰδέαν μετηλλᾶχθαι δοκεῖ. Ὁ δέ μοι προσχὼν ἠρέμα τὴν κεφαλὴν, « ἀλλ' οὐκ ἄν, φησὶ, τοὺς πολλοὺς ἐκερδήσαμεν, εἰ μὴ τὴν οἰκονομίαν ταύτην ἐσχήκαμεν· ἐδεδίειν δ' ἂν καὶ αὐτὸς τὸ ἔργον, εἰ μή μοι παντάπασιν ἐλευθέρα τοῦ πάθους ἐτύγχανεν ἡ ψυχή. »

Οὕτως ἐκεῖνος ἀνάλωτος πᾶσι καὶ ἄτρωτος, καὶ λαβαῖς ἁπάσαις ἄληπτος καὶ ὑπερφυής· ἀλλ' ὃ μὲν κατειλήφαμεν τοῦ ἀνδρὸς, τοῦτο θαυμάζομεν, οὗ δὲ μὴ ἐφικνούμεθα, πρὸς τοῦτο διαπορούμεθα, τῇ δὲ καλλίστῃ τῶν ὡρῶν οὐ προσέχομεν, οὐδ' ὅτι καὶ τοῦ ἔαρος πολλάκις ἀστράπτει θεὸς, καὶ χειμῶνος αὖθις λύει τὸ κατηφὲς τῶν ψυχῶν, αἰθρίαν παραδόξως ποιῶν. Καὶ Μωϋσῆς μὲν ἄνθρωπος ὢν καὶ τὰς κρείττους οἰκονομίας ἠγνοηκὼς, εὐθὺς ὑπὲρ τῆς ἀδελφῆς πληγείσης δεῖται θεοῦ, ὁ δὲ ἐπονειδίζει τούτῳ τὴν τῆς εὐχῆς ταχυτῆτα καὶ ἀνθρωπικῷ χρῆται πρὸς αὐτὸν παραδείγματι.

Ἔγωγ' οὖν οὔτε τὸ εὐμετάβολον φύσει τῆς ψυχῆς ἔχω ἰδίωμα, οὔτε εἴ τις μνησικακοίη τοῖς ἁμαρτήσασιν· εἰ δὲ τὸ μέν τινες σταθερότητα λέγοιεν, τὸ δὲ χρηστότητα ὀνομάζοιεν, ἀλλ' εἴ τις λογισμῷ πρὸς ἄμφω χρῆται καὶ κρίσει, καὶ αὐτὸς ἀνόμοιος ἑαυτῷ φαίνεται, οὗτος ἐμοὶ καὶ ἐγκωμίων καὶ θαύματος ἄξιος. Ὅτι δὲ μήτε ἦθος ἐκείνῳ τὸ πρᾶγμα, μήτε πάθος, ἀλλ' ἀκριβὴς παιδα-

γωγία καὶ οἰκονομίας εἶδος ἀπόρρητον, αὐτὸς ἑαυτῷ ἀποχρῶσα μαρτυρία καθέστηκεν, οἷς προσκεκρούκει ὑπὲρ αὐτῶν πολλάκις εἴ τί που συμβαίη ἐν τοῖς αὐτοῖς καιροῖς διαγωνισάμενος. Εἰ δ' ἄλλως ἦν, ἔδει που πάντως καὶ συνεμπίπτειν, ἢ τὸν θυμὸν ἐπαυξάνειν, εἰ οὕτως εἶχε τοῦ αὐτοκράτορος. Ἀλλ' οὐχ οὕτως ἐκεῖνος, πολλοῦ γε καὶ δεῖ· ἀλλ' ὥσπερ οὐκ εἰδὼς κινδυνεύοντας ἐκείνους ἐν τοῖς καιροῖς, οὕτως αὐτοῖς τὴν παρ' ἑαυτοῦ ῥοπὴν ἐχαρίζετο. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος πρὸς τοὺς ἀνεπαισθήτους τῶν ἐκείνου καλῶν.

Ὥσπερ δὲ ἑκάστῳ τῶν ἐπισήμων εἰς ἀρετὴν καὶ μεγάλων ἀνδρῶν, αὕτη τῶν ἀρετῶν ἢ ἐκείνη κατ' ἐξαίρετον μεμαρτύρηται, καὶ προέχει ταύτῃ τῶν ἄλλων ταῖς ἄλλαις ἀνθαμιλλώμενος, οὕτω δὴ καὶ τοῦτον τὸ ἰδιαίτατον τῶν ἐκείνου, ἡ πραότης ἐχαρακτήριζεν, εἴπετο δὲ ταύτῃ καὶ τὸ μεγαλοπρεπὲς καὶ φιλότιμον· τοῦτο δὲ οὐκ ἂν ἄλλως ὑμῖν γνωσθείη ὁπόσον ἐστὶν, εἰ μή τι τῶν ἐκείνου καλῶν περὶ τοῦτο τὸ μέρος ἀπολαβὼν, ὑμῖν διηγήσομαι· ἔχει
φ. 124. γὰρ καὶ ἄλλως ὁ λόγος | ἡδεῖαν διατριβὴν καὶ τρυφήν.

Τῷ θείῳ τῶν Ἀποστόλων νεῷ ἐτήσιος ἐτελεῖτο πανήγυρις, καθ' ἣν ἁπαντᾷν ἔδει καὶ τὸν ἀρχιερέα τῆς πόλεως, καὶ ὃς παρῆν μετὰ τῆς συνήθους δορυφορίας καὶ θειοτέρας λαμπρότητος· εἶτα δὴ ὅσα εἰκὸς ἐν τούτῳ προσομιλήσας θεῷ, ἄνω τε τοῦτον καὶ πέριξ διήει, ταῖς τε γραφαῖς ἐντρυφῶν, καὶ τὴν χεῖρα θαυμάζων τὴν ἱστορήσασαν· καὶ γάρ ἐστιν ἄλλως τὰ ἐκεῖσε θεάματα, φιλοκάλων ψυχῆς ἐντρυφήματα, οὐ γὰρ πρὸς ἀκριβῆ τέχνην μόνον συνεληλύθει καὶ διηρέθη τὰ χρώματα, ἀλλὰ καὶ λόγοι τῆς κρείττονος ἐπιστήμης, εἴ τις ἀκριβῶς θεωρεῖν ἐθέλοι, ἐν ταῖς εἰκόσιν ἀπηκριβώθησαν. Ὡς δὲ ἀρκούντως εἶχε τῆς θέας τε καὶ τοῦ θαύματος, ἐκ μετεώρου αὖθις πρὸς τὸν νεὼν προὔκυψεν, ἑαυτὸν ἐφιστάνων ἅπασιν ὅσοι τε τοῦ βήματος ἔνδοθεν καὶ ὅσοι ἔξω περιειστήκεσαν· οἱ μὲν οὖν ἄλλοι ξύμπαντες ἔφριξαν θεασάμενοι, καὶ οἱ μὲν τῶν θώκων ἀνέστησαν, ὅσοι δὲ αὖθις ἐπὶ τοῦ ὀρθοῦ σχήματος ἑστηκότας ἦσαν,

τάς τε χεῖρας συνέστειλαν, καὶ τὼ πόδε ἀτρέμα συνήγαγον· ἔδοξε γὰρ αὐτοῖς ἐξ ἀπόπτου θεοειδέστερος ὁ πατήρ.

Ἀλλ' ἦν ἄρα τις κἀν τούτοις ὥσπερ κἀν τοῖς ἀποστασιωτέροις, μὴ ἐρυθριῶν τὸ ἀναισχυντεῖν, ἀλλ' ἀντικαθήμενος τῷ δεσπότῃ κατὰ πρόσωπον ἑστηκότι. Τὸ μὲν οὖν πρῶτον παρόραμα τὸ τοῦ ἀνδρὸς πρᾶγμα οἰόμενος, οὔτε ἐμέμψατο, οὔτε ἄλλως διήλεγξεν· ἐπεὶ δὲ τὸ τοῦ ἀνδρὸς θράσος ἐγνώκει καὶ ἤδη τὸ αὔθαδες ὑφεώρακεν, ἄγει τοῦτον πρὸς ἑαυτὸν, τέως μὲν οὐ μετὰ προσηνοῦς σχήματος, ἀλλ' ἱεροκήρυκες τοῦτον ὡς ὑπὸ δίκην ἄγοντες συνήλαυνον κατατωθάζοντες καὶ ὑβρίζοντες. Ὁ δὲ ἐπεπήγει αὐτίκα, καὶ πρὸ τῆς κρίσεως μικροῦ δεῖν ἐτελεύτα, καὶ οὐκ εἶχεν ὅπως ἂν παρασταίη τῷ δικαστῇ καὶ δεσπότῃ· ᾤετο γὰρ εὐθὺς ὄψεσθαι πυρὸς ποταμὸν πρὸ τοῦ βήματος ἕλκοντα καὶ σκότος βαθὺ, καὶ τοὺς ἐφεστηκότας ἀγγέλους τὸ πεπραγμένον αὐτῷ ἐξελέγχοντας. Ὡς δὲ καὶ πλησίον ἐγεγόνει τοῦ δεσποτικοῦ βήματος, ὁ μὲν εἱστήκει καταπεπληγμένος καὶ τὰ δεινότατα προσδοκῶν, ὁ δὲ (καὶ θέα μοι ψυχὴν θειοτέραν καὶ ἐγκωμίων ὑψηλοτέραν!) πραοτέραν καὶ τοῦ συνήθους τὴν γλῶτταν ῥυθμίσας, καὶ οὐδέν τι προσενεγκὼν ὧν ἐτετολμήκει, οὐδὲ τὸ βραχύτατον ἐξελέγξας, εἰς ἑαυτόν τε ἠρεμαίᾳ τῇ φωνῇ προσκαλεσάμενος (ὦ τοῦ θαύματος!) οὐ σπένδεται μόνον τῷ ὑβριστῇ, ἀλλὰ καὶ τὴν χεῖρα δίδωσι καὶ τὸ πνεῦμα, καὶ τοῦ ἐκκλησιαστικοῦ μέρος ποιεῖται πληρώματος. Τοῦτο οὐκ οἶδα εἴ τις εἰς βαρύτητα μετενέγκῃ, ἀλλὰ μὴ καθαρὰν εἴπῃ πραότητα καὶ χρηστότητα· πῶς δὲ, οἷς δέον ὑβρίζουσιν ἀντοργιεῖσθαι, τούτους μὲν καὶ χαρίτων ᾤετο δεῖν ἀξιοῦν μειζόνων, τῶν δέ γε ἄλλως ἡμαρτηκότων μὴ πρὸς οἰκονομίαν ποιεῖσθαι τὴν ἐκ τοῦ καιροῦ ἀγανάκτησιν, ἀλλ' ὥς τε οἰκεῖον ψυχῆς πάθος ἀποπληροῦν; ᾧ γὰρ τὸ μεῖζον κακὸν εἰς μεγαλοψυχίας ἤρκεσεν ἀφορμὴν καὶ πραότητος γέγονεν αἴτιον, οὗτος πῶς οὐκ ἂν τῷ ἐλάττονι τὴν αὐτὴν ἢ καὶ τὴν κρείττονα ἕξιν τοῦ καλοῦ ἐνεδείξατο, εἰ μή τι μεῖζον ἦν τὸ οἰκονομούμενον καὶ τοῖς πολλοῖς ἀκατάληπτον; Πῶς

δ' ἂν ἐκεῖνος μνησικακεῖν τισιν εἵλετο, ὃς οὐδὲ τὴν πρώτην πάθος εἰσεδέχετο τῇ ψυχῇ; Εἰ γὰρ ἔμμονος τοῦτο ὀργὴ, πῶς ἂν εἰκὸς ἐκείνῳ ἐντίκτεσθαι μηδ' ὀργιζομένῳ παντάπασιν; Εἰ δέ τις τἀληθὲς σκοπεῖν ἐθέλει, τίς τῶν πάντων ὤφθη τούτου φιλανθρωπότερος, ἢ τίς ὑπερκαμεῖν εἵλετο τῶν πολλῶν; Τίς δὲ οὕτω συνεκινδύνευε μὲν κινδυνεύουσι, ταλαιπωρουμένοις δὲ συνεταλαιπώρει τοῖς λογισμοῖς, καὶ τιτρωσκομένοις κατετιτρώσκετο; ὅς γε ἡδέως τῆς τῶν πάντων ἐλευθερίας καὶ σωτηρίας ἑαυτὸν προὔδωκεν ἄν, τῆς Παύλου φωνῆς αὐτὸ δὴ τὸ ἔργον ποιῶν! Ἐπεὶ δὲ φιλανθρωπίας ἐμνήσθην καὶ τῆς τοῦ ἀνδρὸς περὶ τὴν ἀρετὴν ταύτην ἐπιμελείας τε καὶ σπουδῆς, βούλομαί τι καὶ περὶ τούτου τῷ λόγῳ ἐμφιλοχωρῆσαι βραχὺ, καὶ ἡδίους ὑμᾶς ποιῆσαι τῷ διηγήματι.

Ἀτυχῶς εἶχέ ποτε τὰ τῆς βασιλείας τῷ αὐτοκράτορι· τῶν γάρ τις τοῦ κατ' ἐκεῖνον γένους ἐκ τῆς ἑσπέρας ἐπ' ἐκεῖνον σὺν βαρεῖ στρατεύματι ἤλαυνεν· εἰδόσι λέγω τὸν θυμὸν τοῦ θηρὸς καὶ τὴν ὁρμὴν ἐκείνην καὶ ἀνυπόστατον ἔφοδον· ἠτύχει δὲ τῷ βασιλεῖ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ τὸ σύμπαν στρατόπεδον ἐπὶ τοῦ ἑτέρου τμήματος ἦν. Ὁ μὲν οὖν δυσὶ τεθαρρηκὼς, ἁρπάζει τὴν ἔφοδον τῷ τε πλήθει τοῦ οἰκείου στρατεύματος, καὶ τῷ εἰδέναι τὸν αὐτοκράτορα μηδεμίαν πρὸς ἐκεῖνον ἔχειν ἀντίρροπον στρατιάν· ὁ μὲν οὖν ἅπαντα ἦγέ τε καὶ ἔφερε, μικροῦ δεῖν καὶ ἡ πόλις αὐτῷ ἀνάρπαστος ἦν· ἡμῖν δὲ τοῦτο μόνον πρὸς τὸ μὴ ἀθρόον ἀναρπασθῆναι αὔταρκες ἦν, τῶν τειχῶν ἡ περιβολή· ἐῴκει γοῦν ξυγκεκλεισμένῳ ὁ αὐτοκράτωρ, ἡ γάρ τοι πολιορκία λαμπρά. Ἐπεὶ δὲ καί τινι μέρει τῶν ἐκ τοῦ στρατοπέδου (καταλέλειπτο γὰρ βραχεῖα μερὶς τοῦ ὅλου συντάγματος) πρὸς τοὺς πολεμίους ἀντιστῆναι διενοήθημεν, ἐνίων τοῦτο τῶν περὶ τὰς στρατηγίας πεισάντων τὸν αὐτοκράτορα, αὐτίκα ἐπιρραξάντων ἐκείνων, εἰς τοὐπίσω μεταβαλόντες καὶ συγκλεισθέντες καὶ τοῖς ἐντὸς τειχῶν φυγῆς γεγόναμεν πρόξενοι, καὶ εἰ μή τις τότε τοὺς ἤδη νενικηκότας θειοτέρα δύναμις ἀνεῖρξε τοῦ πρόσω χωρεῖν, αὔτανδρος ἂν ἑαλώκει ἡ μεγαλόπολις,

καὶ πάντα γεγόνασι δορυάλωτα. Τοιούτου τοίνυν δεινοῦ συρραγέντος τῷ αὐτοκράτορι, οὐδὲν τῶν ἄλλων εἰς παρηγορίαν ἐδόκει αὔταρκες, πλὴν τῆς ἐκείνου γλώττης, ἵν' οὕτως εἴποιμι | καὶ χειρός· ἀνε- φ. 124*.
κτᾶτο μικροψυχοῦντα, ἀνελάμβανε κατολιγωροῦντα, κατηγγυᾶτο τὴν σωτηρίαν, περὶ τοῦ μέλλοντος προὔλεγε, κλονούμενον συνεστήριζε, μεγαλόψυχον ἀπειργάζετο μικροῦ δεῖν ἀποπνέοντα. Ἐπεὶ δὲ κατὰ τὰς ἐπαγγελίας ἐφ' ἑαυτοὺς ἐστράφη τὰ τόξα τῶν ἐναντίων, καὶ ἡ πολύπλοκος τῆς τυραννίδος σειρὰ διαλύεσθαι ἤρξατο, καὶ διερρήγνυτο ἡ περιβολὴ, καὶ οἱ μὲν διελύθησαν, ὁ δέ γε τύραννος συγκλεισθεὶς ἱκέτης τε ἐγεγόνει καὶ δέσμιος ἐπανήχθη τῷ βασιλεῖ, καὶ τῶν φόβων λυθέντων τῷ κρατοῦντι, ὁ θυμὸς ὑπανήπτετο καὶ ἤδη συνέλεγε τὰ τετολμημένα, καὶ διασπάσασθαι πάντας ἐβούλετό τε καὶ ἐβεβούλευτο· ὁ δὲ, αὐτίκα τῶν ἄλλων καὶ αὐτοῦ τοῦ καιροῦ κατεξαναστὰς, ὑπὲρ τῶν τυραννευσάντων τοῦ τυραννευθέντος ἐδεῖτο καὶ τὴν σωτηρίαν αὐτοῖς ἐμνηστεύετο· καὶ μονονοὺ εἰς θάλασσαν ἀπωσθῆναι μέλλοντας, ἢ πυρὸς ἔργον γενήσεσθαι, ἢ ζῶντας καταχωσθῆναι τῇ γῇ, ἠλευθέρωσέ τε τῶν φρικωδεστάτων καὶ πόρον αὐτοῖς ἐλευθερίας παρὰ δόξαν εὕρατο· εἶτα δὴ μετὰ τὰς ἀφέσεις καὶ τὰς ἵν' οὕτως εἴπω σπονδὰς, βραχύ τι παρακινηθέντα τὸν αὐτοκράτορα, οὕτω συνέστειλεν, ὥστε καὶ δείσαντα περὶ ὧν καὶ πρότερον εἰς ἑνίους ἐπεποιήκει, ἀπεγνωκέναι τὴν ἐφ' οἷς οὐκ ἀρκούντως ἐτιμωρήσατο μεταμέλειαν. Ἦσαν δὲ οὗτοι αἱ δύο τοῦ κακοῦ κεφαλαὶ, ἃς μετὰ τὴν τομὴν ὥσπερ ὕδρας τμήματα ἐπικαύσειν μέλλοντα, ἀνεῖρξεν ὁ ἀρχιερεὺς τοῦ βουλήματος, ἢ τἀληθέστερον εἰπεῖν, τὸ μὲν βούλευμα οὐκ ἐγνώκει (ἐπεὶ οὐδ' ἂν προήει πρὸς τὴν τιμωρίαν ὁ βασιλεὺς), ἀνασκολοπιζόμενον δὴ ἤδη τὸν τυραννήσαντα φθάσας οὐχ ἡσύχῳ ποδὶ, οὐδὲ κεκρυμμένως καὶ ἀψοφητὶ, ἀλλ' ἤδη που καὶ τεθορυβημένως, ἐκεῖνόν τε τοῦ ξύλου καθηρήκει μετέωρον ἤδη γεγονότα, καὶ τὸν αὐτοκράτορα ἔτι μᾶλλον τῷ θυμῷ ἐπαρθέντα κατήνεγκεν. Εἰ μὲν οὖν οὐ τὸ ἔσχατον τοῦτο μέρος φιλανθρωπίας, ζητῶ τὸ πλέον, κἂν τις δείξῃ, στέρξω καὶ σιωπή-

σομαι· εἰ δ' οὖν, ἐκείνῳ μόνῳ πληρεστάτην τὴν ἀρετὴν ἀποδώμι.

Ἀλλά με μικροῦ δεῖν τὸ μέγιστον τῶν ἐκείνου διέλαθε· τ τοῦτο; Ὁ περὶ τῆς πίστεως ζῆλος, θερμὸς οὕτως ὢν καὶ διάπυρος, ὡς τήν τε οἰκείαν καταπιμπρᾶν ψυχὴν ἀρρήτῳ πυρὶ, καὶ τὰ ἀλλοτρίας καταφλέγειν τε καὶ ἀποτεφροῦν ξένῳ καὶ παραδόξῳ κ ἐξ οὐρανῶν οὐκ ἐπὶ τοὺς τῆς αἰσχύνης ἱερεῖς ῥέοντι. Ὃ δὲ περ τούτου ἐρεῖν βούλομαι, ὑμῖν μὲν ξύμπασιν ἐγνωσμένον καὶ πρόδηλον, πρὸς δὲ τοὺς ἐπιγιγνομένους ὁ λόγος, ἵν' ἔχοιεν ἐντεῦθεν μᾶλλον τὸν ἄνδρα θαυμάζειν τῆς περὶ τὰ θεῖα θερμότητος.

Στασιάζει πρὸς τὴν νεωτέραν Ῥώμην ἡ πρεσβυτέρα, οὐ περὶ μικρῶν οὐδὲ παροράσθαι ἀξίων, ἀλλὰ περὶ τοῦ πρώτου λόγου τῆς εὐσεβείας, καὶ τῆς περὶ τὴν ἁγίαν τριάδα θεολογίας· καὶ δοκοῦσι μὲν οὗτοι εὖ τε λέγειν καὶ πρὸς οὐδὲν μέγα διενηνέχθαι ἡμῖν, ἔστι δὲ παντάπασιν ὁ λόγος αὐτοῖς ἀσεβὴς, καὶ τῆς πρὸς ἄμφω διαφορᾶς οὐκ οἶδα εἴ τι μεῖζον ἄλλο καθεστήκοι· δέον γὰρ ἐκ τοῦ πατρὸς προάγειν καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα κατὰ τὴν ἰδιότητα ἕκαστον, καὶ αὖθις πρὸς ἐκεῖνον ἐπανάγειν τῷ λόγῳ τὰ ἐκεῖθεν αὐγάσαντα, κἀντεῦθεν ἰσότιμα καὶ δογματίζειν καὶ ὀνομάζειν τὰ πρόσωπα, οἱ δὲ τὸν μὲν πατέρα ἀμφοῖν προϊστῶσι καλῶς, τὸν δὲ υἱὸν αὐτῷ καὶ τὸ πνεῦμα ὑποτάττοντες, τὸν μὲν ἐκ τοῦ πατρὸς, τὸ δὲ πνεῦμα τρόπον τινὰ ὑφιστῶσιν ἐκ τοῦ υἱοῦ. Τοῦτο δὲ τὸ ἀσέβημα Ἄρειος μὲν κεκρυμμένως ἐξεῦρεν, Εὐνόμιος δὲ ἀκριβέστερον διωργάνωσεν (εἰ δεῖ λέγειν ἀκρίβειαν τὴν περισσοτέραν ἀσέβειαν), τέχνην ἀσεβῶν δογμάτων τὸν λόγον πεποιημένος. Τοῖς μὲν οὖν ἄλλοις οὐδὲν ἐδόκει τὸ πρᾶγμα δεινὸν, οὓς δὴ καὶ προβαῖνον ἴσως ἐλάνθανε· τῷ δὲ τῆς εὐσεβείας προμάχῳ καὶ προθύμῳ τοῦ θείου λόγου ἀγωνιστῇ, οὐκ ἀνεκτὸν ἐλογίζετο· ὅθεν προὔκαμέ τε τῆς μητροπόλεως καὶ ὑπὲρ ἐκείνης πρὸς ἐκείνην πολλάκις ἠκριβολογήσατο, καὶ θερμότερον ἢ περὶ τἆλλα διηγωνίσατο, νουθετῶν, ἐπιστέλλων, παρακαλῶν, γραφικαῖς χρώμενος ἀποδείξεσι, πλάττων συλλογισμούς,

πᾶσι τρόποις καὶ λογισμοῖς χρώμενος, ὅπως ἂν σύμπνουν δείξῃ τὸ γένος, καὶ μὴ τὴν μητέρα ὁρῴη τοῖς οἰκείοις σπλάγχνοις ἀνθισταμένην· ὡς δ' οὐκ ἔπειθε πάντα πράττων, ἀλλ' ἐγεγόνεισαν οἱ παιδαγωγούμενοι θρασύτεροι καὶ ἀναισχυντότεροι, τηνικαῦτα καὶ αὐτὸς ἀναρρήγνυται, καὶ τῇ ἀναισχυντίᾳ τῆς ἀσεβείας τῆς εὐσεβείας ἀντιτίθησι τὴν ἀκρίβειαν. Πῶς καὶ τίνα τρόπον; καὶ γὰρ οὐδὲ τοῦτο ἄχαρι πρὸς διήγησιν.

Τετολμήκασί τινες τῶν ἐκεῖσε τὰ πρῶτα τῆς τε τῶν πολλῶν προστασίας καὶ αὐτοῦ δὴ τοῦ λόγου καὶ τῆς περὶ τὰ δόγματα ἀγχινοίας δρόμον πρὸς ἡμᾶς κατατεῖναι καὶ ὑπὲρ ὧν ἔδοξαν διαγωνίσασθαι κατὰ πρόσωπον παρεσκευασμένοις συλλογισμοῖς, τὸ θεῖον παραναγινώσκοντες Εὐαγγέλιον, τὰς ἱερὰς βίβλους ἐπὶ τὸ δόξαν ἑαυτοῖς καπηλεύοντες, τριθεῖται τὴν αἵρεσιν, ἢ οὐδὲ τοῦτο· πῶς γὰρ ἂν εἴη θεὸς τὸ ἐκ τῆς οἰκείας στερήσεως παραγόμενον, ἢ πῶς τοῦτο, τὸ ἑτέρῳ μέσῳ καὶ κρείττονι διαιρούμενον; ἢ αὖθις, πῶς ἕνα θεὸν εἶποιεν σέβεσθαι οἱ μὴ πρὸς τὸ πρῶτον αἴτιον τὰ ἐξ αὐτοῦ ἐπανάγοντες, ἀλλὰ διαιροῦντες καὶ κατατέμνοντες, καὶ εἰς ἀνισότητα διασπαράττοντες τὴν πρώτην ἰσότητα; Οἳ μὲν οὖν μετὰ τοιούτων ἀσεβημάτων ἀπήντησαν πρὸς ἡμᾶς· ὡς δ' οὐκ εἶχον οὐδένα καταγωνίσασθαι, εἶτα δὴ καὶ τῷ πρωταγωνιστῇ τοῦ ἡμετέρου συρραγέντες στρατεύματος, τῷ μεγάλῳ τούτῳ πατρὶ, ἐκ πρώτης εὐθὺς ἠττήθησαν προσβολῆς, καὶ μετεστράφησαν ἀθρόοι πρὸς φυγὴν ἀποκλίναντες· αἰσχυνόμενοι ὥσπερ τὴν ἀπροσδόκητον ἧττάν τε καὶ τροπὴν, συμμίξαι μὲν αὖθις καὶ εἰς χεῖρας ἐλθεῖν οὐκ ἐτόλμησαν, πόρρω δὲ γεγονότες τοῦ ἡμετέρου συνασπισμοῦ, βέλη τινὰ λόγων ἀπετόξευσαν καθ' ἡμῶν· τὰ δ' ἀντιτύποις συνεισπεσόντα, | ἀπεκρούσθησάν τε εὐθὺς καὶ ἐπὶ τοὺς βάλλοντας ἀντεστράφησαν. Ὡς γὰρ ἐγνώκει τὸν λόγον, εἰπεῖν δὲ οὕτω καὶ τὸν λόχον, ὁ μέγας πατὴρ, τοῦτόν τε διασπαράττει, κἀκείνους τρόποις παντοδαποῖς ἀσεβήσαντας, τοῦ θείου τε ἀφορίζει πληρώματος καὶ ποιεῖται εὐθὺς ὑπὸ τὴν φρικωδεστάτην ἀράν. Καὶ τοῦτο φ. 125.

δὲ θαυμάζειν ἔχων ἐγὼ, ἐκεῖνο παραβάλλων καὶ οἷς εἶχε περὶ τὰ θεῖα, ἔτι πλέον τεθαύμακα, εἴ τι τούτου μεῖζον ἐκεῖνος ἐφεῦρέ τε καὶ διωρίσατο. Σκοπεῖτε δὲ ὡς ἔχω περὶ τοῦ πράγματος. Ὁ τῆς εὐσεβείας λόγος πᾶσιν ἡμῖν ἁπλῶς πρόκειται ὅσοι τῷ εὐαγγελικῷ λόγῳ ἐκ τῆς διασπορᾶς εἰς τὴν αὐτὴν πίστιν συνεληλύθειμεν, καὶ οὐδεὶς ἄτερος θατέρου τὴν εὐσέβειαν μείζων καὶ ὑψηλότερος· ἀλλὰ τῷ μὲν λόγῳ διαφέρουσιν ἔνιοι τῶν πολλῶν καὶ ἀκριβοῦσιν ἥ περ ἐκεῖνοι τὰ δόγματα, τῇ δὲ ἁπλῇ τοῦ θειοτέρου λόγου παραδοχῇ ἴσοι πάντες ἐσμὲν καὶ ὁμότιμοι. Ἐκεῖνος δὲ, ὅτι μὲν τῶν ἄλλων κάλλιον ἤδει τὰ δόγματα ὡς ὁμολογούμενον πᾶσιν ἀφίημι· οὐ μὴν ἐντεῦθεν αὐτὸν ὑπὲρ ἅπαντας τίθεμαι, ἀλλ' ἑτέρῳ τινὶ κρείττονι, ὃ βουλόμενος ἐρεῖν οὐ δεδύνημαι, ἐπεὶ μηδὲ πᾶσιν ἡ γλῶττα νοήμασιν ἐξαρκεῖ· ἐρῶ δὲ ὡς οἷόν τε τὸ ἐκείνου πάθος περὶ τὰ θεῖα καὶ ὅπερ ἐγὼ πολλάκις κατανενόηκα. Οὐκ ἐξ ἀκριβείας δογμάτων μόνης ἐκεῖνος προσῳκείωτο τῷ θεῷ, ἢ ἵνα τὸ ἄρρητον μετριώτερον ἀκριβώσωμαι, ἀπορρήτως καὶ ὑπὲρ φύσιν ἐξεκρέματο τοῦ θείου, οὐκ οἶδα εἴτε πρὸ τῶν δογμάτων, εἴτε μετὰ τὴν τούτων ἀκρίβειαν· καὶ τοῖς μὲν ἀποκρύφοις νοήμασιν ἀεὶ ἐκείνου ἐξήρτητο, ἐδείκνυ δὲ τὸ πάθος κἀν τοῖς συμβόλοις, καὶ μάλιστα ὁπηνίκα ὁ λόγος ἀρχιερατικαῖς πτέρυξι προήει δορυφορούμενος· αὐτίκα γὰρ τόν τε ὀφθαλμὸν ἐκεῖσε ἀπήρειδε, τήν τε καρδίαν προσανετίθει τοῖς τελουμένοις, καὶ ὑπὲρ πῆχυν τῆς γῆς ἀπῃώρητο. Προήχθη ποτὲ ἀνθρωπικώτερον μὲν, συμπαθέστερον δὲ λόγον ἐρεῖν, ὁρῶν τὸν λόγον ἀδιαίρετον μὲν τῷ μερισμῷ μένοντα, ἑνοῦντα δὲ τοὺς διεστηκότας ἑαυτῷ τῇ ταὐτότητι τῆς κρείττονος μεταλήψεως. Τίς δὲ ὁ λόγος; εὐγνώμοσι δὲ ἀκοαῖς αὐτὸν παρατίθημι. « Πονηρὸς μὲν γὰρ ἔφησεν, ὁ προδότης καὶ πάντων ἀνθρώπων ἀγνωμονέστατος, ἀλλὰ καὶ τῆς ἡμετέρας σωτηρίας τρόπον τινὰ αἰτιώτατος· καὶ μισῶ μὲν τοῦτον τῆς προδοσίας, πῶς γὰρ οὔ; οἰκτείρω δέ πως ὅτι καὶ σωτηρίας γέγονεν ἀφορμή. » Τοῦτο δὲ οὐχ ἁπλῶς εἴρηκα, οὐδ' ἐκείνῳ δόξαν ἐντεῦθεν περιποιούμενος

μείζονα, ἀλλ' ἵν' ἐνδείξαιμι τοῦ ἀνδρὸς τὸν ἔμφυτον περὶ τὰ κρείττονα ἔρωτα. Τί γὰρ ἐμοὶ εἴ τις λογογραφεῖ μὲν τὴν εὐσέβειαν, καὶ ἀκριβοῦται τὰ δόγματα, καὶ πλέκει κατὰ τῶν ἀσεβούντων συλλογισμούς, καὶ περιττός ἐστι τὴν περὶ τοῦτο σοφίαν, οὐ πάνυ δὲ εὐλαβῶς ἔχει περὶ ταῦτα, ἀλλ' ὥσπερ ὑψηλοῦ τε καὶ μεταρσίως καὶ τὴν γλῶτταν τοῖς μεγίστοις ἀφοσιούμενος, πόρρω τὴν καρδίαν ποιεῖται τῆς περὶ ταῦτα θειότητος; ἐκεῖνος δὲ ἐλάττονι τῷ λόγῳ χρώμενος περὶ τὰ κρείττω λόγου καὶ ὑπὲρ νόησιν, νοὸς μόνον ἀκρότησιν ἐθήρα τὰ νοητά. Ὅπερ δὴ ὁ λόγος ἄνω περὶ τῆς ἐκείνου ψυχῆς ἠκρίβου, ὅτι ὁμοῦ ἄνω τε ἔζη, καὶ κάτω ἐπολιτεύετο, καὶ οὐκ ἦν ἔλαττον θάτερον παρὰ θάτερον, ἀλλὰ τὰ αὐτὰ ἄμφω καὶ κατῖσον ἐδύναντο, περὶ τούτου δὴ ἐνταῦθα διεξελθεῖν τρανότερον βούλεται· καὶ ὁ μὲν ἄνω μενέτω τῷ πράγματι, ἡμεῖς δὲ καὶ πρὸς τὰ τῇδε τοῦτον τῷ λόγῳ καταβιβάσωμεν.

Εἶχε μὲν οὕτως ἅπασι συγγενῶς, καὶ πάντων καταλλήλως ἐκήδετο· πλέον δέ τι τῇ συγγενείᾳ ἔνεμεν καὶ φυσικοῖς φίλτροις πρὸς τὸ γένος ἐδέδετο· καὶ οὔτε ὁ θρόνος τοῦτον σεμνότερον ἐκείνων ἐποίει, οὔτε τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα καταφρονεῖν ἐκείνων ἀνέπειθεν· ἀλλ' οἷος προτοῦ σύμπασιν ἔγνωστο, τοιοῦτος καὶ μετὰ τοσοῦτον ὕψος αὐτοῖς διαφαίνεται. Ἀλλὰ τὰ μὲν πρῶτα τοὺς ἄλλους ἐκλίνετό τε καὶ μετεκλίνετο, καὶ ὡς πρὸς ἑτέρους ἑαυτὸν ἔνεμε, πρὸς δὲ τοὺς ἐκ τοῦ ἀδελφοῦ φῦντας (ἔστον δὲ ἔτι καλὼ μὲν τὴν μορφήν, καλλίω δὲ τὴν ψυχήν, τῷ δὲ συγγραφεῖ καὶ μάλα φιλτάτω), καινῆς τινα τρόπον ἐκαινοτόμησε σχέσεως· ἦστην γὰρ αὐτῷ καθαπερεὶ σπλάγχνα ψυχῆς, εἰ δεῖ οὕτως εἰπεῖν, ἐκείνῳ τε τὴν ζωὴν ἐμπνέοντα καὶ παρ' αὐτῷ ἐμπνεόμενα· καὶ ὅπερ δὴ τῷ σώματι τὰ κυριώνυμα δέχεται, τοῦτο ἐκείνῳ οὗτος οὗτοι λεγόμενοι. Ἐπεὶ γὰρ πρωθήβεις οὗτοι τοῦ πατρὸς ἐστερήθησαν, μικροῦ δεῖν μηδὲ μνημονεύειν ἐκείνου δυνάμενοι, ἀνά τε ἔβλεψαν πρὸς τὸν θεῖον καὶ πρὸς τὴν ἐκείνου γνώμην ἀπεικονίσθησαν, οὐδὲ πολλοῦ πρὸς τοῦτο δεηθέντες καιροῦ· ἦν γὰρ αὐτοῖς ἡ ψυχὴ ἐπι-

τήδειος πρὸς τὴν μίμησιν τῶν ἐκείνου ἠθῶν· καὶ οὐ μᾶλλον ἐκεῖνος ἐπόθει τούτοις οἷα δὴ σφραγῖδας ἐμβάλλειν τοὺς ἑαυτοῦ χαρακτῆρας, ἢ οὗτοι ἐζήτουν τῆς σφραγῖδος τὴν τύπωσιν.

Καὶ ἵνα δὴ καὶ τὸ συγγενὲς ἐκείνου δι' ἐκεῖνον τιμήσω βραχύ, καί τι καὶ φιλοσοφίας εἰσαγάγω μέρος τῷ λόγῳ, μία μὲν ἀμφοτέροις ἡ παρὰ τοῦ θείου σφραγὶς, τὸ κρείττους γενέσθαι καὶ τῶν πολλῶν ὑπερδείκνυσθαι, ἡ δὲ ὁμοίωσις ἡ αὐτὴ καὶ διάφορος· τὸ μὲν γὰρ καλὸν ἐπίσης ἐνετυπώθη, ἰδίοις δὲ χαρακτῆρσι τοῦτο διείλοντο· ὁ μὲν γὰρ τὴν ἡλικίαν πρεσβύτερος, αὐτὸ δὴ τοῦτο θεῖος ἀνὴρ, μήτε τὴν γλῶτταν χείροσι λόγοις διδοὺς, μήτε τὴν ἀκοὴν πονηροτέραις ἀναπεταννὺς γλώτταις, ὅμοιος ἑαυτῷ καὶ πρὸς τοὺς καιροὺς ἀδιάφορος, εὐθύτητι χαίρων καὶ σκολιὸν οὐδὲν ἐπιστάμενος, πρὸς οὐδὲν δεινὸν ὕποπτος, οὔτε αὐτὸς ὑποπτεύων τὸ κρύφιον. ἁπλοῦς τὴν ψυχὴν, μηδέν τι τῶν ἔξω περιεργαζόμενος, ἀλλὰ πάντη μεμισηκὼς τὸ πολύπραγμον. Τοιοῦτος μὲν οὗτος· ἄτερος
φ. 125*. δὲ τό τε ἦθος ἡδὺς καὶ χαρίεις τὴν ὁμιλίαν, καὶ εἰς | ψυχὴν ἐγκύπτων καὶ ἀπὸ τῶν φαινομένων χαρακτήρων εἰς τοὺς κεκρυμμένους συμπεραινόμενος, οὔτε θηρατὸς πᾶσιν, ἀλλ' οἷς ἂν αὐτὸν ἐπιδοίη, οὐδ' εὐθὺς φιλίαν μνηστεύων, οὐδὲ παντὶ ταύτην διδοὺς, ἀλλ' οἷς ἂν ἐξετάσειέ τε καὶ δοκιμάσειεν, εἶτα δὴ στερροὺς θεμελίους πηγνύς· ἀγχίνους εἰ καί τις ἄλλος, ὀξὺς μὲν νοῆσαι, πολὺς δὲ τὸ νοηθὲν διαιρεῖν· τῷ ἀδελφῷ ἀναπεφυκὼς καὶ ὡς κρείττονι τούτῳ προσκείμενος, καὶ τὸ ἐκείνου μᾶλλον ἐπαινῶν ἦθος, ἢ τὸ οἰκεῖον φιλῶν. Τούτους ὁ μέγας πατὴρ καὶ πρὸ τῆς ἥβης ἠδεῖτο διὰ τὸν τρόπον, καὶ μετὰ τὴν ἥβην ἐθαύμασε· καὶ ἐπειδὴ πρὸς τὴν τοῦ καλοῦ φύσιν διηρημένοι τὴν γνώμην ὄντες ἐτύγχανον, ὥσπερ ὁ λόγος ἐγνώρισεν, ἵνα μὴ τὸ παρηλλαγμένον σχίσῃ τούτοις τὴν ὁμοιότητα, ἑαυτὸν δεσμὸν ἐμβάλλων ἀμφοῖν καὶ πρὸς τὰ μέρη μεθαρμοζόμενος εὐφυῶς, συνήρει τὰ ἀντικείμενα καὶ εἰς ταὐτὸ συνεβίβαζεν. Ἤνεγκε τούτους καὶ πρὸς τὰς ἐμὰς τῶν λόγων πηγὰς, καὶ ἀποχρώντως τῶν ναμάτων ἐνεφορήθησαν· τέχνας τε γὰρ λόγων

ἐμεμαθήκεσαν, καὶ πρὸς τὸ τῆς φιλοσοφίας ὕψος ἀνέδραμον καὶ διήραντο.

Ὁ δὲ λόγος οὐ περὶ τούτων, εἰ δ' οὕτως, ἀλλὰ δι' ἐκεῖνον, ὁμοῦ τε αὐτῷ χαριούμενος καὶ τὴν ἔμφυτον τῆς ψυχῆς χρηστότητα ἐπεξεργαζόμενος, ἢ μᾶλλον δεῖξαι βουλόμενος, ὅτι πολυμεροῦς οὔσης τῆς ἀρετῆς, καὶ ἄλλης μὲν ψυχῇ προσηκούσης ἀπολελυμένῃ παντάπασι σώματος, ἑτέρας δὲ διὰ φιλοσοφίας ὑπερτεθείσῃ τῆς φύσεως, καὶ αὖθις ἄλλης ἔτι χρωμένῃ σώματι καὶ κατακοσμούσῃ τὸ σύνθετον, οὐ τὸ μὲν αὐτῆς ἐκεῖνος τῶν μερῶν ἔσχηκε, τὸ δὲ ἀπέγνω λαβεῖν, πρὸς δὲ τοῦτο χωρήσας, ἢ βραχὺ πτερυξάμενος τὴν λεγομένην πτεροῤῥύησιν πέπονθεν· ἀλλὰ πᾶσι καὶ ὁμοῦ, καὶ ἀνὰ μέρος, καὶ προσφυῶς, καὶ ὡς ἕκαστον ἔδει, καὶ τοῖς πᾶσιν ἀπαραμίλλως, καὶ ἑκάστῳ πρὸς ὃ μᾶλλον ἐπιτηδειότερον ἔσχηκε, καὶ τὸ σύμπαν εἰπεῖν πρὸς πάντα ὑπὲρ πάντας ἐξήρκεσε. Τῇ δέ γε ἀρχιερωσύνῃ αὐτόθεν ὑπερκειμένῃ πάσης ὑψηλῆς γνώμης καὶ φύσεως, μέγεθος ἐκεῖνος καὶ ἀξίωμα γέγονεν, οὐ λόγῳ ταύτην κοσμῶν, οὐδὲ πολλὰ περὶ ταύτης φιλοσοφῶν, ἀλλὰ τὸν τρόπον αὐτῇ ἀντεπιδεικνὺς καὶ τὴν τῆς ψυχῆς ἀρετὴν ἀντεπάγων, καὶ τὸ πρὸς τὰ μέγιστα μεγαλοπρεπὲς ὑποφαίνων, καὶ τῷ ὕψει ταύτης ἀνθαμιλλώμενος. Ἡ δὲ παρὰ πάντων πρὸς ἐκεῖνον αἰδὼς, τὸ σέβας, τὸ πεφρικέναι τούτους σὺν πόθῳ, τὸ δεδιέναι καὶ χαίρειν αὐτῷ προσεγγίζοντας, κρείττω λόγου ταῦτα καὶ ὑψηλότερα.

Εἶεν· καὶ οὐκ οἶδ' ὅ,τι ἐρεῖν δεῖ, δυοῖν μερίδαιν τὸν λόγον βουλόμενος διαιρεῖν, ἀσκητικῷ βίῳ καὶ ἀρχιερατικῇ τελειότητι. Εἰ γὰρ καὶ μὴ πρὸς τὴν τοῦ καλοῦ ἰδέαν ταῦτα διάφορα, ἀλλὰ μᾶλλον ἄν τις τῷ ταὐτῷ τὸ θάτερον συμμίξειεν, ἢ ταῦτα προσφυῶς συγκεράσειεν· ὁ μὲν γὰρ μοναδικὸς βίος κρύφιος τοῖς πολλοῖς καὶ ἀπόῤῥητος· σκοπὸς γὰρ αὐτῷ εἴσω τὴν ψυχὴν συνεστρᾶφθαι, καὶ τὰς τῶν πολλῶν ὁμιλίας ἀποδιδράσκειν, ἀεὶ δὲ πετᾶσθαι πρὸς τὸν θεὸν, καὶ τὴν ἡσυχίαν θεμέλιον πρὸς τὴν ὕψωσιν τίθεσθαι· ὁ δέ γε ἀρχιερατικὸς, καὶ τοῦτο μὲν ἔχειν τὸ μέρος, οὐδὲν δὲ

ἧττον τὸ καὶ πρὸς ἅπαντας ἐπεστρᾶφθαι· τὸ γὰρ προστατεῖν τῶν πολλῶν, οὐ τοῦτό ἐστι τὸ κατὰ μόνας ὁμιλεῖν τῷ θεῷ, ἀλλὰ τὸ πᾶσαν ἰδέαν παιδαγωγίας τοῖς πρὸς ἀρετὴν ἀπευθυνομένοις ἐπιδείκνυσθαι, πρός τε δυναστείας παρρησιάζεσθαι, καὶ τυραννίαις ἀνθίστασθαι, καὶ τοὺς μὲν ταπεινοτέρους ὑψοῦν, καθαιρεῖν δὲ τοὺς αὐθαδεστέρους καὶ θρασυτέρους. Ζητεῖ γοῦν ὁ λόγος, πῶς ἂν ὁ μοναδικὸς βίος τῷ ἀρχιερατικῷ συμφωνήσειεν, ἢ μᾶλλον πῶς ἐκεῖνος ἄμφω συνέδησεν ἑαυτῷ, καὶ τὰ ἑκάστου χρώματα ἐπιβαλὼν ἑκατέρῳ, οὐδὲν τῶν μερῶν μετηλλοίωσεν; Ἑλλήνων μὲν οὖν οἱ πλέον τι τῶν ἄλλων εἰπεῖν δόξαντες, ἐκ δυοῖν δυνάμεων τὴν ψυχὴν συνιστῶντες, κρείττονός τε καὶ χείρονος, λόγου φημὶ καὶ ἀλογίας, οὔπω τὴν ἕνωσιν ἀποδεῖξαι ἐξήρκεσαν· ἐκεῖνος δὲ οὐκ ἀπέδειξε μὲν τῷ λόγῳ τὴν συμφυΐαν, ἔπραξε δέ· πῶς καὶ τίνα τρόπον; οὐ παρὰ μέρος ποιῶν ἕκαστον, ἀλλ' ἵνα συντόμως καὶ πληρεστάτως ἐρῶ, οὐκ ἦν αὐτῷ τὸ τοῖς κρείττοσιν ὁμιλεῖν ἀπόστροφον πρὸς τὴν τῶν πολλῶν ἀποστασίαν, οὐδ' αὖ πάλιν τὸ προσιέναι τοῖς ἔξωθεν ἀντικείμενον ταῖς πρὸς τὸν θεὸν ὑψώσεσιν· οὐ γὰρ ἐναντία παντάπασι ταῦτα, ἀλλὰ τὸ μὲν θεωρητικῆς, τὸ δὲ πρακτικῆς ἀρετῆς· καὶ ὥσπερ δεῖ τὴν μὲν θεωρίαν πράξει χαλιναγωγεῖσθαί τε καὶ συνέχεσθαι, τὴν δὲ πρᾶξιν θεωρίᾳ καταλαμπρύνεσθαι, οὕτω δὴ καὶ τὰ ὑποκείμενα ταύταις μέρη συνάπτεσθαι πρὸς ἄλληλα προσφυῶς. Οὔκουν ἐκεῖνος ψυχὰς διορθούμενος, καὶ βίους καθαίρων, καὶ παντοδαπῶς τοῦ καλοῦ προϊστάμενος, τῆς μοναδικῆς ἐπελέλησετο τελειότητος· ἀλλ' ἦν οὕτω ποιοῦντι ἐπτερωμένος αὐτῷ ὁ νοῦς πρὸς θεόν· οὔτε μὴν αὖθις ἐντυγχάνων τοῖς κρείττοσι, τῆς τῶν πολλῶν σωτηρίας ἠμέλει, εἰ μὴ καὶ μᾶλλον ἐκεῖθεν ἐλάμβανε τῆς καθάρσεως ἀφορμάς· κἄλλους δὲ τοῦ νοεροῦ γενόμενος θεωρὸς (ὃ δὴ Ἕλληνες μὲν ἰδέαν φασὶ καὶ μετὰ τὴν ἀγαθοῦ φύσιν τιθέασιν, ἐγὼ δὲ εἰς ταὐτῷ ἀγαθῷ τίθεμαι καὶ τὴν νοητὴν τοῦτο ἀποφαίνομαι φύσιν), ἅπαντα εἰς τὸ σῶμα καταλῆξαν ἠτίμαζεν· οὐ γὰρ ἐγνώριζε τὸ εἶδος τῆς ὕλης ἀναπιμπλάμενον. Τὴν δὲ τοῦ

λόγου συνθήκην καὶ τὴν ἐν ταύτῃ χάριν ὡς χαρακτῆρας καθαρωτέρους τοῦ αὐτοκαλοῦ ἔχουσαν, ὑπερηγάπα τε καὶ ἐθαύμαζε, καὶ αὐτός τε ἐβούλετο οὕτω ποιεῖν. Καὶ ἵνα μοι ἐντεῦθεν καὶ τὸ κατ' ἐμὲ προχωρήσῃ μέρος τοῦ λόγου, καὶ τοῖς ἐμοῖς λόγοις ὑπὲρ τοὺς ἄλλους προσέκειτο· καὶ εἴ τις αὐτῷ τῶν πάντων, εἴ τι σχεδιάσας ἐτύγχανον προσήνεγκεν ὡς ἀπομνημόνευμα, ὁ δὲ ἡδέως τε ἤκουε καὶ χαριέστερος ἐγεγόνει, καὶ μικροῦ δεῖν τὸν ἀπομνημονεύσαντα κατησπάζετο· ἐκεῖνα δὲ μᾶλλον ἠγάπα τὰ μέρη ὧν ἡ ὑπόθεσις ἡ ἀπορωτάτη παντάπασι διὰ τὸ | κρύφιον, ἢ οὕτως αὖθις διὰ τὸ φ. 126.
ἐκκείμενον· καὶ πρὶν μὲν τὸν λόγον ἀκούσειεν, ἐθαύμαζεν, ὥσπερ οἱ τῶν περὶ τὰ μαθήματα ἀποδείξεων ἄπειροι, εἴ τι περὶ αὐτοῦ εἰπεῖν ἔχοιμι· ἀκούων δὲ καὶ αὖθις ἐθαύμαζεν, εἰ μὴ οὕτως ἐρεῖν ἔμελλον· εἰ δ' αὐτῇ τῇ τῆς γλώττης προτύχοι πηγῇ (ἐχαριζόμην γὰρ ἐγὼ καὶ τοῦτο τῷ μεγάλῳ πατρὶ, προσιὼν αὐτῷ θαμὰ, καὶ τὸ μέν τι τοῦ ἐμοῦ φόρτου διδοὺς, τὸ δὲ ἐκεῖθεν ἐμπορευόμενος), οὐκ ἔστιν εἰπεῖν ὅσης ἡδονῆς ἐνεπίμπλατο· πολλάκις δέ μου καὶ δοκιμασίαν λανθάνουσαν ἐποιήσατο· ἀκούων γὰρ ὅτι καὶ τὰς ἐρωτήσεις σχεδιάζω τῶν θειοτέρων εὐφυῶς ἐρωτήσεων, ἀπομνημονεύων τε τῶν ἀρχαιοτέρων πρὸς αὐτὰ ἐξηγήσεων, εἶτα ἢ προστιθεὶς καὶ εἴ τι αὐτὸς ἐν τούτοις κατανενόηκα, πεῦσίν μοι λόγων προσήνεγκεν, ὧν ἐκεῖνος τοὺς λόγους παρὰ τῶν ἑρμηνευσάντων ἠκρίβωσεν· ὡς δ' ἤκουσεν ἅ τε ἐκεῖνοι εἰρήκεσαν, καὶ ὁπόσα ἐγὼ αὐτίκα πρὸς ἐκεῖνα συνεπορισάμην καὶ προσευπόρηκα, πατρικαῖς με ἀγκάλαις παραυτίκα περιλαβὼν πυκνά μοι τὴν κεφαλὴν κατεφίλησεν, ἡδέως τὰ ἐμὰ τῶν ἐκείνου ἀνταλλαττόμενος καί με τιθεὶς ὑπὲρ πᾶσαν τιμήν. Ἐζηλοτύπει δέ μου τὴν φύσιν καλινδουμένην τοῖς χείροσι καὶ ἐς τὰ βασίλεια παρακύπτουσαν· κἀγὼ δὲ ἐβουλόμην μὲν ἐμαυτὸν ἀντιταλαντεῦσαι τῇ ἐκείνου πλάστιγγι, οὐκ ἦν δὲ τοῦτο ποιῆσαι, καὶ θατέρᾳ γινόμενον περιάρπακτον. Ὅθεν εἴ τις μικροψυχίας λόγος ἀμφοῖν ὕστερον ἐγεγόνει, ἐκεῖθεν τὴν ἀφορμὴν εὗρατο, περὶ οὗ δὴ ἐν ὑστέρῳ καιρῷ τε καὶ λόγῳ ποιήσομαι τὸν

ἀπόλογον, οὐ γὰρ ζήτημα τὸ προκείμενον, ἀλλ' ἐγκώμιον· πλὴν τοσοῦτον κἀνταῦθα θείην ὅτι ἔλαττον ἐκεῖνος ἐφιλοσόφει, εἰ χρὴ τοῦτο εἰπεῖν, ἢ αὐτὸς ἀντεφιλοσόφουν αὐτῷ· εἰδυίᾳ δὲ λέγω τῇ ἐκείνου ψυχῇ, καὶ ἀπαραλόγιστον τὸ κριτήριον, ὡς οὐκ ἐλάττων ἡ ἐμὴ ἀντίδοσις τῆς πρὸς αὐτὸν διαθέσεως ἧς αὐτῷ μοι προήνεγκεν, εἰ μὴ καὶ μᾶλλον ὅσῳ κρείττων ἐκεῖνος καὶ ὑψηλότερος· καὶ εἰ παρὰ τῶν ἐμῶν ἐκεῖνος πηγῶν ἀπηρρύετο, ἐγὼ δὲ οὐ προσιέμην τοὺς ποταμοὺς τῶν ἐκείνου καλῶν, μηδ' ἄλλῳ τινὶ συγγενοίμην τῶν φερόντων εἰς ὄνησιν, μὴ δέ τι ἐκεῖθεν κερδήσαιμι· ἀλλὰ τὸ εἰς ἄκρον τοῦ πρὸς ἐμὲ καὶ τὸ ὑπερβάλλον τοῦ πρὸς ἐκεῖνον, ἐκείνου τε καὶ ἐμοῦ πρὸς ἐμὲ κἀκεῖνον, πεποίηκε τὴν ἐπ' ἄλλο ῥοπήν· καὶ ἡ βάσκανος γλῶσσα τὴν τοιαύτην ἀλλοίωσιν ἴσχυσεν· ἄχρι τούτου τὸ παρὰ τὸν λόγον, καὶ οὗτος ἀντ' ἄλλης τινὸς ἀρκείτω ἀπολογίας, καὶ καταργείτω τὴν σκιὰν [1] ἀλήθειαν, εἴ τί που κἀκείνης ἴχνος ἐν παραβύστῳ φανείη· καὶ οὔπω τὸν καιρὸν εἴρηκα καὶ τὴν γεωμετρικωτέραν ἀνή[γαγον] καὶ ῥητορικωτέραν πειθῶ· καὶ ὡς τὸ τηνικαῦτα κῦμα ἄλλους τε πλείους συνήρπασε, κἀμὲ βραχύ τι ἐπέκλυσεν· ἀλλ' ἥ γέ μοι φρὴν ἀνώμοτος, καὶ τὸ τῆς γλώττης ἄφετον καὶ ἐλεύθερον. Οὕτω μὲν οὖν περὶ τούτων μ[οι] ὁ λόγος διήτησε, περὶ οὐδενὸς μὲν οἷς δείκνυται ἀπολογησάμενος, παραξέσας δέ τι τῶν πεπραγμένων, ἵνα μηδενὸς τῶν κατ' ἐκεῖνον ἀχρωμάτιστος ᾖ· ἄνω γοῦν αὖθις δραμεῖται, πολὺ γὰρ ἐς τὸ κάτω προβέβηκε.

Πολλὰ δὲ εἰπεῖν ἔχων ὧν ἐκεῖνος ἢ πρὸς εὐδοκίαν καὶ τὸν ὀρθὸν λόγον, ἢ πρὸς οἰκονομίαν ἐποίησεν, οὐ πᾶσι τὸν λόγον ἐπιβαλεῖν [εἰς] μέτρον ἔκρινα δεῖν, ἀλλ' οἷς αὐτὸ τοῦτο μέτρον ἐστίν· παρείσθω γοῦν μοι ὁπόσα ὑπὲρ τὴν φύσιν ἐκείνῳ, ὁπ[όσα] ὑπὲρ τὴν νόησιν, ὡς ἡρπάζετο δι' εὐχῆς, ὡς τὴν μέσην διιὼν, ταύτην δὴ λέγω τῶν ἑκατέρωθεν ἀρετῶν ἐν μέ[σῳ] ἐγίγνετο· τοῦτο δὴ τὸ πατρικὸν

1. γρ. σκιαράν.

ἐκείνῳ καὶ ἐξαίρετον σεμνολόγημα· ἔστω γοῦν ἐπέκεινα καὶ ὅσα τῆς γῆς [καὶ] τοῦ σώματος ὑπεριπτάμενος ὡμίλει θεῷ· κρείττω ἐγκωμίων καὶ τὰ ἐν κρυφῇ τούτῳ πραττόμενα ..... ἀωρὶ τῶν νυκτῶν νῦν μὲν εἰς οὐρανὸν ἀναβαίνοντι, νῦν δὲ μεθισταμένῳ εἰς παράδεισον καὶ [τῶν ἀρ]ρήτων ῥημάτων ἀκούοντι· ὑποκείσθω δὲ τῷ λόγῳ ὁπόσα ἡμῖν ἐφικτὰ καὶ τὴν πίστιν τῶν ἀκροωμένων [προ]σίεται· ὁ δέ γε λόγος ἐνταυθοῖ λήξας εἰς ἀρχὴν αὖθις πρόεισιν.

Ἐφειστήκει τῷ βασιλεῖ τὸ χρεών, καὶ λυόμενος ἀνέπνει τὰ τελευταῖα, οὐκ ἀποκαμούσης αὐτῷ τῆς φύσεως, ἀλλὰ τοῦ μέτρου λήξαντος τῆς συμπήξεως· καὶ ὁ μὲν ἐξελιπάρει ἐπιβιώσεσθαι, ὁ δὲ εἰσπράττων παντάπασιν ἀπαραίτητος· ἐτελεύτα δὲ ἐπὶ πολλοῖς ἐνθυμήμασιν, ἃ δὴ πάντα τὸ τάχος τῆς τομῆς ὑπετέμετο· καὶ ὁ μὲν αὐτίκα νεκρὸς ἔκειτο βραχύ τι πρὸ τοῦ θανάτου τὸ κράτος ὥσπερ ἀφαιρεθείς· πάντα δὲ, ὥσπερ ἐπὶ ζυγοῦ κατατείνοντος, ἐπὶ τὴν ἑτέραν μετέπεσε πλάστιγγα, καὶ τῇ Θεοδώρᾳ συνενεύκει τὰ πράγματα· τὸν δὲ νεκρὸν μικροῦ δεῖν ἐξέλιπε καὶ τὸ συγγενές, ἦν γὰρ, οἶμαι, καὶ τοῦτο κεχαρισμένον τῇ βασιλίδι· ἀντίθετα γάρ πως ἐγεγόνει τὰ πρὸς αὐτὴν, καὶ οὐκ ἦν προσκειμένη ο[ὐδὲ] θνήσκοντι τῷ αὐτοκράτορι. Ἀλλ' ὅ γε πατὴρ, καίτοι πολλὰ μνησικακεῖν ἔχων τῷ ἀπελθόντι, ἀφίκετο τῷ νεκρῷ μὴ μετακληθείς, καὶ οὐχ ὡς ἀψύχου, οὐδ' ὡς ἐπὶ κλίνης κειμένου καταπεφρονήκει, ἀλλὰ σὺν αἰδοῖ προσήει, ὥσπερ ἀπὸ μετεώρου τοῦ βήματος ἀρχαιρεσιάζοντι, καὶ τὼ χεῖρε συστείλας καὶ ἀσπασάμενος, πολλὰ τῶν ὀφθαλμῶν κατέσπεισε δάκρυα, μικροῦ δεῖν ἀπολογούμενος ὑπὲρ ὧν ἐκεῖνον ἔδει ἀπολογήσασθαι· ἔπειτα δὴ τὸν κλῆρον συνηθροικὼς καὶ τὰ εἰκότα ἐπάσας ἐκείνῳ καὶ ἐπευξάμενος, περιστέλλει τε ταῖς ..... [καὶ] τῷ τάφῳ μεγαλοπρεπῶς κατατίθησιν. Ἐπεὶ δὲ ἔδει μεταβολὴν αὖθις τὰ πράγματα δέξασθαι, δεδι[ὼς] ὁ | πατὴρ μὴ φ. 126*. πλέον τι τοῦ δέοντος γένηται, νομοθέτης τῇ βασιλίδι κατήρχετο· ἡ δὲ τὰ μὲν πρῶτα τοὺς ἐκείνου νόμους προσίεται, καὶ ὡς παρὰ κρειττονος ἐλάμβανε τὰ θεσπίσματα· εἶτα δὴ μεταβαλοῦσα ἀντενομοθέ-

τει τῷ νομοθέτῃ καὶ πρὸς τοὺς κανόνας ἀντέκειτο· τὸ δὲ ἦν οὐκ ἔργον τῆς ἐκείνης ψυχῆς, ἀλλ' οἱ τῶν πάντων ἀντιποιούμενοι καὶ μεγαλαυχοῦντες εἶναι καὶ τοῦ κανόνος εὐθύτεροι, κἀκείνην πρὸς τὰς οἰκείας γνώμας μετέστρεφον. Ὁ μὲν γὰρ πατὴρ εὐθὺς, ἄρρενος, ἔφη, δεῖσθαι τὸ κράτος καὶ φρενὸς καὶ ψυχῆς· οἱ δὲ ὡς οὐ λυσιτελοῦν αὐτοῖς τὸ βούλημα παρεκρούοντο· καὶ τῷ μὲν τὸ ἀκριβὲς εἴρηκε τῆς ἀρχῆς, τοῖς δὲ, ὅπερ ἂν ἑκάστοις δοκοίη τοῦτο ἠκρίβωτο· ὅθεν ἀσύμφωνα πάντα ἐδόκει καὶ πρὸς οὐδὲν κοινὸν τέλος συννεύοντα· καὶ τοῖς μὲν ἐδόκει τὰ πεπραγμένα, ἢ ἐπράττετο τὰ δοκοῦντα, ὁ δὲ οὔτε συμπράττων τοῖς δόξασιν ἦν, οὔτε συνδοξάζων τοῖς πραττομένοις, ἀλλὰ τῶν οἰκείων νόμων ἐχόμενος καὶ τῆς ἄνωθεν αὐτῷ διαιρεθείσης καὶ αἱρεθείσης ζωῆς, τῶν ἄλλων πραττομένων ἠμέλει.

Χρόνος οὔ τι πολὺς καὶ ἡ βασιλὶς πρὸς τῷ πέρατι τῆς οἰκείας ἐγεγόνει ζωῆς· καὶ ἵνα τὰ ἐν μέσῳ συντέμω, φειδοῖ τε κἀκείνης καὶ τοῦ παρ' ἐκείνης κριθέντος εἰς τὴν ἀρχὴν, οἷς αὐτὸς πᾶσι παρὼν ἐρυθριῶ τὸν λόγον δοῦναι τῇ ἀληθείᾳ τῶν ὑποθέσεων ἐπεγνωσμένῃ, δότε γάρ μοι τοσοῦτον εἰπεῖν· τὴν γνῶσιν πιστεύεται τοῦ καλοῦ καὶ τὴν πρόγνωσιν, καὶ νεῦμα μόνον ὀφρύων τῷ παρ' ἑτέρων σκέμματι δίδωσι, καὶ τῶν ἄλλων εἰς τὸ κράτος προτίθησιν ὃν ὑπὲρ τοὺς ἄλλους οἱ περὶ αὐτὴν ἔθεσαν· καὶ ἡ σιωπὴ κινεῖ τὴν γλῶτταν ἐκείνην καὶ τὸ τοῦ λόγου διάστημα γνώρισμα ἐκείνῃ τῆς ἀρχαιρεσίας καθίστατο. Ἴσασι τὸ πρᾶγμα οἱ ταῖς ἀπορρήτοις τελεσθέντες μυήσεσιν, ὁ δὲ λόγος τοῖς ἄλλοις ἀπόκρυφος· καὶ ὁ Μιχαὴλ ἐς τὴν βασιλείαν ἀνάγεται, ἐφ' ᾧ δὴ καὶ βραχύν τινα χρόνον ἐκείνη ἐπιβιώσασα μετατίθεται· καὶ ὁ πατὴρ αὐτίκα παρῆν ἐκείνῃ τε τελέσων τὰ ἐπικήδια, κἀκείνῳ νομοθετήσων τὰ πρὸς τὴν ἀρχὴν ἐπιτήδεια. Ὁ δέ με μικροῦ παρέδραμεν· οὔπω μὲν ἐτεθνήκει ἡ βασιλὶς, τὸν δὲ τελευταῖον εἰποῦσα καὶ βασίλειον λόγον σεσίγηκε· καὶ ὁ προκεχειρισμένος ἐδεῖτο ἐπὶ τῇ ταινίᾳ τῆς μεγάλης χειρὸς τοῦ πατρὸς, καὶ ἀνεκαλεῖτο θερμότερον, καὶ μετεκαλεῖτο ταπει-

νότερον ἢ βασιλικώτερον· ὁ δὲ, ὦ ψυχῆς πᾶσαν καλοκἀγαθίαν γνώμης νικώσης! οὐ προσέδραμεν εὐθὺς τῷ προβλήματι, οὐδ' ἔδεισε τὸν εἰς τὸ κράτος νικήσαντα, οὐδὲ τῆς πρὸς αὐτὸν γενομένης ἀγνωμοσύνης καταπεφρόνηκεν, ἢ κατωλιγώρηκεν, ἀλλὰ ταῖς ὀλίγαις ἐκείνης ἐδίδου ἀναπνοαῖς, ἢ τῇ μεγάλῃ ἀρχῇ. Ἐζήτει γοῦν εἰ παρ' ἐκείνης ἡ προβολὴ, εἰ παρὰ ψηφισαμένης, εἰ παρὰ βουλευσαμένης, ἢ τό γε μετριώτερον καὶ θαυμασιώτερον, εἰ συγκατανενεύκει τοῖς προενέγκασι[1]· καὶ ἀφικόμενος, εἶτα δὴ καὶ ἀναπνέουσαν ἔτι κατειληφὼς, βραχύ τι ἐρώτημα ἐρωτᾷ, καὶ πρὸς ὃ ἐκείνην ἀποκρίνασθαι ἀποχρῶσαν ἤδει, εἰ τὸ κράτος αὐτὴ τῷ βασιλεύσαντι ἐψηφίσατο. Εἶτα δὴ δυσθανατοῦσαν ἰδὼν — ἀλλὰ σύ γε, ἔφη, ὦ βασίλεια, μὴ βιάζου πρὸς τὴν ἀπόκρισιν, ἀλλὰ νεύματι δήλωσον εἰ βουλομένῃ σοι ἐγεγόνει τὸ πρᾶγμα. Ὡς δὲ βραχύ τι ἐπένευσεν, εὐθὺς ἐκεῖθεν τὸ σύνθημα εἰληφὼς, πρός τε τὸν βασιλέα ἄπεισι, καὶ τὰ εἰκότα τελέσας ὁπόσα θεσμοὶ ἄνωθεν ἐπὶ τῷ βασιλεύοντι διωρίκασιν, ἐναρμόζει τὸ στέφος τῇ κεφαλῇ· εἶθ' οὕτω κατασπασάμενος, ὑποθήκας αὐτῷ σχεδιάζει πρὸς τὸν καιρὸν, καὶ εἰπὼν ἀπῆλθε, φύλακας αὐτῷ τοὺς [οἰ]κείους λόγους λιπών.

Τὰ δὲ πράγματα ἐνήλλακτό τε καὶ οὐκ ἐνήλλακτο· τῇ μὲν γὰρ πέρας ἡ βασιλεία, τῷ δὲ εἰλήφει ἀρχὴν, καὶ ἡ ἀλλοίωσις ἄχρι τούτου. Οἱ δὲ τοῦ κράτους χαρακτῆρες ἀμφοῖν τοῖν προσώποιν παν[τά]πασιν ὅμοιοι, οἱ γραμματοεισαγωγεῖς, ὁ τοῖς ὅλοις ἐφεστηκὼς, οἱ εἰσαγγέλλοντες, οἱ μυούμενοι τὰ ἀπόρρητα, οἱ τὰ παρασκήνια περιφράττοντες, οὐδέν τι τῶν περὶ ταῦτα ἐνηλλαγμένων μερῶν· καὶ ἵνα τὸ μεῖζον εἴπω, [ἀ]κοινώνητος αὖθις τῷ πατρὶ ἡ ἀρχή. Διὰ ταῦτα ὥσπερ οὐκ ὄντος τοῦ ὑπερείδοντος, ἔρρει πάντα καὶ κατεστρέφετο.

Κἀγὼ μὲν περὶ τοῦ κρατοῦντος οὐδὲν φαῦλον ἐρῶ, ἑτέροις δὲ ἴσως ἔλαττον μελλήσει τῆς ἐκείνου ἐπιεικείας, καὶ οὐκ ἂν σχοῖεν

1. γρ. προενεγκόσι.

γλώσσης φειδῶ. Τοσοῦτον δὲ αὐτὸς περὶ ἐκείνου φημὶ, ὅτι τρόπου γε ἕνεκα καὶ ψυχῆς ἀτέχνου, καὶ γνώμης ἀπεριέργου, κἂν τοῖς πρώτοις ἀπεικασθείη πρὸς ἀρετὴν, πρὸς γὰρ πᾶσαν ἰδέαν καλοῦ ἀπεικόνιστο· ἡγεμονικοῖς [δὲ εἴ] τις αὐτὸν παραβάλλοι ἀνδράσιν, ἐκείνους αἰσχυνεῖ μᾶλλον, ἢ αὐτὸν ἐλαττώσειεν· οὐ γὰρ ἤδει τὰς τοῦ κράτους ἡνίας μεταχειρίσασθαι (τί γὰρ δεῖ μὴ τἀληθῆ λέγειν;), οὐδ' ἀντιτείνειν φερομένοις τοῖς ἵπποις, οὐδ' ἀπευθύνειν πρὸς τὸν κ[αμ]πτῆρα τὸν δρόμον, ἀλλ' ἦν οὐκ ἐλαύνων μᾶλλον ἢ ἐλαυνόμενος, οὐδ' ἀπιθύνων, ἢ ἐκείνοις συνδιαστρεφόμενος, μᾶλλον δὲ καὶ τὸ εὐθὲς αὐτῶν διαστρέφων τῇ περὶ τὸ ἐλᾶν ἀτεχνίᾳ. Διὰ ταῦτα ἐφ' ἑτέροις θεὶς τὴν ἀρχὴν, [αὖ]τὸς ἰδιώτῃ προσήκοντα βίον ἐπολιτεύετο. Χρῶμαι δὲ ἴσως τῷ λόγῳ ἀνθρωπικώτερον, καὶ διαιτῶ τοῖς πράγμασι καθ' ἣν ἄν τις γνώμην τῶν συνετωτέρων διέλῃ καὶ ἀκριβώσαιτο. Τὰ δὲ, ἄρα οὕτω τε γενέσθαι ἔμελλε [ὅπως πρὸς] τὸ προρρηθὲν ὑπὸ τοῦ κρείττονος ὑπαχθήσεσθαι τέλος· καὶ ὅπερ ἐγὼ θαυμάζω κατανοῶν, οὔτε ὁ τῆς προ[νοίας σκο]πὸς ἐξαλλαγείη ἄν ποτε παρὰ τὰ γιγνόμενα καὶ
φ. 127. ποιούμενα, οὔτε εἰ κακῶς τις ἐν τούτοις ποιοίη | ἐλεύθερος τῷ δικαίῳ λόγῳ καθίσταται μέμψεως. Καγὼ μὲν οὕτω γεγονόσι τοῖς πράγμασι μέμφομαι, τὰ δὲ ἴσως οὐκ ἂν μεμπτὰ καθεστήκοι. Ἀλλ' ὁ λόγος, διότι ἐντεῦθεν τὰ φρικώδη ἀπήντησε καὶ πάντα ἀνέστραπται, ἐκείνοις τὴν αἰτίαν ἐπάγει.

Ἵνα δὲ μηδενὶ λόγος κακοῦ λείποιτο, κἀμοί τε ἡ ψυχὴ διομαλισθείη, μηδένα ποτὲ τῶν πάντων σχεδὸν εἰπόντι κακῶς, ἔστω παντάπασι καὶ ἡ χειροτονία τοῦ βασιλεύσαντος λαβαῖς φιλαιτίων ἄληπτος, κἀκείνῳ μηδεὶς μῶμος ἐπιτριβέσθω, καὶ οἱ συγκατεργασάμενοι τούτῳ τήν τε ἀρχὴν καὶ τὴν τῶν ὅλων διοίκησιν, ἀγαθοὶ καὶ τὰς γνώμας καὶ τὴν προαίρεσιν, ἡ δέ γε πρόνοια τὸν ἑαυτῆς περαινέτω σκοπὸν καὶ πρὸς τὰ νῦν καθεστηκότα συνελαυνέτω τὰ πράγματα· ἄλλως τε οὐδὲ ὁ λόγος ἐμοὶ νῦν τὸν τρόπον ἐξετάζει τῶν γεγονότων, ἀλλὰ χρῶμαι τούτοις οὐ δι' αὐτὸ τοῦτο, ἀλλ'

ἵνα μοι ὁ λόγος καθ' ὁδὸν γένοιτο πρὸς ἣν ἐνεστησάμην ὑπόθεσιν· ὥσπερ γὰρ εἰς φῶς προαγαγὼν τὸν πατέρα, περὶ τῶν αἰτίων διέλαβον τῆς παραγωγῆς, καὶ αὖθις ἀνάγων καὶ προβιβάζων ἄλλοις τισὶν ἐχρησάμην καιροῖς, τό τε φῶς ἐκείνου ἐπὶ τῆς λυχνίας τιθεὶς, ἐφ' ἕτερα πάρεργα τὸν λόγον μετέκλινα, οὕτω δὴ καὶ μείζοσιν αὐτὸν προσάγων πράγμασι, καὶ τέλος εἰς αὐτὸ τὸ τῆς ζωῆς ἀπορατῶν τέλος, ἑτέραις ἀναγκαίαις με χρήσασθαι ὑποθέσεσιν ἀφ' ὧν ἢ δι' ἃς ἐκεῖνος τὰ μεγάλα κατώρθωσε, καὶ μεθ' ἃς ὁ λειτουργὸς ὢν τοῦ κρείττονος ἀληθέστατος, καὶ αὐτὴν ἀπελειτούργησε μαρτυρικῶς ὡς εἰπεῖν τῷ θεῷ τὴν ψυχήν.

Χρήσομαι δὲ βραχύ τι τῷ λόγῳ ἄνωθεν. Οὐκ ἦν οὐδὲ προτοῦ ἀνεκτὰ τοῖς ἐν τοῖς ὅπλοις τὰ πράγματα, ἀλλὰ σύμπαντες καὶ καθ' ἑαυτοὺς καὶ κοινῇ πρὸς ἀλλήλους ἐδυσχέραινον τὰ γινόμενα· εἴ τε γὰρ ἔδει βασιλεύειν τινὰς ἐκ τῆς ἑτέρας μερίδος, φημὶ δὴ τοῦ πολιτικοῦ γένους ἡ αἵρεσις ἦν, εἴτε στρατηλατεῖν καὶ τάγματος ἄρχειν ἢ στρατοπέδου προΐστασθαι ἀπειροπόλεμοι τὴν ἀρχὴν ἐπιστεύοντο· οἵ τε θρόνοι τῶν ξυγκεκλεισμένων μείζους ἢ τῶν ἐν πολέμοις κακοπαθούντων· δέον δέ τινας ἐν τοῖς χαλεπωτάτοις ταλαιπωρεῖν, καὶ πρὸς τοὺς συμπίπτοντας καιροὺς κατατρίβεσθαι, ἄνετοι μὲν οἱ ἐντὸς τῆς μεγάλης περιβολῆς, οἱ δέ γε πόρρωθεν ταύτης καὶ ὕπαιθροι ὑφίσταντο τὰ δεινότατα· διὰ ταῦτα ὠδίνετο τούτοις πόρρωθεν κατὰ τῶν πραττομένων τὰ ἀτοπώτατα, ἐδεῖτο δὲ ὁ τόκος καιροῦ πρὸς τὴν ἔκρηξιν· καὶ δὴ τηνικαῦτα παρῆν. Τὸ γὰρ ἀσύμβουλον τούτοις πρὸς τὴν ἀρχὴν καὶ τὸ καταπεφρονῆσθαι καὶ τὸ παρ' ἑτέροις κεῖσθαι τὰς τῶν στρατευμάτων ἀρχὰς, ἀρχαὶ γίνονται τοῦ δεινοῦ ἐκείνου σκηπτοῦ, ὑφ' οὗ μικροῦ δεῖν ἅπαντα κατεφλέχθη καὶ διεφθάρη, εἰ μή τις ἐγεγόνει κρειττων ἀντίληψις· οὐ γὰρ, ὥσπερ καὶ ἐν τοῖς ἄνω καιροῖς τοιαῦτα γέγονε, κατὰ μέρος τινὲς πρὸς ἡμᾶς ἐστασίασαν, ἀλλ' ἁπαξάπαντες ὅσοι τε τῶν μεγίστων ἀρχῶν καὶ ὅσοι τὰ δευτερεῖα μετ' ἐκείνους ἐσχήκασιν, οἵ τε τῶν λόγων προεστηκότες καὶ οἱ τούτους ἀναπλη-

ροῦντες, οἵ τε ἀγχεμάχοις τοῖς ὅπλοις χρώμενοι καὶ οἱ πόρρωθεν βάλλοντες ἀκοντισταί τε καὶ λιθοβόλοι, καὶ τειχῶν πολιορκηταὶ, καὶ εἴ τινες ἁπλῶς εἴησαν σφενδόνῃ χρήσασθαι δυνατοὶ, τά τε πρῶτα γένη καὶ ὅσοι ἐξ ἀφανῶν τῶν αἰτίων, εἰς μίαν ἀντίπαλον μοῖραν ἀποκριθέντες καὶ τῆς ἑτέρας ἡμῶν καθαρῶς ἀποστάντες, τὸ σεμνώτατον τῆς ἑῴας τμῆμα καὶ δυνατώτατον, οὐχὶ τυραννεῖν ὡς ᾠοντο εἵλοντο, ἀλλ' ἀντιβασιλεύειν τοῖς τυραννεύουσι· καὶ τῶν καθ' ἑαυτοὺς τὸν κρείττω προστήσαντες, ὡς βασιλεῖ τε προσεῖχον τὸν νοῦν, καὶ σφᾶς ἑαυτοὺς φέροντες τῷ κριθέντι καθυποτάττουσι. Καὶ οἱ μὲν ἐν τούτοις· τῷ δέ γε βασιλεῖ καὶ τοῖς περὶ αὐτὸν φρίκης μὲν πάντα μεστὰ, βούλευμα δὲ οὐδαμῆ συνετέλει, καίτοι γε προὔκειτο τῶν πράξεων τὸ κεφάλαιον, ἡ κεφαλὴ τοῦ θείου πληρώματος, τὸ πατρικὸν ἀξίωμα καὶ δεσποτικὸν, ὁ μέγας ἐν πατριάρχαις, ὁ τὴν σύμπασαν ἀρετὴν ἀκριβέστατός τε καὶ τελειότατος, ὅση τε πρὸς θεὸν καθαρῶς φέρει καὶ ὅση τοῖς πράγμασι δοκιμάζεται. Τίς γὰρ οὐκ οἶδε τῶν καὶ μετρίως ἐπισταμένων τὰ γινόμενα κρίνειν, ὅτι δυεῖν τότε γεγονότων ἀντιπάλων τμημάτων, μέσος ἐκεῖνος ἐφειστήκει καὶ ἄτμητος, τηλικοῦτος τὸ μέγεθος, καὶ ὅτι πρὸς οὓς ἂν τὴν παρ' ἑαυτοῦ ῥοπὴν χαρίσαιτο, ἐκεῖνοι τῶν ἄλλων κρείττους ἐκρίνοντο; εἰ δὲ καὶ πρὸς θεὸν ἔδει δραμεῖν, τίς ἂν ἄλλος αὐτοῖς πρὸς τὴν καταφυγὴν ἐμεσίτευσεν; Ἀλλ' εἶδον οὐδὲν τῶν δεόντων· διὰ ταῦτα διερράγη τούτοις ὁ σύνδεσμος· καὶ εἰ μὴ τηνικαῦτα ἐκεῖνος τοῖς πράγμασι τὸ δέον ἔκρινε, καὶ εἰς μέσους ἑαυτὸν τοὺς κινδύνους παρεμβαλὼν ταῖς ἀρίσταις οἰκονομίαις ἐχρήσατο καὶ διήτησε δικαίως τοῖς πραττομένοις, καὶ τῶν μὲν τὰς ὁρμὰς ἔστησε, τὰ δὲ εἰς τὸ κρεῖττον μετήνεγκε, κορυφωθέντος ἤδη τοῦ κύματος καὶ ἄχρι νεφῶν τῆς θαλάσσης ἀνοιδησάσης, αὖτανδρον ἂν τὸ σκάφος κατεποντίσθη τῆς πόλεως· δηλώσει δὲ ὅπως ἐγεγόνει ταῦτα ἐπιτομὴν ὁ λόγος τῶν γεγονότων ποιούμενος.

Ἀντιστρατεύει μερίδας τινὰς ἐκ τοῦ ἑσπερίου καταληφθείσας τμήματος τοῖς ἀπορραγεῖσιν ὁ βασιλεύς· συγκροτεῖται πρὸς ἄμφω

τὰ στρατόπεδα πόλεμος, συνασπίζουσι πρὸς ἀλλήλους τὰ μέρη, ἀθρόοι κατ' ἀλλήλων ἐμπίπτουσιν, αἴρεται κόνις εἰς οὐρανὸν, πίπτουσιν ἀθρόοι πολλοὶ, αἱμάτων κατακλύζουσι ῥύακες, πάντα χρήματα μίγνυται, οὐκ ἦν τοῖς κακοῖς εὐρυχωρία, οὐδὲ διέξοδος, οἱ μὲν αὐτίκα ἐκτείνοντο, οἱ δὲ ἔμελλον, οἱ δὲ πρὸς τοῦτο ὠθοῦντο καὶ ἀντωθοῦντο, κατὰ τῶν αὐτῶν ἐνίοις καὶ ὑπὲρ αὐτῶν τὸ δεινόν· παῖδες πατράσιν ἀντέστησαν, καθ' ὁμογενῶν αἱ χεῖρες τῶν ὁμογενῶν ἀνθωπλίσατο, | ἄγους ἕκαστος συγγενικοῦ ἐπεπλήρωτο, φ. 127ᵛ. πολὺς ὁ ἀλαλαγμὸς, πλείων ὁ κίνδυνος καὶ παντὸς τάχους ὀξύτερος. Τέλος νικῶσιν οἱ ἀφεστηκότες, καὶ φυγεῖν τοὺς ἡμεδαποὺς ἀναγκάσαντες, ἐκ ποδῶν αὐτοῖς ἐπεισπίπτουσι, καὶ μόλις που τισὶ τὰς ἀγγελίας πιστεύουσι τοῦ κακοῦ. Τί οὖν τὰ ἐπὶ τούτοις; Ἀγγέλλεται τῷ βασιλεῖ τὸ δεινόν· καταπίπτει ἀκούσας, καὶ τοῦ ἀντιτείνειν αὖθις μεθίησιν· οὐκ ἐπιζητεῖ οὐδὲ πάλιν τὸ μόνον τῆς πληγῆς ἴαμα· ἀνάπτεται ἐπὶ τούτοις τὸ πλῆθος τῆς πόλεως, συναπορρήγνυται καὶ αὐτὸ τοῖς ἀπορραγεῖσι· καὶ χειμαζομένῃ τῇ μεγάλῃ νηΐ οὐ μόνον ἡ θάλασσα ἐπωρύετο, ἀλλ' ἤδη που καὶ οἱ ἀπευθύνειν αὐτὴν τεταγμένοι τοῖς κύμασι συνεισέπιπτον· καὶ ὅπερ οὐ προεωράκει ὁ βασιλεὺς, αὐτοὶ τὸ πᾶν ἤδη συγκλονοῦντες συνεῖδον καὶ κατεπράξαντο, καὶ κλονουμένην ἤδη τὴν ξύμπασαν στῆσαι τὸν θεῖον ἐπικαλοῦνται πατέρα. Καὶ γὰρ ἦν ὡς ἀληθῶς σεισμὸς τὰ γινόμενα, τῶν μὲν ἔξωθεν ἐπιταραττόντων, τῶν δὲ κυμαινόντων ἔσωθεν, καὶ πρὸς μὲν τὸ αὐτὸ πάντων συννευκότων, ἀντιστατούντων δὲ ὅμως ἀλλήλοις καὶ πασχόντων ἢ ποιούντων τὰ χαλεπώτατα· προσέθεντο τῷ νενικηκότι, τῷ ἡττηθέντι ὡς θῆρες ἀντέκειντο, ἐζήτουν λαβεῖν τοῦτον καὶ διασπάσασθαι· ἐπεὶ δὲ οὐκ εἶχον ἑλεῖν, ἔξωθεν ἐπολιόρκουν δεινῶς, πῦρ ἐπ' ἐκεῖνον ἀνάπτοντες πόρρωθεν, χεῖρας ὁπλίζοντες, ξίφεσι χρώμενοι, τί μὴ πράττοντες τῶν δεινῶν; τί μὴ λέγοντες; τέλος καὶ τῷ μεγάλῳ νεῷ συνεισπίπτουσιν ἄνδρες τότε πρῶτον συστρατευσάμενοι καὶ πρὸς πόλεμον ἑαυτοὺς καθοπλίσαντες· καὶ ἦν αὐτοῖς τὸ γινόμενον

καταφυγὴ ὁμοῦ καὶ ἀντίστασις. Προσπεφεύγασι μὲν γὰρ ὡς σωθησόμενοι, ἀνθίσταντο δὲ ὡς πολεμήσοντες καὶ αὐτίκα πάντα φόνου πληρώσοντες.

Ὁρᾶτε γοῦν μοι ἐντεῦθεν τὸν κυβερνήτην, ἵν' εἰδῆτε ὁμοῦ καὶ θαυμάσητε! Οὐ γὰρ ἰδὼν κατεπλάγη τὸ πλῆθος, οὐδὲ τὴν πολιτικὴν ἐκείνην ἢ βαρβαρικὴν ἐπιδρομὴν ἔδεισεν, οὐδ' ἔφριξε τὴν ἐπιρροὴν τοῦ κακοῦ, ἀλλὰ τὰς τρικυμίας ἠρέμα διέλυε, καὶ τὴν μεγάλην ναῦν ὡς οἷόν τε ἄνωθεν ἐπεκούφιζεν, ἐκ μετεώρου τοῖς συνεισπεσοῦσι διαλεγόμενος· καὶ σβεννὺς μὲν αὐτῶν τὸν θυμὸν, παύων δὲ τὴν ὁρμὴν καὶ μεταστρέφων πρὸς τὸν κρατοῦντα, καὶ μὴ δέον εἰρηνεύειν πείθων πόλεμον ἀνθαιρεῖσθαι. Τοιαύτη μὲν τὰ πρῶτα ἡ τοῦ κυβερνήτου ἐπίνοια, πατριαρχικὴ τῷόντι καὶ μεγαλόψυχος! τί γὰρ ἔδει πλέον ἐρεῖν ἢ ποιεῖν ἐν μέσοις θορύβοις ἀπειλημμένον καὶ πανταχόθεν κεκυκλωμένον τοῖς κύμασιν; Οἱ δὲ (ἡ δὲ βοὴ συμμιγὴς καὶ τὸ ὑπερηχοῦν ἀνήκουστον ἦν· ἔλεγε δ' οὖν ἡ φωνὴ ὅμως), αὐτίκα διασπασθῆναι τὸν βασιλεύοντα, καὶ ἀνθαιρεθῆναι τῷ κράτει τὸν τοῖς ὅλοις νενικηκότα, εἰ δ' οὖν· ἀλλὰ μόνος αὐτὸς ἀντιτείνοι αὐτίκα.

Ὁ δὲ λόγος ἐπὶ τὴν τῶν εἰρηκότων τραπείη κεφαλὴν, καὶ σώζοιτο καλῶς ὁ πατήρ. Ὡς δ' ἐν τούτῳ κυβερνήσεως ἦν, ἄλλο αὖθις ἐπ' ἄλλο κῦμα ἐγείρεται, καὶ ὁ ναὸς κυκεὼν ἐγεγόνει· πάντα γὰρ τὰ γένη συνεπιρρέουσιν, οἱ ἐν τέλει, οἱ τῆς πρώτης βουλῆς, οἱ περὶ τὸ βῆμα, ὁπότερον βούλει, καὶ ὅσοι μετ' ἐκείνους ἄχρις ὃ δή φασι σαλπιγκτοῦ τε καὶ στρατοκήρυκος, ἡ πολιὰ, ἡ νεότης, οἱ ἐπιεικέστεροι, οἱ θρασύτεροι, οἵ τε τοῦ λόγου καὶ ὅσοι τῆς ἀλογίας, καὶ τὸ διαφέρον παρ' οὐδενὶ, ἀλλ' ὁμότιμοι πάντες πρὸς τὸ αὐτὸ καὶ ὁμοῦ συνεισβάλλοντες. Ὡς οὖν τὸ δεινὸν ἤδη κορυφωθὲν ὁ πατὴρ ἑωράκει, ἐντελέστερον ἅπτεται τῶν οἰάκων, καὶ ἐπιστημονικώτερον τοῖς σύμπασι τὴν ναῦν πηδαλιουχεῖ. Ὡς γὰρ οὐκ εἶχε περιποιήσασθαι τῷ κρατοῦντι τὴν βασιλείαν, τὴν πρόνοιαν ἑωρακὼς καθαρῶς ἐφ' ἑτέραν ἀρχὴν νεύσασαν, διαιτᾷ ὅπως ἂν τῷ

μὲν περιλειφθείη τὸ ζῆν, ἐκείνῳ δὲ ἀναιμωτὶ μνηστευθείη τὸ κράτος· καὶ δεινοπαθῶν ἀκριβῶς ἐφ' οἷς ποιεῖν δεῖν ἔκρινεν, ἀγγέλλει τῷ βασιλεῖ ὑφειμένως πῶς ἂν εἴπῃ τις καὶ γοερῶς, τοῦ κακοῦ τὴν ὑπερβολήν, καὶ ἐπ' ἐκείνῳ τίθεται τὴν περὶ αὐτοῦ κρίσιν· ὡς εἰ μὲν βούλοιτο, ἔξει πρὸς ἐκεῖνον καταφυγὼν τὸ σώζεσθαι, εἰ δ' οὖν, ἀλλὰ μενέτω τῶν πραττομένων τὴν ἔκβασιν. Ὁ δὲ τὴν ἀγγελίαν δεξάμενος (οὐκ ἔχω δὲ πότερον τὸν πατριάρχην μᾶλλον ἐνταῦθα τῆς οἰκονομίας θαυμάσαιμι, ἢ τὸν ἄνδρα τοῦτον τῆς περὶ ἑαυτὸν κρίσεως· τοῦτο γὰρ αὐτὸ καὶ μόνον πρός τε τὰ ἑαυτοῦ ἀντίρροπον ὅσα μὴ καλῶς ἐγεγόνεισαν καὶ πρὸς τὴν τῶν ἄλλων ἁπάντων καλοκἀγαθίαν καὶ ἐπιείκειαν) τί γοῦν ποιεῖ; οὐκ ἀνθίσταται τῷ καιρῷ, οὐ δὲ ἐξὸν κακῶς σώζεσθαι καὶ βασιλεῖ ἐπὶ πολλοῖς αἵμασιν, ἀνταλλάττεται τὸ ἑαυτοῦ κράτος τῆς τῶν πολλῶν ἀναιρέσεως, ἀλλὰ θεῷ παραθεὶς ἣν παρ' ἐκείνου εἰλήφει ἀρχὴν καὶ πατρικαῖς πεισθεὶς ἐντολαῖς, καὶ πιστεύσας τῷ τῆς σωτηρίας ἐγγυητῇ, ἀποτίθεται μὲν οἷς σῶμα κοσμεῖται βασίλειον ἠρέμα καὶ ἀκυμάντῳ τῷ λογισμῷ, μεταμφιέννυται δὲ τὰ σωτήρια σύμβολα, καὶ ἀνυποκρίτως μετὰ τοῦ σχήματος πρὸς τὴν μεγάλην καταφυγὴν τοῦ θείου πατρὸς ἄπεισιν. Ὁ δὲ, ὡς ἐγνώκει τὸ γεγονὸς, τῆς ἐγγύης αὐτίκα ἀπάρχεται, καὶ προσδραμὼν τοσοῦτον ὅσον ἐξήρκει, ὑπαντᾷ κατιόντι τῷ βασιλεῖ καὶ τὴν δεξιὰν δίδωσι, καὶ ὑποστέλλεται αὖθις καὶ πεφρικότα ἱερῶς ἀγκαλίζεται καὶ δάκρυσιν αὐτὸν καταπλύνει, καὶ ἄγει σὺν αἰδοῖ καὶ τιμῇ ἐπὶ τὸ δεσποτικὸν καταγώγιον.

Εἰ μὲν οὖν ἄλλο τις παρὰ ταῦτα σκοποῖτο κάλλιον καὶ ἀποχρῶν ἡγεῖται πλέον πρὸς ἅπαντα, θαυμάζω τοῦτον ἐγὼ τῆς περιττοτέρας συνέσεως· αὐτὸς δὲ καὶ τότε παρατυγχάνων τοῖς γινομένοις, καὶ νῦν ἐπὶ σχολῆς τῷ λογισμῷ συγγινόμενος οὐκ οἶδ' ὅ,τι μᾶλλον ἐπαινέσαιμι τῶν γινομένων, ἢ τῶν παραλελειμμένων διότι παρεῖται· τὸ γὰρ ἀμφοῖν τοῖν μεγίστοιν ἀντιξόοιν ὄντοιν καὶ ἀντικαθημένων ἀλλήλοις, τῷ μὲν τὴν σωτηρίαν περὶ ἣν μάλιστα

ἐκινδύνευε, τῷ δὲ τὴν βασιλείαν πορίσασθαι, καὶ τὸν καταρραγέντα θόρυβον ἀθρόον ἀποβαλεῖν, καὶ τοῦ σεισμοῦ ὑπεξελέσθαι τὴν γῆν, πῶς οὐχ ὑπερβαλόντως ὑψηλόν τι καὶ μεγαλόγνωμον; τὸ δὲ μὴ τούτῳ μὲν ἐπιτάξαι τὴν εἴσοδον, εἰ μὴ λάβοι θατέρῳ τῆς ἐλευθερίας ἐγγύας, τοῦτον δὲ ἠρέμα μεταστῆσαι πρὸς ἑαυτὸν καὶ τῷ
φ. 128. τῆς ἐκκλησίας περιβαλεῖν | χάρακι..... μὲν παντὶ πρέπον, μόνῳ δὲ τούτῳ ἀρκοῦ[ν]. Εἰ γὰρ ὥσπερ ἐπὶ ζυγοῦ τῇ μιᾷ τῶν πλαστίγγων ἔθετο, θατέρα ἂν ἀπολώλει παντάπασιν· εἰ δὲ διδοὺς τῷ ἔτι κρατοῦντι, τῷ σχήματι ἀντέστη πρὸς τὸν ἤδη τὸ κράτος ἐν χεροῖν ἔχοντα, οὔτ' ἂν ἐκεῖνον ἀπεῖρξεν ὅλῳ τῷ πλήθει ποθούμενον, καὶ πάντα ....ματά τε καὶ χρήματα ποταμοῦ δίκην ἐκείνου ἐπεισβαλόντος, καὶ πρὸ πάντων ὁ τὴν σωτηρίαν τοῦ [κρά]τους ἀνταλλαττόμενος. Ἀλλ' ὡς ἔδει καὶ γέγονε, καὶ τῷ γεγονότι οὐκ ἄν τις εὖ φρονῶν μέμψαιτο. Ἐπεὶ δὲ ὥσπερ δυοῖν ὀχετοῖν ὁ μὲν ὑπεξῄλθεν, ὁ δὲ ἀντεισῄλθε, καὶ ἡ τυραννὶς τέως εἰς ἔννομον μετεποιήθη ἀρχήν, καὶ ὁ σεισμὸς ἐπέπαυτο καὶ ὁ κλύδων ἀπέσβη, καὶ καθεστήκει τὰ πράγματα, ὁ μὲν τῶν ὅλων αὐτίκα εἴχετο, ὁ δὲ μέγας πατὴρ ἔθυε τῷ θεῷ χαριστήρια καὶ ἀνθωμολογεῖτο τῷ κρείττονι, ἡμέραν ἐκ σκότους καὶ γαλήνην ἐκ ζάλης ποιήσαντι.

Τὸ μὲν οὖν ἄχρι τοῦδε ὑπὲρ τῶν πρὸς ἄλλους κακῶν ἐκεῖνος πρὸς τοὺς κακῶς ποιοῦντας ἀνθίστατο· ἐντεῦθεν δὲ ἐπ' αὐτὸν οὐκέτι κύματα καὶ ἐπὶ μέρους κλυδώνιον, ἀλλ' ἡ ξύμπασα θάλασσα ἐπεγείρεται. Ἐπεὶ γὰρ ὁσίως βιώσαντι, καὶ τοῦτο ὑπερβαλόντως καὶ ὡς οὐκ ἄλλως ἔδει, ὁ μαρτυρικὸς ἐλέλειπτο στέφανος, καὶ ἔδει τὸν σταδιοδρόμον τῆς ἀρετῆς ἐπὶ θατέρῳ τῶν ἄθλων στεφανωθέντα τε καὶ ἀναρρηθέντα, καὶ θατέρου τὰ βραβεῖα λαβεῖν, πρυτανεύει καὶ τοῦτο θεὸς, καὶ πρὸς τῷ τέλει τῆς ζωῆς ἀφανῶς γεγονότα τῆς τελεωτέρας ἀξιοῖ ἀναρρήσεως. Εἰπεῖν δὲ προῃρημένος ὅπως ἔσχε τούτῳ τὰ πράγματα, προθεῖναι δὲ καὶ τὸν αἴτιον, οὐκ ἔχω μετρίως τῷ λόγῳ χρήσασθαι πῶς καὶ τίνα τρόπον, ὅτι καὶ ὁ πεποιηκὼς καὶ ὁ πεπονθὼς ἄμφω θαυμασίω τὴν ἰδίαν ἀρετὴν ἑκάτε-

ρος· τὸν γὰρ τηνικαῦτα τὸ κράτος ἰθύνοντα, εἴ τις τῆς πρώτης αἰτίας ἀφέλοιτο ἀφ' ἧς αὐτῷ ἡ βασιλεία προὐχώρησεν, ἐπὶ δὲ τοῖς ἄλλοις πρὸς τοὺς κρείττους παραβάλοι τῶν βασιλέων, εὑρήσει τοῖς μὲν ἀμιλληθέντα διαρκῶς, τῶν δὲ βραχύ τι ἀπολελειμμένον, τοὺς δὲ καὶ ὑπερβαλόντα· πολλῶν γοῦν ὄντων τῶν ἐκεῖνον κοσμούντων, τοῦτο καθαπερεὶ κεφάλαιον ἦν, τὸ τῆς γνώμης ἀήττητον, ἐδήλου δὲ καὶ τῷ σχήματι· οἷα γάρ τις ὑψηλὸς κίων καὶ ἀρραγὴς ἐπὶ τοῖς βασιλείοις ἀνώρθωτο, καινόν τινα τρόπον ὑπὲρ κεφαλῆς ἀνέχων τὴν σύμπασαν ἡγεμονίαν ἧς ἄρχειν ἐτέτακτο· ἀλλ' ἔστιν ἄρα, ὥσπερ καὶ λέγεται, μεμιγμένον ἐνταυθοῖ τὸ καλὸν, καὶ τῷ χαλκῷ, συμβολικῶς εἰπεῖν ὁμοῦ καὶ προφητικῶς, ὄστρακος παραμέμικται, καὶ οὐδεὶς τῶν πάντων ἀνάλωτος, πλὴν θεοῦ καὶ τῶν θείων ἴσως δυνάμεων· ἀνθρώπῳ δὲ οὐ ταῦτα δοκεῖ πάντοτε, ἀλλ' εὐμετάβολον τοῦτο ζῶον καὶ ταχὺ πρὸς τὰ ἐναντία μετατρεπόμενον. Ἔστι δὲ οὐ τοῦτο μόνον αἴτιον ὧν ἐκεῖνος ἐπὶ τὸν πατέρα ποιεῖν εἵλετο, ἀλλά τι καὶ ἕτερον, ὃ μόνος ἐγὼ ἴσως κατανενόηκα, κοινοῦμαι δὲ καὶ ὑμῖν τὸν λόγον.

Ἀρχὴ δέ μοι τῆς ἐξηγήσεως ἔστω ἡ ἐπὶ τῶν χορδῶν μουσική· ὁρῶ γὰρ κἀκεῖσε ὡς αἱ μὲν ὁμότονοι τούτων ἀσύμφωνοι πρὸς ἀλλήλας, αἱ δ' ἀνισότονοι κατὰ τοὺς ὡρισμένους λόγους ἐμμελεῖς, ἢ σύμφωνοι, ἢ ὁμόφωνοι κατὰ τοὺς ἐλάττους λόγους καὶ μείζονας· ὃ γοῦν βούλομαι ἐρεῖν τοῦτό ἐστιν, ὅτι οὐκ ἂν πρὸς ταὐτὸ συμφωνήσαιεν ἤθη τὸν ὅμοιον τόνον ἔχοντα, εἰ μὴ τὸ μὲν εὐτονώτερον εἴη, τὸ δὲ μαλακώτερον. Εἰ γάρ τις δύο θεῖτο γενναίους ἄνδρας ἐξηρημένους τῶν ἄλλων, τοῦ πρωτείου πρὸς ἀλλήλους ἀμφισβητοῦντας, [οὐ] ποτ' ἂν ἴδοι τούτους εἰς μίαν γνώμην κεραννυμένους· τὸ δὲ σύμφωνον, εἰ ἄτερος ἐνδόσιμος γένοιτο καὶ ὑποτεθείη θατέρῳ ὡς κρείττονι. Ἀλλ' ἐνταῦθα περὶ ὧν ὁ λόγος, καὶ ὁ τοῦ κράτους ἐπειλημμένος δυσμεταχείριστος εἰς πειθῶ ὥστε τὰ δευτερεῖα τοῦ κράτους ἐνέγκασθαι, καὶ ὁ μέγας ἀρχιερεὺς αὐτὸ δὴ τοῦτο τηρῶν ἄνω τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα· ὁ μὲν γὰρ ἐβούλετο καὶ τοῦτον μετὰ τῶν

ἄλλων ἐλεῖν, ὁ δὲ ἀνάλωτος ἦν· καὶ ὁ μὲν συγκλείειν αὐτῷ ἑτοίμα τὸ στόμα, ὁ δὲ παρρησιαστικώτερος ἐγεγόνει καὶ αὐτῶν δὴ κατεξανιστάμενος τῶν καιρῶν· καὶ ὁ μὲν τῆς εὐθύτητος εἴχετο καὶ ὑπὲρ τοῦ λυσιτελοῦντος πᾶσι διηγωνίζετο, ὁ δὲ ὑπώπτευε τὸ ἀνένδοτον καὶ ἐδεδίει περὶ τῶν καθ' ἑαυτὸν πραγμάτων, ὁρῶν ὅτι καὶ τὸ πλῆθος ἐκείνῳ ταχὺ συρρέουσι καὶ τοῖς ἐκείνου ἄγοιντο νεύμασιν. Εἰ μὲν οὖν προβούλευμα πόρρωθεν ἐν τῇ οἰκείᾳ ψυχῇ κατέστησε καὶ ἀφανῶς τοῖς κατ' ἐκείνου ἐνθυμίοις ἐχρήσατο, οὐκ ἔχω λέγειν· οὐ γὰρ κατείληφα τοῦτο συγγινόμενος ἐκείνῳ καὶ τὰ ἀπόρρητα πιστευόμενος· ἀθρόον δὲ πάντας λαθὼν, ἀναρρήγνυται καὶ τὰ φρικωδέστατα ἐκεῖνα τολμᾷ. Ἴστε τὴν πολιορκίαν ἐκείνην, τὸν συγκλεισμὸν, τὴν ἄδικον ἀπαγωγὴν, τὴν αἰσχύνην, τὴν αἰτίαν, ὡς ἂν ἔξω γενέσθαι βελῶν ἑαυτὸν τῷ κινδύνῳ ἐπέδωκεν, ὥσπερ ὁ ἐμὸς Ἰησοῦς, οὐ πλήθει πλῆθος ἀντιτάξας ἐλάττονι μεῖζον, τῷ ἐκ τῶν βασιλείων τὸ ἀπὸ τῆς πόλεως, οὐκ ἀπωσάμενος τὴν λέσχην, οὐκ ἐπιτιμήσας τοῖς ἄγειν κεκελευσμένοις, ἀλλὰ πανηγυρίζει τὴν ἀτιμίαν καὶ τῷ μαρτυρίῳ ἐγκαλλωπίζεται, καὶ ἵνα μηδὲν τῶν ἀπευκταιοτάτων συμβαίη τινὶ, αὐτὸς πρῶτος ὑφίσταται περὶ τῶν ὅλων τὸν κίνδυνον.

Εἶδον ἐγὼ τηνικαῦτα τὸν ἄνδρα, καὶ ἰδὼν ἐδάκρυσα μὲν, πῶς γὰρ οὔ; τὸ γὰρ θέαμα καὶ λίθους εἰς πηγὰς δακρύων ἐρρήγνυεν· ἄνθρωπος εἰς οὐρανὸν ταῖς ἀρεταῖς ἀναβεβηκὼς καὶ θεοὺς τοὺς αὐτῷ τελουμένους ποιῶν, θεοειδὴς τὴν ψυχὴν, τὴν γνώμην οἷος οὐκ ἄλλος, πρὸς πάντας ἅπασιν ἀπαράμιλλος, χρίων βασιλέας καὶ ἱερέας οὐ διὰ τοῦ κέρατος, ἀλλὰ διὰ τῆς ἐκείνου ὑψηλοτέρας πηγῆς, εἶτα δὴ ἀτίμως ἀγόμενος καὶ τῷ βουλομένῳ περισυρόμενος, καὶ εἰς γέλωτα καὶ ὕβριν ἐκκείμενος! Ἐδάκρυσα μὲν οὖν ἐκ μέσης
φ 128ᵛ. ψυχῆς | οὕτως ἰδὼν, ἐθαύμασα δὲ αὖθις ὁρῶν γενναῖον καὶ ἀκατάπληκτον καὶ τοῖς σπαράττουσιν ἄτμητον· οὐδὲ γὰρ τὸ βραχύτατον διαταραχθεὶς, ἀλλ' αὐτίκα συλλέξας τοὺς λογισμοὺς καὶ γνοὺς, ὡς δεῖ κοινωνὸν θεοῦ καὶ τῶν θείων γενόμενον καὶ τοῦ αὐτοῦ

τῷ λόγῳ μετασχόντα βαπτίσματος πιεῖν καὶ τὸ ποτήριον, τοὺς ἀκουσίους φημὶ πειρασμοὺς, οὐκ ἐδυσφόρει πρὸς τοὺς ἀπάγοντας, οὐδὲ πρὸς τὴν ὕβριν ἀπεδυσπέτει, οὐδὲ ἐδυσχέραινε τὴν τῆς ἀτιμίας ὑπερβολὴν, ἀλλὰ μικροῦ δεῖν καὶ κατὰ θαλάσσης ὠσθεὶς ἐπὶ κεφαλὴν, οὐκ ἐφοβήθη τὰ κύματα· ἤλπιζε γὰρ αὐτίκα κῆτος αὐτῷ ἀπαντήσεσθαι, καὶ ποθήσεσθαι μὲν, οὐκ ἀναλωθήσεσθαι δὲ, ἀλλὰ τῇ χέρσῳ ὡς κατεπόθη ἀποδοθήσεσθαι.

Καὶ ὁ μὲν οὕτως ὅλος ἀνάλωτος ὢν [1], ἡ δὲ πόλις εὐθὺς ἐπὶ τὸν δόξαντα κεκρατηκέναι τοῦ ἀηττήτου, θυμοῖς ὅλοις ἀνάπτεται· καὶ εἰ μὴ πόρρωθεν ἐκεῖνος χεῖρας πρὸς θεὸν αἴρων ὁσίας τὸ ἀναφθὲν κατέσβεσε πῦρ, ἀπολώλει ἂν πάντα, καὶ ὁ τῆς οἰκουμένης ἀπέσβη αὐθωρὸν ὀφθαλμός· ἐφ' οἷς θείσας ὁ βασιλεὺς, οἷς οὐκ ἐγνωκὼς εἶλε τὸν ἄνδρα, ταῦτα ἐπ' αὐτὸν παρεσκεύαζε, καὶ ἀντεστράφη τούτῳ παρὰ τὸ δόξαν τὰ πράγματα· οὗ γὰρ πρὸ τῆς κρίσεως ὑπερορίαν κατεψηφίσατο, τοῦτον μετὰ τὴν ψῆφον κρίνειν ᾤετο δεῖν· καὶ δευτέραν ποιεῖται τὴν κρίσιν τῆς ἀποφάσεως, ἀναλύων τὰ καθεστηκότα καὶ ἀναστρέφων τὴν τάξιν καὶ συγχέων τὰ δικαστήρια· καὶ οὐ μηδὲν ὑψηλότερον ἦν, τούτῳ τὰ πάντων χείριστα προσετρίβετο, ἵν' ἡ τῇ τιμωρίᾳ ἡ δίκη κατάλληλος.

Ὅπερ δὲ προειρήκειν τοῦ περὶ ταῦτα λόγου ἀρχόμενος, τοῦτο νῦν ἐνταῦθα ἀνάγκη αὖθις ἐρεῖν· ὅτι τῶν πάντων οὐδὲν ἐχόντων τῷ βασιλεῖ ἐκείνῳ ἐπεγκαλεῖν, ἀνδρὶ γενναίῳ καὶ ἀπαραμίλλῳ τὴν βασίλειον ἀρετὴν, τοῦτο ἐπαινεῖν τε οὐκ ἔχω, καὶ ἅμα συγγνώμων εἰμὶ, οὕτω γνόντι καὶ διελόντι· περὶ γὰρ ἑαυτῷ δεδιὼς, τὸ δόξαν ὑπὲρ αὐτοῦ ἔπραττε, καὶ τὴν κενὴν ὑποψίαν ὡς ὑφεστηκός τι δεινὸν ἡγησάμενος, τὸν ὑποπτευθέντα ἀπήλαυνε, καὶ τὸ δεινὸν τόλμημα ᾠκονόμει τὴν τόλμαν, καὶ ὃ εἰκὸς προλαβεῖν, ἐπεὶ μὴ προὔλαβεν, οὕτω τοῦ θυμοῦ φθάσαντος, ὕστερον πλάττει, ἢ τὸ καλῶς κείμενον πρὸς τὸ δοκοῦν ἑαυτῷ μεταπλάττει. Καὶ ἦν μαρτυρία

1. γρ. ἦν.

μὲν τῷ πάσχοντι τὸ πλαττόμενον, ἀπολογία δὲ τῷ ποιοῦντι ὑπὲρ ἑαυτοῦ τὸ πραττόμενον. Καὶ ὁ μὲν πατὴρ οὔτε τι τῶν γεγονότων συμβαλεῖν εἶχε, καὶ οὐδὲν ἤδει τῶν γινομένων· ὁ δὲ πᾶν γένος σοφῶν συγκαλέσας καὶ ὅσοι τὰ πρῶτα λογίων ἐτύγχανον ὄντες, συνεργοῖς ἑαυτῷ χρῆται πρὸς τὴν ἐπὶ τὸν ἄνδρα φοράν, ὧν οὐδενὶ οὐδεὶς μέμψαιτο ὀρθῶς διαιρῶν· πρῶτον μὲν ὅτι τῶν πραττομένων οὐδέν ἐστιν ὃ μὴ ἐπ' ἄμφω ὑποληφθῆναι δύναται πρός τε τὸ χεῖρον καὶ πρὸς τὸ βέλτιον, ὅθεν καὶ ταῖς ῥητορείαις ἀρχὴ τοῦ πιθανῶς ἑκατέρωθεν λέγειν ἡ ἐπαμφότερος τοῦ γενομένου ὑπόληψις· ἔπειτα, εἰ καὶ τῶν ἑαλωκότων οἱ πλείους τὰς κρείττους δόξας εἶχον περὶ τῶν τῷ πατρὶ καινοτομηθέντων πρὸς τὰς ὀξείας ῥοπὰς τῶν καιρῶν, ἀλλὰ τὸ βούλεσθαι τοῦ κρατοῦντος ἐκείνως, ἀλλὰ μὴ οὕτως εἰκάζειν, πάντας πρὸς τὴν ἐκείνου δόξαν συνήλασε· καὶ εἰ μέν τις διαιτητὴν τῶν τε τῷ πατρὶ πεπραγμένων καὶ τῶν ὕστερον δοξάντων τῷ αὐτοκράτορι δέξαιτο, τὸν μὲν πόρρω ποιοῦμαι [νεφῶν] πολλοῦ δέω λέγειν τῆς τῶν πολλῶν ὑποψίας· ᾧ γὰρ ἐκ θεοῦ καὶ ἀπὸ τῶν ἄνωθεν δέλτων τῶν πράξεων αἱ ἀρχαὶ, τούτου πῶς ἄν τις ἐπιλαβέσθαι δύναιτο; τῷ δὲ συγγνωμονέστερος ἢ δικαιότερος γίνομαι· πρὸς γὰρ τὰς ἑαυτοῦ ὑπολήψεις, οὐ πρὸς τὸ τῆς δόξης ἀληθὲς ἀπεμάχετο, καὶ τρόπον τινὰ οὐ τοῦ πατρὸς, ἀλλ' ἑαυτοῦ πρώτου κατεψηφίζετο· οἵ τε συνειπόντες τῷ αὐτοκράτορι πάρεργον γεγόνασι τῆς δυναστείας καὶ τοῦ καιροῦ· καὶ εἴ τις διαπέφευγε τὸν σκηπτὸν, οὕτω κρείττων τοῦ πυρὸς γενέσθαι τὴν σωτηρίαν ἑαυτῷ εὕρετο, ἀλλ' ὅτι κἂν τινα τρόπον ἡ φλὸξ αὐτὸν ἀπηξίωσε καὶ σέσωστο, οὐχ ὅτι πέφευγεν, ἀλλ' ὅτι μηδεὶς ἐδίωξεν.

Ὅτι δὲ μὴ ἐκ διαθέσεως οἱ λόγοι τοῖς συγγεγραφόσι γεγόνασιν, ἤλεγξε τοὺς ἀηττήτους τὴν γνώμην μεταβαλὼν ὁ καιρός· οὓς γὰρ τὸ προλαβὸν μέρος τοῦ χρόνου τὸ δοκοῦν ἑτέρῳ ἐδουλαγώγησε, τούτους ἐλευθέρους τὸν τρόπον ἀπέδειξε τὸ μετέπειτα· καὶ οὐ μᾶλλόν γε τὰ ἐκείνων ξυγγράμματα τὸν ἄνδρα ἐξύβρισεν, ἢ τὸ μεταγνῶναι ἐφ' οἷς ξυγγεγράφασιν ἅληπτον πάσαις λαβαῖς ἀπέ-

δειξε μέμψεων. Ὥσπερ γὰρ ἀναγκαῖον ὂν ἐκεῖνον μὲν πόρρωθεν παρασκευασάμενον καὶ τοῖς τῆς ἄλλης ἀρετῆς ὅπλοις καθοπλισάμενον, τέλος εἰς τοὺς μαρτυρικοὺς ἀγῶνας ἐμπεσεῖν, τὸν δὲ κρατοῦντα ἐνὶ τούτων δειχθῆναι λειπόμενον τῆς κατὰ αὐτοκράτορα τελειότητος, τοὺς δὲ παρὰ τὸν καιρὸν φθεγξαμένους ὀφθῆναί τι ποτὲ παρὰ τὸν λόγον πεποιηκότας.

Οὕτω ταῦτα συνέβη τε καὶ συμπέπτωκε· καὶ οἱ μὲν ἄλλοι, ὡς εἶχον ἔμειναν· τὸν δὲ εἰς οὐρανοὺς ἀναβεβηκότα καὶ καθαρῶς προσωμιληκότα θεῷ, τὰ κάτω στοιχεῖα διεμερίζετο· θάλαττά τε γὰρ εἶχε καὶ αὖθις ἡ γῆ διεδέχετο, καὶ παρὰ μέρος ἀλλήλοις κακῶς ἀντεδίδοτο· οὐκ ἦν δὲ ὅτι τοῖν δυοῖν ἔδρα μᾶλλον τὸν πατέρα κακῶς· ἥ τε γὰρ θάλασσα κύμασι καὶ κλυδωνίοις ἐτάραττε, καὶ τὴν ναῦν ἦγεν οὐ πρὸς ἀκτὰς καὶ λιμένας, ἀλλὰ νῦν μὲν σκοπέλοις, νῦν δὲ ὑφάλοις πέτραις προσέραττεν, ἡ δέ γε ἤπειρος ἀντὶ δεσμωτηρίου καθίστατο τῷ ἀνδρί· ὅπη γὰρ ἂν καταχθείη, οἰκημά τι τῶν ζοφερῶν αὐτὸν ὑπεδέχετο, καὶ ὃν ἐν οὐρανῷ εἶχε θεὸς πᾶσι μέρεσιν ἄνετον καὶ ἐλεύθερον, τοῦτον βραχύ τι μέρος ἐφρούρει τῆς γῆς· ὁ γὰρ ἐξαιτησάμενος αὐτὸν πειραστὴς, μεγαλαυχησάμενος τάχα πρὸς τὸν θεὸν, ὡς εἰ παντάπασιν αὐτῷ ἐκδοθείη καὶ πᾶσαν αὐτῷ ἐπαγάγῃ στενοχωρίαν καὶ κάκωσιν, πείσειε πάντως ἔν τι τῶν ἀτοπωτάτων ἢ πράξασθαι, ἢ, τό γε μετριώτερον εἰπεῖν, φθέγξασθαι, οὐδὲν παρῆκε τῶν εἰς ἀνάγκην ἀσύμβολον, οὐ γῆν, οὐ θάλασσαν, οὐκ ἀνέμων ῥεύματα, οὐκ ἀέρος ὑπερβολὴν, οὐ πονηρὰς φύσεις καὶ θηριώδεις, οὔθ' | ὕβρεις, οὐ τὸ πρὸς πάντα μὲν ἀπαραμύθητον, παρὰ πάντων δὲ εἰς βίαιον θάνατον ἐξαρκοῦν. Ἐπιέζετο λιμῷ ὁ πρὶν καὶ τότε μᾶλλον θεῷ ὁμοδίαιτος, οὐκ εἶχε δευτέρῳ χιτῶνι τὸ σῶμα περικαλύψαι· ἀλλὰ τούτου μὲν ἧττον αὐτῷ ἔμελλε, τὸ δὲ μήτε φθέγξασθαι δύνασθαι, μήθ' ὅλως ἀνθρώποις προσομιλεῖν, ἀλλὰ καὶ βιβλίων καὶ ἱερῶν ἀποκλείεσθαι, καὶ μηδ' ἀναπνεῖν ἐλευθέρως, τοῦτο ποῦ τις ἂν θείη, ἢ τίσι μαρτυρικοῖς ἄθλοις παραμετρήσειεν; φ. 129.

Ἦν δ' ἄρα τῶν παρόντων δεινῶν τὰ προσδοκώμενα πολὺ χείρω καὶ χαλεπώτερα· κατεσκευάζοντο φρικώδη καὶ δεινὰ δικαστήρια. ἡτοιμάζοντο βαρεῖς δικασταὶ καὶ ἀπαραίτητοι πρὸς ὀργάς· πᾶν γένος ἀνθρώπων καὶ πᾶσα γλῶττα ἐπὶ τὸν συνήγετο· μηχαναὶ παντοῖαι τούτῳ συνεσκευάζοντο· τὰ μὲν τοῦ παντὸς ἐκινεῖτο, τὰ δὲ ὤδινε, τὰ δὲ ἔμελλε. Καὶ παρῆσαν ἐς ταὐτὸ σύμπαντες, ὥσπερ ὁ μῦθος ἔχει πάλαι τοὺς γίγαντας, οὐχ ἵνα τὴν γῆν ἀναρρήξαιεν, οὐδ' ἵνα τοὺς τοῦ οὐρανοῦ κίονας ἀποσπάσαιεν, ὅπως ἂν συμπέσῃ τὸ πᾶν καὶ εἰς ἀκοσμίαν ὁ κόσμος μεταβληθείη, ἀλλ' ἵνα ἕνα τῶν πάντων τοῦ κόσμου παντὸς ὑφέλοιντο. Τοσοῦτον ἦν τὸ κράτος αὐτῷ, καὶ οὕτως εἷς ἀνὴρ ἀντίρροπος πᾶσιν ἐδείκνυτο, καὶ ταῦτα οὐκ ἀντιπράττων, οὐκ ἀντιμηχανώμενος τούτοις, ἀλλ' οὐδὲ τὴν συγκίνησιν εἰδὼς ἀκριβῶς! ἀλλ' ἐφόβει τούτους οὐ τὸ ἀντιστῆναι τὸν ἄνδρα, ἀλλ' ὅτι οὐδ' ἠρεμοῦντα μετακινῆσαι δεδύνηνται. Ἠνώχλει δὲ τὸν πατέρα οὐχ ἡ τῶν πολλῶν γλῶττα, οὐδ' ἡ τῶν μηχανημάτων ἐπίνοια, οὐδ' ὁ πολὺς τῶν κατὰ τὴν ἤπειρον θόρυβος, ἀλλ' ἡ περίκλυστος τοῖς κύμασιν Ἴμβρος, οὐ κατακέκλειστο, οὐχ ὅτι ἐξήρκει τούτῳ εἰς δεσμωτήριον, ἀλλ' ὅτι κύμασι καὶ ναυτικοῖς περιηχεῖτο θορύβοις, οἷς ἐκεῖνος τὴν εὐχὴν ἀνεκόπτετο.

Ἐπεὶ δὲ ἀρκούντως εἶχε τῶν ἄθλων, καὶ οὐκ ἦν ὑπερβολὴ τοῖς κακοῖς, ἀλλὰ πᾶσα μάστιξ αὐτῷ παρὰ τοῦ τυραννοῦντος ἐπινενόητο, καὶ οὐ τρεῖς μόνοι τῶν φίλων, ὡς πάλαι τῷ μεγάλῳ ἀθλητῇ Ἰὼβ, ἵν' οὕτως εἴποιμι, συνερράγησαν, ἀλλὰ σύμπαντες, καὶ ὁμοῦ καὶ καθ' ἕνα συνεισπεπτώκασι πόρρωθεν, ἔδει δὲ πρὸς τῷ τέλει τῆς ἀγωνίας τυχεῖν τῶν βραβείων καὶ τῆς μεγάλης καὶ κρείττονος ἀναρρήσεως, ἀλλ' οὐ τῆς διπλῆς τῶν ἀπολωλότων αὐτῷ ἀντιδόσεως, ὧν οὐδὲ πρῶτον ἐφρόντιζε, χρηματίζει καὶ τούτῳ θεὸς, καὶ τούς τε λόγους διδάσκει τῶν ἐπενηνεγμένων αὐτῷ συμφορῶν, καὶ τοὺς ἀκηράτους στεφάνους αὐτίκα κατεπαγγέλλεται. Καὶ ὡς ἐπειδὴ μηδὲν ἐπὶ γῆς ἀντίρροπον εἴη οἷς ἠγωνίσατο καὶ νενίκηκεν, ἡ ἐν οὐρανοῖς αὐτῷ βασιλεία ἀντὶ τῶν κατὰ γῆν ἄθλων μεμνήστευται,

καὶ τὸ συνεῖναι τοῖς κρείττοσι, τοῦτο δὴ μόνον ἀνθάμιλλον οἷς ηὐδοκίμησε καταλέλειπται· ὁ δὲ τρόπος τῆς τοιαύτης προρρήσεως ὑπερφυής τε καὶ χαριέστατος. Ἔξω τειχῶν ἐφ' ἑνός του τῶν ἐπὶ Θρᾴκης χωρίων καθῆστο τούτῳ τὸ δικαστήριον, ἐδεδίεσαν γὰρ τὴν πόλιν μή τι δι' ἐκεῖνον τῶν καθεστώτων παρακινήσαιεν· ἐπεὶ δὲ οἱ δικάσοντες ἐκ πάντων τῶν τῆς οἰκουμένης ἀπήντων μερῶν, κἀκεῖνος, οὕτω κεκελευσμένον, ἐκ θαλάσσης ἐπὶ τὴν ἤπειρον μετετίθετο· καὶ ὁ μὲν ἐβούλετο τῷ πρὸς τῇ Μαδύτῳ λιμένι προσχεῖν τὴν ναῦν τοὺς ἀπάγοντας (εἶχέ τι γὰρ ἐκεῖ σωτηρίας ἐμπόρευμα κρύφιον, ὃ δὴ σαφέστερον αὐτίκα ὁ λόγος γνωρίσει), οἱ δὲ εὐθὺ ἔπλεον, οὕτω προστεταγμένον αὐτοῖς, καὶ ὃς ἠνιᾶτο καὶ δεινοῖς ἀθυμίας βέλεσι τὴν ψυχὴν ἐτιτρώσκετο· προοιμιάζεται τούτῳ θεὸς ἐντεῦθεν τὰ κρείττονα, καὶ μεταλλάττει τῇ νηῒ τὰ ῥεύματα τῶν τε πνευμάτων καὶ τῶν κυμάτων, καὶ οἱ μὲν ἦγον ἐφ' ὃ κελευσθεῖεν καὶ τεχνικώτερον ἐχρῶντο τῇ εἰρεσίᾳ· ἡ δὲ ναῦς καθάπερ ἐκ μετανοίας πρὸς τὴν Μάδυτον ἀντεχώρει καὶ ἀντήρειδε πρὸς τοὺς ἄγοντας, καὶ τέλος νικᾷ τὰς ἐκείνων χεῖρας, καὶ προσοκέλλει τῇ Μαδύτῳ κατὰ τὸ βούλημα τοῦ πατρός.

Τί δὲ τοῦτο ἦν καὶ τίς ὁ πρὸς τὸν τόπον ἔρως τῆς μεγάλης ἐκείνου ψυχῆς; Ἀρχιερατεύει τις ἐν αὐτῇ οὐ πόρρω πολὺ τῆς καθ' ἡμᾶς γενεᾶς, ἄνθρωπος μὲν τὸ φαινόμενον, ἄγγελος δὲ ἢ θεὸς τὸ νοούμενον, θεῖος ὡς ἀληθῶς τὴν ψυχήν, ἐν παρέργῳ τῷ σώματι ζῶν, ὅλος θεῷ ἀνακείμενος λειτουργὸς τοῦ μεγάλου θύματος καὶ ὄντως ἐπόπτης τοῦ μυστηρίου, τὸ ἦθος ἁπλοῦς, κατὰ τὸν θαυμάσιον Ἰακὼβ, ἀγοραίου συμπάσης ἀπέχων καὶ τριβῆς καὶ δεινότητος, τὰ κρείττω κρειττόνως καὶ ὑπερφυῶς ἐπιστάμενος, τὴν κλῆσιν Εὐθύμιος, τὸν τρόπον εὐδόκιμος, τὸν λόγον τῷ θείῳ ἐπηρτυμένον ἐπιδεικνὺς ἄλατι· οὗτος ἀποθύσας θεῷ τὴν ψυχὴν, οὐρανῷ καὶ γῇ τὴν φύσιν μερίζεται, καὶ γίνεται αὐτῷ τὸ μὲν ἄνω μέρος ὑπερφυές τε καὶ ἄρρητον, τὸ δὲ κάτω, φημὶ δὲ τὸ σῶμα, θαυμάσιον. Καὶ τοῦτο δὴ τὸ ἄξιον καὶ λόγου καὶ θαύματος· πηγαὶ γὰρ αὐτῷ τῶν

μερῶν πάντοθεν ἀνερρώγεσαν, οὐ ποτίμων ὑδάτων καὶ οἷα πολλαχοῦ συνήθως αἱ τῆς γῆς ἀναδιδόασι σήριγγες, ἀλλὰ μύρου διειδεστάτου καὶ καθαροῦ, ὃ οὐδενί τις ἂν ἑτέρῳ παρεικάζειν δεδύνηται· ἥ τε γὰρ διαφάνεια, τό τε ἡδὺ τῆς ὀσφρήσεως, τό τε τῆς ἄλλης παρηλλαγμένον ποιότητος, ὑπερφυῆ πάντα καὶ ἀπαράμιλλα. Τούτῳ δὴ τῷ μεγάλῳ ἀρχιερεῖ Εὐθυμίῳ προσαναπεφύκει φίλτροις ἀρρήτοις ὁ θεῖος ἡμῶν καὶ μέγας πατήρ· ἔστι γὰρ ὥσπερ δὴ σωμάτων, οὕτω δὴ καὶ ψυχῶν συγγένεια κρύφιος, καὶ δηλοῖ τὸ
φ. 129*. γένος ἡ τῶν ἠθῶν ὁμοιότης· καὶ ἀνὴρ Εὐρωπαῖος | πολλάκις πολλὴν ὑπερβαλὼν θάλασσάν τε καὶ ἤπειρον τῷ ἐπὶ Λιβύης γεννηθέντι εἰς ταὐτὸ πολλάκις τοῖς ἤθεσι σύνεστι. Τοῖς γοῦν περὶ αὐτοῦ λόγοις ὡμιληκὼς ὁ πατὴρ, γνωρίζει τὴν οἰκείαν ἐν ἐκείνῳ ψυχήν, καὶ ἀπὸ γῆς εὐθὺς εἰς οὐρανὸν χίρεται, ἢ τό γε ἀληθέστερον εἰπεῖν καὶ ὅπερ αὐτὸς λανθάνειν ἠβούλετο, ἐκεῖσε συνὼν τῷ ἀνδρὶ ἐντυγχάνει καὶ τὴν ὁμιλίαν ἀσπάζεται. Ὅθεν ἐπόθει τούτου καὶ τὴν σκιὰν, καὶ τὴν πηγὴν ἰδεῖν ἐζήτει τοῦ μύρου, καὶ τὴν σορὸν κατασπάσασθαι, ἐξ ἧς ὁ τὴν ἐκκλησίαν εὐφραίνων ποταμὸς ὥρμηται. Ὡς δ' οὖν τότε θεὸς ἐκεῖσε τὸν ἄνδρα μετήνεγκεν, εὐθυμίας αὐτίκα καὶ ἡδονῆς ἀκηράτου πεπλήρωτο, καὶ πᾶσαν δυσχέρειαν τῆς μνήμης ἀποβαλὼν, ἔνθους ὥσπερ εἰσῄει τὸν θεῖον ἐκείνου νεὼν, καὶ πρὸς τῇ πηγῇ τοῦ σώματος γεγονὼς κλίνει τε ταύτῃ τὴν κεφαλὴν καὶ ἀμφιλαφῶς περιπτύσσεται, καὶ ὡς ζῶντι τούτῳ προσομιλεῖ ἄρρητα τοῖς ἄλλοις καὶ κρύφια· εἶτα τοῖς περὶ αὐτὸν, ἑσπέρα δὲ ἦν, αὐτοῦ που καθευδῆσαι κελεύσας κατὰ τὸ σύνηθες, ἐκεῖνος ἀνεῳγόσιν ὥσπερ φωσφόροις τοῖς ὄμμασι κατέλαμπέ τε τὸ σῶμα καὶ κατελάμπετο. Ὡς δὲ ἔδει αὖτανδρον αὐτῷ παρεῖναι τὸν θεῖον ἐκεῖνον Εὐθύμιον, ὕπνον αὐτῷ τοῖς ὀφθαλμοῖς βραχὺν ἐπιβάλλει θεὸς, ἵν' ἴδῃ τὸν ἄνδρα νοὸς καθαροῖς ὄμμασι· καὶ ὃς αὐτίκα παρῆν, χαρίεις τὴν ὄψιν. Ἱλαραί τε γὰρ αὐτῷ τῶν ὀφθαλμῶν αἱ βολαὶ, καὶ ἡ ὀφρὺς ἦθος ἐδείκνυ χάριτός τε καὶ μειδιάματος· τὸ δὲ σύμπαν σῶμα ἀρχιερατικοὶ χαρακτῆρες ἐκόσμουν· καὶ ἡδέως

τοῦτον περιπτυξάμενος, ἀμυθήτου τε χαρᾶς ἐμπίπλησι τὴν ψυχήν, καὶ φωνὴν τὴν ἡδίστην ἐκείνῳ ἀφίησιν· « λειτουργέ, γάρ φησι, θεοῦ καὶ ἀρχιερεῦ, μηκέτι σοι λόγος δικαστηρίων καὶ ἀντιθέσεων· κεκράτηκας γὰρ ἤδη καὶ νενίκηκας τὸν πειράζοντα, καί σοι ὁ στέφανος εὐτρέπισται ἄνωθεν, καὶ τὴν μεθ' ἡμῶν τάξιν κεκλήρωσαι καὶ μονήν! » Οὕτως ἐκεῖνος εἰρήκει· τὸν δὲ αὐτίκα ὕ τε ὕπνος καὶ ὁ λέγων ἀπέλιπε· καὶ ἀναστὰς εὐθὺς (ἤδη δὲ τὸ περίορθρον ἦν), τό τε εἶδος καὶ τὴν ψυχὴν μετηλλοίωτο· ὅθεν ὁ τὴν φυλακὴν ἐκείνου πεπιστευμένος, θειοειδέστερον οὕτως ἑωρακὼς ἐθαύμασέ τε καὶ τὴν αἰτίαν τῆς μεταβολῆς ἤρετο. Ὁ δὲ, τοσοῦτον αὐτῷ εἰρηκώς· « ὅτι με θεὸς ἤδη πρὸς ἑαυτὸν μεταπέμπεται, καὶ τῶν ὑμετέρων ἁφαρπάζει χειρῶν », ἀπάγειν αὐτὸν οὗ προσετέτακτο παρεκελεύσατο, ἑνὶ τῶν πάντων γνωρίσας τὴν ὄψιν, ᾧ δὴ καὶ τὰ τιμιώτατα παρὰ τοὺς ἄλλους ἐπίστευε. Καὶ οὗτος ἑτοίμῳ τῷ σκάφει χρησάμενος καὶ πρὸς ἀναγωγὴν εὐτρεπεῖ, τὸ τῆς δίκης χωρίον καταλαμβάνει, εἰπεῖν δὲ μᾶλλον τὸ τῆς ἐκείνου πρὸς τὰ κρείττονα μεταθέσεως.

Ἐπειδὴ γὰρ ἔδει δυεῖν θάτερον πρὸς τοὺς περὶ τῆς οἰκείας ψήφου κινδύνους χωρήσαντα καὶ τοῖς πολλοῖς ἀντικαταστάντα δικασταῖς τε καὶ προηγόροις καὶ συνηγόροις τοῦ πλάσματος, καὶ αὐτῷ δὴ τῷ βασιλεῖ γενναίως ἀπομαχόμενον, ἢ αὐτὸν τῶν πολλῶν ἡττηθέντα, ὅπερ οὐκ ἂν ἐγεγόνει, ἀλλ' οὕτω τῇ διαιρέσει ὁ λόγος ἔπεται, τοῦ θρόνου ὑποχωρῆσαι, ἢ τὴν ἑτέραν μερίδα σύμπασαν διαρραγῆναι καθαπερεὶ φάλαγγα καὶ εἰς τοὐπίσω χωρῆσαι τὴν αἰσχύνην οὐκ ἐνεγκοῦσαν, ὅπερ οὐ πάνυ ἐκείνῳ δοκοῦν ἦν, ἑαυτῷ παρακινδυνεύειν πολλοὺς, διὰ ταῦτα οἰκονομεῖται τὸ μέλλον καλῶς ἄνωθεν, καὶ γίνεται τῶν ἐνταῦθα δικαστηρίων κυριώτερον τὸ θεῖον δικαιωτήριον, καὶ ὁ πρὸς κρίσιν ἀγόμενος εἰς οὐρανοὺς ἀνάγεται στεφανηθησόμενος.

Σκοπῶμεν δὲ καὶ ἄλλως τὸν λόγον, ἵν' εἰδῶμεν ὅτι οὐ τομή τις αὐτῷ ἐγεγόνει ὁ θάνατος, ἀλλ' ἐξ οἰκονομίας θειοτέρας μετάθεσις·

θῶμεν δὲ αὐτὸν τῷ λόγῳ, ἢ σιωπῶντα κρινόμενον, ἢ πρὸς ἕκαστ
τῶν λεγομένων τὴν ὑπὲρ ἑαυτοῦ ἀπολογίαν ποιούμενον· οὐδὲ γ
μέσον ὁ λόγος ἔχει τήν γε πρώτην τομήν, ἀλλ' εἰ μὲν σιωπ
εἱστήκει, αὐτῷ τούτῳ ἑαλωκὼς ἦν· καὶ τὸ μὲν ἐπ' ἐκείνῳ π
δοσία τῆς ἀρχιερωσύνης τὸ πρᾶγμα, τὸ δ' ἐπὶ τοῖς ἄλλοις, ἤ
τις οὐκ ἀμφίλογος· εἰ δ' εἰς ἀπολογίαν καθίσταιτο, εἰ μὲν ἀ
πῶν ἠττήθη, δυεῖν αἰσχύναιν εἰκότως ἂν ὑποβέβλητο, τῷ τε
ἑαυτοῦ ἀντερεῖν, καὶ τῷ οὕτω διελόμενον ἥττω δόξαι τῶν κα
γόρων· εἰ δὲ κρατήσειε τῶν ἐν δικαστηρίοις ἀγώνων, καὶ οἷα
γεννάδας ἀνὴρ μόνος τοὺς πάντας καταγωνίσαιτο, τὴν μὲν ἑτέ
οὐχ εἶχεν αἰσχύνην, φιλόδοξος δ' ἂν ἄνθρωπος ἔδοξε τοῖς πολλ
ὡς ὑψηλῶν θρόνων καὶ ὑψηγορίας πατριαρχικῆς ἀντεχόμενος. Τ
οὖν μηδὲ ὑποψίας αὐτῷ μῶμος παρὰ μηδενὸς προστριβείη, μη
ἔχοι τις λέγειν, ὡς τόδε μὲν κατώρθωκε, τοῦδε δὲ ἥττηται, κα
ὅτι πλέον αὐτῷ τῆς νίκης τὸ φίλαυτον καὶ ὁπόσα γλῶτται σ
νηραὶ καὶ τὰ κρείττω συκοφαντόρειαι λέγειν εἰώθασιν, ὑποτέμν
θεὸς τοῖς μὲν πολλοῖς τὴν πρὸς ἐκεῖνον ἀπέχθειαν, ἐκείνῳ δὲ τ
πρὸς τούτους δυσχέρειαν, ἢ μᾶλλον, οὐκ ἔχω γὰρ ὅπη θαυμασ
διαιτήσω καὶ ὑπερφυεῖ θαύματι, τῷ μὲν βασιλεῖ τὴν πρὸς τ
χεῖρον ὁρμὴν ἵστησι, τῷ δὲ ἀρχιερεῖ τὴν πρὸς ἑαυτὸν ἀνθίστησ
κλίμακα, ἵν' ἔχοι ῥᾳδίως εἰς οὐρανοὺς ἀνιέναι, τοῦ συμφυοῦς ἄνε
φορτίου τῷ πτερῷ τῆς ψυχῆς κουφιζόμενος· οὐκ ἐβούλετο δὲ ἆρ
τὸ κρεῖττον τῶν τηλικούτων ἐκείνων ἀγώνων ἐπὶ γῆς λαβεῖν αὐτὸν
τὴν ἀντίδοσιν, οὐδ' ὧν ὑπεχώρησε θρόνων, οὕτω γὰρ εἰπεῖν πρε
πωδέστερον, ἅτε μὴ τοῦ καιροῦ κατεξαναστὰς, τούτους αὖθις ἀν
τιδοθῆναι αὐτῷ ὧν ἤδη καταπεφρονήκει, τῶν πολλῶν καμάτων
p. 130. καὶ τῆς ἀγωνίας ἢ | μαρτυρίας ἐρεῖν ἀληθέστερον, ὑπὲρ ὧν ἡ ἄνω
τούτῳ Ἱερουσαλὴμ παρὰ τοῦ δικαίου ἀποκεκλήρωτο βραβευτοῦ.

Ἐπαγωνίζομαι δὲ τῷ λόγῳ τὴν αὐτὴν πολλάκις ἀνακυκλῶν
ἔννοιαν, οὐχ ἵνα δόξω φιλοτιμότερος τῶν πολλῶν· τί γὰρ ἄν τις
τῷ περὶ ἐκείνου λόγῳ φιλοτιμήσαιτο, τοῖς πᾶσιν ἐλλείποντι καὶ

ἐραρθῆναι τῷ τοῦ ἀνδρὸς ὕψει μὴ δυναμένῳ, ἀλλ' ἵν' ἐνδείξωμαι ὥσπερ αὐτῷ καὶ τὰ τῶν πατέρων κεκαινοτόμηται καὶ τὰ τῆς ετῆς καὶ τῆς περὶ τὸ καλὸν νεύσεως, καὶ ὑπερφυῆ πάντα ὁ λόγος έδειξεν, οὕτω δὴ καὶ ὁ θάνατος κατὰ πρόγνωσιν μόνον ἀφώστο· τὸ δ' ἄλλο μέρος παρὰ τοῦ κρείττονος ἐσχεδίασται τῷ παὶ, καὶ ἔτι μᾶλλον αὐτόθεν τὸ πρᾶγμα δώσει τὸν ἔλεγχον· μεταεποίητο πρὸς τὸ κρεῖττον καὶ ὑψηλότερον παρὰ τῆς τοῦ κρείττονος μφανείας ὁ ταύτην ἀρρήτοις θεασάμενος ὄμμασι, στερρότατος αυτοῦ ἐγεγόνει καὶ ῥωμαλεώτερος πρὸς πᾶσαν ὁρμήν.

Αὐτίκα τοῦτον ὁ πλοῦς τῇ χέρσῳ ἀπέδωκε· βραχὺ τὸ ἐξ ἠπείρου πρὸς ἤπειρον διὰ θαλάσσης διάστημα, ζεφύρου ὥς φασιν αὖρα διὰ τῆς ὑγρᾶς τοῦτον παρέπεμπε καθηδύνουσα, οὐ ταράττουσα, μετ' εὐθυμίας ἄγουσα, οὐ σὺν φόβῳ ἐλαύνουσα, ἔτι μᾶλλον ἐπὶ τούτοις ἐρρώννυτο· εἶτα τί; Τῆς οὐ πάνυ ποθουμένης ἥψατο γῆς· τοῦτο γὰρ τοῖς κατὰ θάλατταν κινδυνεύουσιν ἐρασμιώτατον εἴπερ τι ἄλλο καθίσταται, τῷ δὲ οὐδὲν δεινὸν ἐκεῖσε ἐγεγόνει, ἀλλὰ καὶ τὰ πάντων ἥδιστά τε καὶ θυμηρέστατα· εὐσταθὴς ἡ ἀπόβασις, στερροτάτη ἡ κίνησις· ὁμοῦ δὲ ἐντὸς ἐγεγόνει τῆς ὑψηλῆς δι' ἐκεῖνον καταγωγῆς, καὶ οὐκ οἶδα εἴτέ τι τῶν θειοτέρων καὶ ἀπορρητοτέρων ἰδὼν, ἢ ἄλλως προγνοὺς τὸ ἐσόμενον, ἑαυτοῦ τε ᾔσθετο μαλακῶς ἔχοντος, καὶ προαγγέλλει τοῖς τότε συμπαροῦσιν ἐκείνῳ ὑπόγυον τὸν θάνατον ἑαυτῷ· εἶτα δὴ, ἀλλὰ τί ποτε τῷ λόγῳ χρήσομαι; πότερον εἰς θρήνους ἐνταῦθα ἐμπεσοῦμαι καὶ δάκρυα, σβεννύμενον ἤδη τὸν μέγαν φωστῆρα δεικνὺς καὶ τὴν μεγάλην τοῦ λόγου σάλπιγγα αὐτίκα σιωπήσεσθαι μέλλουσαν, ἢ γενναιότερον τὸ ἐκείνου πρᾶγμα ἐξαγγελῶ, καὶ τὴν οὐκ ἂν εἴποιμι τελευτὴν, ἀλλ' ἔπαρσιν ἢ ἀνάβασιν, ἢ τελεωτέραν ὑψωσίν τε καὶ θέωσιν; ἐμοὶ δὲ καὶ βουλομένῳ οὕτως ἐρεῖν καὶ τὸ ἐκείνου πάθος μιμήσασθαι καὶ ὑπερφυεῖ τῷ διηγήματι χρήσασθαι, ἀστακτὶ τὰ δάκρυα καταρρεῖ ἐνθυμουμένῳ ὅτι τὸ μέγα τῆς ἀληθείας φῶς (πῶς ἂν εἴποιμι ἀκριβέστερον;) ἐφ' ἑτέραν οἰκουμένην ἀπαίρειν

ἡτοίμαστο, καὶ ὁ γενναῖος ἐκεῖνος ἀγωνιστὴς ἀπὸ τῶν κάτω μ
ἐφ' ἑτέρας μετεσκήνου τὰς ὑψηλοτέρας καὶ μείζονας· ἀλλὰ δι
τήσω δικαίως ἀμφοτέροις τοῖς μέρεσι, τὸ μὲν τῷ πάθει διδοὺς τ
δὲ τῇ ἐκείνου στερρότητι.

Ὡς γοῦν εἶδε τοὺς ἀγγέλους αὐτὸν ἤδη περιεστηκότας καὶ τ
δορυφορίαν τοὺς ἄγοντας εὐτρεπεῖς, ὦ φιλοθέου ψυχῆς! ὦ γν
μης τῶν πάντων ὑψηλοτέρας! ὦ μνήμης κἂν τοῖς ρεθεῖ
ἀσυγχύτου, καὶ νοερωτέρας μᾶλλον ἢ αἰσθητικωτέρας! σπένδε
ταῖς πρὸς αὐτὸν τυραννίσιν εὐθὺς, καὶ ὥσπερ δεξιοῦται τοὺς κα
δράσαντας, καὶ ἀμνηστίαν ὧν ἐπεπόνθει πᾶσι μνηστεύεται, τ
βασιλεῖ, τοῖς ἐπὶ τῶν δικαστικῶν θρόνων, ὅσοι τὴν γλῶτταν
ἐκεῖνον θρασύτερον ἔθηξαν, τοῖς προηγόροις, τοῖς συνηγόροις, τ
τοὺς κειμένους νόμους παρερμηνεύουσι, τοῖς ὅσοι τὴν γλῶτταν δεν
καὶ πείθειν ἐφ' ἑκάτερα, τοῖς πᾶσιν ἁπλῶς οἷς προσκέκρουκεν
τινες αὐτῷ προσκεκρούκασιν· ἀπολύει τοὺς δεδεμένους αὐτῷ τ
πνευματικωτέρων καὶ θείων ἀφορισμῶν, δίδωσι τοῖς οὕτως ὑπερ
ρίοις ἐπὶ τὴν Ἱερουσαλὴμ κάθοδον, ἐπανάγει τῆς αἰχμαλώτου
ἐλευθεροῖ τῶν κινδύνων· εἶτα δὴ καὶ προσεύχεται τοῦ λαοῦ, κα
χεῖρας πρὸς θεὸν ὁσίας αἴρει, καὶ τελευταῖον θῦμα τὴν σύμπασαν
ὡς εἰπεῖν οἰκουμένην ὁ μέγας θύτης καὶ ἀρχιερεὺς τῷ μεγάλῳ προσ
άγει ἀρχιερεῖ ἅμα καὶ θύτῃ· ἐπὶ τούτοις ἠρέμα καὶ γαληνίως κα
ὥσπερ προσφορὰν τῷ θεῷ διδοὺς ἢ ἀποδιδοὺς αὐτῷ τὴν παραθήκην
ἀθιγῆ τε καὶ ἀδιάφθορον, ἣ βελτίω καὶ κρείττονα, τὴν ἑαυτοῦ
ἀποθύει ψυχήν. Ὦ διπλοῦ πάθους, διαιρεθέντος εὐθὺς τῷ τε ἄνω
κόσμῳ καὶ τῷ καθ' ἡμᾶς βίῳ, εὐθυμίας λέγω καὶ ἀθυμίας, εὐφρο
σύνης καὶ σκυθρωπότητος· εἰκὸς γὰρ ἀγγέλους μὲν καὶ τὰς θειο
τέρας τῶν ἄνω ψυχῶν συνευθυμεῖν ἐκείνῳ καὶ συναγάλλεσθαι προσ
κιρτᾷν τε καὶ συσκιρτᾷν, καὶ συμμετέχειν ἐκείνῳ τῶν μυστηρίων
καὶ τῶν ἐλλάμψεων, ὥσπερ δὲ καταδύντος ἡλίου, βαθεῖά τις ἀχλὺς
αὐτίκα διεσκεδάσθη κατὰ πάσης τῆς γῆς, καὶ ψηλαφητὸν σκότος
εὐθὺς ἡμᾶς κατειλήφει οὐκ ἔχοντας ὁρᾷν τὸν μέγαν ἐκεῖνον λαμ-

πτῆρα καὶ σωτῆρα τῶν ἡμετέρων ψυχῶν· ὦ καλῶς σὺ τῶν ἐνταῦθα θορύβων ὑπεράνω γενόμενος καὶ τῶν πολλῶν καμάτων ἀναπαυσάμενος, καὶ τοῦ τὰς ἐμφάσεις τῶν θειοτέρων ἔχειν, αὐτὴν τῶν ἀκηράτων ἀνταλλαξάμενος τὴν ἀλήθειαν, καὶ ἀπὸ τῶν ποταμῶν πρὸς τὴν πηγὴν ἐπανεληλυθὼς, καὶ ἀπὸ γῆς πρὸς τὰ οὐράνια κάλλη ἀναδραμὼν, ἢ μᾶλλον ἐκτὸς τῆς περιφορᾶς γεγονὼς καὶ τὰς μακαρίας θέας ἄρτι μυούμενος. Ὦ πᾶσαν μὲν διαδραμὼν ἀρετὴν, παντὸς δὲ μέρους δαψιλεστέρας νῦν τὰς ἀντιδόσεις ἀπολαβὼν, ἢ μᾶλλον πρὸς μίαν κορυφωθεὶς ἀντὶ πάντων ἰδέαν καλοῦ, τὴν ἐκ πάντων καὶ ἀντὶ πάντων | ἁπλουστάτην καὶ κρείττονα, καὶ τὴν φ. 130ᵛ.
τῆς ἀληθείας οὐσίαν ἰδὼν, ἥτις οὐκ ἐν συνθήκῃ λόγων, ἀλλ' ἐν ὑφεστῶτι καθέστηκε πράγματι, καὶ ὅλος ὅλῳ προσχωρήσας θεῷ, καὶ κάτω θεὶς τοὺς λόγους τῶν κτίσεων καὶ τοὺς ὑπερφυεστέρους μόνους ἀναλεγόμενος. Ὦ πάσης μὲν κἀν τῷ σώματι ὑπεραρθεὶς φύσεως καὶ γενέσεως, ἔτι δὲ νῦν ὑψηλότερος αὐτῶν γεγονὼς, καὶ ἀσυγχύτως τῷ τῆς ἁγίας τριάδος φωτὶ καταλαμπόμενος καὶ περιλαμπόμενος, καὶ τῆς τε τοῦ καλοῦ ἀπολαύων πηγῆς, τήν τε ὑπερκειμένην τοῦ ἀγαθοῦ φύσιν ὁρῶν· ὦ πάντων τῶν ἐν τῷ κόσμῳ ἐν αὐτῷ δὴ τῷ κόσμῳ καταφρονήσας, καὶ πάντων γενναίως ὑπεριδὼν, δόξης, λαμπρότητος, θρόνων ὕψους, σωμάτων κάλλους, κρότων, εὐφημιῶν, πάσης ἁπλῶς τῶν ἐνταῦθα ὑπερβολῆς! Ὦ κἂν τοῖς χείροσι τοῖς κρείττοσι παραμιλληθεὶς, καὶ τοῦ μαρτυρικοῦ μετὰ τούτων κεκοινωνηκὼς ἀξιώματος, ὧν τὴν εὐσέβειαν καὶ τὴν παρρησίαν ἐζηλωκὼς, καὶ τῶν αὐτῶν διὰ ταῦτα γέγονας παθημάτων μετὰ τῆς θεολογικῆς σάλπιγγος, τῶν ἀρχιερατικῶν θρόνων ἀπώσθης, ἢ μᾶλλον δι' οἰκονομίαν βραχύ τι τοῖς πολλοῖς ὑπεχώρησας, μετὰ τῆς Χρυσοστομικῆς χάριτος, μετὰ τῆς Ἀθανασίου τοῦ πάνυ ψυχῆς, μετὰ τῶν ὑπὲρ τούτους καὶ ἐπ' ἐκείνοις, οἷς ἡδύ τι χρῆμα ἡ τῶν θρόνων ἔδοξεν ἀναχώρησις, οἷς οὐδὲ ἐξ ἀρχῆς ἐπεπήδησαν· ζηλοῦσιν ὑμᾶς ἐν οὐρανῷ νῦν οἱ ἄλλως ἀναπαυσάμενοι, οὐ γὰρ ἐσχήκασιν ἴσως τῆς μαρτυρίας τὴν παρρησίαν, οὐδ' ἔχουσι τῆς ἐνταῦθα κακοπαθείας

τὴν ἀντιμέτρησιν. Ὦ, ἀλλὰ ποίοις ἄν σε λόγοις ἀνακαλέσωμαι; ποίαν δὲ προσθήκην εὑρήσω, ὧν τε νῦν παρὰ θεοῦ ἔσχηκας καὶ τῆς μελλούσης καὶ τελεωτέρας ἀνταποδόσεως, εἰπεῖν δὲ καὶ τῆς ἐνταῦθα ὑπερφυοῦς καὶ θειοτέρας ἀντιμετρήσεως, ἧς ὀλίγοι τῶν πάντων ἐπὶ γῆς τετυχήκασιν· οὐ γάρ σοι τὸ σῶμα διαλυθέντι διέφθαρται, οὐδ' ἀνελύθη τὸ πλάσμα εἰς τὰ στοιχεῖα παρ' ὧν συντέθειται, οὐδ' ἐταμιεύθη ἀέρι καὶ πυρὶ, καὶ γῇ καὶ θαλάσσῃ τὸ σὸν ὑπερφυὲς σύγκριμα· ἴσως γὰρ οὐδ' ἐξ ἐκείνων συμπέπηκται, ἵνα τι τολμήσω νεανικώτερον, διὰ ταῦτα οὐδὲ πρὸς ἐκεῖνα διαρρεῖ. Ἐρρέτωσαν Ἑλληνικοὶ λόγοι, μάτην φιλόσοφοι δόξαντες, οἳ τὸν δημιουργὸν ἐπεισάγουσι μέρη τινὰ τοῖς συγκρίμασι δανειζόμενον ἀπὸ τῶν στοιχείων, ἵνα τοῖς αὐτοῖς ἐκείνων χρήσωμαι λόγοις, καὶ αὖθις ἀποδιδόντα ἐν ταῖς διαλύσεσιν ἢ ἀναλύσεσιν· ἐξήλεγκται γὰρ ἐπὶ σοῦ καὶ τὸ καινὸν δάνειον καὶ ἡ καινοτέρα ἀπόδοσις. Ὦ καὶ μετὰ θάνατον ἐν ἀμφοτέροις τοῖς μέρεσσι ζῶν, καὶ μηδὲν ἀλλοιώσας σχεδὸν τοῦ σώματος, μήτε τοῦ χρώματος ὡς εἰπεῖν, μήτε τοῦ σχήματος, λέγω δὴ τοῦ ἀρχιερατικοῦ τε καὶ κρείττονος· ἐσφράγισται γάρ σοι ἡ δεξιὰ τῷ τοῦ σταυροῦ τύπῳ, καὶ τῶν δακτύλων οἱ μὲν ἀνεστήκασιν, οἱ δὲ πρὸς ἀλλήλους συννεύουσιν εἰρήνην σύμπαντι πρυτανεύοντες. Ὦ πάσας ἐκστήσας καρδίας καὶ τεθνηκὼς, καὶ πᾶσι γενόμενος ποθεινότερος καὶ σεβασμιώτερος. Σὲ καὶ βασιλεῖς ὁρῶντες θαυμάζουσι, καὶ πατριάρχαι θεώμενοι καταστάζονταί τε καὶ μακαρίζουσι. Τῷ σῷ τάφῳ αὐτὸς ὁ τιμήσας σε διὰ τῆς ὑπερορίας, ἵνα μετρίως τῷ λόγῳ χρήσωμαι, προσελήλυθε βασιλεὺς, καὶ ὡς οἷόν τε ὑπὲρ τῶν πεπραγμένων ἀπελογήσατο, καί σε ὡς ἔμψυχον περιεπτύξατο πάντοθεν, καὶ πολλὰ κατέσπεισε δάκρυα, καὶ συγγνώμην ὧν ἔδρασεν αἰτησάμενος εἴληφε. Περὶ γὰρ τοῦ ἑτέρου τί ἂν λέγοιμι αὐτοκράτορος, ᾧ δὴ καὶ ζῶν πατὴρ ἐν πνεύματι καθειστήκεις, καὶ παράδειγμα ἀρετῆς καὶ τῶν κρειττόνων καθηγητὴς, καὶ νῦν τεθνηκὼς οὐδὲν ἧττον ταῦτα εἰ μὴ καὶ μᾶλλον, ᾧ καὶ πόρρωθεν προεγνώκεις τὸ κράτος καὶ ἐν ἀπορρήτοις

συμβόλοις ἐγνώρισας, καὶ τὴν ἀδελφιδῆν κόσμον βασίλειον προητοίμασας καὶ θείαν συζυγίαν ἡρμόσω ὥσπερ φωστήρων τινῶν σύνοδον, τότε μὲν ἀμαυρότερον, νῦν δὲ λαμπρότερον ἐπὶ τῶν βασιλείων ἐκλάμπουσαν, καὶ νῦν αὖθις τὴν σωτηρίαν κατεγγυᾷ καὶ τὴν ἐς τὸ γένος τῆς βασιλείας διαδοχήν· οὗτοι δὲ οὐκ ἰδιῶτιν τότε λαχόντες μόνον ζωὴν ὡς κρείττονα ἐσεβάζοντο, ἀλλὰ καὶ νῦν τοῖς βασιλείοις ἀναδούμενοι στέμμασιν, ὡς ὑπερφυεῖ ἀνδρὶ προσίασι καὶ θεοειδεῖ, καί σου τὴν σορὸν ἑκατέρωθεν περιΐστανται, καὶ σὺν αἰδοῖ καὶ φόβῳ τῷ σῷ παρίστανται σώματι, ἀντωπῆσαί σοι τρανότερον μὴ δυνάμενοι. Σὲ μόνον τῶν πάντων ἡ γῆ καλύπτειν οὐ δύναται· αἱ γὰρ τῶν πολλῶν ὑφαρπάζουσι χεῖρες καὶ οὐκ ἀξιοῦσι τὸν ζῶντα μετὰ τῶν νεκρῶν λογισθῆναι, ἀλλ' ὡς ἐμψύχου ἀντέχονται καὶ προσομιλοῦσιν ἡδέως ἀγαπῶντες ὁμοῦ καὶ θαυμάζοντες. Τοῦ δὲ μετὰ σὲ θείου θύτου καὶ ἱεροῦ θύματος, τῆς μεγάλης τῶν κρειττόνων σάλπιγγος καὶ πάντα περιηχούσης τὰ πέρατα, πῶς ἄν τις τὴν περὶ σὲ μεγαλοψυχίαν καὶ φιλοτιμίαν ἐνδείξαιτο; ὃς δὴ τῶν πάντων ταῖς ἀρεταῖς ὑπερκείμενος παραχωρεῖ σοι τοῦ πρωτείου καὶ τελευτήσαντι, καὶ ἐτησίοις τιμαῖς πανηγύρεσι, τοῦτο τοῖς πᾶσι νομοθετῶν καὶ πρὸ τῶν ἄλλων ποιῶν.

Ἔδει μὲν οὖν ἀσυγκρίτῳ σοι πρὸς ἅπαντα γεγονότι μηδένα τῶν πάντων παραβαλεῖν, μᾶλλον δὲ πρὸς μηδένα σε τῶν γεγονότων ἀντιμετρῆσαι, ἀλλ' ὥσπερ σοι θεὸς τὴν ἀρετὴν, οὕτω δὴ καὶ ἡμεῖς ἀσύγκριτόν σοι τὸν λόγον χαρίσασθαι· ἵνα δέ σοι μηδενὸς μέρους τῶν δεδομένων ὁ λόγος λείποιτο, φέρε δὴ καὶ τοῦτο τὸ μέρος τοῖς ἐγκωμίοις προσαποδώσομεν. Ὁ ἐαρινὸς βρύει καρπός· μίαν γὰρ ὁ νεὼς τὴν τοῦ παντὸς ὥραν ἀπεκληρώσατο, ὥσπερ ὁ οὐρανὸς τὴν ὑπερφυῆ, ἀλλ' ἔχει τι τὸ | παραβαλλόμενον ἐλάττωμά τι τοῦ πρωτοτύπου, πλὴν καὶ τοῦτο ὑπερφυὲς καὶ τοῦτο περικαλλές· ἐκεῖ μὲν γὰρ ὁ βότρυς ἴσως τὴν κλῆσιν οὐ ψεύδεται, οὐδὲ τὰς κληματίδας ἡ ἄμπελος, οὐδὲ ἡ αὔλαξ τὸν στάχυν, οὐδὲ τὰ φυτὰ τὴν ἄνθην, οὐδὲ τὸ μῆλον τὸ σχῆμα· ἀλλ' ὁ μὲν ταῖς χερσὶ τὸ γλεῦ- φ. 131.

κος ἀποβλυστάνει τῷ τρυγᾶν βουλομένῳ, ὁ δὲ ταῖς ἀποθήκαις τοῦ σίτου παντάπασι γνώριμος, καὶ τῶν ὁρωμένων ἕκαστον οὐκ ἐσχηματίσται μόνον, ἀλλὰ καὶ οὐσίωται καθαρῶς· ἐνταῦθα δὲ πολλοὶ μὲν οἱ βότρυες, καὶ πέπειροι ἴσως οἱ πλείους, τὰ τε τῶν φυτῶν ἄνθη ποικίλα τὴν θέαν, εἰ δέ τι τούτων τῇ χειρί τις ἐλεῖν βούλοιτο, ὁ μὲν ἐξηπάτηται, αὐτὰ δὲ αὐτίκα ἐλέγχεται· εἰ μὲν οὖν ἐν τῷ βάθει κεκρύφαται τὰ ὁρώμενα, τῆς ἀπορρήτου τοῦτ' ἂν εἴη φύσεως ἔργον, τοσαύτη δὲ τῶν παραπετασμάτων ἡ διαφάνεια, ὡς ἐκκεῖσθαι δοκεῖν, ἵν' οὕτως εἴπω, τῶν πεφυτευμένων τὴν ὥραν· οὕτως ἡ φύσις τοῖς λίθοις ἀντὶ γραφικῆς ἐπιστήμης, ἀντὶ εὐημερίας ἐαρινῆς ὑπερβαλλόντως ἐξήρκεσε, καὶ οὕτως ἐκεῖνος ταῦτά τε εἰς ἄκρον ἐκόσμησε, καὶ παρὰ τούτων ὅσον εἰς ἀγχινοίας λόγον κεκόσμηται· εἶεν.

Τὸ δέ γε ἀπόρρητον, πότερον ὡς αὐτὸ τοῦτο ἀπόρρητον σιωπήσω ἢ ἐξαγγελῶ ὡς οἷόν τε ταῖς φιλοθέοις ὑμῶν ψυχαῖς, τὸ θεῖον ὄντως τοῦ ἐρωτικότος καὶ ὑπερφυὲς θαῦμα, ὃ δὴ τῇ τελεωτάτῃ φιλοσοφίᾳ παραβάλλων αὐτὸς, ἐξητασμένον τοῖς ὅλοις εὕρηκα μέρεσιν; Ἀλλὰ τί μοι αὐτὸς, ὦ θαυμασία μοι καὶ τριπόθητε κεφαλή, ἐξαγγέλλεις τὴν ὄψιν ἣν ἀπορρήτως νοεροῖς τεθέασαι ὄμμασι; τί μὴ πρὸς πάντας τὸν λόγον θαρρεῖς; Ἀλλά σοι μυστήριον ἡ τῶν θειοτέρων ὅρασις γίνεται; ἢ δέδοικας μὴ τίς σοι τῶν πάντων διαπιστήσειεν, ἢ ἀπάτην νυκτερινὴν τὴν ὀπτασίαν ἡγήσαιτο; οὐ γὰρ τῆς σῆς ἡ ὄψις δυνάμεως, εἰ μή τί μοι μέμφοιο· εἰ γὰρ καὶ ὑπερφυές σοι τὸ μέτρον τῆς γνώσεως καὶ πολὺ τὸ ἀγχίνουν τῆς σῆς διανοίας καὶ ὑψηλὸν, ἀλλ' οὐ τοσούτῳ ὕψει κατάλληλον· εἰ δέ μοι καὶ τούτου τοῦ μέρους ὥσπερ δὴ καὶ τῶν ἄλλων παραχωρεῖς, καὶ βούλει παρὰ τῆς ἐμῆς γλώττης ἐξαγγελθῆναι τὴν σὴν θεοφάνειαν, ἐρῶ ὡς οἷόν τε τὴν φωνήν σοι τοῦ Δανιὴλ μιμησάμενος. Ἐθεώρεις, ὦ κάλλιστε, εἴπερ δὴ καὶ ἐθεώρεις, ἀλλὰ μὴ τύπωσις ἦν ἀπορρήτου θεάματος τὸ δόξαν ἐκεῖνό σοι ὅραμα· ἐθεώρεις γοῦν ἀνεῳγόσι τοῖς ὄμμασι τῆς ψυχῆς τὸ τοῦ ναοῦ τοῦδε σχῆμα καὶ

μέγεθος ἐν παραλλαγαῖς λαμπροτέραις καὶ κρείττοσιν· εἰστήκεις δὲ οὐκ ἐν μέσῳ τῷ τοῦ νεὼ ἐδάφει, ἀλλά σε αἱ μετέωροι καὶ πέριξ εἶχον στοαί· ἐθεώρεις οὖν, ἵνα δὴ καὶ πάλιν τοῖς προφητικοῖς χρήσωμαι ῥήμασιν, ἕως οὗ θρόνοι ἐτέθησαν δύο, καὶ ἧστην τὸ σχῆμα θαυμάσιοι, τὸ κάλλος ἀμίμητοι, ὧν ὁ μὲν τὸν μέγαν εἶχεν ἐνιδρυμένον πατέρα, ἄτερος δὲ νεφνίαν τινὰ κατεσέμνυνεν ἀποστολικῶς εἰπεῖν, ταῖς ἐσθήσεσι καταστράπτοντα, καὶ ὡς αὐτὸς εἴκασας πρὸς θεῖον ἀπεικασμένον καὶ ὑπερφυῆ ἄγγελον· καὶ σὺ μὲν ἰδὼν ἔφριξας, καὶ μικροῦ δεῖν ἐπεπήγεις τοῖς ὁρωμένοις· ὁ δέ γε θεῖος ἠρέμα περιεπτύσσετο καὶ ἐπανῆγε πρὸς τὸ θαρραλέον τῆς γνώμης, εἶτα δή σε καὶ ἐπανήρετο περὶ ὧν καὶ μάλιστα ἴσως ἐσπούδαζεν, ἢ καὶ ὧν ἐκήδετο ζῶν, καὶ πρὸς τὴν πεῦσιν ἀποκρινάμενος, ἐᾠκεις ἀναμνησθέντι ὧν πολλάκις ἐκεῖνος τοῖς φιλτάτοις τεθνηκόσιν ἐμέμφετο, ὅτι μηδὲν αὐτῷ τῶν θειοτέρων μυστηρίων καὶ ἐντὸς τοῦ οὐρανίου καταπετάσματος ἴχνος ἢ φαντασίαν ὑπνώττοντι ἐντεθείκεσαν, ἵν' ἔχοι τις σαφὲς εἰδέναι, τίς ἡ ἀνάβασις τῆς ψυχῆς, τίς ἡ λῆξις, ποῖος ὁ κλῆρος τῶν ἀκηράτων μονῶν· τούτων οὖν ἀναμνησθεὶς, αὐτόθεν τὸν μέγαν πατέρα συνείληφας, καὶ τοῖς ὁρωμένοις μὴ συγχυθεὶς, « ἀλλ' ἔγωγε, ἔφης, οὔτε ἐμαυτοῦ ἐπιλέλησμαι ὡς ἄρα με ὕπνος ἐξείλετο τῶν αἰσθήσεων, οὔτε τὸ σὸν πρᾶγμα ἠγνόηκα· οὐ γὰρ ὡς ζῶντί σοι προσέχω τὸν νοῦν, ἀλλ' οἶδά σου τὴν τελευτὴν ἀκριβῶς· ἀπάγγειλον οὖν μοι ὅπη σοι τὰ τῆς ψυχῆς ἔχει, καὶ πῇ τοῦ παντὸς κατεσκήνωσας, καὶ εἰ τῶν κρειττόνων θεωριῶν γέγονας, ἢ ὅλως τίς ἡ λαμπρότης ἢ συγκεκλήρωσαι. » Σὺ μὲν οὖν οὕτως, καὶ πλείων τῶν λεγομένων ἡ ἔφεσις· ὁ δὲ ἐβούλετο μέν τι λέγειν τῶν ἀπορρήτων, οὐκ ἐθάρρει δὲ τὴν ἐξαγγελίαν, εἰ μὴ ἐπιτραπείη παρὰ τοῦ κρείττονος· ἐπυνθάνετο γοῦν εἰ κἀκείνῳ δοκοῦν εἴη ἐξαγγεῖλαί τι τῶν μυστηρίων, καὶ εἰ ἐπιτρέπει τούτῳ τὴν προφοράν· ἐξελιπάρεις δὲ καὶ αὐτὸς, καὶ πολλοῖς ἠντιβόλεις στεναγμοῖς τε καὶ δάκρυσιν· ὁ δὲ παντάπασιν ἀδυσώπητος ἦν πρὸς τὴν ἱκετηρίαν καὶ οὐκ ἐδίδου τὴν ἀποκάλυ-

ψιν· οὐ γὰρ εἴη νενομισμένον φησὶν, ἀλλὰ παρὰ τοῖς ἄνω θησαυροῖς ταῦτα καταλέλειπται ἀνεκφοίτητα. Ὡς δὲ καὶ αὖθις πλείω τὰ δάκρυα, συνηγωνίζετο δέ σοι καὶ ὁ ἀδελφὸς ἀθρόον παραφανεὶς, καὶ οὐκ ἦν ἐκφυγεῖν τὸν ἄγγελον τὰς ὑμετέρας λαβάς, προτρέπει τῷ θείῳ βραχύ τι μέρος τῶν κεκρυμμένων εἰπεῖν, καὶ μὴ παντάπασιν ἀμυήτους τοὺς προκειμένους ἀπολιπεῖν· ὁ δ' οὐδὲν
φ. 131*. εἰρηκὼς, κεφαλίδα | τινὰ βιβλίου ἠρέμα τῶν κόλπων ἐξάγει, ὁποῖα δή εἰσι τὰ παρ' ἡμῖν εἰλητάρια, εἶτα δὴ καὶ ἀνελίξας πᾶσαν ἀνέπτυξεν. Ἐγέγραπτο δὲ οὐδὲν ἐν αὐτῇ, εἰμὴ ὅσον ἐκέχρωστο ἀκηράτῳ βαφῇ· καὶ ὁ ἄγγελος αὖθις· σὺ δὲ « ἀλλ' εἰ μὴ τῇ γλώττῃ, φησὶ, προφέρειν ἐθέλεις τὰ ἄρρητα, ἐν τῇ κεφαλίδι ταύτῃ τὸν λόγον κατάγραψον. » Ὁ δὲ ἀποροῦντι ἐῴκει ὅπως ἂν ποιήσαιτο τὴν γραφήν· καὶ ὁ ἐπιτρέψας « μαρτυρικῷ, φησὶ, ταύτην ἐξύφανον αἵματι· » καὶ ὃς αὐτίκα προτείνας τὴν δεξιὰν, οἷα δὴ καλάμῳ τῷ δευτέρῳ δακτύλῳ ἐκέχρητο· ὁ δὲ τοῦτον συστείλας, τὸν μετ' ἐκεῖνον, ὃς δὴ καὶ τρίτος ἑκατέρωθεν καὶ μέσος ἐστὶ, πρὸς τὴν γραφὴν τέθεικεν. Ἀποροῦντι δὲ τῷ πατρὶ ὁπόθεν ἂν κατάρξαιτο, « τοῖς τοῦ Παύλου φησὶν ἐκεῖνος, ἀπόχρησαι ῥήμασι, καὶ ῥῖον πρόγραμμα τοὺς ἀπορρήτους ἐκείνου λόγους προθεὶς τοῦ συγγράμματος, οὕτω τὸ λοιπὸν ἔπαγε. » Καὶ τὸ πρόγραμμα, « εὐλογητὸς ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. » Καὶ σὺ μὲν ἔδοξας πλείω εἶναι τὰ γραφησόμενα· ὁ δὲ ἀνελίξας αὖθις τὸ εἰλητάριον, τοσοῦτον γεγράφηκε πρὸς τῷ πέρατι, ὅτι Καλῶς· καὶ ἐπιδοὺς, « ἀλλὰ σύ τε, φησὶ, τὰ τῆς ἐμῆς χειρὸς ἐπίστασαι γράμματα, καὶ τοῖς ἄλλοις ἀναγνοὺς ταῦτα καὶ ἐπιδοὺς σαφῆ τὴν πίστιν τῆς ἐμῆς παράστησον λήψεως. »

Καὶ εἰπὼν ἀθρόον ἀνέπτη χερουβικῇ πτέρυγι· καὶ τοῦ ὕπνου ἀφέντος σε, εἶχε δὴ τὸ περίορθρον, ἀγωνίας μὲν καὶ φρίκης μεστὸν, σκιρτῶντα δὲ ὡς οὐκ ἄλλοτε οὕτως καὶ ἀγαλλόμενον· σὺ μὲν οὖν ὅπερ πέπονθας εἴρηκας, κἀγώ σοι τὴν γλῶτταν ἐχαρισάμην εἰς

τρανοτέραν ἐξαγγελίαν τοῦ ἀμεταβλήτου θεάματος· τὸ δέ γε ὅραμα οὐκ ἀληθὲς μόνον, οὐδ' ἄν τις βασκαίνων εἰς ἄλλο με παραπείσειεν, ἀλλὰ καὶ μυστικῶν δογμάτων πεπληρωμένον, οἷς ἐγὼ ἐντελὴς, ἵνα μικρόν τι καυχήσωμαι, τοῖς περὶ τὰ κρείττω βιβλίοις ἐντετυχηκὼς κἀκεῖθέν τι γνοὺς τῶν κρυφίων καὶ ἀπορρήτων. Ὁ μὲν γὰρ νεὼς ἐν ᾧ μεμύησαι τὸ μυστήριον, τῆς τε ἀληθοῦς μυήσεως σύμβολον καὶ τοῦ μυστηριώδους καὶ ἀδύτου θεάματος, αἱ δὲ μετέωροι τῶν στοῶν τὴν ὑπερφυῆ τούτου θεωρίαν παραδεικνύουσιν, οἱ δέ γε θρόνοι τὰς τοῦ λόγου προρρήσεις ἐπὶ τῇ ἀναπαύσει τῶν δικαίων ἐμφαίνουσιν, ὁ δὲ συμπαρὼν νεανίας, ὁ θεοειδὴς τὴν μορφὴν καὶ ὡς ἄν τις κυρίως εἴπῃ αὐτάγγελος, αὐτὸ μὲν δὴ τοῦτο τοῦ λόγου ἄγγελος. Ὁ δὲ λόγος εἰπεῖν τι βούλεται περὶ φιλοσοφίας ἐνταῦθα· πᾶν μὲν γὰρ δώρημα τέλειον ἄνωθεν κατὰ τὸν θεῖον φᾶναι ἀπόστολον, καὶ δοτὴρ ἁπάντων τῶν καλῶν καὶ πρύτανις ὁ θεὸς, ἀποχετεύουσι δὲ τὰς τοῦ ἀγαθοῦ πηγὰς ἄλλοι ἄλλοις ἄλλως καὶ ἑτεροίως ἑτέροις ἕτεροι· δυνάμεις γὰρ κρείττους μετά γε θεὸν τεταγμέναι τὰ κάλλιστα κατὰ τὴν ἄνω διαίρεσιν τοῖς ἀξίοις διδόασι· καὶ σώματα δὲ πλάττει μὲν ἡ φύσις, ἀλλὰ τελευταία καὶ προσεχῶς, ἄνω δὲ ταῦτα κρειττόνως διῄρηται, οὕτω δὲ καὶ ψυχαὶ σωμάτων συνοικίζονται οὐκ αἰδιον λαχοῦσαι τὴν ὕπαρξιν, ἀλλὰ συνυφανθεῖσαι τοῖς πλαττομένοις ἢ πεπλασμένοις· ἀφείσθω γὰρ τέως τὸ δόγμα ἀδιευκρίνητον, καὶ ὁ ἁπλοῦς τοῦ Εὐαγγελίου τὴν κάτω σοφίαν λόγος νικάτω· εἶτα δή τινες ψυχωθεῖσιν ἡμῖν ἐξουσίαι κρείττους ἐφίστανται, πρός τε τὸ καλὸν ἐπευθύνουσαι καὶ τὰ θειότερα παρεμφαίνουσαι, διαδέχονται δὲ ταύτας μείζους καὶ τελεώτεραι ἀναγομένοις ἡμῖν πρὸς τὸ καλὸν καὶ προκόπτουσι, καὶ αἱ πρὸς τῷ τέλει συγκληρωθεῖσαι τὴν διαίρεσιν τοῦ συνθέτου παρὰ θεοῦ κατὰ καιροὺς ὡρισμένους πιστεύονται· εἶτα δὴ τὴν ψυχὴν ἀπορραγεῖσαν τοῦ σώματος ἕτεραι δυνάμεις παραλαμβάνουσιν, ἀναγωγοὺς ταύτας καὶ φρουροὺς ἱεροὶ λόγοι φασὶ (λέγω δὲ πάντα περὶ τῶν κρειττόνων, τὴν γὰρ ἑτέραν μερίδα τῷ λόγῳ ἀφίημι νῦν),

Ἦν δ' ἄρα τῶν παρόντων δεινῶν τὰ προσδοκώμενα πολὺ χείρω καὶ χαλεπώτερα· κατεσκευάζοντο φρικώδη καὶ δεινὰ δικαστήρια, ἡτοιμάζοντο βαρεῖς δικασταὶ καὶ ἀπαραίτητοι πρὸς ὀργάς· πᾶν γένος ἀνθρώπων καὶ πᾶσα γλῶττα ἐπὶ τὸν συνήγετο· μηχαναὶ παντοῖαι τούτῳ συνεσκευάζοντο· τὰ μὲν τοῦ παντὸς ἐκινεῖτο, τὰ δὲ ὤδινε, τὰ δὲ ἔμελλε. Καὶ παρῆσαν ἐς ταὐτὸ σύμπαντες, ὥσπερ ὁ μῦθος ἔχει πάλαι τοὺς γίγαντας, οὐχ ἵνα τὴν γῆν ἀναρρήξαιεν, οὐδ' ἵνα τοὺς τοῦ οὐρανοῦ κίονας ἀποσπάσαιεν, ὅπως ἂν συμπέσῃ τὸ πᾶν καὶ εἰς ἀκοσμίαν ὁ κόσμος μεταβληθείη, ἀλλ' ἵνα ἕνα τῶν πάντων τοῦ κόσμου παντὸς ὑφέλοιντο. Τοσοῦτον ἦν τὸ κράτος αὐτῷ, καὶ οὕτως εἷς ἀνὴρ ἀντίρροπος πᾶσιν ἐδείκνυτο, καὶ ταῦτα οὐκ ἀντιπράττων, οὐκ ἀντιμηχανώμενος τούτοις, ἀλλ' οὐδὲ τὴν συγκίνησιν εἰδὼς ἀκριβῶς! ἀλλ' ἐφόβει τούτους οὐ τὸ ἀντιστῆναι τὸν ἄνδρα, ἀλλ' ὅτι οὐδ' ἠρεμοῦντα μετακινῆσαι δεδύνηνται. Ἠνώχλει δὲ τὸν πατέρα οὐχ ἡ τῶν πολλῶν γλῶττα, οὐδ' ἡ τῶν μηχανημάτων ἐπίνοια, οὐδ' ὁ πολὺς τῶν κατὰ τὴν ἤπειρον θόρυβος, ἀλλ' ἡ περίκλυστος τοῖς κύμασιν Ἴμβρος, οὗ κατακέκλειστο, οὐχ ὅτι ἐξήρκει τούτῳ εἰς δεσμωτήριον, ἀλλ' ὅτι κύμασι καὶ ναυτικοῖς περιηχεῖτο θορύβοις, οἷς ἐκεῖνος τὴν εὐχὴν ἀνεκόπτετο.

Ἐπεὶ δὲ ἀρκούντως εἶχε τῶν ἄθλων, καὶ οὐκ ἦν ὑπερβολὴ τοῖς κακοῖς, ἀλλὰ πᾶσα μάστιξ αὐτῷ παρὰ τοῦ τυραννοῦντος ἐπινενόητο, καὶ οὐ τρεῖς μόνοι τῶν φίλων, ὡς πάλαι τῷ μεγάλῳ ἀθλητῇ Ἰὼβ, ἵν' οὕτως εἴποιμι, συνερράγησαν, ἀλλὰ σύμπαντες, καὶ ὁμοῦ καὶ καθ' ἕνα συνεισπεπτώκασι πόρρωθεν, ἔδει δὲ πρὸς τῷ τέλει τῆς ἀγωνίας τυχεῖν τῶν βραβείων καὶ τῆς μεγάλης καὶ κρείττονος ἀναρρήσεως, ἀλλ' οὐ τῆς διπλῆς τῶν ἀπολωλότων αὐτῷ ἀντιδόσεως, ὧν οὐδὲ πρῶτον ἐφρόντιζε, χρηματίζει καὶ τούτῳ θεὸς, καὶ τούς τε λόγους διδάσκει τῶν ἐπενηνεγμένων αὐτῷ συμφορῶν, καὶ τοὺς ἀκηράτους στεφάνους αὐτίκα κατεπαγγέλλεται. Καὶ ὡς ἐπειδὴ μηδὲν ἐπὶ γῆς ἀντίρροπον εἴη οἷς ἠγωνίσατο καὶ νενίκηκεν, ἡ ἐν οὐρανοῖς αὐτῷ βασιλεία ἀντὶ τῶν κατὰ γῆν ἄθλων μεμνήστευται,

καὶ τὸ συνεῖναι τοῖς κρείττοσι, τοῦτο δὴ μόνον ἀνθάμιλλον οἷς ηὐδοκίμησε καταλέλειπται· ὁ δὲ τρόπος τῆς τοιαύτης προρρήσεως ὑπερφυής τε καὶ χαριέστατος. Ἔξω τειχῶν ἐφ' ἑνός του τῶν ἐπὶ Θράκης χωρίων καθῆστο τούτῳ τὸ δικαστήριον, ἐδεδίεσαν γὰρ τὴν πόλιν μή τι δι' ἐκεῖνον τῶν καθεστώτων παρακινήσαιεν· ἐπεὶ δὲ οἱ δικάσοντες ἐκ πάντων τῶν τῆς οἰκουμένης ἀπήντων μερῶν, κἀκεῖνος, οὕτω κεκελευσμένον, ἐκ θαλάσσης ἐπὶ τὴν ἤπειρον μετετίθετο· καὶ ὁ μὲν ἐβούλετο τῷ πρὸς τῇ Μαδύτῳ λιμένι προσχεῖν τὴν ναῦν τοὺς ἀπάγοντας (εἶχέ τι γὰρ ἐκεῖ σωτηρίας ἐμπόρευμα κρύφιον, ὃ δὴ σαφέστερον αὐτίκα ὁ λόγος γνωρίσει), οἱ δὲ εὐθὺ ἔπλεον, οὕτω προστεταγμένον αὐτοῖς, καὶ ὃς ἠνιᾶτο καὶ δεινοῖς ἀθυμίας βέλεσι τὴν ψυχὴν ἐτιτρώσκετο· προοιμιάζεται τούτῳ θεὸς ἐντεῦθεν τὰ κρείττονα, καὶ μεταλλάττει τῇ νηΐ τὰ ῥεύματα τῶν τε πνευμάτων καὶ τῶν κυμάτων, καὶ οἱ μὲν ἦγον ἐφ' ὃ κελευσθεῖεν καὶ τεχνικώτερον ἐχρῶντο τῇ εἰρεσίᾳ· ἡ δὲ ναῦς καθάπερ ἐκ μετανοίας πρὸς τὴν Μάδυτον ἀντεχώρει καὶ ἀντήρειδε πρὸς τοὺς ἄγοντας, καὶ τέλος νικᾷ τὰς ἐκείνων χεῖρας, καὶ προσοκέλλει τῇ Μαδύτῳ κατὰ τὸ βούλημα τοῦ πατρός.

Τί δὲ τοῦτο ἦν καὶ τίς ὁ πρὸς τὸν τόπον ἔρως τῆς μεγάλης ἐκείνου ψυχῆς; Ἀρχιερατεύει τις ἐν αὐτῇ οὐ πόρρω πολὺ τῆς καθ' ἡμᾶς γενεᾶς, ἄνθρωπος μὲν τὸ φαινόμενον, ἄγγελος δὲ ἢ θεὸς τὸ νοούμενον, θεῖος ὡς ἀληθῶς τὴν ψυχήν, ἐν παρέργῳ τῷ σώματι ζῶν, ὅλος θεῷ ἀνακείμενος λειτουργὸς τοῦ μεγάλου θύματος καὶ ὄντως ἐπόπτης τοῦ μυστηρίου, τὸ ἦθος ἁπλοῦς, κατὰ τὸν θαυμάσιον Ἰακὼβ, ἀγοραίου συμπάσης ἀπέχων καὶ τριβῆς καὶ δεινότητος, τὰ κρείττω κρειττόνως καὶ ὑπερφυῶς ἐπιστάμενος, τὴν κλῆσιν Εὐθύμιος, τὸν τρόπον εὐδόκιμος, τὸν λόγον τῷ θείῳ ἐπηρτυμένον ἐπιδεικνὺς ἄλατι· οὗτος ἀποθύσας θεῷ τὴν ψυχὴν, οὐρανῷ καὶ γῇ τὴν φύσιν μερίζεται, καὶ γίνεται αὐτῷ τὸ μὲν ἄνω μέρος ὑπερφυές τε καὶ ἄρρητον, τὸ δὲ κάτω, φημὶ δὲ τὸ σῶμα, θαυμάσιον. Καὶ τοῦτο δὴ τὸ ἄξιον καὶ λόγου καὶ θαύματος· πηγαὶ γὰρ αὐτῷ τῶν

Ἦν δ' ἄρα τῶν παρόντων δεινῶν τὰ προσδοκώμενα πολὺ χείρω καὶ χαλεπώτερα· κατεσκευάζοντο φρικώδη καὶ δεινὰ δικαστήρια, ἡτοιμάζοντο βαρεῖς δικασταὶ καὶ ἀπαραίτητοι πρὸς ὀργάς· πᾶν γένος ἀνθρώπων καὶ πᾶσα γλῶττα ἐπὶ τὸν συνήγετο· μηχαναὶ παντοῖαι τούτῳ συνεσκευάζοντο· τὰ μὲν τοῦ παντὸς ἐκινεῖτο, τὰ δὲ ὤδινε, τὰ δὲ ἔμελλε. Καὶ παρῆσαν ἐς ταὐτὸ σύμπαντες, ὥσπερ ὁ μῦθος ἔχει πάλαι τοὺς γίγαντας, οὐχ ἵνα τὴν γῆν ἀναρρήξαιεν, οὐδ' ἵνα τοὺς τοῦ οὐρανοῦ κίονας ἀποσπάσαιεν, ὅπως ἂν συμπέσῃ τὸ πᾶν καὶ εἰς ἀκοσμίαν ὁ κόσμος μεταβληθείη, ἀλλ' ἵνα ἕνα τῶν πάντων τοῦ κόσμου παντὸς ὑφέλοιντο. Τοσοῦτον ἦν τὸ κράτος αὐτῷ, καὶ οὕτως εἷς ἀνὴρ ἀντίρροπος πᾶσιν ἐδείκνυτο, καὶ ταῦτα οὐκ ἀντιπράττων, οὐκ ἀντιμηχανώμενος τούτοις, ἀλλ' οὐδὲ τὴν συγκίνησιν εἰδὼς ἀκριβῶς! ἀλλ' ἐφόβει τούτους οὐ τὸ ἀντιστῆναι τὸν ἄνδρα, ἀλλ' ὅτι οὐδ' ἠρεμοῦντα μετακινῆσαι δεδύνηνται. Ἠνώχλει δὲ τὸν πατέρα οὐχ ἡ τῶν πολλῶν γλῶττα, οὐδ' ἡ τῶν μηχανημάτων ἐπίνοια, οὐδ' ὁ πολὺς τῶν κατὰ τὴν ἤπειρον θόρυβος, ἀλλ' ἡ περίκλυστος τοῖς κύμασιν Ἴμβρος, οὗ κατακέκλειστο, οὐχ ὅτι ἐξήρκει τούτῳ εἰς δεσμωτήριον, ἀλλ' ὅτι κύμασι καὶ ναυτικοῖς περιηχεῖτο θορύβοις, οἷς ἐκεῖνος τὴν εὐχὴν ἀνεκόπτετο.

Ἐπεὶ δὲ ἀρκούντως εἶχε τῶν ἄθλων, καὶ οὐκ ἦν ὑπερβολὴ τοῖς κακοῖς, ἀλλὰ πᾶσα μάστιξ αὐτῷ παρὰ τοῦ τυραννοῦντος ἐπινενόητο, καὶ οὐ τρεῖς μόνοι τῶν φίλων, ὡς πάλαι τῷ μεγάλῳ ἀθλητῇ Ἰὼβ, ἵν' οὕτως εἴποιμι, συνερράγησαν, ἀλλὰ σύμπαντες, καὶ ὁμοῦ καὶ καθ' ἕνα συνεισπεπτώκασι πόρρωθεν, ἔδει δὲ πρὸς τῷ τέλει τῆς ἀγωνίας τυχεῖν τῶν βραβείων καὶ τῆς μεγάλης καὶ κρείττονος ἀναρρήσεως, ἀλλ' οὐ τῆς διπλῆς τῶν ἀπολωλότων αὐτῷ ἀντιδόσεως, ὧν οὐδὲ πρῶτον ἐφρόντιζε, χρηματίζει καὶ τούτῳ θεὸς, καὶ τούς τε λόγους διδάσκει τῶν ἐπενηνεγμένων αὐτῷ συμφορῶν, καὶ τοὺς ἀκηράτους στεφάνους αὐτίκα κατεπαγγέλλεται. Καὶ ὡς ἐπειδὴ μηδὲν ἐπὶ γῆς ἀντίρροπον εἴη οἷς ἠγωνίσατο καὶ νενίκηκεν, ἡ ἐν οὐρανοῖς αὐτῷ βασιλεία ἀντὶ τῶν κατὰ γῆν ἄθλων μεμνήστευται,

καὶ τὸ συνεῖναι τοῖς κρείττοσι, τοῦτο δὴ μόνον ἀνθάμιλλον οἷς ηὐδοκίμησε καταλέλειπται· ὁ δὲ τρόπος τῆς τοιαύτης προρρήσεως ὑπερφυής τε καὶ χαριέστατος. Ἔξω τειχῶν ἐφ' ἑνός του τῶν ἐπὶ Θράκης χωρίων καθῆστο τούτῳ τὸ δικαστήριον, ἐδεδίεσαν γὰρ τὴν πόλιν μή τι δι' ἐκεῖνον τῶν καθεστώτων παρακινήσαιεν· ἐπεὶ δὲ οἱ δικάσοντες ἐκ πάντων τῶν τῆς οἰκουμένης ἀπήντων μερῶν, κἀκεῖνος, οὕτω κεκελευσμένον, ἐκ θαλάσσης ἐπὶ τὴν ἤπειρον μετετίθετο· καὶ ὁ μὲν ἐβούλετο τῷ πρὸς τῇ Μαδύτῳ λιμένι προσχεῖν τὴν ναῦν τοὺς ἀπάγοντας (εἶχέ τι γὰρ ἐκεῖ σωτηρίας ἐμπόρευμα κρύφιον, ὃ δὴ σαφέστερον αὐτίκα ὁ λόγος γνωρίσει), οἱ δὲ εὐθὺ ἔπλεον, οὕτω προστεταγμένον αὐτοῖς, καὶ ὃς ἠνιᾶτο καὶ δεινοῖς ἀθυμίας βέλεσι τὴν ψυχὴν ἐτιτρώσκετο· προοιμιάζεται τούτῳ θεὸς ἐντεῦθεν τὰ κρείττονα, καὶ μεταλλάττει τῇ νηΐ τὰ ῥεύματα τῶν τε πνευμάτων καὶ τῶν κυμάτων, καὶ οἱ μὲν ἦγον ἐφ' ὃ κελευσθεῖεν καὶ τεχνικώτερον ἐχρῶντο τῇ εἰρεσίᾳ· ἡ δὲ ναῦς καθάπερ ἐκ μετανοίας πρὸς τὴν Μάδυτον ἀντεχώρει καὶ ἀντήρειδε πρὸς τοὺς ἄγοντας, καὶ τέλος νικᾷ τὰς ἐκείνων χεῖρας, καὶ προσοκέλλει τῇ Μαδύτῳ κατὰ τὸ βούλημα τοῦ πατρός.

Τί δὲ τοῦτο ἦν καὶ τίς ὁ πρὸς τὸν τόπον ἔρως τῆς μεγάλης ἐκείνου ψυχῆς; Ἀρχιερατεύει τις ἐν αὐτῇ οὐ πόρρω πολὺ τῆς καθ' ἡμᾶς γενεᾶς, ἄνθρωπος μὲν τὸ φαινόμενον, ἄγγελος δὲ ἢ θεὸς τὸ νοούμενον, θεῖος ὡς ἀληθῶς τὴν ψυχήν, ἐν παρέργῳ τῷ σώματι ζῶν, ὅλος θεῷ ἀνακείμενος λειτουργὸς τοῦ μεγάλου θύματος καὶ ὄντως ἐπόπτης τοῦ μυστηρίου, τὸ ἦθος ἁπλοῦς, κατὰ τὸν θαυμάσιον Ἰακὼβ, ἀγοραίου συμπάσης ἀπέχων καὶ τριβῆς καὶ δεινότητος, τὰ κρείττω κρειττόνως καὶ ὑπερφυῶς ἐπιστάμενος, τὴν κλῆσιν Εὐθύμιος, τὸν τρόπον εὐδόκιμος, τὸν λόγον τῷ θείῳ ἐπηρτυμένον ἐπιδεικνὺς ἅλατι· οὗτος ἀποθύσας θεῷ τὴν ψυχὴν, οὐρανῷ καὶ γῇ τὴν φύσιν μερίζεται, καὶ γίνεται αὐτῷ τὸ μὲν ἄνω μέρος ὑπερφυές τε καὶ ἄρρητον, τὸ δὲ κάτω, φημὶ δὲ τὸ σῶμα, θαυμάσιον. Καὶ τοῦτο δὴ τὸ ἄξιον καὶ λόγου καὶ θαύματος· πηγαὶ γὰρ αὐτῷ τῶν

Ἦν δ' ἄρα τῶν παρόντων δεινῶν τὰ προσδοκώμενα πολὺ χείρω καὶ χαλεπώτερα· κατεσκευάζοντο φρικώδη καὶ δεινὰ δικαστήρια, ἡτοιμάζοντο βαρεῖς δικασταὶ καὶ ἀπαραίτητοι πρὸς ὀργάς· πᾶν γένος ἀνθρώπων καὶ πᾶσα γλῶττα ἐπὶ τὸν συνήγετο· μηχαναὶ παντοῖαι τούτῳ συνεσκευάζοντο· τὰ μὲν τοῦ παντὸς ἐκινεῖτο, τὰ δὲ ὤδινε, τὰ δὲ ἔμελλε. Καὶ παρῆσαν ἐς ταὐτὸ σύμπαντες, ὥσπερ ὁ μῦθος ἔχει πάλαι τοὺς γίγαντας, οὐχ ἵνα τὴν γῆν ἀναρρήξαιεν, οὐδ' ἵνα τοὺς τοῦ οὐρανοῦ κίονας ἀποσπάσαιεν, ὅπως ἂν συμπέσῃ τὸ πᾶν καὶ εἰς ἀκοσμίαν ὁ κόσμος μεταβληθείη, ἀλλ' ἵνα ἕνα τῶν πάντων τοῦ κόσμου παντὸς ὑφέλοιντο. Τοσοῦτον ἦν τὸ κράτος αὐτῷ, καὶ οὕτως εἷς ἀνὴρ ἀντίρροπος πᾶσιν ἐδείκνυτο, καὶ ταῦτα οὐκ ἀντιπράττων, οὐκ ἀντιμηχανώμενος τούτοις, ἀλλ' οὐδὲ τὴν συγκίνησιν εἰδὼς ἀκριβῶς! ἀλλ' ἐφόβει τούτους οὐ τὸ ἀντιστῆναι τὸν ἄνδρα, ἀλλ' ὅτι οὐδ' ἠρεμοῦντα μετακινῆσαι δεδύνηνται. Ἠνώχλει δὲ τὸν πατέρα οὐχ ἡ τῶν πολλῶν γλῶττα, οὐδ' ἡ τῶν μηχανημάτων ἐπίνοια, οὐδ' ὁ πολὺς τῶν κατὰ τὴν ἤπειρον θόρυβος, ἀλλ' ἡ περίκλυστος τοῖς κύμασιν Ἴμβρος, οὗ κατακέκλειστο, οὐχ ὅτι ἐξήρκει τούτῳ εἰς δεσμωτήριον, ἀλλ' ὅτι κύμασι καὶ ναυτικοῖς περιηχεῖτο θορύβοις, οἷς ἐκεῖνος τὴν εὐχὴν ἀνεκόπτετο.

Ἐπεὶ δὲ ἀρκούντως εἶχε τῶν ἄθλων, καὶ οὐκ ἦν ὑπερβολὴ τοῖς κακοῖς, ἀλλὰ πᾶσα μάστιξ αὐτῷ παρὰ τοῦ τυραννοῦντος ἐπινενόητο, καὶ οὐ τρεῖς μόνοι τῶν φίλων, ὡς πάλαι τῷ μεγάλῳ ἀθλητῇ Ἰὼβ, ἵν' οὕτως εἴποιμι, συνερράγησαν, ἀλλὰ σύμπαντες, καὶ ὁμοῦ καὶ καθ' ἕνα συνεισπεπτώκασι πόρρωθεν, ἔδει δὲ πρὸς τῷ τέλει τῆς ἀγωνίας τυχεῖν τῶν βραβείων καὶ τῆς μεγάλης καὶ κρείττονος ἀναρρήσεως, ἀλλ' οὐ τῆς διπλῆς τῶν ἀπολωλότων αὐτῷ ἀντιδόσεως, ὧν οὐδὲ πρῶτον ἐφρόντιζε, χρηματίζει καὶ τούτῳ θεὸς, καὶ τούς τε λόγους διδάσκει τῶν ἐπενηνεγμένων αὐτῷ συμφορῶν, καὶ τοὺς ἀκηράτους στεφάνους αὐτίκα κατεπαγγέλλεται. Καὶ ὡς ἐπειδὴ μηδὲν ἐπὶ γῆς ἀντίρροπον εἴη οἷς ἠγωνίσατο καὶ νενίκηκεν, ἡ ἐν οὐρανοῖς αὐτῷ βασιλεία ἀντὶ τῶν κατὰ γῆν ἄθλων μεμνήστευται,

καὶ τὸ συνεῖναι τοῖς κρείττοσι, τοῦτο δὴ μόνον ἀνθάμιλλον οἷς ηὐδοκίμησε καταλέλειπται· ὁ δὲ τρόπος τῆς τοιαύτης προρρήσεως ὑπερφυής τε καὶ χαριέστατος. Ἔξω τειχῶν ἐφ' ἑνός του τῶν ἐπὶ Θράκης χωρίων καθῆστο τούτῳ τὸ δικαστήριον, ἐδεδίεσαν γὰρ τὴν πόλιν μή τι δι' ἐκεῖνον τῶν καθεστώτων παρακινήσαιεν· ἐπεὶ δὲ οἱ δικάσοντες ἐκ πάντων τῶν τῆς οἰκουμένης ἀπήντων μερῶν, κἀκεῖνος, οὕτω κεκελευσμένον, ἐκ θαλάσσης ἐπὶ τὴν ἤπειρον μετετίθετο· καὶ ὁ μὲν ἐβούλετο τῷ πρὸς τῇ Μαδύτῳ λιμένι προσχεῖν τὴν ναῦν τοὺς ἀπάγοντας (εἶχέ τι γὰρ ἐκεῖ σωτηρίας ἐμπόρευμα κρύφιον, ὃ δὴ σαφέστερον αὐτίκα ὁ λόγος γνωρίσει), οἱ δὲ εὐθὺ ἔπλεον, οὕτω προστεταγμένον αὐτοῖς, καὶ ὃς ἠνιᾶτο καὶ δεινοῖς ἀθυμίας βέλεσι τὴν ψυχὴν ἐτιτρώσκετο· προοιμιάζεται τούτῳ θεὸς ἐντεῦθεν τὰ κρείττονα, καὶ μεταλλάττει τῇ νηΐ τὰ ῥεύματα τῶν τε πνευμάτων καὶ τῶν κυμάτων, καὶ οἱ μὲν ἦγον ἐφ' ὃ κελευσθεῖεν καὶ τεχνικώτερον ἐχρῶντο τῇ εἰρεσίᾳ· ἡ δὲ ναῦς καθάπερ ἐκ μετανοίας πρὸς τὴν Μάδυτον ἀντεχώρει καὶ ἀντήρειδε πρὸς τοὺς ἄγοντας, καὶ τέλος νικᾷ τὰς ἐκείνων χεῖρας, καὶ προσοκέλλει τῇ Μαδύτῳ κατὰ τὸ βούλημα τοῦ πατρός.

Τί δὲ τοῦτο ἦν καὶ τίς ὁ πρὸς τὸν τόπον ἔρως τῆς μεγάλης ἐκείνου ψυχῆς; Ἀρχιερατεύει τις ἐν αὐτῇ οὐ πόρρω πολὺ τῆς καθ' ἡμᾶς γενεᾶς, ἄνθρωπος μὲν τὸ φαινόμενον, ἄγγελος δὲ ἢ θεὸς τὸ νοούμενον, θεῖος ὡς ἀληθῶς τὴν ψυχήν, ἐν παρέργῳ τῷ σώματι ζῶν, ὅλος θεῷ ἀνακείμενος λειτουργὸς τοῦ μεγάλου θύματος καὶ ὄντως ἐπόπτης τοῦ μυστηρίου, τὸ ἦθος ἁπλοῦς, κατὰ τὸν θαυμάσιον Ἰακὼβ, ἀγοραίου συμπάσης ἀπέχων καὶ τριβῆς καὶ δεινότητος, τὰ κρείττω κρειττόνως καὶ ὑπερφυῶς ἐπιστάμενος, τὴν κλῆσιν Εὐθύμιος, τὸν τρόπον εὐδόκιμος, τὸν λόγον τῷ θείῳ ἐπηρτυμένον ἐπιδεικνὺς ἄλατι· οὗτος ἀποθύσας θεῷ τὴν ψυχὴν, οὐρανῷ καὶ γῇ τὴν φύσιν μερίζεται, καὶ γίνεται αὐτῷ τὸ μὲν ἄνω μέρος ὑπερφυές τε καὶ ἄρρητον, τὸ δὲ κάτω, φημὶ δὲ τὸ σῶμα, θαυμάσιον. Καὶ τοῦτο δὴ τὸ ἄξιον καὶ λόγου καὶ θαύματος· πηγαὶ γὰρ αὐτῷ τῶν

μερῶν πάντοθεν ἀνερρώγεσαν, οὐ ποτίμων ὑδάτων καὶ οἷα πολλαχοῦ συνήθως αἱ τῆς γῆς ἀναδιδόασι σήριγγες, ἀλλὰ μύρου διειδεστάτου καὶ καθαροῦ, ὃ οὐδενί τις ἂν ἑτέρῳ παρεικάζειν δεδύνηται· ἥ τε γὰρ διαφάνεια, τό τε ἡδὺ τῆς ὀσφρήσεως, τό τε τῆς ἄλλης παρηλλαγμένον ποιότητος, ὑπερφυῆ πάντα καὶ ἀπαράμιλλα. Τούτῳ δὴ τῷ μεγάλῳ ἀρχιερεῖ Εὐθυμίῳ προσαναπεφύκει φίλτροις ἀρρήτοις ὁ θεῖος ἡμῶν καὶ μέγας πατήρ· ἔστι γὰρ ὥσπερ δὴ σωμάτων, οὕτω δὴ καὶ ψυχῶν συγγένεια κρύφιος, καὶ δηλοῖ τὸ
φ. 129*. γένος ἡ τῶν ἠθῶν ὁμοιότης· καὶ ἀνὴρ Εὐρωπαῖος | πολλάκις πολλὴν ὑπερβαλὼν θάλασσάν τε καὶ ἤπειρον τῷ ἐπὶ Λιβύης γεννηθέντι εἰς ταὐτὸ πολλάκις τοῖς ἤθεσι σύνεστι. Τοῖς γοῦν περὶ αὐτοῦ λόγοις ὡμιληκὼς ὁ πατὴρ, γνωρίζει τὴν οἰκείαν ἐν ἐκείνῳ ψυχὴν, καὶ ἀπὸ γῆς εὐθὺς εἰς οὐρανὸν αἴρεται, ἢ τό γε ἀληθέστερον εἰπεῖν καὶ ὅπερ αὐτὸς λανθάνειν ἠβούλετο, ἐκεῖσε συνὼν τῷ ἀνδρὶ ἐντυγχάνει καὶ τὴν ὁμιλίαν ἀσπάζεται. Ὅθεν ἐπόθει τούτου καὶ τὴν σκιὰν, καὶ τὴν πηγὴν ἰδεῖν ἐζήτει τοῦ μύρου, καὶ τὴν σορὸν κατασπάσασθαι, ἐξ ἧς ὁ τὴν ἐκκλησίαν εὐφραίνων ποταμὸς ὥρμηται. Ὡς δ' οὖν τότε θεὸς ἐκεῖσε τὸν ἄνδρα μετήνεγκεν, εὐθυμίας αὐτίκα καὶ ἡδονῆς ἀκηράτου πεπλήρωτο, καὶ πᾶσαν δυσχέρειαν τῆς μνήμης ἀποβαλὼν, ἔνθους ὥσπερ εἰσῄει τὸν θεῖον ἐκείνου νεὼν, καὶ πρὸς τῇ πηγῇ τοῦ σώματος γεγονὼς κλίνει τε ταύτῃ τὴν κεφαλὴν καὶ ἀμφιλαφῶς περιπτύσσεται, καὶ ὡς ζῶντι τούτῳ προσομιλεῖ ἄρρητα τοῖς ἄλλοις καὶ κρύφια· εἶτα τοῖς περὶ αὐτὸν, ἑσπέρα δὲ ἦν, αὐτοῦ που καθευδῆσαι κελεύσας κατὰ τὸ σύνηθες, ἐκεῖνος ἀνεῳγόσιν ὥσπερ φωσφόροις τοῖς ὄμμασι κατέλαμπέ τε τὸ σῶμα καὶ κατελάμπετο. Ὡς δὲ ἔδει αὖτανδρον αὐτῷ παρεῖναι τὸν θεῖον ἐκεῖνον Εὐθύμιον, ὕπνον αὐτῷ τοῖς ὀφθαλμοῖς βραχὺν ἐπιβάλλει θεὸς, ἵν' ἴδῃ τὸν ἄνδρα νοὸς καθαροῖς ὄμμασι· καὶ ὃς αὐτίκα παρῆν, χαρίεις τὴν ὄψιν. Ἱλαραί τε γὰρ αὐτῷ τῶν ὀφθαλμῶν αἱ βολαὶ, καὶ ἡ ὀφρὺς ἦθος ἐδείκνυ χάριτός τε καὶ μειδιάματος· τὸ δὲ σύμπαν σῶμα ἀρχιερατικοὶ χαρακτῆρες ἐκόσμουν· καὶ ἡδέως

τοῦτον περιπτυξάμενος, ἀμυθήτου τε χαρᾶς ἐμπίπλησι τὴν ψυχήν, καὶ φωνὴν τὴν ἡδίστην ἐκείνῳ ἀφίησιν· « λειτουργέ, γάρ φησι, θεοῦ καὶ ἀρχιερεῦ, μηκέτι σοι λόγος δικαστηρίων καὶ ἀντιθέσεων· κεκράτηκας γὰρ ἤδη καὶ νενίκηκας τὸν πειράζοντα, καί σοι ὁ στέφανος εὐτρέπισται ἄνωθεν, καὶ τὴν μεθ' ἡμῶν τάξιν κεκλήρωσαι καὶ μονήν! » Οὕτως ἐκεῖνος εἰρήκει· τὸν δὲ αὐτίκα ὅ τε ὕπνος καὶ ὁ λέγων ἀπέλιπε· καὶ ἀναστὰς εὐθὺς (ἤδη δὲ τὸ περίορθρον ἦν), τό τε εἶδος καὶ τὴν ψυχὴν μετηλλοίωτο· ὅθεν ὁ τὴν φυλακὴν ἐκείνου πεπιστευμένος, θεοειδέστερον οὕτως ἑωρακὼς ἐθαύμασέ τε καὶ τὴν αἰτίαν τῆς μεταβολῆς ἤρετο. Ὁ δὲ, τοσοῦτον αὐτῷ εἰρηκώς· « ὅτι με θεὸς ἤδη πρὸς ἑαυτὸν μεταπέμπεται, καὶ τῶν ὑμετέρων ἁφαρπάζει χειρῶν », ἀπάγειν αὐτὸν οὗ προσετέτακτο παρεκελεύσατο, ἐνὶ τῶν πάντων γνωρίσας τὴν ὄψιν, ᾧ δὴ καὶ τὰ τιμιώτατα παρὰ τοὺς ἄλλους ἐπίστευε. Καὶ οὗτος ἑτοίμῳ τῷ σκάφει χρησάμενος καὶ πρὸς ἀναγωγὴν εὐτρεπεῖ, τὸ τῆς δίκης χωρίον καταλαμβάνει, εἰπεῖν δὲ μᾶλλον τὸ τῆς ἐκείνου πρὸς τὰ κρείττονα μεταθέσεως.

Ἐπειδὴ γὰρ ἔδει δυεῖν θάτερον πρὸς τοὺς περὶ τῆς οἰκείας ψήφου κινδύνους χωρήσαντα καὶ τοῖς πολλοῖς ἀντικαταστάντα δικασταῖς τε καὶ προηγόροις καὶ συνηγόροις τοῦ πλάσματος, καὶ αὐτῷ δὴ τῷ βασιλεῖ γενναίως ἀπομαχόμενον, ἢ αὐτὸν τῶν πολλῶν ἡττηθέντα, ὅπερ οὐκ ἂν ἐγεγόνει, ἀλλ' οὕτω τῇ διαιρέσει ὁ λόγος ἔπεται, τοῦ θρόνου ὑποχωρῆσαι, ἢ τὴν ἑτέραν μερίδα σύμπασαν διαρραγῆναι καθαπερεὶ φάλαγγα καὶ εἰς τοὐπίσω χωρῆσαι τὴν αἰσχύνην οὐκ ἐνεγκοῦσαν, ὅπερ οὐ πάνυ ἐκείνῳ δοκοῦν ἦν, ἑαυτῷ παρακινδυνεύειν πολλοὺς, διὰ ταῦτα οἰκονομεῖται τὸ μέλλον καλῶς ἄνωθεν, καὶ γίνεται τῶν ἐνταῦθα δικαστηρίων κυριώτερον τὸ θεῖον δικαιωτήριον, καὶ ὁ πρὸς κρίσιν ἀγόμενος εἰς οὐρανοὺς ἀνάγεται στεφανηθησόμενος.

Σκοπῶμεν δὲ καὶ ἄλλως τὸν λόγον, ἵν' εἰδῶμεν ὅτι οὐ τομή τις αὐτῷ ἐγεγόνει ὁ θάνατος, ἀλλ' ἐξ οἰκονομίας θειοτέρας μετάθεσις·

θῶμεν δὲ αὐτὸν τῷ λόγῳ, ἢ σιωπῶντα κρινόμενον, ἢ πρὸς ἕκαστον τῶν λεγομένων τὴν ὑπὲρ ἑαυτοῦ ἀπολογίαν ποιούμενον· οὐδὲν γὰρ μέσον ὁ λόγος ἔχει τήν γε πρώτην τομήν, ἀλλ' εἰ μὲν σιωπῶν εἱστήκει, αὐτῷ τούτῳ ἑαλωκὼς ἦν· καὶ τὸ μὲν ἐπ' ἐκείνῳ προδοσία τῆς ἀρχιερωσύνης τὸ πρᾶγμα, τὸ δ' ἐπὶ τοῖς ἄλλοις, ἥττά τις οὐκ ἀμφίλογος· εἰ δ' εἰς ἀπολογίαν καθίσταιτο, εἰ μὲν ἀντειπὼν ἡττήθη, δυεῖν αἰσχύναιν εἰκότως ἂν ὑποδέδλητο, τῷ τε περὶ ἑαυτοῦ ἀντερεῖν, καὶ τῷ οὕτω διελόμενον ἥττω δόξαι τῶν κατηγόρων· εἰ δὲ κρατήσειε τῶν ἐν δικαστηρίοις ἀγώνων, καὶ οἷα δὴ γεννάδας ἀνὴρ μόνος τοὺς πάντας καταγωνίσαιτο, τὴν μὲν ἑτέραν οὐχ εἶχεν αἰσχύνην, φιλόδοξος δ' ἂν ἄνθρωπος ἔδοξε τοῖς πολλοῖς ὡς ὑψηλῶν θρόνων καὶ ὑψηγορίας πατριαρχικῆς ἀντεχόμενος. Ἵν' οὖν μηδὲ ὑποψίας αὐτῷ μῶμος παρὰ μηδενὸς προστριβείη, μηδ' ἔχοι τις λέγειν, ὡς τόδε μὲν κατώρθωκε, τοῦδε δὲ ἥττηται, καὶ ὅτι πλέον αὐτῷ τῆς νίκης τὸ φίλαυτον καὶ ὁπόσα γλῶτται πονηραὶ καὶ τὰ κρείττω συκοφαντόρειαι λέγειν εἰώθασιν, ὑποτέμνει θεὸς τοῖς μὲν πολλοῖς τὴν πρὸς ἐκεῖνον ἀπέχθειαν, ἐκείνῳ δὲ τὴν πρὸς τούτους δυσχέρειαν, ἢ μᾶλλον, οὐκ ἔχω γὰρ ὅπη θαυμασίῳ διαιτήσω καὶ ὑπερφυεῖ θαύματι, τῷ μὲν βασιλεῖ τὴν πρὸς τὸ χεῖρον ὁρμὴν ἵστησι, τῷ δὲ ἀρχιερεῖ τὴν πρὸς ἑαυτὸν ἀνθίστησι κλίμακα, ἵν' ἔχοι ῥᾳδίως εἰς οὐρανοὺς ἀνιέναι, τοῦ συμφυοῦς ἄνευ φορτίου τῷ πτερῷ τῆς ψυχῆς κουφιζόμενος· οὐκ ἐβούλετο δὲ ἄρα τὸ κρεῖττον τῶν τηλικούτων ἐκείνων ἀγώνων ἐπὶ γῆς λαβεῖν αὐτὸν τὴν ἀντίδοσιν, οὐδ' ὧν ὑπεχώρησε θρόνων, οὕτω γὰρ εἰπεῖν. πρεπωδέστερον, ἅτε μὴ τοῦ καιροῦ κατεξαναστὰς, τούτους αὖθις ἀντιδοθῆναι αὐτῷ ὧν ἤδη καταπεφρονήκει, τῶν πολλῶν καμάτων
p. 130. καὶ τῆς ἀγωνίας ἢ | μαρτυρίας ἐρεῖν ἀληθέστερον, ὑπὲρ ὧν ἡ ἄνω τούτῳ Ἱερουσαλὴμ παρὰ τοῦ δικαίου ἀποκεκλήρωτο βραβευτοῦ.

Ἐπαγωνίζομαι δὲ τῷ λόγῳ τὴν αὐτὴν πολλάκις ἀνακυκλῶν ἔννοιαν, οὐχ ἵνα δόξω φιλοτιμότερος τῶν πολλῶν· τί γὰρ ἄν τις τῷ περὶ ἐκείνου λόγῳ φιλοτιμήσαιτο, τοῖς πᾶσιν ἐλλείποντι καὶ

ὑπεραρθῆναι τῷ τοῦ ἀνδρὸς ὕψει μὴ δυναμένῳ, ἀλλ' ἵν' ἐνδείξωμαι ὅτι ὥσπερ αὐτῷ καὶ τὰ τῶν πατέρων κεκαινοτόμηται καὶ τὰ τῆς ἀρετῆς καὶ τῆς περὶ τὸ καλὸν νεύσεως, καὶ ὑπερφυῆ πάντα ὁ λόγος ἀπέδειξεν, οὕτω δὴ καὶ ὁ θάνατος κατὰ πρόγνωσιν μόνον ἀφώριστο· τὸ δ' ἄλλο μέρος παρὰ τοῦ κρείττονος ἐσχεδίασται τῷ πατρὶ, καὶ ἔτι μᾶλλον αὐτόθεν τὸ πρᾶγμα δώσει τὸν ἔλεγχον· μεταπεποίητο πρὸς τὸ κρεῖττον καὶ ὑψηλότερον παρὰ τῆς τοῦ κρείττονος ἐμφανείας ὁ ταύτην ἀρρήτοις θεασάμενος ὄμμασι, στερρότατος ἑαυτοῦ ἐγεγόνει καὶ ῥωμαλεώτερος πρὸς πᾶσαν ὁρμήν.

Αὐτίκα τοῦτον ὁ πλοῦς τῇ χέρσῳ ἀπέδωκε· βραχὺ τὸ ἐξ ἠπείρου πρὸς ἤπειρον διὰ θαλάσσης διάστημα, ζεφύρου ὡς φασιν αὖρα διὰ τῆς ὑγρᾶς τοῦτον παρέπεμπε καθηδύνουσα, οὐ ταράττουσα, μετ' εὐθυμίας ἄγουσα, οὐ σὺν φόβῳ ἐλαύνουσα, ἔτι μᾶλλον ἐπὶ τούτοις ἐρρώννυτο· εἶτα τί; Τῆς οὐ πάνυ ποθουμένης ἥψατο γῆς· τοῦτο γὰρ τοῖς κατὰ θάλατταν κινδυνεύουσιν ἐρασμιώτατον εἴπερ τι ἄλλο καθίσταται, τῷ δὲ οὐδὲν δεινὸν ἐκεῖσε ἐγεγόνει, ἀλλὰ καὶ τὰ πάντων ἥδιστά τε καὶ θυμηρέστατα· εὐσταθὴς ἡ ἀπόβασις, στερροτάτη ἡ κίνησις· ὁμοῦ δὲ ἐντὸς ἐγεγόνει τῆς ὑψηλῆς δι' ἐκεῖνον καταγωγῆς, καὶ οὐκ οἶδα εἴτέ τι τῶν θειοτέρων καὶ ἀπορρητοτέρων ἰδὼν, ἢ ἄλλως προγνοὺς τὸ ἐσόμενον, ἑαυτοῦ τε ἥσθετο μαλακῶς ἔχοντος, καὶ προαγγέλλει τοῖς τότε συμπαροῦσιν ἐκείνῳ ὑπόγυον τὸν θάνατον ἑαυτῷ· εἶτα δὴ, ἀλλὰ τί ποτε τῷ λόγῳ χρήσομαι; πότερον εἰς θρήνους ἐνταῦθα ἐμπεσοῦμαι καὶ δάκρυα, σβεννύμενον ἤδη τὸν μέγαν φωστῆρα δεικνὺς καὶ τὴν μεγάλην τοῦ λόγου σάλπιγγα αὐτίκα σιωπήσεσθαι μέλλουσαν, ἢ γενναιότερον τὸ ἐκείνου πρᾶγμα ἐξαγγελῶ, καὶ τὴν οὐκ ἂν εἴποιμι τελευτὴν, ἀλλ' ἔπαρσιν ἢ ἀνάβασιν, ἢ τελεωτέραν ὑψωσίν τε καὶ θέωσιν; ἐμοὶ δὲ καὶ βουλομένῳ οὕτως ἐρεῖν καὶ τὸ ἐκείνου πάθος μιμήσασθαι καὶ ὑπερφυεῖ τῷ διηγήματι χρήσασθαι, ἀστακτὶ τὰ δάκρυα καταρρεῖ ἐνθυμουμένῳ ὅτι τὸ μέγα τῆς ἀληθείας φῶς (πῶς ἂν εἴποιμι ἀκριβέστερον;) ἐφ' ἑτέραν οἰκουμένην ἀπαίρειν

ἠτοίμαστο, καὶ ὁ γενναῖος ἐκεῖνος ἀγωνιστὴς ἀπὸ τῶν κάτω μονῶν ἐφ' ἑτέρας μετεσκήνου τὰς ὑψηλοτέρας καὶ μείζονας· ἀλλὰ διαιτήσω δικαίως ἀμφοτέροις τοῖς μέρεσι, τὸ μὲν τῷ πάθει διδοὺς, τὸ δὲ τῇ ἐκείνου στερρότητι.

Ὡς γοῦν εἶδε τοὺς ἀγγέλους αὐτὸν ἤδη περιεστηκότας καὶ πρὸς δορυφορίαν τοὺς ἄγοντας εὐτρεπεῖς, ὦ φιλοθέου ψυχῆς! ὦ γνώμης τῶν πάντων ὑψηλοτέρας! ὦ μνήμης κἂν τοῖς φοβεροῖς ἀσυγχύτου, καὶ νοερωτέρας μᾶλλον ἢ αἰσθητικωτέρας! σπένδεται ταῖς πρὸς αὐτὸν τυραννίσιν εὐθὺς, καὶ ὥσπερ δεξιοῦται τοὺς κακῶς δράσαντας, καὶ ἀμνηστίαν ὧν ἐπεπόνθει πᾶσι μνηστεύεται, αὐτῷ βασιλεῖ, τοῖς ἐπὶ τῶν δικαστικῶν θρόνων, ὅσοι τὴν γλῶτταν ἐπ' ἐκεῖνον θρασύτερον ἔθηξαν, τοῖς προηγόροις, τοῖς συνηγόροις, τοῖς τοὺς κειμένους νόμους παρερμηνεύουσι, τοῖς ὅσοι τὴν γλῶτταν δεινοὶ καὶ πείθειν ἐφ' ἑκάτερα, τοῖς πᾶσιν ἁπλῶς οἷς προσκέκρουκεν, εἴ τινες αὐτῷ προσκεκρούκασιν· ἀπολύει τοὺς δεδεμένους αὐτῷ τῶν πνευματικωτέρων καὶ θείων ἀφορισμῶν, δίδωσι τοῖς οὕτως ὑπερορίοις ἐπὶ τὴν Ἱερουσαλὴμ κάθοδον, ἐπανάγει τῆς αἰχμαλώτου, ἐλευθεροῖ τῶν κινδύνων· εἶτα δὴ καὶ προσεύχεται τοῦ λαοῦ, καὶ χεῖρας πρὸς θεὸν ὁσίας αἴρει, καὶ τελευταῖον θῦμα τὴν σύμπασαν ὡς εἰπεῖν οἰκουμένην ὁ μέγας θύτης καὶ ἀρχιερεὺς τῷ μεγάλῳ προσάγει ἀρχιερεῖ ἅμα καὶ θύτῃ· ἐπὶ τούτοις ἠρέμα καὶ γαληνίως καὶ ὥσπερ προσφορὰν τῷ θεῷ διδοὺς ἢ ἀποδιδοὺς αὐτῷ τὴν παραθήκην ἀθιγῆ τε καὶ ἀδιάφθορον, ἢ βελτίω καὶ κρείττονα, τὴν ἑαυτοῦ ἀποθύει ψυχήν. Ὦ διπλοῦ πάθους, διαιρεθέντος εὐθὺς τῷ τε ἄνω κόσμῳ καὶ τῷ καθ' ἡμᾶς βίῳ, εὐθυμίας λέγω καὶ ἀθυμίας, εὐφροσύνης καὶ σκυθρωπότητος· εἰκὸς γὰρ ἀγγέλους μὲν καὶ τὰς θειοτέρας τῶν ἄνω ψυχῶν συνευθυμεῖν ἐκείνῳ καὶ συναγάλλεσθαι προσκιρτᾷν τε καὶ συσκιρτᾷν, καὶ συμμετέχειν ἐκείνῳ τῶν μυστηρίων καὶ τῶν ἐλλάμψεων, ὥσπερ δὲ καταδύντος ἡλίου, βαθεῖά τις ἀχλὺς αὐτίκα διεσκεδάσθη κατὰ πάσης τῆς γῆς, καὶ ψηλαφητὸν σκότος εὐθὺς ἡμᾶς κατειλήφει οὐκ ἔχοντας ὁρᾷν τὸν μέγαν ἐκεῖνον λαμ-

πτῆρα καὶ σωτῆρα τῶν ἡμετέρων ψυχῶν· ὦ καλῶς σὺ τῶν ἐνταῦθα θορύβων ὑπεράνω γενόμενος καὶ τῶν πολλῶν καμάτων ἀναπαυσάμενος, καὶ τοῦ τὰς ἐμφάσεις τῶν θειοτέρων ἔχειν, αὐτὴν τῶν ἀκηράτων ἀνταλλαξάμενος τὴν ἀλήθειαν, καὶ ἀπὸ τῶν ποταμῶν πρὸς τὴν πηγὴν ἐπανελήλυθὼς, καὶ ἀπὸ γῆς πρὸς τὰ οὐράνια κάλλη ἀναδραμὼν, ἢ μᾶλλον ἐκτὸς τῆς περιφορᾶς γεγονὼς καὶ τὰς μακαρίας θέας ἄρτι μυούμενος. Ὦ πᾶσαν μὲν διαδραμὼν ἀρετὴν, παντὸς δὲ μέρους δαψιλεστέρας νῦν τὰς ἀντιδόσεις ἀπολαβὼν, ἢ μᾶλλον πρὸς μίαν κορυφωθεὶς ἀντὶ πάντων ἰδέαν καλοῦ, τὴν ἐκ πάντων καὶ ἀντὶ πάντων | ἁπλουστάτην καὶ κρείττονα, καὶ τὴν τῆς ἀληθείας οὐσίαν ἰδὼν, ἥτις οὐκ ἐν συνθήκῃ λόγων, ἀλλ' ἐν ὑφεστῶτι καθέστηκε πράγματι, καὶ ὅλος ὅλῳ προσχωρήσας θεῷ, καὶ κάτω θεὶς τοὺς λόγους τῶν κτίσεων καὶ τοὺς ὑπερφυεστέρους μόνους ἀναλεγόμενος. Ὦ πάσης μὲν κἀν τῷ σώματι ὑπεραρθεὶς φύσεως καὶ γενέσεως, ἔτι δὲ νῦν ὑψηλότερος αὐτῶν γεγονὼς, καὶ ἀσυγχύτως τῷ τῆς ἁγίας τριάδος φωτὶ καταλαμπόμενος καὶ περιλαμπόμενος, καὶ τῆς τε τοῦ καλοῦ ἀπολαύων πηγῆς, τήν τε ὑπερκειμένην τοῦ ἀγαθοῦ φύσιν ὁρῶν· ὦ πάντων τῶν ἐν τῷ κόσμῳ ἐν αὐτῷ δὴ τῷ κόσμῳ καταφρονήσας, καὶ πάντων γενναίως ὑπεριδὼν, δόξης, λαμπρότητος, θρόνων ὕψους, σωμάτων κάλλους, κρότων, εὐφημιῶν, πάσης ἁπλῶς τῶν ἐνταῦθα ὑπερβολῆς! Ὦ κἂν τοῖς χείροσι τοῖς κρείττοσι παραμιλληθεὶς, καὶ τοῦ μαρτυρικοῦ μετὰ τούτων κεκοινωνηκὼς ἀξιώματος, ὧν τὴν εὐσέβειαν καὶ τὴν παρρησίαν ἐζηλωκὼς, καὶ τῶν αὐτῶν διὰ ταῦτα γέγονας παθημάτων μετὰ τῆς θεολογικῆς σάλπιγγος, τῶν ἀρχιερατικῶν θρόνων ἀπώσθης, ἢ μᾶλλον δι' οἰκονομίαν βραχύ τι τοῖς πολλοῖς ὑπεχώρησας, μετὰ τῆς Χρυσοστομικῆς χάριτος, μετὰ τῆς Ἀθανασίου τοῦ πάνυ ψυχῆς, μετὰ τῶν ὑπὲρ τούτους καὶ ἐπ' ἐκείνοις, οἷς ἡδύ τι χρῆμα ἡ τῶν θρόνων ἔδοξεν ἀναχώρησις, οἷς οὐδὲ ἐξ ἀρχῆς ἐπεπήδησαν· ζηλοῦσιν ὑμᾶς ἐν οὐρανῷ νῦν οἱ ἄλλως ἀναπαυσάμενοι, οὐ γὰρ ἐσχήκασιν ἴσως τῆς μαρτυρίας τὴν παρρησίαν, οὐδ' ἔχουσι τῆς ἐνταῦθα κακοπαθείας

φ. 130ᵛ.

τὴν ἀντιμέτρησιν. Ὦ, ἀλλὰ ποίοις ἄν σε λόγοις ἀνακαλέσωμαι; ποίαν δὲ προσθήκην εὑρήσω, ὧν τε νῦν παρὰ θεοῦ ἔσχηκας καὶ τῆς μελλούσης καὶ τελεωτέρας ἀνταποδόσεως, εἰπεῖν δὲ καὶ τῆς ἐνταῦθα ὑπερφυοῦς καὶ θειοτέρας ἀντιμετρήσεως, ἧς ὀλίγοι τῶν πάντων ἐπὶ γῆς τετυχήκασιν· οὐ γάρ σοι τὸ σῶμα διαλυθέντι διέφθαρται, οὐδ' ἀνελύθη τὸ πλάσμα εἰς τὰ στοιχεῖα παρ' ὧν συντέθειται, οὐδ' ἐταμιεύθη ἀέρι καὶ πυρὶ, καὶ γῇ καὶ θαλάσσῃ τὸ σὸν ὑπερφυὲς σύγκριμα· ἴσως γὰρ οὐδ' ἐξ ἐκείνων συμπέπηκται, ἵνα τι τολμήσω νεανικώτερον, διὰ ταῦτα οὐδὲ πρὸς ἐκεῖνα διαρρεῖ. Ἐρρέτωσαν Ἑλληνικοὶ λόγοι, μάτην φιλόσοφοι δόξαντες, οἳ τὸν δημιουργὸν ἐπεισάγουσι μέρη τινὰ τοῖς συγκρίμασι δανειζόμενον ἀπὸ τῶν στοιχείων, ἵνα τοῖς αὐτοῖς ἐκείνων χρήσωμαι λόγοις, καὶ αὖθις ἀποδιδόντα ἐν ταῖς διαλύσεσιν ἢ ἀναλύσεσιν· ἐξήλεγκται γὰρ ἐπὶ σοῦ καὶ τὸ καινὸν δάνειον καὶ ἡ καινοτέρα ἀπόδοσις. Ὦ καὶ μετὰ θάνατον ἐν ἀμφοτέροις τοῖς μέρεσσι ζῶν, καὶ μηδὲν ἀλλοιώσας σχεδὸν τοῦ σώματος, μήτε τοῦ χρώματος ὡς εἰπεῖν, μήτε τοῦ σχήματος, λέγω δὴ τοῦ ἀρχιερατικοῦ τε καὶ κρείττονος· ἐσφράγισται γάρ σοι ἡ δεξιὰ τῷ τοῦ σταυροῦ τύπῳ, καὶ τῶν δακτύλων οἱ μὲν ἀνεστήκασιν, οἱ δὲ πρὸς ἀλλήλους συννεύουσιν εἰρήνην σύμπαντι πρυτανεύοντες. Ὦ πάσας ἐκστήσας καρδίας καὶ τεθνηκὼς, καὶ πᾶσι γενόμενος ποθεινότερος καὶ σεβασμιώτερος. Σὲ καὶ βασιλεῖς ὁρῶντες θαυμάζουσι, καὶ πατριάρχαι θεώμενοι καταspάζονταί τε καὶ μακαρίζουσι. Τῷ σῷ τάφῳ αὐτὸς ὁ τιμήσας σε διὰ τῆς ὑπερορίας, ἵνα μετρίως τῷ λόγῳ χρήσωμαι, προσελήλυθε βασιλεὺς, καὶ ὡς οἷόν τε ὑπὲρ τῶν πεπραγμένων ἀπελογήσατο, καί σε ὡς ἔμψυχον περιεπτύξατο πάντοθεν, καὶ πολλὰ κατέσπεισε δάκρυα, καὶ συγγνώμην ὧν ἔδρασεν αἰτησάμενος εἴληφε. Περὶ γὰρ τοῦ ἑτέρου τί ἂν λέγοιμι αὐτοκράτορος, ᾧ δὴ καὶ ζῶν πατὴρ ἐν πνεύματι καθειστήκεις, καὶ παράδειγμα ἀρετῆς καὶ τῶν κρειττόνων καθηγητὴς, καὶ νῦν τεθνηκὼς οὐδὲν ἧττον ταῦτα εἰ μὴ καὶ μᾶλλον, ᾧ καὶ πόρρωθεν προεγνώκεις τὸ κράτος καὶ ἐν ἀπορρήτοις

συμβόλοις ἐγνώρισας, καὶ τὴν ἀδελφιδῆν κόσμον βασίλειον προητοίμασας καὶ θείαν συζυγίαν ἡρμόσω ὥσπερ φωστήρων τινῶν σύνοδον, τότε μὲν ἀμαυρότερον, νῦν δὲ λαμπρότερον ἐπὶ τῶν βασιλείων ἐκλάμπουσαν, καὶ νῦν αὖθις τὴν σωτηρίαν κατεγγυᾷ καὶ τὴν ἐς τὸ γένος τῆς βασιλείας διαδοχήν· οὗτοι δὲ οὐκ ἰδιῶτιν τότε λαχόντες μόνον ζωὴν ὡς κρείττονα ἐσεβάζοντο, ἀλλὰ καὶ νῦν τοῖς βασιλείοις ἀναδούμενοι στέμμασιν, ὡς ὑπερφυεῖ ἀνδρὶ προσίασι καὶ θεοειδεῖ, καί σου τὴν σορὸν ἑκατέρωθεν περιίστανται, καὶ σὺν αἰδοῖ καὶ φόβῳ τῷ σῷ παρίστανται σώματι, ἀντωπῆσαί σοι τρανότερον μὴ δυνάμενοι. Σὲ μόνον τῶν πάντων ἡ γῆ καλύπτειν οὐ δύναται· αἱ γὰρ τῶν πολλῶν ὑφαρπάζουσι χεῖρες καὶ οὐκ ἀξιοῦσι τὸν ζῶντα μετὰ τῶν νεκρῶν λογισθῆναι, ἀλλ' ὡς ἐμψύχου ἀντέχονται καὶ προσομιλοῦσιν ἡδέως ἀγαπῶντες ὁμοῦ καὶ θαυμάζοντες. Τοῦ δὲ μετὰ σὲ θείου θύτου καὶ ἱεροῦ θύματος, τῆς μεγάλης τῶν κρειττόνων σάλπιγγος καὶ πάντα περιηχούσης τὰ πέρατα, πῶς ἄν τις τὴν περὶ σὲ μεγαλοψυχίαν καὶ φιλοτιμίαν ἐνδείξαιτο; ὃς δὴ τῶν πάντων ταῖς ἀρεταῖς ὑπερκείμενος παραχωρεῖ σοι τοῦ πρωτείου καὶ τελευτήσαντι, καὶ ἐτησίοις τιμᾷ πανηγύρεσι, τοῦτο τοῖς πᾶσι νομοθετῶν καὶ πρὸ τῶν ἄλλων ποιῶν.

Ἔδει μὲν οὖν ἀσυγκρίτῳ σοι πρὸς ἅπαντα γεγονότι μηδένα τῶν πάντων παραβαλεῖν, μᾶλλον δὲ πρὸς μηδένα σε τῶν γεγονότων ἀντιμετρῆσαι, ἀλλ' ὥσπερ σοι θεὸς τὴν ἀρετὴν, οὕτω δὴ καὶ ἡμεῖς ἀσύγκριτόν σοι τὸν λόγον χαρίσασθαι· ἵνα δέ σοι μηδενὸς μέρους τῶν δεδομένων ὁ λόγος λείποιτο, φέρε δὴ καὶ τοῦτο τὸ μέρος τοῖς ἐγκωμίοις προσαποδώσομεν. Ὁ ἐαρινὸς βρύει καρπός· μίαν γὰρ ὁ νεὼς τὴν τοῦ παντὸς ὥραν ἀπεκληρώσατο, ὥσπερ ὁ οὐρανὸς τὴν ὑπερφυῆ, ἀλλ' ἔχει τι τὸ | παραβαλλόμενον ἐλάττωμά τι τοῦ πρωτοτύπου, πλὴν καὶ τοῦτο ὑπερφυὲς καὶ τοῦτο περικαλλές· ἐκεῖ μὲν γὰρ ὁ βότρυς ἴσως τὴν κλῆσιν οὐ ψεύδεται, οὐδὲ τὰς κληματίδας ἡ ἄμπελος, οὐδὲ ἡ αὔλαξ τὸν στάχυν, οὐδὲ τὰ φυτὰ τὴν ἄνθην, οὐδὲ τὸ μῆλον τὸ σχῆμα· ἀλλ' ὁ μὲν ταῖς χερσὶ τὸ γλεῦ- φ. 131.

κος ἀποβλυστάνει τῷ τρυγᾷν βουλομένῳ, ὁ δὲ ταῖς ἀποθήκαις τοῦ σίτου παντάπασι γνώριμος, καὶ τῶν ὁρωμένων ἕκαστον οὐκ ἐσχηματίσται μόνον, ἀλλὰ καὶ οὐσίωται καθαρῶς· ἐνταῦθα δὲ πολλοὶ μὲν οἱ βότρυες, καὶ πέπειροι ἴσως οἱ πλείους, τὰ τε τῶν φυτῶν ἄνθη ποικίλα τὴν θέαν, εἰ δέ τι τούτων τῇ χειρί τις ἑλεῖν βούλοιτο, ὁ μὲν ἐξηπάτηται, αὐτὰ δὲ αὐτίκα ἐλέγχεται· εἰ μὲν οὖν ἐν τῷ βάθει κεκρύφαται τὰ ὁρώμενα, τῆς ἀπορρήτου τοῦτ' ἂν εἴη φύσεως ἔργον, τοσαύτη δὲ τῶν παραπετασμάτων ἡ διαφάνεια, ὡς ἐκκεῖσθαι δοκεῖν, ἵν' οὕτως εἴπω, τῶν πεφυτευμένων τὴν ὥραν· οὕτως ἡ φύσις τοῖς λίθοις ἀντὶ γραφικῆς ἐπιστήμης, ἀντὶ εὐημερίας ἐαρινῆς ὑπερβαλλόντως ἐξήρκεσε, καὶ οὕτως ἐκεῖνος ταῦτά τε εἰς ἄκρον ἐκόσμησε, καὶ παρὰ τούτων ὅσον εἰς ἀγχινοίας λόγον κεκόσμηται· εἶεν.

Τὸ δέ γε ἀπόρρητον, πότερον ὡς αὐτὸ τοῦτο ἀπόρρητον σιωπήσω ἢ ἐξαγγελῶ ὡς οἷόν τε ταῖς φιλοθέοις ὑμῶν ψυχαῖς, τὸ θεῖον ὄντως τοῦ ἐωρακότος καὶ ὑπερφυὲς θαῦμα, ὃ δὴ τῇ τελεωτάτῃ φιλοσοφίᾳ παραβάλλων αὐτὸς, ἐξητασμένον τοῖς ὅλοις εὕρηκα μέρεσιν; Ἀλλὰ τί μοι αὐτὸς, ὦ θαυμασία μοι καὶ τριπόθητε κεφαλὴ, ἐξαγγέλλεις τὴν ὄψιν ἣν ἀπορρήτως νοεροῖς τεθέασαι ὄμμασι; τί μὴ πρὸς πάντας τὸν λόγον θαρρεῖς; Ἀλλά σοι μυστήριον ἡ τῶν θειοτέρων ὅρασις γίνεται; ἢ δέδοικας μὴ τίς σοι τῶν πάντων διαπιστήσειεν, ἢ ἀπάτην νυκτερινὴν τὴν ὀπτασίαν ἡγήσαιτο; οὐ γὰρ τῆς σῆς ἡ ὄψις δυνάμεως, εἰ μὴ τί μοι μέμφοιο· εἰ γὰρ καὶ ὑπερφυές σοι τὸ μέτρον τῆς γνώσεως καὶ πολὺ τὸ ἀγχίνουν τῆς σῆς διανοίας καὶ ὑψηλὸν, ἀλλ' οὐ τοσούτῳ ὕψει κατάλληλον· εἰ δέ μοι καὶ τούτου τοῦ μέρους ὥσπερ δὴ καὶ τῶν ἄλλων παραχωρεῖς, καὶ βούλει παρὰ τῆς ἐμῆς γλώττης ἐξαγγελθῆναι τὴν σὴν θεοφάνειαν, ἐρῶ ὡς οἷόν τε τὴν φωνήν σοι τοῦ Δανιὴλ μιμησάμενος. Ἐθεώρεις, ὦ κάλλιστε, εἴπερ δὴ καὶ ἐθεώρεις, ἀλλὰ μὴ τύπωσις ἦν ἀπορρήτου θεάματος τὸ δόξαν ἐκεῖνό σοι ὅραμα· ἐθεώρεις γοῦν ἀνεῳγόσι τοῖς ὄμμασι τῆς ψυχῆς τὸ τοῦ ναοῦ τοῦδε σχῆμα καὶ

μέγεθος ἐν παραλλαγαῖς λαμπροτέραις καὶ κρείττοσιν· εἱστήκεις δὲ οὐκ ἐν μέσῳ τῷ τοῦ νεὼ ἐδάφει, ἀλλά σε αἱ μετέωροι καὶ πέριξ εἶχον στοαί· ἐθεώρεις οὖν, ἵνα δὴ καὶ πάλιν τοῖς προφητικοῖς χρήσωμαι ῥήμασιν, ἕως οὗ θρόνοι ἐτέθησαν δύο, καὶ ἵστην τὸ σχῆμα θαυμάσιοι, τὸ κάλλος ἀμίμητοι, ὧν ὁ μὲν τὸν μέγαν εἶχεν ἐνιδρυμένον πατέρα, ἄτερος δὲ νεφνίαν τινὰ κατεσέμνυνεν ἀποστολικῶς εἰπεῖν, ταῖς ἐσθήσεσι καταστράπτοντα, καὶ ὡς αὐτὸς εἴκασας πρὸς θεῖον ἀπεικασμένον καὶ ὑπερφυῆ ἄγγελον· καὶ σὺ μὲν ἰδὼν ἔφριξας, καὶ μικροῦ δεῖν ἐπεπήγεις τοῖς ὁρωμένοις· ὁ δέ γε θεῖος ἠρέμα περιεπτύσσετο καὶ ἐπανῆγε πρὸς τὸ θαρραλέον τῆς γνώμης, εἶτα δή σε καὶ ἐπανήρετο περὶ ὧν καὶ μάλιστα ἴσως ἐσπούδαζεν, ἥ καὶ ὧν ἐκήδετο ζῶν, καὶ πρὸς τὴν πεῦσιν ἀποκρινάμενος, ἐφκεις ἀναμνησθέντι ὧν πολλάκις ἐκεῖνος τοῖς φιλτάτοις τεθνηκόσιν ἐμέμφετο, ὅτι μηδὲν αὐτῷ τῶν θειοτέρων μυστηρίων καὶ ἐντὸς τοῦ οὐρανίου καταπετάσματος ἴχνος ἢ φαντασίαν ὑπνώττοντι ἐντεθείκεσαν, ἵν' ἔχοι τις σαφὲς εἰδέναι, τίς ἡ ἀνάβασις τῆς ψυχῆς, τίς ἡ λῆξις, ποῖος ὁ κλῆρος τῶν ἀκηράτων μονῶν· τούτων οὖν ἀναμνησθεὶς, αὐτόθεν τὸν μέγαν πατέρα συνείληφας, καὶ τοῖς ὁρωμένοις μὴ συγχυθεὶς, « ἀλλ' ἔγωγε, ἔφης, οὔτε ἐμαυτοῦ ἐπιλέλησμαι ὡς ἄρα με ὕπνος ἐξείλετο τῶν αἰσθήσεων, οὔτε τὸ σὸν πρᾶγμα ἠγνόηκα· οὐ γὰρ ὡς ζῶντί σοι προσέχω τὸν νοῦν, ἀλλ' οἶδά σου τὴν τελευτὴν ἀκριβῶς· ἀπάγγειλον οὖν μοι ὅπη σοι τὰ τῆς ψυχῆς ἔχει, καὶ πῇ τοῦ παντὸς κατεσκήνωσας, καὶ εἰ τῶν κρειττόνων θεωριῶν γέγονας, ἢ ὅλως τίς ἡ λαμπρότης ἢ συγκεκλήρωσαι. » Σὺ μὲν οὖν οὕτως, καὶ πλείων τῶν λεγομένων ἡ ἔφεσις· ὁ δὲ ἐβούλετο μέν τι λέγειν τῶν ἀπορρήτων, οὐκ ἐθάρρει δὲ τὴν ἐξαγγελίαν, εἰ μὴ ἐπιτραπείη παρὰ τοῦ κρείττονος· ἐπυνθάνετο γοῦν εἰ κἀκείνῳ δοκοῦν εἴη ἐξαγγεῖλαί τι τῶν μυστηρίων, καὶ εἰ ἐπιτρέπει τούτῳ τὴν προφοράν· ἐξελιπάρεις δὲ καὶ αὐτὸς, καὶ πολλοῖς ἠντιβόλεις στεναγμοῖς τε καὶ δάκρυσιν· ὁ δὲ παντάπασιν ἀδυσώπητος ἦν πρὸς τὴν ἱκετηρίαν καὶ οὐκ ἐδίδου τὴν ἀποκάλυ-

ψιν· οὐ γὰρ εἴη νενομισμένον φησὶν, ἀλλὰ παρὰ τοῖς ἄνω θησαυροῖς ταῦτα καταλέλειπται ἀνεκφοίτητα. Ὡς δὲ καὶ αὖθις πλείω τὰ δάκρυα, συνηγωνίζετο δέ σοι καὶ ὁ ἀδελφὸς ἀθρόον παραφανεὶς, καὶ οὐκ ἦν ἐκφυγεῖν τὸν ἄγγελον τὰς ὑμετέρας λαβὰς, προτρέπει τῷ θείῳ βραχύ τι μέρος τῶν κεκρυμμένων εἰπεῖν, καὶ μὴ παντάπασιν ἀμυήτους τοὺς προκειμένους ἀπολιπεῖν· ὁ δ' οὐδὲν
φ. 131*. εἰρηκὼς, κεφαλίδα | τινὰ βιβλίου ἠρέμα τῶν κόλπων ἐξάγει, ὁποῖα δή εἰσι τὰ παρ' ἡμῖν εἰλητάρια, εἶτα δὴ καὶ ἀνελίξας πᾶσαν ἀνέπτυξεν. Ἐγέγραπτο δὲ οὐδὲν ἐν αὐτῇ, εἰμὴ ὅσον ἐκέχρωστο ἀκηράτῳ βαφῇ· καὶ ὁ ἄγγελος αὖθις· σὺ δὲ « ἀλλ' εἰ μὴ τῇ γλώττῃ, φησὶ, προφέρειν ἐθέλεις τὰ ἄρρητα, ἐν τῇ κεφαλίδι ταύτῃ τὸν λόγον κατάγραψον. » Ὁ δὲ ἀποροῦντι ἐῴκει ὅπως ἂν ποιήσαιτο τὴν γραφήν· καὶ ὁ ἐπιτρέψας « μαρτυρικῷ, φησὶ, ταύτην ἐξύφανον αἵματι· » καὶ ὃς αὐτίκα προτείνας τὴν δεξιὰν, οἷα δὴ καλάμῳ τῷ δευτέρῳ δακτύλῳ ἐκέχρητο· ὁ δὲ τοῦτον συστείλας, τὸν μετ' ἐκεῖνον, ὃς δὴ καὶ τρίτος ἑκατέρωθεν καὶ μέσος ἐστὶ, πρὸς τὴν γραφὴν τέθεικεν. Ἀποροῦντι δὲ τῷ πατρὶ ὁπόθεν ἂν κατάρξαιτο, « τοῖς τοῦ Παύλου φησὶν ἐκεῖνος, ἀπόχρησαι ῥήμασι, καὶ ῥῖον πρόγραμμα τοὺς ἀπορρήτους ἐκείνου λόγους προθεὶς τοῦ συγγράμματος, οὕτω τὸ λοιπὸν ἔπαγε. » Καὶ τὸ πρόγραμμα, « εὐλογητὸς ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. » Καὶ σὺ μὲν ἔδοξας πλείω εἶναι τὰ γραφησόμενα· ὁ δὲ ἀνελίξας αὖθις τὸ εἰλητάριον, τοσοῦτον γεγράφηκε πρὸς τῷ πέρατι, ὅτι Καλῶς· καὶ ἐπιδοὺς, « ἀλλὰ σύ τε, φησὶ, τὰ τῆς ἐμῆς χειρὸς ἐπίστασαι γράμματα, καὶ τοῖς ἄλλοις ἀναγνοὺς ταῦτα καὶ ἐπιδοὺς σαφῆ τὴν πίστιν τῆς ἐμῆς παράστησον λήψεως. »

Καὶ εἰπὼν ἀθρόον ἀνέπτη χερουβικῇ πτέρυγι· καὶ τοῦ ὕπνου ἀφέντος σε, εἶχε δὴ τὸ περίορθρον, ἀγωνίας μὲν καὶ φρίκης μεστὸν, σκιρτῶντα δὲ ὡς οὐκ ἄλλοτε οὕτως καὶ ἀγαλλόμενον· σὺ μὲν οὖν ὅπερ πέπονθας εἴρηκας, κἀγώ σοι τὴν γλῶτταν ἐχαρισάμην εἰς

τρανοτέραν ἐξαγγελίαν τοῦ ἀμεταβλήτου θεάματος· τὸ δέ γε ὅραμα οὐκ ἀληθὲς μόνον, οὐδ' ἄν τις βασκαίνων εἰς ἄλλο με παραπείσειεν, ἀλλὰ καὶ μυστικῶν δογμάτων πεπληρωμένον, οἷς ἐγὼ ἐντελὴς, ἵνα μικρόν τι καυχήσωμαι, τοῖς περὶ τὰ κρείττω βιβλίοις ἐντετυχηκὼς κἀκεῖθέν τι γνοὺς τῶν κρυφίων καὶ ἀπορρήτων. Ὁ μὲν γὰρ νεὼς ἐν ᾧ μεμύησαι τὸ μυστήριον, τῆς τε ἀληθοῦς μυήσεως σύμβολον καὶ τοῦ μυστηριώδους καὶ ἀδύτου θεάματος, αἱ δὲ μετέωροι τῶν στοῶν τὴν ὑπερφυῆ τούτου θεωρίαν παραδεικνύουσιν, οἱ δέ γε θρόνοι τὰς τοῦ λόγου προρρήσεις ἐπὶ τῇ ἀναπαύσει τῶν δικαίων ἐμφαίνουσιν, ὁ δὲ συμπαρὼν νεανίας, ὁ θεοειδὴς τὴν μορφὴν καὶ ὡς ἄν τις κυρίως εἴπῃ αὐτάγγελος, αὐτὸ μὲν δὴ τοῦτο τοῦ λόγου ἄγγελος. Ὁ δὲ λόγος εἰπεῖν τι βούλεται περὶ φιλοσοφίας ἐνταῦθα· πᾶν μὲν γὰρ δώρημα τέλειον ἄνωθεν κατὰ τὸν θεῖον φᾶναι ἀπόστολον, καὶ δοτὴρ ἁπάντων τῶν καλῶν καὶ πρύτανις ὁ θεὸς, ἀποχετεύουσι δὲ τὰς τοῦ ἀγαθοῦ πηγὰς ἄλλοι ἄλλοις ἄλλως καὶ ἑτεροίως ἑτέροις ἕτεροι· δυνάμεις γὰρ κρείττους μετά γε θεὸν τεταγμέναι τὰ κάλλιστα κατὰ τὴν ἄνω διαίρεσιν τοῖς ἀξίοις διδόασι· καὶ σώματα δὲ πλάττει μὲν ἡ φύσις, ἀλλὰ τελευταία καὶ προσεχῶς, ἄνω δὲ ταῦτα κρειττόνως διῄρηται, οὕτω δὲ καὶ ψυχαὶ σωμάτων συνοικίζονται οὐκ ἀΐδιον λαχοῦσαι τὴν ὕπαρξιν, ἀλλὰ συνυφανθεῖσαι τοῖς πλαττομένοις ἢ πεπλασμένοις· ἀφείσθω γὰρ τέως τὸ δόγμα ἀδιευκρίνητον, καὶ ὁ ἁπλοῦς τοῦ Εὐαγγελίου τὴν κάτω σοφίαν λόγος νικάτω· εἶτα δή τινες ψυχωθεῖσιν ἡμῖν ἐξουσίαι κρείττους ἐφίστανται, πρός τε τὸ καλὸν ἐπευθύνουσαι καὶ τὰ θειότερα παρεμφαίνουσαι, διαδέχονται δὲ ταύτας μείζους καὶ τελεώτεραι ἀναγομένοις ἡμῖν πρὸς τὸ καλὸν καὶ προκόπτουσι, καὶ αἱ πρὸς τῷ τέλει συγκληρωθεῖσαι τὴν διαίρεσιν τοῦ συνθέτου παρὰ θεοῦ κατὰ καιροὺς ὡρισμένους πιστεύονται· εἶτα δὴ τὴν ψυχὴν ἀπορραγεῖσαν τοῦ σώματος ἕτεραι δυνάμεις παραλαμβάνουσιν, ἀναγωγοὺς ταύτας καὶ φρουροὺς ἱεροὶ λόγοι φασὶ (λέγω δὲ πάντα περὶ τῶν κρειττόνων, τὴν γὰρ ἑτέραν μερίδα τῷ λόγῳ ἀφίημι νῦν),

καὶ κατὰ τὴν τῆς καθάρσεως ἀναλογίαν μέχρι τοῦ δικαίου μέτρου ταύτην ἀναγαγοῦσαι καὶ ὡς ἐφικτὸν προσάξασαι τῷ θεῷ, αὖθις ἐκεῖθεν παραλαβοῦσαι λήξεσί τισιν ἀποκληροῦσι καὶ ἀναπαύσεσιν, οὐδὲ σωματικαῖς, οὐδὲ κατὰ τὰς ἐνταῦθα τροφὰς, ἀλλὰ νοεραῖς τε καὶ κρείττοσιν· αἱ δὲ εἰσὶ τὸ ἐνοπτρίζεσθαί τι τῆς κατὰ τὴν ἀνάστασιν ὑψηλοτέρας ἀνταποδόσεως· εἰ γὰρ καὶ ὕστερον ἡ τελείωσις, ἀλλὰ καὶ πρὸ τούτου ἤνοικταί τι τούτοις τοῦ θείου καταπετάσματος· καὶ ὅ γε συγκληρωθεὶς ταῖς ἀγαθαῖς τῶν ψυχῶν ἄγγελος, ὁδηγός τε αὐταῖς τῶν ἐλλάμψεων γίνεται καὶ κατάρχει πάσης νοερωτέρας κινήσεως, καὶ τὸ δόξαν ἐκείνῳ τοῦτο δὴ ἔργον ἐστὶ τῆς ψυχῆς. Διὰ ταῦτα καὶ ὁ θεῖος πατὴρ ὑπὸ τῷ νεανίᾳ ἐκείνῳ ταττόμενος ἢ συνταττόμενος, τόν τε ὅμοιον ἐκεκλήρωτο θρόνον, καὶ ὥσπερ ὑπὸ ἐπιτρόπῳ ἐκείνῳ ἐποιεῖτο τὰ δόξαντα· τὸ δὲ μηδ' ἐκεῖνον ῥαδίως τὴν ἐξαγγελίαν ἐπιτρέψαι τοῦ μυστηρίου, ἀλλ' ἀποτετμημένον μεῖναι πρὸς τὰς ἱκετίας ἀδυσώπητον, οὐκ αἰτίαν ἔχει θρασεῖαν διάθεσιν· ἀλλὰ κἀνταῦθα φιλοσοφώτερος ἡμᾶς λόγος καὶ ὑψηλότερος διαδέχεται, ὁ ὑπὲρ τὸ φαινόμενον
φ. 132. κόσμος, καὶ ἡ ἐκεῖσε διάταξις καὶ διαίρεσις καὶ πρὸς | ὅρασιν ἐναντίως ἔχει πρὸς τὰ ἡμέτερα ὄμματα, καὶ πρὸς γνῶσιν ἀσυμμέτρως πρὸς τὰ νοήματα· ὃ γοῦν τις νοῆσαι μὴ δύναιτο, πῶς ἂν φαντασθείη ποτέ; καταδεεστέρα γὰρ ἡ τῆς φαντασίας γνῶσις τῆς νοερᾶς· ἀλλ' οὐδέ γε αἱ ἀποκληρωθεῖσαι ψυχαὶ ἐφ' ἑαυτῶν ἔχουσι τὸ διϊέναι καὶ πτερύσσεσθαι ὅπη βούλοιντο· τάττονται γὰρ ὑπὸ ἀγγέλῳ φρουρῷ, καὶ τῆς οἰκείας οὐκ ἀφίστανται λήξεως, εἰ μὴ ἐκείνῳ δοκεῖ, τοῦ θεοῦ τι ἄνωθεν οἰκονομοῦντος ἀπόρρητον, καὶ νόμος αὐταῖς κρείττων μὴ ἄν ποτε ἐξειπεῖν τὰ τῆς ἀποκληρώσεως εἴδη τῶν ὄντων τινί· ἦν δέ τισι τούτων τὸ κρεῖττον ἐφῇ, ἐν μέτρῳ τὰς ἀνακαλύψεις διδόασι, καὶ ὁ πεπιστευμένος τὰ ἄρρητα, τὸ δεδομένον μέτρον οὐχ ὑπερβαίνει. Διὰ ταῦτα τοιγαροῦν οὔθ' ὁ πατὴρ εὐθὺς πυθομένῳ περὶ τούτων τῷ ἀνεψιῷ ἀπεκρίνατο, οὐθ' ὁ ἄγγελος παραυτίκα ἐπέτρεψεν· ἐπεὶ δὲ ἐδόθη τὸ ἐνδόσιμον ἄνωθεν,

ἐκεῖνός τε προσέταττε, καὶ οὗτος τοσοῦτον ἐπεποιήκει ὁπόσον κεκέλευστο· τὸ δὲ πρόγραμμα, ἵνα τὸ ἀληθὲς τῶν κεκρυμμένων ἐνδείξηται, τὸ δὲ γράμμα βραχὺ, ὅτι τὸ ἐπ' ἐκεῖνα ἄρρητον, τῶν δὲ δακτύλων ὁ μὲν συνεστέλλετο, ὁ δὲ μέσος τὴν γραφὴν ἐπιστεύετο, ἵν' ὁμοῦ τε τὸ σταυρικὸν σχῆμα ἐν ἀκριβεῖ δειχθείη μεσότητι, καὶ τὰ δίκαια τοῦ θεοῦ γνωρισθείη κρίματα· τοιοῦτον γὰρ ἡ μεσότης, τὰς ὑπερβολὰς καὶ τὰς ἐλλείψεις παραλιμπάνουσα· τὸ δέ γε μαρτυρικὸν αἷμα, αὐτόθεν μὲν γνώριμον, ἔχει δέ τι καὶ τοῦ λόγου βαθύτερον, ὅτι ταῖς τῶν μαρτύρων μόναις ψυχαῖς ὡς ὑπερφυέσι καὶ κρείττοσιν ἡ ἐξαγγελία πεπίστευται· ὁ δὲ πατὴρ ἐν ᾧ τέθνηκε σχήματι, ἵνα μὴ δόξῃ τὸ παρηλλαγμένον ἀπάτη. Οὕτω πάντα προσφυῆ τε καὶ ὑπερφυῆ καὶ τοῖς θείοις κατάλληλα δόγμασι.

Καὶ ὁ μὲν λόγος ἐνταῦθα λήξας τὸ ἀρκοῦν πέρας ἐχέτω. Σὺ δέ μοι πατριαρχικὴ καὶ μεγάλη ψυχὴ, πρὸς ἣν καὶ δι' ἣν τὸν τοιοῦτον λόγον ἐνεστησάμην, ἵλεως ἄνωθεν γένοιο, καί μοι συγγνωμονοίης ἀεὶ τῆς ἐπὶ τῷ λόγῳ τόλμης, καὶ τοῦ μόνον τῶν ἄλλων τὸ σὸν θαρρῆσαι ἐγκώμιον, ἄνωθέν τε ἀντιλαμβάνοιο καὶ προσάγοις θεῷ διὰ τῆς ἐνταῦθα καθάρσεως, εἶτα δὴ καὶ μεταστάντα σκηνώσαις εἰ μὲν ἐπὶ ταῖς αὐταῖς σοι μοναῖς, τοῦτο δὴ πέρας ἡμῖν εὐδαιμονίας ἀρκοῦν, εἰδ' ἄλλοσε, ἀλλὰ μὴ παραλλάττουσα ἡ μερὶς εἴη, ἀλλὰ τῆς αὐτῆς ἰδέας καὶ τάξεως, ἣ δὴ ταῖς ἀναγομέναις ψυχαῖς παρὰ θεοῦ φιλανθρώπως ἀποκεκλήρωται, ἐν αὐτῷ Χριστῷ τῷ θεῷ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

φ. 171. | *Ἐγκώμιον εἰς τὸν ὁσιώτατον κῦρ Κωνσταντῖνον πατριάρχην Κωνσταντινουπόλεως τὸν Λειχούδην.

Ἐγκωμιάζειν ἄνδρα προήρηται καὶ λόγοις ἐπιταφίοις κοσμεῖν, ὃν καὶ μείζονα πάσης εὐφημίας ἐνόμισα, καὶ διὰ τὴν ἐν πᾶσι τοῖς τῶν ἀρετῶν μέρεσιν εὐδοκίμησιν, μικροῦ δεῖν καὶ ταῖς κρείττοσιν ἀπείκασα φύσεσι· τοσοῦτον ἐκείνῳ τὸ εὔδαιμον ὅσον τε ἄνωθεν κάτεισι τῶν θείων κρατήρων ὑπερπληρούμενον, καὶ ὅσον παρ' ἡμῶν συνεισάγεται εἰς τὴν τοῦ παντοδαποῦ καλοῦ συνεισφορὰν καὶ συντέλειαν, προσθήσω δὲ καὶ ὧν ἐτέρωθεν αἱ ἀφορμαὶ, συνεισαγόντων καὶ τούτων μέρος τι τῆς συμπάσης εὐδαιμονίας, ὅταν αὐτοῖς ἐπιστατῇ νοῦς, χρώμενος ὡς ὀργάνοις πρὸς τὴν τοῦ ἀγαθοῦ μερίδα τοῖς πράγμασιν· οὐ γὰρ ὥσπερ ἑτέροις καὶ τούτοις ἐπινοουμένοις, δύο καὶ τρία τῶν συμπάντων καλῶν ἤρκεσε τῇ ἐκείνου ψυχῇ, ἀλλὰ πᾶν μὲν μέρος αὐτῷ ἐρρύη τῆς ἀρετῆς, πᾶσι δὲ ὑπερφυῶς ἀπεχρήσατο ὡς μὴ ἀπειπεῖν τοῖς πλήθεσιν, ἀλλ' εὐτονεῖν, εἰ καὶ πλείω εἴη τὰ συνεισρέοντα. Καὶ εἰ μὲν τῶν πολὺ προειληφότων τῷ χρόνῳ ὁ ἐπαινούμενος ἦν, τάχ' ἄν τις ᾠήθη κατὰ ἐξουσίαν πεταλᾶσθαι τὸν λόγον, καὶ πρὸς τὴν τοῦ ἐγκωμιάζοντος δύναμιν μετρεῖσθαι τὰ πράγματα· ὧν γὰρ ῥᾳδίαν οὐκ ἔχομεν τὴν ἀντίληψιν, τούτοις οὐκ ἂν ῥᾷστα πιστεύσαιμεν· ἀλλ' εἴ πού τις φανείη τῷ βίῳ τοιαύτη μερὶς, μετὰ τῶν τεράτων λελόγισται, καὶ φύσεως, ἀλλ' οὐ προαιρέσεως τὸ γεγενημένον δοκεῖ, ἢ καὶ τῶν ὑπὲρ τὴν φύσιν θαυμάτων. Ἐπεὶ δὲ ἡλικιώτης ὁ λόγος τῷ ἐγκωμιαζομένῳ καθέστηκε, καὶ σχεδὸν σύμπαντες συνίσασι τῷ ἀνδρὶ τὴν ἐπὶ τοῖς καλοῖς εὐδοκίμησιν, οὐχ ὅτι ὑπερβαλούμεθα ὑποπτεύομεν μήπως ἄπιστον δόξῃ τὸ ῥηθησόμενον, ἀλλ' ὅτι μὴ ἐφεξώ-

* Ἀντεγράφη ἐκ τοῦ αὐτοῦ κώδικος (1182) φυλ. 171-175.

μεθα τοῦ προσήκοντος μέτρου, τοῦτο δεδίαμεν· οὐ γὰρ ὥσπερ διδάσκαλοι ἀγνοοῦσι τοῖς ἀκροαταῖς προκαθήμεθα, ἀλλ' εὐθυνόμενοι τούτοις ἐστήκαμεν, ἐπιμεμφομένοις τὸ ἐνδέον καὶ τὸ πλῆρες εἰσπραττομένοις. Εἰ μὲν οὖν ὁ καθ' ἡμᾶς χρόνος οὐ πάνυ τι τοῖς ἄνω πέφυκε παραπλήσιος εἰς ἀρετῆς γένεσιν, πολλῶν μὲν λεγόντων ἀκήκοα, οὐκ εὐθὺς δὲ συγκατατίθεμαι, ἕς τ' ἂν κρύφιος ἡ τοῦ καλοῦ ἐργασία τυγχάνοι· ὅτι δὲ εἷς ἀνὴρ ἐκεῖνος τοῖς ἄνω σύμπασι τῷ πλήθει καὶ τῷ μεγέθει τῶν ἀρετῶν πρὸς τὴν τοῦ ἀγαθοῦ ἀντήρκεσε τελειότητα, τοῦτο καὶ πέπεισμαι καὶ πάντας σχεδὸν συμμαρτυροῦντας ἔχω τῷ πράγματι· ἐν οἷς οὖν ὁ λόγος δοκεῖ εὐτυχεῖν, ἐν τούτοις ἀληθῶς ἀτυχεῖ, καὶ ἐν οἷς αὐτόν τις εὐθηνεῖσθαι οἴεται, ἐν τούτοις καὶ λίαν ἐστενοχώρηται· ὧν γὰρ ἐκεῖνος τῷ πλάτει τῆς φύσεως ἐν μετοχῇ γέγονε, τούτων οὗτος ἐφικέσθαι μὴ ἐξισχύων, εἰς τοὐναντίον οἷς βεβούληται περιΐσταται· βούλεται μὲν γὰρ πρὸς τὸ μέτρον δραμεῖν ὧν ἐκεῖνος κατώρθωσεν, ἡττᾶται δὲ τῆς τοῦ ἀνδρὸς εὐτονίας, καὶ τῆς περὶ τὸ καλὸν ἐκείνου φιλοτιμίας, καὶ οὐδὲ περιγέγραπται τούτῳ ἡ τῶν ἐπαινουμένων μερὶς, ἵνα τἆλλα παριδών τις τοῖς ἐγκωμίοις ἐκείνου προσβάλοι, ἀλλὰ καὶ ἄνωθεν γενεαλογούμενος καὶ κάτωθεν ἀπογεννώμενος, καὶ ἐφ' ἑαυτοῦ θεωρούμενος, καὶ παρὰ τὴν θείαν κατανοούμενος πρόνοιαν, ἀπαράμιλλος ἐκεῖνος παντὶ λόγῳ καθέστηκεν.

Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος ἐνθυμοῦμαι τῶν ῥητόρων τοὺς εὐδοκιμωτάτους, οἳ τεχνικῶς τοὺς λόγους μεταχειριζόμενοι, ἐπειδάν τινα τῶν πάντων βουληθεῖεν ἐγκωμιάσαι, οἷς μὲν εὐδοκιμεῖ ταῦτα πρῶτα τιθέασιν, οἷς δὲ ἀτυχεῖ ἢ οὐ μέμνηνται, ἢ μνήμην τούτων ποιούμενοι οὐ μετὰ τῶν πάνυ ἐπαινουμένων καταριθμοῦνται· καὶ θαυμάζω μὲν τοὺς ἄνδρας τῆς μεταχειρίσεως καὶ τῆς τεχνικῆς ταύτης ἐπιχειρήσεως, οὐκ ἀρκεῖν δὲ τούτους οἶομαι πρὸς τὴν ὅλην τῶν ἐγκωμίων συμπλήρωσιν, ἴσως δὲ οὐδὲ τετυχήκασι τοιούτου ἀνδρὸς, ἵν' ἐν πᾶσι τοῖς τῶν ἐγκωμίων τόποις εὐδοκιμήσωσι τοῦ κατὰ πάντα τὰ τῆς ἀρετῆς μέρη εὐδοκιμήσαντος. Ἀλλ'

ἐμοὶ πάντοθεν ὁ λόγος ἀνθεῖ τε καὶ τέθηλεν, ἀπὸ τῶν πρώτων τοῦ γένους, ἀφ' ὧν πρώτως γεγένηται, ἀπὸ τῆς ἐνεγκαμένης, ἀπὸ τῶν περὶ τὸ σῶμα καλῶν, ἀπὸ τῶν περὶ τὴν ψυχὴν ὅσοις ἐκεῖνος ὑπερφυὴς ἔδοξεν, ὅσοις οὐδεὶς αὐτῷ τῶν πάντων γέγονεν ἰσοστάσιος· καὶ τοσοῦτον δέω τοῦ τὰ αὐτὰ τοῖς πολλοῖς τῶν ῥητόρων λέγειν, ὅσον ἐκεῖνοι μὲν καὶ βραχείας ἐπειλημμένοι προφάσεως αἴρουσι τῷ λόγῳ τὸ εὑρεθὲν, οὐ πρὸς τὸ μέτρον ἐκείνου ποιούμενοι τὸ ἐγκώμιον, ἀλλὰ τῇ δυνάμει τοῦ λόγου τοῦτο παραμετρούμενοι· ἐγὼ δὲ πολλῶν ὄντων, οὕμενουν ἀπαριθμηθῆναι ῥᾳδίων, τῶν συνεισαγόντων ἐκείνῳ τὴν εὐφημίαν, καὶ οὕτω δή τι λαμπρῶν ὡς τῷ μεγάλῳ φωστῆρι παραμιλλᾶσθαι, οὐ πᾶσι κατὰ λεπτὸν ἐπέξειμι, ἀλλ' ὅσον εἰκὸς ἁπτόμενος ἐφ' ἕτερον ἐξῆς μεταβαίνω. Τί γὰρ ἂν εἴποιμι περὶ τῆς ἐκείνου πατρίδος, τῆς προκαθημένης τῶν ἁπανταχῇ πόλεων πόλεως, ἣν μόνον εἰσοικιστήν τις καὶ πολιοῦχον ἀναγάγοι θεῷ, τὴν νέαν φημὶ Ῥώμην καὶ σεμνοτέραν τῆς πρεσβυτέρας, ἐφ' ἧς ἐκεῖνος γεγένηται καὶ ἣν μητέρα πρώτην ἐγνώκει καὶ προσεχῆ;

Εἰ δὲ καὶ τοὺς προγόνους ἐκείνῳ διαριθμοίμεθα καὶ τὸ λοιπὸν γένος καὶ ὅθεν πρώτως εἰς τὸν βίον παρῆκται, σεμνοὶ πάντες καὶ παρὰ τῶν ἐφεξῆς νικώμενοι ξύμπαντες, καὶ ὁ τελευταῖος τοῦ γένους παρὰ τοῦτον μόνον τῶν ἄλλων εὐδοκιμώτερος· πάσης τε γὰρ ἀρετῆς ὅρον καὶ πάσης εὐδαιμονίας μέτρον ἐπλήρωσε· καὶ ἐδόκει μὲν μηδενὸς ἠττηθῆναι τῶν πάντων κατ' ἄμφω· οὐδὲ γὰρ ἦν εἰς ὅ,τι προβαίη· νενίκηται δὲ παρὰ τοῦ παιδὸς ἐπ' ἀμφοῖν, καὶ οἷς μὲν ἄνω τοῦ γένους καὶ αὐτῷ δὴ τῷ πατρὶ ἀνακμάσασιν ἤδη ὁ τῆς εὐδαιμονίας στάχυς ἐβλάστησεν· εὐδαιμονίαν δέ φημι οὐχ ἣν οἱ πολλοὶ οἴονται, οὐδὲ τὴν μόνον ἐν θρόνων ὕψει καὶ χρημάτων πλήθει, καὶ περιουσίας θεωρουμένην ὑπερβολῇ, ἀλλὰ καὶ ὅση ἐν ψυχικοῖς προτερήμασι καὶ οἷς ὁ ἔνδον κατακεκόσμηται ἄνθρωπος· ἐκεῖνος μὲν οὕτω ταῦτα, καὶ κατὰ καιρὸν ἡ τῶν πάντων ὥρα, τούτῳ δὲ καὶ ἐξ ἁπαλῶν ὀνύχων ἡ τοῦ καλοῦ προθεώρησις. Καὶ ἐχαρα-

κτήρισέ τις τοῦτον, μετὰ τὴν τῶν σπαργάνων λύσιν ἰδὼν, ὡς ἔσται τῷ βίῳ χρῆμα θαυμάσιόν τι· οὕτω κἀμοὶ ὤπται πρὸ τῆς τελείας ἀκμῆς, καὶ τοὺς ὀφθαλμοὺς ἐκείνου ἔγνων κατηγόρους τοῦ πράγματος· ἀλλ' οὔπω περὶ τούτου· ἡ δὲ παρ' ἐκείνῳ σκιαγραφία κρείττων τῆς παρ' ἑτέροις μορφῆς· ὥσπερ γὰρ μὴ κατασπαρείσης αὐτῷ τῆς ψυχῆς ἐν τῷ βάθει τοῦ σώματος, ἀλλ' ἄνωθεν ἐφεστηκυίας, ὅ,τε λόγος αὐτῷ διηρθρωμένος ἐτύγχανεν ὢν καὶ τὰ τῆς ψυχῆς μέρη οὐ συνεπηρμένα, ἀλλ' ἤδη διακριβ[ωθέντα], καὶ σαφῆ τὴν διάκρισιν ἔχοντα. Καὶ ὁ παῖς τὴν σκιὰν τῶν ἐσομένων προχαραττόμενος, ἄγαλμα παρὰ τῆς φύσεως ἐφειστήκει τοῖς προχαράττουσιν. Ἐπεὶ δὲ καὶ τὰ προτέλεια τῶν τελεωτέρων μαθημάτων λαμβάνειν ἀπήρξατο, καὶ τοῖς τῆς ὀρθογραφίας κανόσι παιδοτριβούμενος ἦν, ἐνταῦθά που καὶ ἐνεδείκνυ τὸ τῆς φύσεως μέγεθος· ἀγωνίαν γὰρ παρεῖχε τοῖς διδασκάλοις οὐχ ὅτι ἀπομειώσειαν τῆς τελείας παιδεύσεως, ὥσπερ οὐ χωρούσης τῆς φύσεως, ἀλλ' ὅπως χορηγήσειαν τῶν ὑψηλοτέρων, ὡς εὐρυχώρου τῆς ψυχῆς τυγχανούσης αὐτῷ· καὶ ἦν τούτῳ δὴ μόνῳ μείζων τοῦ σώματος ἡ ψυχή· τὰ πλείω δὲ καὶ πρ...μβαζε τῆς μαθήσεως καὶ τοῖς μυσταγωγοῖς ἀφορῶν ἐδίδου τῶν προσθηκῶν· οὕτω τῶν μυστηρίων κρείττων οὗτος ἐτύγχανε καὶ τῶν τελετῶν ἀκριβέστερος· καὶ ἐν ᾧ μέτρῳ τῆς ἡλικίας ἑτέροις μόλις αὐτάρκης ἡ φύσις πρὸς τὴν τῶν γραμμάτων στοιχείωσιν, ἐκείνῳ ἀκριβεστέρα τῶν τελεωτέρων ἡ σύνεσις. Καὶ ὁ μὲν τοῦ μύθου Φαέθων παρὰ τοῦ πατρὸς Ἡλίου τὸ ἅρμα λ[αβ]ὼν παρεξήλασε τοὺς ἵππους τῆς εὐθυτέρας ὁδοῦ καὶ πολύ τι μέρος τοῦ αἰθερίου κατέφλεξε σώματος, οὗτος δὲ τὰ μὲν παρὰ τοῦ πατρὸς, τὰ δὲ παρὰ τῶν διδασκάλων τῶν λογικῶν ἐπιβαίνων ὀχημάτων, οὔτε παρετράπη τῆς ἁπλανοῦς, πολλοῦ γε καὶ δεῖ, οὔτε πηγεὶς τετριμμένος παρίππευσεν, εἰ μή που καὶ ταύτης ὑπερβέβηκε τῷ ὑπερφυεῖ τῆς ἐλάσεως. Καὶ ὁ μὲν μῦθος τοὺς | γίγαντας εἰς οὐ- φ. 171ᵛ.
ρανὸν ἄγει τοξεύοντας, ὁ δὲ τῆς ἀληθείας λόγος ὑποκαταβλινομένους τούτους ἐκείνῳ ποιεῖ· τί δὲ τοῦτό ἐστιν; ὅτι τούτῳ μὲν ἄρτι ἡ

τῶν τριχῶν ἄχνη ἐκβεβλαστήκει, οἱ δὲ τοὺς μακροὺς πώγωνας ἔχοντες καὶ ὅσοις ὑπεραργυρίζουσα ἐτύγχανεν οὖσα ἡ κεφαλὴ διὰ πλῆθος πολιῶν τριχῶν, ξύμπαντες τοῦ παιδὸς ἥττηντο· ἐπεὶ δὲ καὶ ἀγὼν ὁ μέγιστος αὐτοὺς ἐξεδέχετο, καὶ δρόμου καιρὸς ἦν καὶ τῆς περὶ τοὺς λόγους πάλης, οἱ μὲν δὴ ὥσπερ οἱ περὶ τὸν Τυφῶνα καὶ Προμηθέα εἰσήεσαν εὐρεῖς τὰ στέρνα καὶ τὰ νῶτα πλατεῖς, ὁ δὲ παῖς οὐδ' εἰς γόνυ ἐκείνοις προβεβηκὼς, γενναίως αὐτοῖς ἀκροχειρισάμενος, εἶτα δὴ καὶ ἐξ ἀφετηρίας προβεβηκὼς, ἐκκαίδεκα ποδῶν ὅλων εἶλε καὶ κατηγωνίσατο, οὐ τῷ προβεβηκέναι μόνον, ἀλλὰ καὶ τῷ μηδ' ὁτιοῦν πλανηθῆναι· δηλούσης οἶμαι τῆς φύσεως καὶ τὴν ἐν τοῖς μείζοσιν εὐθυδρομίαν αὐτῷ καὶ ἰσότητα.

Αὐτίκα οὐδὲ πεπαυμένῳ τῶν ἀγώνων ἐῴκει, ἀλλ' ὥσπερ μείζονας ἐπαγγείλας, εὐθὺς πρὸς αὐτοὺς ἀπεδύσατο, καὶ τοῦ τε λόγου τὸ κάλλος καὶ τὴν τέχνην θαυμάσας, ἐπὶ ῥητορικὴν ἀφεὶς ἄμφω ὀξεῖ δεδραμηκε τῷ ποδί· ἦν τοσοῦτον ἂν ὑπερβαλὼν εἴποιμι καλλίοσι κανόσιν ἀπεγεννήσατο, ἥπερ ὡς πρῶτος τὰ μέρη ταύτης συνειλήχει πρὸς τὴν ὁλότητα· τοσαύτην παρασκευὴν πρὸς τὴν τοιαύτην δύναμιν ἔσχε παρὰ τῆς φύσεως· ἦν μὲν γὰρ αὐτῷ καὶ ἡ γλῶσσα τεχνικοῦ τι τεράστιον καὶ ῥητορικῆς χρῆμά τε καὶ ἀνάθημα· ἐπεὶ δὲ καὶ παρ' ἐκείνης πρὸς τὴν πειθὼ τῶν λόγων ἠκόνητο, παντοδαπὸς ἐγεγόνει πρός τε τοὺς σχεδίους λόγους καὶ τοὺς ἐκ παρασκευῆς τε καὶ περισκέψεως. Θαῦμα οὖν αὐτίκα τοῖς ῥητορεύουσιν ἦν, καὶ ὃ μὴ παρὰ τῆς τέχνης τούτοις ἐδέδοτο, παρ' ἐκείνῳ τεχνολογούμενον ἦν, καὶ πολλὰ τῶν ζητημάτων ἐκμελετήσας καὶ μάλισθ' ὅσοις πολλαπλοῦς ὁ ἀγὼν ἐφαντάζετο, τό τε ἄρθρον προφανῶς τῆς ὑποθέσεως ἔφαινε, καὶ τἆλλα ὡς ἐν προσθήκης μέρει συνεισηγάγετο.

Ἀλλὰ πῶς ἄν τις ἐνταῦθα ἐκεῖνον θαυμάσειε; τίς δὲ τῶν πάντων τὴν ἐκείνου περὶ τοὺς λόγους τέχνην ὕλην τῆς περὶ τὰ ἐκείνου ἐγκώμια τέχνης ποιήσαιτο; Τὸν μὲν οὖν Περικλέα αὐτόματον ῥήτορα αἱ ἱστορίαι διδόασι καὶ πολλοὶ τὸν ἄνδρα ὑπερβαλλόντως

ἐγκωμιάζουσιν, ὅτι μηδὲν προβαλὼν τῆς περὶ τοὺς λόγους δεινότητος ὥσπερ ἀστράπτων καὶ βροντῶν ἐν ταῖς δημηγορίαις ἐτύγχανεν ὤν· ὁ δὲ τοσούτῳ κρείττων ἐγεγόνει τοῦ Περικλέους, ὅτι καὶ τὴν τέχνην προειληφὼς, οὐ παρ' ἐκείνης τὰ πλείω ἐκεκανόνιστο, ἀλλὰ καλλίους ἐκείνης κανόνας τοῖς μανθάνουσιν εἰσηγήσατο, καὶ δημηγορῶν οὐκ ἤστραπτε μὲν ὥσπερ ἐκεῖνος πυρὶ τοὺς ἐντυγχάνοντας καταπιμπρῶν, φωτὸς δὲ ἐπίμπλη, καὶ τὴν ἀχλὺν τῶν ψυχῶν ἀφῄρει, οὐδὲ ἐβρόντα τὰς ψυχὰς ταράττων καὶ ξυγκυκῶν, ἀλλ' ἐμμελῶς προσεφθέγγετο καὶ τὰς τῶν ἀκροατῶν γνώμας συμφωνότατα συνηρμόζετο· οὐδ' ἂν εἴπῃ τις ὡς τῶν ἐπικούρων ἐκράτει, ἀλλ' οὐ τοῦ Ἕκτορος. Τῷ μὲν γὰρ τοῦ Πηλέως παιδὶ ἐξ ἀντιμέτρου ὁ Ἕκτωρ ἐμάχετο, ἐκείνῳ δὲ δύω ἄνδρε ἄμφω γενναίω καὶ αἰχμητὰ ἐπὶ τοὺς αὐτοὺς ἀφεικότε λόγους, μετὰ γενναίου τοῦ λήμματος ἀφῄρουν τε τὸ κατὰ πάντων θαρρεῖν, ὁμοῦ δὲ καὶ ἥττηντο τῆς ἐκείνου καὶ γλώττης καὶ γνώμης, τοσοῦτον τῶν ἄλλων κρατοῦντες καὶ ὑπερφέροντες· ἀλλ' οὐκ ἂν ὅσον ἐκείνου ἥττηντο εἴποιμι· ἔλαττον γοῦν ἐκείνῳ τὸ κατὰ τούτων, ἢ ἐκείνοις τὸ κατὰ τῶν πολλῶν· ἀλλ' ὁ μὲν τοῦ συγκλητικοῦ εἶχετο βήματος, τὼ δ' ἀπὸ τοῦ νεὼ συνδρόμω ἦστην ἐκείνῳ· ἀμφοῖν ἐγὼ τοῖν ἀνδροῖν τούτοιν ἐντετυχήκειν οὕπω ἡδήσας ἐκείνοις ἤδη ἀκμάζουσιν, ἄρτι τῶν ἐγκυκλίων παιδευμάτων ἀψάμενος, ἐκείνοις εἰς τὸν τῆς τέχνης ἀγῶνα ἐμβεβηκόσι· καὶ ἦν μὲν ἄμφω αἰδεσίμω τὼ Ἰωάννα, οὕτω γὰρ ὠνομαζέσθην, καὶ περὶ τοὺς λόγους ὁμοίω, τοσοῦτον δὲ διαφόρω, ὅτι ὁ μὲν μᾶλλον θατέρου τὴν τέχνην, ἧττον δὲ τὴν φιλοσοφίαν· ὁ δὲ, ἀλλ' ἤδη που καὶ τὸ ἐκείνου ὁ λόγος ἐδήλωσε, τὴν μὲν τοί γε τῆς ἀρετῆς τελειότητα ἴσω τε καὶ ὁμοίω· ἀλλ' ὁ μὲν ἤδη που καὶ τὴν ἡλικίαν ἀκμάσας καὶ τὴν παιδείαν, ἐπὶ τελείᾳ τῇ ἀρετῇ τὸν ἐνταῦθα αἰῶνα κατέλυσε, τοῦ δὲ ἔτι καταπολαύει ἡ ἐνταῦθα ζωή· ἐμπρέπει γὰρ ὁ ἀνὴρ οὐκ ἐν σοφῶν καταλόγῳ μόνον, ἀλλὰ καὶ τὰ πρῶτα τῶν ἀρχιερέων ἐστὶ, καὶ ἡ τῶν Εὐχαΐτων μητρόπολις οἰκιστὴν τοῦτον σχεδὸν καὶ πολιοῦχον κατε-

κληρώσατο· ᾧ δὴ καὶ ὀφείλων τὸ προσῆκον τῷ ἐκείνου βίῳ ἐγκώμιον ἐς τόδε τοῦ χρόνου ἀνεβαλόμην, δεδιὼς μήπως καὶ ὑπερήμερος ὀφθείην καὶ ἧττον ἐκτετικὼς τοῦ ὀφλήματος· ὃς δὴ καὶ ἐκ ταὐτοῦ γένους ἐπανατείλας τῷ ἐγκωμιαζομένῳ, ὥσπερ ἐξ αὐτῆς ῥίζης ἐκείνῳ συντεθηλὼς, ἀπορίαν δίδωσι, πότερον οὗτος δι' ἐκεῖνον σεμνότερος, ἢ ἐκείνῳ ἐντεῦθεν τὸ ἀξίωμα τῆς ἄνω γενέσεως, ἢ εἰς τὸ ἴσον ἀμφοῖν ὁ τῆς σεμνότητος λόγος· ὃ δὴ καὶ μᾶλλον ἐγὼ τίθεμαι, ἀντιδιδόντος ἑκάστου ὃ ἀντιλαμβάνει, καὶ ἀντιλαμβάνοντος ὃ ἀντιδίδωσιν.

Ὁ δὲ λόγος τοσοῦτον περιδραμὼν τῆς πρὸς τὸν ἐγκωμιαζόμενον φερούσης ὁδοῦ, αὖθις ἐπὶ τὸν πρῶτον δεόμενον ἐπάνεισι· τοιούτοις γοῦν ἐκεῖνος ἀνδράσι συναμιλλώμενος, κρείττων κἀκείνων ἐδόκει τὴν παίδευσιν, ζήτημά τε ξυνθεῖναι καὶ μελετῆσαι, καὶ ἰδέας κεράσαι, καὶ σχήμασι τὸν λόγον καταποικῖλαι, ἐν περιόδοις τε συναγαγεῖν τὰ νοήματα καὶ αὖθις δὲ ἁπλῶσαι τοῖς πνεύμασιν, ὀνόματά τε ἐκλέξασθαι καὶ ἐμμελῶς ταῦτα ἁρμόσαι, καὶ νῦν μὲν φὺν πολλῷ τῷ κρότῳ ἠχῆσαι, νῦν δὲ ἀφελῶς ἡδῦναι καὶ εἰς ἐμμέλειαν καὶ ῥυθμοὺς τὸν λόγον κατενεγκεῖν. Ἐπεὶ δὲ καὶ τοῦτον τὸν ἆθλον ἐνενικήκει λαμπρῶς, ἤδη που τὸ τρίτον ἐπὶ τοὺς νόμους ἀφῆκεν, ἀπὸ τῆς τέχνης ἐπὶ τὴν τέχνην, τῆς ἑκατέρωθεν βαλλούσης τὴν ἐπὶ θάτερον μέρος φέρουσαν, τῆς κατ' ἄρθρα τὸν λόγον τεμνούσης τὴν δεομένην τῆς ἐκεῖθεν τομῆς. Οἱ μὲν γὰρ αὐτόθεν εἰς τὰ τῶν νομικῶν παραγγέλλοντες ἄδυτα ἢ πρὸς τοὺς ἀγῶνας τούτων ἀποδυόμενοι, ἐοίκασι τοῖς ὅσοι τὰ φυσικὰ πράγματα μαθεῖν ἐπιβάλλουσιν ἄνευ τῆς περὶ τὴν φύσιν ἐπιστήμης, καὶ ἵνα σαφῶς εἴποιμι τῆς φυσικῆς ἀκροάσεως, ἢ τοῖς τὰ κατοπτρικὰ ἢ ὀπτικὰ αἱρουμένοις μαθεῖν ἄνευ τῶν γεωμετρικῶν ἀρχῶν καὶ τῆς περὶ αὐτὰ στοιχειώσεως· ὁ δὲ ἤδει τε τὴν τῶν μαθημάτων κλίμακα, καὶ τίς μὲν ἡ πρώτη βαθμὶς, τίς δὲ ἡ μετ' ἐκείνην, καὶ ἀπὸ τίνος δεῖ πρὸς τὴν ἐφεξῆς τὴν βάσιν μετενεγκεῖν. Οὕτω δὴ τοῖς τῆς ῥητορικῆς λόγοις φραξάμενος ἀκριβῶς, ἐπὶ τὴν τῶν νόμων τέχνην

ἐχώρησεν. Ἦν δὲ ὅπη προβαίη καλλίων τοῦ διηνυσμένου· τοῖς μὲν γὰρ δρομεῦσιν ἀπομειοῦται τὸ ἄθθμα προβαίνουσι, καὶ ἡ καλάμη τοῦ στάχυος ἴσῳ τὸ πρῶτον ἀπὸ τῆς γῆς ἀναδραμοῦσα καὶ ἀκλονήτῳ τῷ διαστήματι, ἔπειτα πολλοῖς ἐνίσχεται γόνασι, πληγὰς ὥσπερ καὶ τρόμους τοῦ πνεύματος ἔχοντος· ἐκείνῳ δὲ ἐδίδου τι ὁ δρόμος προβαίνοντι, καὶ ὅσον προήει τοσοῦτον ἐπτέρωτο, οὐκ ἀπαγορευούσης πρὸς τὸ πλέον, ἀλλὰ προσλαμβανούσης πλέον τῆς φύσεως· καὶ ὥσπερ οἱ τὰς ἀρχὰς τῶν ἀποδείξεων ἐκ τῶν ἀξιωμάτων λαμβάνοντες, προϊόντες καὶ τοῖς ἀποδεδειγμένοις ὡς ἀξιώμασι κέχρηνται εἰς τὴν τῶν ἑτέρων ἀπόδειξιν, οὕτως ἐκεῖνος οἷς ἐπέπαυτο συμπεραίνων ἀξιώμασιν ἐκέχρητο οἷς ἀπήρχετο. Οὐ τοίνυν ὥσπερ λέων ἐπιβαίνων τῶν νόμων ἐτύγχανεν ὤν, λαφύσσων αὐτοὺς καὶ | φ. 172.
θοινώμενος, ἢ σπαράττων τοῖς ὀδοῦσι καὶ κατατέμνων τοῖς ὄνυξιν, ἀλλὰ πρὸς τὴν τέχνην ἀνῆγε τὴν παίδευσιν· ὅπερ γὰρ ἐκείνη τὰ ζητήματα ἢ τὰ προβλήματα, τοῦτο δὴ τοῖς νόμοις τὰ τῶν λεγομένων ἀγωγῶν παραδείγματα· καὶ ὥσπερ δεῖ πᾶσαν ἡντιναοῦν ῥητορικὴν ὑπόθεσιν, ἐφ' ἣν τι τῶν ἀπηριθμημένων πολιτικῶν ζητημάτων ἀνενεγκεῖν, οὕτω καὶ πᾶν πολιτικὸν πρόβλημα ἐπὶ μίαν ἀναφέρειν τῶν ἀγωγῶν· καὶ ὥσπερ κοινωνίαι τινὲς καὶ διαφοραὶ συνάπτουσι τὰς στάσεις καὶ διαιροῦσιν, οὕτω δὴ καὶ πρὸς ἀλλήλας αὗται συνήνωνται καὶ ἀπ' ἀλλήλων διήρηνται· ἀλλὰ τοὺς μὲν πολλοὺς ταράττει τὸ ἄτεχνόν τε καὶ ἀπερίσκεπτον, ἐκεῖνον δὲ ἡ προλαβοῦσα περὶ τὰς μεθόδους σύννευσις ἐπιστήμονα παντὸς μαθήματος ἀπεδείκνυε. Καὶ οὕτω δὴ τὰς πολιτικὰς τέχνας ἀλλήλαις συνάψας, καὶ ἑκατέραν διὰ τῆς ἑτέρας σεμνοτέραν ἐπιδειξάμενος, αὐτὸς δι' ἀμφοῖν εὐδοκιμώτατος πᾶσιν ὤπται καὶ τελεώτατος. Πολλοὶ μὲν οὖν ἐπήβολοι γεγόνασι τῶν τεχνῶν, καὶ ἔσονταί γε πλείους ἑκατέρων ἐν μετοχῇ, ἀλλ' οὐ τοσοῦτον προχέουσιν ὁπόσον καὶ ἀπηρρύσαντο· ἀλλ' ὁ μὲν νοῦς ἐνδομυχεῖ τὰ νοήματα, ἡ γλῶσσα δὲ οὐ πάνυ τι ἀποχρῶσα πρὸς τὴν ῥύσιν ἐστίν· ἐκείνου δὲ τί πρότερον ἄν τις θαυμάσειε; τὸν νοῦν ἀκριβῶς πάντα συνειλη-

χότα, ἢ τὸν λόγον ἐμμελῶς ταῦτα ἐξενεγκόντα; τὴν διάνοιαν ἔνδον τὰ συνειλημμένα μερισαμένην, ἢ τὴν γλῶτταν ἔξω τὰ μερισθέντα προενεγκαμένην; τὸ μέγεθος τῆς ψυχῆς, ἢ τὸ εὔδρομον τῆς φωνῆς, ὡς εὐκρινῶς πάντα χωρισάσης, καὶ πρὸς μηδὲν στενοχωρηθείσης; ὦ γλώττης τὴν ἔνδον ἀπαγγελούσης νόησιν καὶ μηδὲν ἐκεῖθεν ὑπεξαγούσης, καὶ τὸ πᾶν ἀποφθεγγομένης! οὕτως ἡ φύσις, οὕτως ἡ τέχνη, οὕτως ἡ σύνεσις, καὶ ταῦλλα ἐκεῖνον ἐδημοσίευσαν!

Αὐτίκα γοῦν ὑπανίσταντο αὐτῷ θρόνων δικαστικῶν καὶ ὑπεχώρουν οἱ πλείους, ὥσπερ δὴ σοφιστικῶν οἱ περὶ τούτους τὸ πρότερον, καὶ ὅπερ ἂν ἐκεῖνος γνοίη, τοῦτο τοῖς δικάζουσι νόμος, καὶ ὅπερ ἂν ἐκεῖνος ἑρμηνεύσειε, τοῦτο ἐκείνοις μάθημα καὶ μελέτημα· καὶ ἦν μόνος ὀρθογραφίας κανὼν, τέχνη ῥητορικῆς, στάθμη νομοθεσίας· συνετέλει τι παρὰ τῶν νόμων τοῖς ῥήτορσι; συνεισῆγε τὰ μείζω παρὰ τῆς τέχνης τοῖς δικασταῖς; τῆς μὲν ἐπέραινε τὸ ἀπέραντον, τῆς δὲ τὸ πεπερασμένον ἄλυτον ἐποίει ἐν ἀντιθέσεσιν. Οὕτω δι' ἀλλήλων ἔπλεκε τὰ δοκοῦντα ἀπ' ἀλλήλων διῃρῆσθαι, καὶ σὺν ἀλλήλοις ἐποίει τὰ μὴ καθ' ἑαυτὰ τοῖς ἄλλοις οἰόμενα καὶ ἀλλήλων ἀμέτοχα. Ὅπερ δὲ παρὰ πολλοῖς ἐγὼ θεωρῶ, καὶ περὶ τοῦ πράγματος ἀπορῶ, τοῦτο δὴ καὶ περὶ ἐκείνου βραχύ τι τῷ λόγῳ ἐξεταστέον· τί δέ ἐστιν ὃ φημὶ καὶ ὁ λόγος αἰνίττεται; ἔστι τι σπέρμα ψυχῆς ἑκάστης, πρὸς τόδε μὲν ἐπιδέξιον, πρὸς ἄλλο δ' ἀνεπιτήδειον, καὶ πολλοῖς ἐκ πρώτης γενέσεως ὥσπερ ἐξ ἐπικαίρου ἀφετηρίου πρὸς τὸ πρακτικὸν ἡ ὁρμὴ, τοῖς δὲ πρὸς τὸ λεκτικὸν, καὶ οἱ μὲν τὴν γλῶσσαν ἕτοιμοι, οἱ δὲ τὴν χεῖρα δραστήριοι· καὶ περὶ τεχνῶν ὁ αὐτὸς λόγος· καὶ ταύτην μὲν ἑτοίμως κατώρθωσαν ἔνιοι, πρὸς δὲ τὴν, οὐδὲ προσέβλεψαν· καὶ τὴν μὲν κρείττω πολλάκις μεμαθήκασι, τῆς δ' ἥττονος εὐθὺς ἀπέστησαν. Ὥσπερ ὅτε πανηγυρίζοντι τῷ φιλοσόφῳ ἐντυγχάνω Ἀριστοτέλει, οὐκ ἔχω ὅ,τι ὑπεραπολογήσομαι τοῦ ἀνδρὸς, εἰ τοσαύτης σοφίας μέτοχος, καὶ τὰς μεθόδους τῆς ἐπιστήμης ἠκριβωκὼς, καὶ τοὺς πολλοὺς ἡμῖν λόγους περί τε ἀποδείξεως καὶ διαλεκτικῆς παραδεδωκὼς καὶ περὶ

φύσεως καὶ τῶν κατ' αὐτὴν γινομένων ἀνέζητηκὼς, ἔπειτα τῆς περὶ τοὺς λόγους χάριτος ἀπεστέρηται· τοῖς μὲν οὖν ἄλλοις τὸ ἐλλεῖπον παρὰ πολὺ, ἐκεῖνος δὲ φιλοσοφίας μὲν καὶ τῶν ἄλλων μαθημάτων τοσοῦτον φροντίσας, ὅσον παρὰ τῆς πρώτης ἔλαβε φύσεως, ὅπως ἔχῃ τι καὶ πρὸς τοὺς περὶ αὐτὰ σπουδάζοντας ἀπαντᾶν, ὅλῳ πνεύματι καὶ γενναίῳ ὁρμήματι ἐπὶ ῥητορικὴν καὶ νόμους ἐξέδραμεν· ἔχειν μὲν γὰρ τοὺς λόγους ἁπάντων τὴν ψυχὴν ὅ,τε λόγος ἐπιμαρτυρεῖ, καὶ φιλοσοφία πολλαχοῦ βοᾷ· δεῖ γὰρ καὶ ἀφωμοιῶσθαι τὴν εἰκόνα τῷ πρωτοτύπῳ· ἀλλ' ἐκεῖ μὲν οἱ λόγοι πάντες ἀνεπτυγμένοι καὶ ἐνεργεῖς, μᾶλλον δὲ τὸ ἐπὶ τοῦ παραδείγματος καὶ ὑπὲρ τοῦτο, παρὰ δὲ ταῖς εἰκόσι, τὰ μὲν ἀνεῴγασι, τὰ δὲ συμμεμύκασι· καὶ πρὸς ταῦτα μὲν δεξιῶς ἔχομεν, πρὸς ἕτερα δὲ ἠττόνως ὡρμήκαμεν, ἐκείνῳ δὲ ἡ φύσις πρὸς πάντα μὲν ἤρκεσε, μάλιστα δὲ πρὸς τὰς τῶν λόγων ἀνέβλεψε χάριτας, ὥσπερ αὐτῷ τῆς προνοίας πόρρωθεν καταβαλλούσης τοὺς λόγους τῶν διοικήσεων, ὧν ἀνθέξεσθαι ἔμελλε· δι' ὧν γὰρ ἔδει τὴν πολιτείαν κοσμεῖσθαι, ταῦτα ἐξ ἐπίτηδες τούτῳ παρεσκευάσατο, τοὺς ἀκριβεστέρους τῆς φιλοσοφίας λόγους ὕστερον ταμιευσαμένη ἀκριβέστερον φιλοσοφήσαντι. Τοιοῦτον ἐκεῖνος ἄγαλμα ἐγεγόνει τῷ βίῳ, ἐκ πάντων τῶν τοῦ καλοῦ μερῶν ἀνεστηλωμένος τοῖς πράγμασιν.

Ἀλλ' ὅ γε λόγος πολλὴν αὐτῷ τοῦ λόγου ποιησάμενος πρόνοιαν, τῶν ἄλλων δοκεῖ κατολιγωρεῖν· ὅπως μὲν εἶχεν ἠθῶν κράσεως, ὅπως δὲ τάξεως καὶ διαίτης καὶ ἀγωγῆς καὶ συνέσεως· ἀλλὰ τίς ἐκείνῳ πρὸς ἑκάστην τῶν περὶ ταῦτα ἀρετῶν παραπλήσιος; τίς δὲ γλώττῃ καλῶς τρέχειν μαθούσῃ δεσμὸν ἐπέθηκεν ἐν καιρῷ καὶ σιωπὴν ἠγάπησεν εὔλογον, αἰδοῖ νενικηκὼς τῆς φύσεως τὴν φιλοτιμίαν; τίς δὲ τοσοῦτον ἰσχύσας μεγέθει φύσεως καὶ νοὸς ὀξύτητι ἀντιλαβέσθαι τῶν λεγομένων, τοῖς ἄλλοις παρεχώρει τῆς περὶ αὐτὰ παρρησίας; εἰ δέ πού τι καὶ λέγειν περὶ ὧν ἐγνώκει διενοεῖτο, ἐρυθήματος εὐθὺς ἐνεπίμπλατο, ὥσπερ ὑπὲρ τῶν ἄλλων αἰδούμενος· τίς δὲ τῶν πάντων συνδρόμους εἶχεν ἐξ ὅλων μερῶν πρὸς τὸ

λέγειν τὰς χάριτας, τὸν νοῦν, τὴν φωνὴν, τὴν γλῶτταν, τὴν εὐρυθμίαν τῆς φύσεως, ἐπειδὴ δεῖ τι καὶ ταύτης τῷ ῥήτορι, ἵν' ἐκ πάντων συγκεκροτημένος εἴη καὶ παρεσκευασμένος πρὸς τὴν πειθώ; τῆς δὲ τῶν ἠθῶν κράσεως, τίς ἂν αὐτῷ καὶ κατὰ βραχὺ γένοιτο παραπλήσιος, ὁπότε οὐδὲ γίνεται τὸ καλὸν τοῦτο χρῆμα, ἀλλ' ἔστηκεν ἐξ ἀρχῆς ὥσπερ αἱ μορφαὶ καὶ τὰ χρώματα ταῖς ῥοδωνιαῖς;

Οὕτω μὲν οὖν ὁ ἀνὴρ πρὸς τὴν ὧν ἐδόκει τῇ προνοίᾳ κυβέρνησιν πόρρωθεν προητοίμαστο· ἔμελλε δὲ καὶ ἡ φορτὶς ἀπαντᾷν ἵν' εὐθὺς ὁ τεχνίτης ἐπιβαίη, καὶ τοὺς τῆς κυβερνητικῆς λόγους ἐπιδεικνύῃ. Ἀμέλει τοι καὶ ὅρον μὲν ἡ βασιλεία καὶ ἡ ζωὴ τῷ τηνικαῦτα βασιλεύοντι ἔσχηκεν· εἶτα δὴ ὁ μετ' ἐκεῖνον ἄρξας, εἰ καὶ μὴ ἐγνώκει τὴν ἐπιστήμην τοῦ κράτους, ἀλλ' οὖν ἄρτι τοῦ ὀχήματος ἐπιβὰς, καὶ δεδιὼς ὅπερ ἐπεπόνθει, πρὸς οὐδένα τῶν πάντων ἢ πρὸς τὸν ἄνδρα τοῦτον ἀπέβλεψεν· οὐκ ἔφθασε δὲ τοῦτον ἀναβιβάσας ἐπὶ τὸ ὄχημα, καὶ κακῶς ὑφ' ἑτέρων ἡνιοχήσας ἐπὶ τοῦ κράτους τῶν τε ἀντύγων ἀπώλισθε, καὶ μικροῦ δεῖν καὶ αὐτοὺς συνέθραυσε τοὺς τροχούς, οὐκ ἂν τούτου γεγονότος, εἰ οὗτος ἐκείνῳ συνεπελάβετο τῆς ἡνιοχήσεως· ἀλλὰ ταῦτα μὲν ἴσως οὕτω γενήσεσθαι ἔμελλε, καὶ τὸ πᾶν ἐκείνου γένος φθαρήσεσθαι παρεντεθέντος τῷ κράτει, ἵνα τὸ δόξαν τοῖς ἄνω δόγμασι γένοιτο. Ἐπεὶ δὲ ἐβεβούλητο τῇ προνοίᾳ καὶ κατάστασιν ἀρίστην ποτὲ δοῦναι τοῖς πράγμασι, καὶ τὰ συγκεχυμένα διευκρινῆσαι, καὶ βασιλικῆς ὡς ἀληθῶς αἴγλης καταπληρῶσαι τὴν οἰκουμένην, γίνεταί τι πρᾶγμα τῶν πώποτε μνημονευομένων παραδοξότατον· καὶ τῶν ἐπισήμων καὶ τὴν βασιλείαν ἑτοίμων καὶ μονονοὺ ἐφεστηκότων τοῖς πράγμασι προτιμᾶται ὁ ὑπερόριος, καὶ ψήφοις ὅλαις ἐπὶ τὴν πατρίδα ὁμοῦ καὶ τὴν βασιλείαν ἐπάνεισιν, ὁ καὶ τὴν κλῆσιν ὁμώνυμος τῷ τὴν οὐρανόπολιν ταύτην οἰκίσαντι καὶ τὴν προσηγορίαν φερώνυμος, μόνος τοῦ κράτους προκινδυνεύσας, καὶ ὑπὲρ πάντας ἀξιόμαχος γεγονὼς καὶ ὑπὲρ τῆς κοινῆς τοῦ γένους μονομαχήσας

εὐκλείας, κἀντεῦθεν τὴν ἐπωνυμίαν ὥσπερ ἀριστεῖον ἀνειληφὼς, ὁ καὶ πρὸ τῆς βασιλείας τῇ μεγαλοπρεπείᾳ κεκοσμημένος τῆς προαιρέσεως, καὶ μετὰ τὸ κράτος ἔτι | ταύτην ὑψώσας εἰς δύναμιν, καὶ φ. 172*.
πάντων βασιλέων ἐν πᾶσι κεκρατηκὼς, τῷ μὲν φιλοτίμῳ τῆς γνώμης πάντας ὑπερβαλὼν, τῷ δὲ περιεσκεμμένῳ τοῦ βασιλείου φρονήματος οὐδενὶ πλησίον ἐλθεῖν ἢ παραμιλληθῆναι τούτῳ παρεσχηκὼς, ἵνα ἔχοι τὸ ἴσον ὁ μερισμός· οὐδὲ γὰρ ἐπειδὴ πάντας ὑπεραναβεβήκει τῷ ὕψει τοῦ κράτους, ὁμοῦ καὶ μεταβεβλῆσθαι τὴν φύσιν ᾠήθη καὶ κρείττων συμπάντων γεγενῆσθαι ὧν ἄρχειν ἔλαχεν, ἀλλ' ἐπειδὴ πολυμερὲς αὐτῷ τὸ τῆς βασιλείας ἔδοξε πρᾶγμα, καὶ τὸ μὲν πρὸς μάχας εὔθετον καὶ πολέμους ὑπερορίους, τὸ δὲ πρὸς εἰρήνην ῥέπον καὶ οἰκονομίαν πραγμάτων, καὶ ἄλλο πρὸς ἄλλό τι ὁρῶν, τῷ μὲν ἐφίστησι στρατηγοὺς, τῷ δὲ δικαστὰς, τῷ δὲ ῥήτορας, τῷ δὲ συμβούλους δεξιούς· καὶ ἵνα μὴ διασπᾶτο τὸ κράτος τοῖς μέρεσι, μηδὲ ἡ μία τῶν ὅλων ἀρχὴ ἀναγκαίως συνδιαιροῖτο τοῖς πολλοῖς μερισμοῖς, ἐγνώκει καὶ συνάψαι τὰ πολλὰ ταῦτα εἰς ἕνα δεσμὸν, ἵν' αἱ τῶν πάντων κορυφαὶ τούτῳ συνάπτοιντο, καὶ ζητῶν τὸν ἀρκέσοντα τοῖς πολλοῖς τούτοις ἀρτήμασιν, εὑρίσκει τὴν χρυσῆν ὄντως σειρὰν, τοῦτον δὴ φημὶ τὸν θαυμάσιον ἐφ' ᾧ δὴ καὶ ὁ λόγος πεποίηται, ἵν' οὐχ ὥσπερ ὁ παρ' Ὁμήρῳ Ζεὺς ἐπ' ἀλαζονείᾳ καὶ μεγάλῳ φυσήματι τῶν οὐρανῶν ἐξαρτᾷ, ἀλλ' ὡς ἄν τις τῶν πάντων βασιλέων ἀκριβέστατός τε καὶ συνετώτατος ἐπὶ συναφῇ τῶν πολλῶν ἀπαιωρεῖ διαιρέσεων, ὅπως ὁ μὲν ἐπὶ τῆς κορυφῆς φαίνοιτο τῆς σειρᾶς ἐφ' ἑαυτοῦ ταύτην ἀνέχων, ἡ δὲ τῇ καταλλήλῳ πλοκῇ συνδεσμεῖ πάντα καὶ συνάπτει πρὸς ἑαυτήν. Οὕτω τοιγαροῦν ἐγνωκὼς ἐκεῖνος, οὕτω καὶ ὧν ἐγνώκει κατευστοχεῖ, ὡς πολλῶν ἱστορουμένων ἄνω βασιλειῶν, καὶ τρόπων λεγομένων, καὶ μεθόδων παντοδαπῶν, μηδεμίαν ταύτῃ περισωθῆναι, οὔτε τῷ ἀρίστῳ τοῦ σκέμματος, οὔτε τοῖς τέλεσιν οἷς αἱ ἀρχαὶ τῶν πράξεων ἐγνωρίσθησαν.

Ἀλλ' ἐνταῦθα τοῦ λόγου καὶ τοῦ μετ' ἐκεῖνον μέρους γενόμε-

νος, ἔοικα τοῖς ἐκ λιμένων εἰς πέλαγος ἀχανὲς ἀθρόον ἀναδραμοῦσι· τὸ μὲν γὰρ μέχρι τοῦδε ὥσπερ καθ' ὑπτίων πεδίων ὁ λόγος διΐπτευεν ὁμαλῶς, καί που καὶ παρασκιρτᾶν ἐδόκει, καί τι καὶ παραδεικνύειν φρυάγματός τινος ἢ νεανιεύματος· τὸ δ' ἐντεῦθεν ἀνάντης ἡ φορὰ καὶ παντοδαπὴ καὶ ποικίλη ἡ ἄνοδος· ὅθεν καὶ πνευστιᾷν δοκῶ πρὶν καὶ τῶν προπόδων ἐπιβῆναι τοῦ ὄρους, καὶ μικροῦ δεῖν ἐπιλέλοιπέ με τὸ ἄσθμα, καὶ τῆς περιωπῆς ἀπεγνώκειν πρὸς ἣν ἐγνώκειν ἐκβραμεῖν τε καὶ ἀναβήσεσθαι. Τὰ μὲν γὰρ ἄλλα τοῦ ἀνδρὸς περὶ ὧν ὁ λόγος φθάσας ἐδήλωσε, παρασκευαί τινες ἦσαν τῶν ἐσομένων, καὶ τῶν μελλόντων ἑτοιμασία, ὥσπερ εἴ τις μέλλων διφρηλατήσειν προπαρασκευάζει τὸ ἅρμα, καὶ γενναῖον μὲν ἀποτορνεύει τὸν ἄξονα, περιάγοι δὲ τοὺς τροχούς, καὶ κάμπτει τὴν ἴτυν ἀπὸ γενναίας δρυὸς ἵν' εὐθαρσῶς ἐπερείδοιτο· τὸ δ' ὅσον, νῦν ὁ λόγος δηλώσειν βούλεται, δι' ὃ τἄλλα ἐστίν· ἀλλ' εἰ καὶ κρείττους αἱ παρασκευαὶ καὶ τὰ τῶν ἀρχῶν εὔθηκτα, οὐδὲν ἔλαττον τὸ συμπέρασμα. Ὡς γὰρ ἐπέστη τοῖς πράγμασι, καὶ τῶν χαλινῶν ἐπελάβετο, οὐ τὸ τῶν πολλῶν πέπονθεν· οὔτε γὰρ ἐξεπλάγη τὸ πολυειδὲς τῆς ἀρχῆς, οὔτε τὰς αἰτίας οὐκ ἐγνώκει τῶν πράξεων, ἀλλὰ καὶ ταύτας ἐγνώκει, καὶ πρὸς ὃ ἕκαστον τῶν πραττομένων ἀποβήσεσθαι ἔμελλε προεγνώκει· καὶ συγκρίνας τὴν φύσιν τοῖς πράγμασιν, ἐπειδὴ ἕκαστον τῶν τῆς ἀρχῆς ἑκάστῳ τῶν τῆς ψυχῆς ἐδόκει καταλληλον, θαρρεῖ τὰ μέρη τοῖς μέρεσι· καὶ ὥσπερ κατομματώσας ἑαυτὸν ἐφ' ὅλου τοῦ σώματος, πανταχόθεν ἑώρα τὰ πράγματα, μᾶλλον δὲ τὸν ἕνα τῆς ψυχῆς ὀφθαλμὸν ὥσπερ τινὰ λύχνον πᾶσιν ἐπιστήσας τῶν πραττομένων τοῖς μέρεσι, πάντα διήθρει καὶ συνελάμβανεν. Ἀλλ' ὦ τῆς ἐκείνου περιδεξίου καὶ παντοδαπῆς φύσεως! συνεστρατήγησε στρατηγοῖς, καὶ πρωτοστάτης ὤφθη τοῦ λόχου, καὶ τῆς ὅλης προηγωνίσατο φάλαγγος καὶ συνησπίκει, καὶ ἐκ πλαγίων ἐνσείσας τὸ τῶν ἐναντίων κατεπτόησε σύστημα, οὐ πράττων αὐτὸς, ἀλλὰ τοῖς ἐπὶ τῶν ταγμάτων τὰς ὑποθήκας διδοὺς, τῆς εἰρηνικωτέρας μερίδος ἐγένετο· καὶ κυμαν-

θεῖσαν κατεύνασε θάλασσαν, καὶ κορυφωθέντα κατεπράϋνε κύματα, συνήνεγκεν εἰς ταὐτὸν τὰ διεστῶτα, διεῖλεν ὁπόσα ἔδει διαιρεθῆναι, γνώμας περὶ τῶν συμφερόντων εἰσήνεγκε, τὰ παρόντα κοσμίως διέθετο, περὶ τῶν μελλόντων ἄριστα ἐβουλεύσατο, νόμους ἀμφιβόλους ἀκριβῶς ἐξηγήσατο, ψηφίσματα ἔγραψεν ἐν ταῖς ἀρχαιρεσίαις, τοὺς κρείττονας ἐν ταῖς ἀρχαῖς προεβίβασε, τὰς δημοσίας συνεισφορὰς τεταγμένας διέθετο, ὅρους ἑκάστοις τῶν πραγμάτων ἐπέθηκε· πολυειδὴς ἐγεγόνει πρὸς τὸ ὑπήκοον, τοῖς μὲν ὥσπερ ἐνδιδοὺς ἑαυτὸν, τῶν δ' ἀφιστάμενος, καὶ τοῖς μὲν ἐπισκυθρωπάζων, τοῖς δ' ἀφαιρούμενος τὴν ἀχλύν· καὶ τοῖς μὲν ἐμβριθὴς ἐδόκει καὶ βαρὺς τὴν ἀρχὴν, οἱ δ' ἐθάρρουν αὐτῷ καὶ ὡς προχείρῳ προσήεσαν. Οὗτός τε γὰρ πρὸς τοὺς διαφόρους τὰς γνώμας διάφορος ἦν, καὶ οἱ οὕτω διηρημένοι παραλλάττοντι αὐτῷ ἐνετύγχανον.

Πολλοὺς μὲν ἔγωγε τεθέαμαι καὶ πρὸς μίαν τῶν ξυμπασῶν σχετλιάζοντας πράξεων, καὶ ἐπαρωμένους τῷ πράγματι ἐφ' ᾧ ἐμβεβήκεσαν, τῷ δὲ κενή τις ἡ χώρα τῆς ψυχῆς ἦν τὰ τηλικαῦτα χωρήσασα, καὶ εἴπέρ τισι δυσχεραίνειν ἐῴκει, ὅτι μὴ πλείω παρῆσαν τὰ πράγματα τὸ δυσχερὲς αὐτῷ ἐγεγόνει· ἅπαξ γὰρ οὐδὲν ἀποκνήσας τῶν τῆς ἀρχῆς ἐγνωκέναι μερῶν, καὶ βραχύ τι χαλεπήνας τοῖς πράγμασιν, αὐτίκα ξύμπαντα ἀνειλήφει· ὥσπερ ἂν εἴ τις καὶ φιλοσοφεῖν ἐν πᾶσι μαθήμασι βουληθείη, διὰ ῥᾳδίας ἂν ἔλθοι πρὸς τοῦτο, εἰ μὴ εὐθὺς ἀποκάμοι, ἀλλὰ βραχύ τι προσταλαιπωρήσοι ταῖς ἀρχαῖς καὶ ταῖς ὑποθέσεσι· καὶ εἴ τις τὰ πρῶτα ἑαυτῷ μαθήματα συνδεσμήσειεν, οὐκ ἂν φθάσοι ὀπτικώτατός τε γενόμενος καὶ κατοπτρικώτατος, τὰ πολλά τε τῷ Ἀρχιμήδει συμμηχανώμενος, καὶ περὶ τῶν ἰσορροπιῶν εἰδὼς ὁπόσα Ἵππαρχοί τε καὶ Ἥρωνες[1] διεγνώκεισαν καὶ ἐφ' ἑαυτῶν εὐδοκίμησαν. Οὕτω δὲ πάντα διεγνωκὼς, ὡς οὐκ ἄλλως ἔδει ἠκριβωκὼς, ὥσπερ πρὸς τὰς τοῦ βασιλέως δέλτους ἐπεστραμμένος, κἀκεῖθεν λαμβάνων τὰ τῶν δε-

1. χ. Νέρωνες.

δογμένων συνθήματα, οὕτω τοῖς σύμπασιν ἐθεμίστευε, καὶ τοῖς πυνθανομένοις δὲ περὶ τῶν συμφερόντων, οὐκ εὐθὺς ἐδίδου τὰς ἀποκρίσεις, ἀλλ' ἐδόκει εἰσιέναι πρὸς τὸ χρηστήριον, καὶ ἦν ὥσπερ ἀπὸ τοῦ τρίποδος ἀναφωνῶν τοὺς χρησμούς· διὰ ταῦτ' ἄρα καὶ σεμνοτέρα τῷ βασιλεῖ καθίστατο ἡ ἀρχή· ὧν γὰρ ἴσως οὐκ εἶχε τὴν γνῶσιν, διὰ τοῦτον τὰ πρῶτα εἶναι ταύτης πεπίστευτο, καὶ διχῶς ἐν αὐτῷ τὸ σεμνὸν ἐφειστήκει, τὸ μὲν βασιλεύειν ἄνωθεν, τὸ δὲ ὡς ἄριστα παρὰ τούτου δὴ τοῦ ἀνδρός. Πολλάκις δὲ αὐτῷ καὶ σκηνὴν περιστήσας τῷ ὄντι βασίλειον, καὶ καθίσας ἐφ' ὕψους, εἶτα δὴ κάτω περιστήσας τοὺς ὅσοι διῃρημένως ἐπιδεεῖς τοῦ αὐτοκράτορος ὄντες ἐτύγχανον, ἢ καὶ ὅσοι παρῆσαν περὶ τῶν διαφόρων πευσόμενοι, τὰ μὲν αὐτὸς ἐδίδου τὰς ἀποκρίσεις, ἐπικλίνων τὰ ὦτα τῷ αὐτοκράτορι ὡς παρ' ἐκείνου λαμβάνων τὸ σύνθημα, τὰ δ' ἐκείνῳ ὑπετίθει ὅπως χρὴ πρὸς ἕκαστον ἀποκρίνεσθαι· καὶ ἦν ἄρα κατ' ἄμφω βασιλεὺς οὗτος, καὶ τῷ σχήματι καὶ τῷ πράγματι.

Εἶχε μὲν γὰρ καὶ πλεῖστα παρὰ τῆς φύσεως πλεονεκτήματα· ὀξὺς μὲν γὰρ εἰ καί τις ἄλλος ἐγεγόνει τῶν βασιλέων, καὶ τὴν ὁμιλίαν ἡδύς, τό τε ἦθος χαρίεις οἷος οὐκ ἄλλος, ἐπιπρέποντος αὐτῷ καὶ τυραννικοῦ εἴδους· ἀλλ' ὁπόσον ἐφικνεῖτο τῶν τελεωτέρων πραγμάτων, παρὰ τούτου δὴ τοῦ ἀνδρὸς τὰς ὑποθέσεις ἐλάμβανε, καὶ σύμβολον τῆς ἀρίστης τῶν γινομένων οἰκονομίας καὶ διοικήσεως ἡ
. 173. ἐπικειμένη τάξις τοῖς πράγμασιν, αἱ τῶν | διαφόρων λύσεις, αἱ τῶν δημοσίων τεταγμέναι συνεισφοραὶ, εὐνομ[ούμενον] τὸ ὑπ[ήκοον,] τὸ β[άρ]βαρον ἠρεμούμενον ἢ καταπολεμούμενον, ὁ τῆς Ῥώμης κύκλος αὐξόμενος καὶ πολλὰ τῶν βαρβάρων συναντιλαμβανόμενος· ἃ δὴ ξύμπαντα ταῖς ἐπιβολαῖς ἐκείνου καὶ ταῖς σπουδαῖς κατώρθωτο.

Ἀλλ' ἄρα τὰ μὲν τῆς ἀρχῆς οὕτω διέθετο καὶ ὡς οὐκ ἄν τις ᾠήθη, καὶ σύμφωνον ἑαυτῷ τὸ κράτος ἀπέδειξε, πρὸς δὲ ἑαυτὸν διάφωνος ἐγεγόνει, καί τι καὶ τῶν δοξάντων περί τε καταστολὴν καὶ δίαιταν μετηλλοίωσεν; οὔμενουν· εἰ μή τις εἴποι περὶ τὸ κρεῖττον τὴν ἀλλοίωσιν γεγενῆσθαι. Λέγω δὲ οὐκ αὐτὸς παρ' ἑτέρου

ταῦτα ἀκηκοὼς, ἀλλὰ πᾶσι παρηκολουθηκὼς ἐξ ἀρχῆς, καὶ τοῖς πολλοῖς τῶν ἀκροωμένων μάρτυσι χρώμενος. Ἐκεῖνος γὰρ πρὸς τὸν κρείττω βίον ἐκ πρώτης κατεσκευασμένος φύσεως, ἐφ ὃν δὴ τέλει καὶ ἀναβήσεσθαι ἔμελλεν, εἶτα δὴ ἐφ' ἑτέροις οἰκονομούμενος πρὸς τοῦ κρείττονος, τούτων τε οὐκ ἠμέλει καὶ τῶν νενομισμένων οὐκ ὠλιγώρει, ἀλλ' ἐν ὀξεῖ καὶ ταῦτα φρονήματι. Πρεσβυτικὸν ἦν αὐτῷ τὸ ἦθος καὶ στάσιμον, καὶ οὔθ' ὁ τῆς δόξης αὐτὸν ὄγκος τοῦ καθήκοντος ἀπεπλάνησεν, οὔτε ἡ παντοδαπὴ τῶν πραγμάτων πλοκὴ ἀφείλετο τοῦ προσήκοντος, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς ἀναγκαίοις ἐξεταζόμενος πράγμασι, τῆς ἀπράγμονος γνώμης ἦν· καὶ εἴ ποτε ἔξω τούτων-σταίη, εὐθὺς ἑαυτὸν ἀνελάμβανεν.

Ἐστόλιστο δὲ οὐ περιττῶς, οὔτ' ἀφελῶς, ἀλλ' ὅπερ ἄν τις σοφὸς ἐπαινέσειε, τῆς συμμετρίας ἀεὶ στοχαζόμενος· καὶ διαίτης τρόπον ἠρεῖτο οὔθ' ὑπερήφανον καὶ ἀπειρόκαλον, οὔθ' ὡς ἄν τις ἀπορούμενος εὐκόλῳ τραπέζῃ χρήσαιτο· ἐβάδιζέ τε τεταγμένα, καὶ ὡμίλει λαμπρῶς μὲν αὐτόθεν καὶ ὡς εἶχεν ἡ γλῶττα φύσεως, ἐσέμνυνε δὲ τὴν φωνὴν ῥυθμῷ ἐμμελεῖ, καὶ ἦν αὐτῷ τὸ ἐπιτροχάδην τοῦ στασίμου μετεσχηκὸς καὶ τὸ στάσιμον ἐπιτρέχον· πολλοῖς δὲ πολλάκις τοῖς ἄρτι σπῶσιν ἐφ' ἑαυτοὺς περικυμαινόμενος, πρὸς οὐδένα τῶν πάντων ἀπήχθετο, ἀλλ' ὁμαλῶς πᾶσι κατεμερίζετο· τὴν δὲ σύνεσιν φύσει δραστήριον οὖσαν ἔτι μᾶλλον διὰ τῶν πραγμάτων ἐκράτυνεν, ὥστε τῇ μὲν μεγαλοφυΐᾳ τοὺς διεξητασμένους ἐν τοῖς ἔργοις νικᾶν, τῷ δὲ πολλῶν μετέσχηκέναι τοὺς μεγαλογνώμονας ὑπερβάλλειν· μᾶλλον δὲ τῷ μὲν δεξιῷ τῆς φύσεως τῶν περὶ τοῦτο τὸ μέρος περιβοήτων ἐκράτησε, τῷ δὲ διὰ πάντων ἐλθεῖν τοὺς οὕτω διεληλυθότας ὑπερηκόντισε· καὶ οὔτέ τις ἐκεῖνον τῶν ἐκ παλαίστρας ὑπερεβάλετο, οὔτε τῶν πρὸς τοῦτο ἐπιτηδείων παρήνεγκεν, ἀλλ' ἦν ἑκάτερος ἑκατέρου τῶν ἐκείνου μερῶν ἡττώμενος. Τὸ δ' ὃ τῆς ἐκείνου φύσεως ἰδιαίτατον, τοῦτο δὴ πᾶσι προτίθημι· ὅτι καὶ εἴ ποτέ τινα δυσχεράνοι καὶ ἐπιστύψειεν, αὐτίκα δὴ μετεμέλετο, καὶ μετεγνώκει ἐφ' οἷς ἐγνώκει, καὶ αὐτίκα διηγκα-

Εἶτά τι γίνεται · πολλῶν ἐπικλυσθέντων κακῶν, ὃν ἐκεῖνος ἀφεστήκει χρόνον τῆς διοικήσεως οὔπω τὰ μείζω τῶν δεινῶν ἐγεγόνει, καὶ τῷ αὐτοκράτορι μαραίνεται ἡ ζωὴ, καὶ νόσος αὐτὸν αἱρεῖ πρὸς τὸν θάνατον συνελαύνουσα · ἐπὶ τούτοις καὶ μεταμέλεια ὧν περὶ ἐκεῖνον ἐγνώκει, καὶ πολλάκις τοῖς πρὸς τοῦτο καταναγκάσασιν ἐπηράσατο, οὐκ εἶχε δὲ ὅτι καὶ χρήσαιτο ἀπορρεούσης αὐτῷ τῆς
φ. 173*. δυνάμεως, | πλὴν ὅσον τελευτῶν καὶ τῶν τῇδε ἀγόμενος ἐκεῖνον μόνον καὶ ἔπνει καὶ ἔβλεπε. Καὶ ὁ μὲν ὅπως τὸν δεδομένον αὐτῷ αἰῶνα πεπληρωκὼς ἀπελήλυθεν, ὁ δὲ ἀκύμαντος εὐθὺς διεδείκνυτο· ἐπὶ λιμένων γὰρ ἀτεχνῶς καθῆστο, καὶ ξυμπάντων αὐτὸν ἐπὶ δευτέραν ἐπιστασίαν καλούντων, αὐτὸς οὐδενὶ προσεῖχε τὸν νοῦν, καὶ τέλος ἐνενικήκει, καὶ κρείττων τῶν βιαζομένων ἐγένετο · κἀντεῦθεν ὑστέρει μὲν ὥσπερ ὁ Θεμιστοκλῆς τοῦ Εὐρυβιάδου, ἐκράτει δὲ καὶ τῶν ναυαρχούντων, καὶ ἡγεμόνευε τῶν ἡγεμονευομένων διὰ τὴν σύνεσιν.

Ἐπεὶ δὲ καὶ ἡ τοιαύτη ἀρχὴ οὐ μετὰ πολὺ καταλέλυτο, καὶ βασιλεὺς ἕτερος ἐπὶ τὴν τῶν ὅλων ἡγεμονίαν εἰσήχθη, ὁ δὲ οὐδὲ πάλιν τῶν οἰάκων ἐπιλαμβάνεται, ἀλλ' ἦν τοὺς ἐπειλημμένους διδάσκων ὅπως ἂν ἄριστα κυβερνήσειαν · οἱ δὲ, οἷς μὲν αὐτοῦ τὰς συνθήκας ἐδέχοντο, τόν τε διάπλουν καὶ τὸν περίπλουν τεχνικώτατα ἐπεποίηντο, οἷα δ' οὐκ ἐδέξαντο, οὕτω διημαρτήκασιν ὡς μὴ ἔχειν ὅπως αὖθις ἑαυτῶν γένοιντο, καὶ τῶν πραγμάτων ἀκριβέστερον ἀντιλάβοιντο. Τὰ μὲν οὖν ἄλλα οὐδὲν δέομαι λέγειν, ὅτι μὴ καὶ πρὸς τὸν σκοπὸν ἄγει τὸν λόγον ὃν προὔθετο, ἓν δὲ τῶν πάντων ἐρῶ, δι' ὃ τε βεβασιλευκὼς καὶ οἱ περὶ ἐκεῖνον τὸ ἐφ' ἑαυτῶν δρᾶμα καταλελύκεσαν, καὶ οὗτος πρὸς τὴν προτέραν ἀρχὴν καὶ αὖθις ἐπανεληλυθὼς, ὅσον οἰκονομηθῆναι πρὸς τὸ ἐσόμενον, διὰ ταύτης ἐπὶ τοῖς τῆς ἀρχιερωσύνης θώκοις ἐγκαθιδρύεται. Ἐπιτεμοῦμαι δὲ τὸν λόγον, τὰ κυριώτατα τιθεὶς τοῦ πράγματος καὶ ἀφ' ὧν ἡ περὶ τὴν βασιλείαν ἐγεγόνει καινοτομία · εἰ δὲ κἀγὼ πάρεργον τοῦ λόγου γενήσομαι καὶ τρόπον τινὰ συναπολαύσω τῶν ἐκείνου

καλῶν, φθονείτω μηδεὶς, ἀλλὰ μηδ' αἰτιάσθω· οὐ γὰρ ἐξεπίτηδες ἐμαυτὸν, οὐδὲν δέον παρενείρω τῷ διηγήματι, ἀλλ' ὅτι μέρος καὶ αὐτὸς ἐγεγόνειν τῆς ὑποθέσεως, ἀναγκαίως καὶ περὶ ἐμαυτοῦ διαλέξομαι.

Οὐ πάνυ τὸ στρατιωτικὸν πρὸς τοὺς πολιτευομένους ἡμᾶς συμβατικῶς καὶ ἀστείως εἶχεν, οὐδ' ἐσπένδετο ὁμαλῶς, ἀλλὰ τρόπον τινὰ ἀπηχθάνετο, ὅτι περ ἕκαστος τῶν βασιλευόντων εὐεργετεῖν ἀπαρχόμενος ἀφ' ἑστίας ἡμῶν ἀπήρχετο, τῶν δέ γε στρατοπέδων ἢ κατωλιγώρει παντάπασιν, ἢ ἀφωσιοῦτο διδοὺς μέτρια· καὶ ἐν δεινῷ εἶχον εἰ τῶν ὅλων προκινδυνεύοντες, ὧν προασπίζονται ἐλάττους ἐν ταῖς τιμαῖς εὑρίσκοιντο· διὰ ταῦτα καὶ τῷ τηνικαῦτα βασιλεύοντι ἀπηχθάνοντο ἀκριβῶς, ὅτι μὴ δὲ τὸ πολλοστὸν τοῖς τῶν στρατοπέδων ἄρχουσιν ἀπεδήσατο ὧν τοῖς τῆς πολιτείας ἐπιδεδώκει. Κἀντεῦθεν ἀπορρήγνυται τὸ παρ' ἐκείνοις ἔκκριτον καὶ εὐδόκιμον, καὶ αὐτίκα τὸ πᾶν ἐκείνοις ἐν στρατεύμασι πλῆθος συναποτέμνεται· εἶτα, ἵνα καὶ πῆξιν λάβοι τὸ σύστημα, καὶ ἀτεχνῶς μορφωθείη ἡ τυραννὶς, ἕνα τῶν πάντων προὐστήσαντο γενναῖον ἄνδρα καὶ ἐν πολλοῖς εὐδοκιμήσαντα στρατηγήμασι, καὶ τοῖς βασιλικοῖς οὕτως εἰπεῖν παραχαράξαντες παρασήμοις, αὐτοκράτορα τῶν ὅλων ἀνηγορεύκασιν. Ἦν δὲ οὗτος ὁ διαβόητος Ἰσαάκιος, ἐκ Κόμνης μὲν τῆς κώμης προεληλυθὼς, ὥσπερ ἐκ Πέλλης ὁ Φίλιππος, κοσμήσας δὲ καὶ τὴν πατρίδα καὶ τὸ χωρίον οἷς τε πρότερον ἐστρατήγησε καὶ οἷς ὕστερον ἐβασίλευσεν, εἰ μή πού τι, δι' ὑπερβολὴν φιλοτιμίας οὕτως ἐρεῖν, προσκεκρούκει καὶ οὗτος τοῖς πράγμασι, καὶ τελευτῶν ἀπήλλαξεν ὥσπερ ἴσμεν· ἀλλ' οὔπω ταῦτα· καὶ τὸ τυραννικὸν ἐγεγόνει στρατόπεδον οἷον οὐκ ἄλλο τῶν πώποτε· καὶ ἵνα τὰ πλείω τῶν τότε πεπραγμένων παρῶ, συνάγεται καὶ παρ' ἡμῶν ἐπ' ἐκεῖνον στρατεύματα, καὶ συρρήγνυται πόλεμος ἐξ ἑκατέρων δεινὸς, καὶ νικᾷ τοῖς ὅλοις ὁ τυραννήσας· καὶ πρὸς δευτέραν ἀντάρασθαι χεῖρα οἱ περὶ τὸν βασιλέα ἀπεγνωκότες, πρεσβεῦσαί τε πρὸς τοῦτον ἐγνώκασι, καὶ σπείσασθαι, εἴ πως ἐνῆν,

ἐφ' οἷς ἐκεῖνος συνθήμασι βούλοιτο· τὴν δὲ πρεσβείαν ἐπὶ τοῖς ἀρίστοις θέσθαι διεγνωκότες, διεσκοποῦντο τίνες τῶν πάντων εἶεν οἱ ἀκριβέστατοι· μᾶλλον δὲ ὅπως ἔσχε τὸ πρᾶγμα φιλαλήθως ἐρῶ. Ἐδόκει τῷ αὐτοκράτορι ἐμοὶ τὸ πᾶν ἀναθέσθαι τοῦ σκέμματος. καί με ἐφ' ἑαυτοῦ συλλαβὼν πιστεύει τὸ ἀπόρρητον τῆς ψυχῆς· ἐγὼ δὲ τὸ μὲν τῆς πρεσβείας προσιέμην σχῆμα, καὶ πρὸς τοῦτο ἕτοιμος ἦν διακονῆσαι τῷ αὐτοκράτορι· ἐδεδίειν δὲ καὶ τὸν πρὸς ὃν πρεσβεύειν δεδοκίμασμαι, μή πού με τοῖς ἔναγχος αὐτῷ κατωρθωμένοις ἄπρακτον ἀποπέμψειεν· ὑπώπτευον δὲ καὶ τὰς τῶν πολλῶν γλώττας, μήπως καὶ ἀτυχήσαντά με παραπρεσβείας οἱ πολλοὶ γράψοιντο· διὰ ταῦτα συμπρεσβευτὴν ἠρούμην τῶν εὐδοκίμων τινά, ἵν' ὁμοῦ τε διάγοιμεν καὶ κατὰ ταὐτὸ καὶ πρὸς τὸν τυραννοῦντα κοινολογοίμεθα. Καὶ αὐτίκα μοι τῶν ἐν τέλει ὁ πρῶτος συνδεδοκίμασται· ὥσπερ δὲ τοῦτον συμπρεσβευτὴν εἱλόμην ἐγὼ, οὕτω δὴ κἀκεῖνος καὶ τρίτον τῇ πρεσβείᾳ συγκεῖσθαι ἀξιολογώτατον τῶν ἄλλων καὶ πρὸς τὴν ὑπόθεσιν ἀξιόχρεων· καὶ οὗτος ἐκ περιόδου ὁ νῦν εὐφημούμενος ἡμῖν συγκαθίσταται· καὶ γέγονεν ἐφ' ἡμῖν ὁ τοῦ συμπρεσβεύειν λόγος κατὰ τῶν ἄλλων ἢ καὶ ὑπὲρ τοὺς ἄλλους σφραγίς· τῶν γὰρ πολιτευομένων οἱ τῆς διοικήσεως τοὺς κρείττους ἐπιλεξάμενοι, ἐν τούτοις μὲν τὴν τάξιν οὐ διεφθάρκασιν, ἀλλ' ὁ μέν τις ἡμῶν πρῶτος ἦν, ὁ δὲ μέσος, ὁ δὲ τελευταῖος, πρὸς δὲ τοὺς λοιποὺς δεδώκασί τι πλέον ἡμῖν· τὸ μὲν οὖν ἐμὸν κἂν ἐν τοῖς τελευταίοις καὶ τῶν παραλελειμμένων εἴη, ὀλίγος γάρ μοι λόγος τοῦ πράγματος, ἐκείνῳ δὲ ὑποχωρείτωσαν τοῦ πρωτείου οἷς πρὸ τῶν πάντων ἐξείλεκτο.

Οὕτω τοιγαροῦν ἔξιμεν, καί τι καὶ κατωρθώκειμεν, εἰ μή που δεινὸς ἐξ ὑπερβορέων ἔπνευσεν ἄνεμος, ὃς τάς τε γνώμας ἡμῶν συνέχεε, καὶ τὸν κρατοῦντα τῶν βασιλείων ἀπορριπίσας ἀντύγων, ἐπὶ τοῦ σεμνοῦ βήματος τὸν ἀντιτιθέμενον ἔστησε. Τοσοῦτον μὲν οὖν τοῦ λόγου τὸ πάρεργον, ἀναγκαῖον δὲ καὶ τοῦτο, ὅπως ἐκείνῳ τὸ περιὸν τῆς παρὰ τοῖς κρείττοσιν ὑπολήψεως ἐπιδείξαιτο.

Ἐπεὶ γὰρ ὁ θαυμάσιος Ἰσαάκιος τῶν σκήπτρων ἐπείληπτο, ἀκμάζων μὲν ἅπασι τῷ μεγαλεπηβόλῳ τῆς φύσεως, βουλόμενος δὲ μετ' ἐπιστήμης προσιέναι τοῖς τῆς βασιλείας σύμπασι μέρεσιν, ὥστε μηδενὸς τοῖς ὅλοις ἐνδεῖν, εἶτα δὴ ἰσάζον τοῦτο τετηρηκὸς, ἐζήτει τὸν συνεπιληψόμενον αὐτῷ τῆς κρείττονος ἐπιστασίας, καὶ τὰ μὲν διδάξοντα, τὰ δὲ οἷον νομοθετήσοντα, τὰ δὲ ὡς ἄριστα διακονήσοντα, μᾶλλον δὲ οὐδὲ πρὸς πολλοὺς ἀντίρροπος ἦν, οὐδὲ ὡς ἀπὸ πολλῶν ἰσοπαλῶν ἢ ἀνθαμίλλων ἀλλήλοις τὸν εὐδοκιμώτερον ἐδοκίμαζε, λεπτοῖς ὥσπερ λογισμοῖς κρίνων τὸν κρείττονα· ἀλλ' ὁμοῦ τε τοῖς βασιλείοις ἐπέστη, καὶ ταῖς χερσὶν ἐπιλαβόμενος τοῦ ἀνδρὸς, ἀγχοῦ τε ἑαυτοῦ ἔστησε καὶ τοῦ βήματος ὅλου προέστησεν. Αὕτη δευτέρα τις αὐτῷ [ἀρ]χὴ καὶ τάξις ἐπὶ τοῖς ὅλοις ἐγένετο· τοῦτο τὸ δόγμα, τό τε δόξαν ἐπὶ τοῖς προτέροις ἐκράτυνε, καὶ τὸ μετὰ ταῦτα γεγονὸς ὡς ἑτέρως, ὡς ἄτοπον ἠτιάσατο. Ἐδόκει δὲ τέως ἐνίοις, ὡς πρὸ πολλοῦ πεπαυμένος τῆς ἀρχικῆς ἐπιστήμης μὴ μετὰ τοῦ γενναίου προστῆναι λήμματος· ἀλλ' ὥσπερ οἱ τοῦ νεῖν χρόνον τινὰ κατωλιγωρηκότες, οὐ μετὰ τῆς αὐτῆς ἕξεως τοῖς κύμασιν ἐπινήχονται, οὕτω δὴ κἀκεῖνος δέον ἐλάττων ὀφθῆναι τῆς ἀκριβοῦς διοικήσεως, ὡς παρατεθραυσμένης αὐτῷ τῆς ἐπιστήμης ἢ κατερραθυμημένης διὰ τὸν χρόνον, ὁ δὲ τοὐναντίον ἔδοξεν ὥσπερ τῶν ῥευμάτων τὰ ἐπιχεθέντα ἀθρόον ἐπαφιέμενα. Οὐκ εἶχεν οὖν ὅπως ἂν αὐτῷ ὁ βασιλεὺς χρήσαιτο, καὶ ταῦτα οὐδὲ πάνυ τι ἐνδόσιμος ὤν, ἀλλὰ καὶ ἐφ' ἑαυτοῦ τι φρονῶν καὶ μηδενὸς ἥττων ὀφθῆναι βουλόμενος, ἀλλ' ἐπ' ἐκείνῳ μόνῳ τὴν γνώμην ἠλλοίωτο· ἐθαύμαζε γοῦν αὐτὸν ὅτι καὶ ὀξέως διὰ τῶν πραγμάτων | χωροίη φ. 174.
καὶ πάντων ἐντέχνως ἀντιλαμβάνοιτο, μάλιστα δὲ ὅτι βεβηκὸς αὐτῷ τὸ φρόνημα ἦν καὶ ἡ σύνεσις πολλῷ τῷ περιόντι λάμπουσα, καὶ ὡς οὐ μάτην αὐτῷ τὰ τοιαῦτα παρὰ τοῦ θεοῦ ἐδέδοτο προτερήματα, εἰ μή που ἔδοξε πρός τινα κρείττονα βίον ἀφορισθῆναι, ἀφ' οὗ καθάπερ ἐκ περιωπῆς τινος τὸν τῶν χαρισμάτων πυρσὸν δᾳδουχήσειεν.

Οὕτω τοιγαροῦν ἐκείνῳ οἰομένῳ τε καὶ βουλομένῳ περὶ τἀνδρὸς, συνεπελάβετο ὁ καιρὸς, καὶ ἵνα τὰ ἐν μέσῳ σιγήσω, τὸ μέν τι διὰ τὸν πεποιηκότα, τὸ δὲ διὰ τὸν πεπονθότα (οὐδὲ γὰρ ἔχω ἀμφοῖν διαιτησάμενος, ἄμφω νενικηκότας ἀποδείξασθαι), προσλαμβάνεται μὲν παρὰ θεοῦ ὁ τηνικαῦτα τὸν ἀρχιερατικὸν θρόνον κοσμῶν, ὥσπερ ἐξ ἀγωνίας μαρτυρικῆς ἐπὶ τὸν στεφοδότην ἀνεληλυθὼς, ἵνα κάλλιον ἀναδήσαιτο, μαρτυρικῷ τέλει τὴν ἀσκητικὴν ζωὴν ἐπισφραγισάμενος, καθίσταται δὲ τούτῳ ἡ κρίσις ὥσπερ δὴ καὶ ἐπὶ τοῖς ἄλλοις, οὐ μετὰ πλειόνων, οὐδὲ οἷον διαμιλλωμένῳ· ἀλλ' ὥσπερ πάντες μὲν θῆρες ὑποχωροῦσι τοῦ κράτους τῷ λέοντι, πάντα δὲ πτηνὰ τῷ τῶν ἀετῶν γένει ὑπείκουσι, καὶ οὐδεὶς οὔτε τῶν ἐν ὕλαις θηρῶν τῷ γενναίῳ τούτῳ συναμιλληθείη θηρὶ, οὔτέ τι τῶν ὅσα πτηνὰ τὴν πρὸς τὸν ἀετὸν ἅμιλλαν δέξαιτο, οὕτω δὴ κἀκείνῳ ἐπί τῳ τῶν πάντων κρινομένῳ, οὐδεὶς εἱστήκει ἀντίροπος, ἀλλὰ συγκεχώρητο κατὰ πάντων ἐκείνῳ τὸ κατὰ πάντων ἐπὶ πᾶσι κράτος· καὶ γὰρ οὐδὲ πρὸ πολλοῦ εἰς ἱερωσύνην παρηγγελκὼς, τῷ μὴ πρὸς αὐτὴν κατὰ λόγον ἡτοιμᾶσθαι κρειττων τῆς ἑτέρων ἑτοιμασίας ἐτύγχανεν ὤν. Διὰ ταῦτά γε, ὦ τὴν πᾶσαν ἀρετὴν ἀπαράμιλλε, πρὸς σὲ γὰρ βραχύ τι ὁ λόγος ἐπέστραπται, καὶ ὁ ἱερατικὸς εἰσδέδεκται βίος οὐδὲν ἧττον ἢ ὁ πολιτικός· οὐ γὰρ, ὥσπερ δοκεῖ τοῖς πολλοῖς, διήρηνται ἀπ' ἀλλήλων τὰ τάγματα, ὡς δοκεῖν τὸν μὲν κρείττονα εἶναι, τὸν δὲ χείρονα, καὶ ἐπ' ἐκείνῳ μὲν τοὺς κρείττους δεδοκιμᾶσθαι, ἐπὶ δὲ τούτου τοὺς χείρους πεπολιτεῦσθαι· αἱρέσεων γὰρ ἡ τοιαύτη διαφορὰ, ἀλλ' οὐχὶ πολιτειῶν· τὸ γὰρ καλὸν ἐπίσης ἀμφοῖν τοῖν βίοιν προτέθειται, καὶ ὅ γε σωφρονήσας ἐπὶ τοῖς πράγμασι προκεκάθαρται τῷ λοιπῷ βίῳ, καὶ οὐ δεῖ τοῦτον ὥσπερ ἐξ ἰλύος ἀποσπασθέντα, δευτέροις ῥύμμασι χρήσασθαι· αὐτάρκης γὰρ πρὸς πάντων ὁ,τιοῦν ὁ καλῶς ἐπὶ τῶν πολιτευμάτων βεβιωκὼς· καὶ εἰ πολλοὺς ἐντεῦθεν ὁ λόγος συνῳκειώσατο, καὶ εὐθὺς ἀποβάντες τῆς ἐν τούτοις ζωῆς, τῆς ἄνω Ἱερουσαλὴμ ἠξιώθησαν, πῶς οὐχὶ καὶ πρὸς τὸν ἱερατικὸν

θαρροῦντες μεταβαῖεν ῥυθμὸν, ἀλλ' εἶεν δευτέρας πραγματείας δεόμενοι, ὥσπερ παρασκευῆς μέσης πρὸς τὴν τελευταίαν; Ἐννόμως γοῦν, ὦ θαυμασιώτατε σὺ ἐφ' ἣν ὠκονομήθης ζωὴν μεταβέβηκας, καὶ ἡ τοῦ ψηφισαμένου κρίσις ἀδέκαστος, καὶ κατὰ λόγον σοι ἡ ἄνοδος ἢ ἡ μετάστασις.

Ἀλλ' εἰ δοκεῖ, ὥσπερ αὐτὸν ἐπὶ πάσης δοκιμάσαντες πράξεως ἀκριβέστατον καὶ ἀσφαλέστατον εὕρομεν, οὕτω δὴ κἀνταῦθα τὸν ἄνδρα διακριβωσώμεθα· μὴ πού τι ὥσπερ ἐκ Σκυθῶν ἀποπλεύσας εἰς Ἕλληνας τὴν Ἀττικὴν οὐκ ἠδει φωνήν; ἐγὼ δὲ καὶ θαρρούντως ἂν εἴποιμι ὅτι καὶ παρεκόμισέ τι ἀγώγιμον ἀπὸ τοῦ πολιτικοῦ βίου πρὸς τὸν ἱερατικὸν, τὸ βαθὺ τῆς γνώμης καὶ τὸ διαιρεῖν κατ' ἄρθρα ἕκαστα, καὶ τὸ τοῦ τρόπου φιλότιμον, τήν τε τῶν ἠθῶν ἐμμέλειαν, καὶ τἆλλα οἷς ἡ θεία τεκμηριοῦται ψυχή· ἐκεῖνος γὰρ οὐκ οἶδα εἴτε τὸ μέλλον προμαντευόμενος, εἴτ' ἀπαρασκεύως τῷ πράγματι χρώμενος, πολλὰ δὴ τοῦ ἱερατικοῦ βίου σύμβολα παρεῖχε τοῖς γνωματεύειν ἐθέλουσι· τό τε γὰρ κατεστάλθαι, καὶ τὸ μὴ εὐπάρυφον εἶναι πλέον ἢ καλῶς εἶχε, καὶ τὸ βεβιωκέναι σωφρόνως, καὶ τὸ μηδαμοῦ τι δοῦναι ταῖς πικραῖς ὑπολήψεσι, συνθήματα πάντα τῆς ἀρχιερατικῆς ζωῆς ὄντα ἐτύγχανε· καὶ τὸ μὲν βουλευόμενον αὐτῷ ἦν, ὅλον εὐθὺς ἀφιερωμένον εἶναι θεῷ, ἀλλὰ τό τε τὸ μέλλον ἠγνοηκέναι καὶ τὸν ἐν τέλει βίον ἀπῆγεν αὐτὸν τοῦ βουλήματος. Ὡς δὲ διέστη ἐφ' ἧς προεχαράττετο τὰ πρῶτα ζωῆς, ὅλος εὐθὺς τῷ πνεύματι γίνεται, καὶ εἰ μή τινες τὸν ἄνδρα καὶ πρῶτον ἐγνώκεισαν καὶ ὕστερον συνεγνώκεισαν, ἔδοξεν ἂν τεθεὶς ἐπὶ τῆς λυχνίας, καὶ ἀποσκεπασθέντος αὐτῷ τοῦ καλύμματος, τὰ μὲν πνευματικὰ τελεώτατος εἶναι, ἥττων δὲ τὰ πολιτικὰ, καὶ τοῦ μὲν βεβηκότος ἄριστα μετασχεῖν, τῆς δὲ ὀξύτητος καὶ τοῦ δραστηρίου ἔλαττον μετειληχέναι· τὰ δὲ οὔτε ἠλαττώθησαν τούτῳ, οὔτε ἀλλοίαν ἔσχε μεταβολὴν, ἀλλ' ἡ γνώμη τοῖς προτερήμασι τούτοις ἐπιστατήσασα, ἃ μὲν εὗρε κατάλληλα τῇ ἀρχιερωσύνῃ ἐπέκρινέ τε καὶ ἐπεσφράγισεν, ἃ δὲ μὴ πάνυ

σύμφωνα οὐκ ἀπήλασε μὲν, συνέστειλε δέ· δεῖ γὰρ πρὸ πάντων τὸν ἀρχιερέα μὴ λίαν τῶν πραγμάτων γίνεσθαι, μηδὲ τὴν περὶ ταῦτα φιλοτιμίαν ἐπιδείκνυσθαι· διὰ ταῦτα ἐκεῖνος ἐν οἷς ἔδει μὴ διασείσας αὐτῷ τὸ φιλότιμον συνέσχεν ἐν τούτοις ἢ ἀπεμείωσε καὶ ἀπεκρύψατο· ὅθεν τόν τε κρότον τῆς γλώττης ἀφῄρηκε καὶ τὴν τυρσηνικὴν τῆς φωνῆς σάλπιγγα καὶ τὴν ἐκεῖθεν ἠχὼ σομφοτέραν τέως καὶ ἀμαυροτέραν ὑπέφαινε, καὶ προλαμβάνων τῶν πολλῶν τὰ τῶν προτεθειμένων νοήματα οὐκ εὐθὺς αὐτὰ περιήχει τῇ γλώττῃ, ἀλλ' ἐδίδου καὶ ἑτέροις περὶ αὐτῶν εἰπεῖν τι θαρραλεώτερον, καὶ ὅπερ ἄν τις εἴπῃ, εἰ καὶ μὴ πάνυ τι συνετώτατον ἦν, οὔτε ἤλεγχεν, οὔτε ἠτιᾶτο, ἀλλὰ καὶ τὸ διημαρτημένον ἠρέμα ἐπηνωρθοῦτο, ὡς μηδὲ τὸν διημαρτηκότα ἐντεθυμῆσθαι ὅτι ἀπώλισθε τοῦ προσήκοντος· οὕτως ὁμαλῶς τὸ νενοσηκὸς ἰᾶτο τοῦ λόγου.

Ταῦτα μὲν οὖν δοκεῖ τοῖς πολλοῖς, τῶν πολλῶν εἶναι, ἐμοὶ δὲ οὐδὲ ἐπὶ τῶν ἄγαν ἐξητασμένων ὦπται καὶ διαδείκνυται· τὸ δὲ μεῖζον καὶ ὃ μάλιστα κατανοῶν ὑπεράγαμαι τοῦ ἀνδρὸς, ὅτι τὸν μὲν πρὸ τῆς ἱερωσύνης χρόνον οὐδενὶ τῶν πάντων περὶ οὑτινοσοῦν παρεχώρει πράγματος λόγον ἔχοντος, ἀλλὰ τὸ μὲν ἀληθὲς εἰπεῖν πολὺ τὸ παρὰ πάντων συγκεχωρηκὸς τούτῳ· ὅπη δ' ἄν τις καὶ ἀναβλέψειεν, εὐθὺς τοῦτον ἀπείρῳ περιλάμπων φωτὶ ἐπιμύειν ἠνάγκαζεν. Ἐπεὶ δὲ τοῦ θείου ἐγεγόνει βήματος, καὶ ἐπὶ τοῦ σεμνοῦ τόπου ἱδρύθη, ἐπίστευε τὰ τῆς ψυχῆς κρύφια, διεπυνθάνετο περὶ ὧν ἐδόκει ἠγνοηκέναι, καὶ οὔτε χάριτας λόγων προσεποιεῖτο, οὔτε τὴν ἐκ τῆς τέχνης δύναμιν, οὔτε περὶ τοὺς νόμους φιλοτίμως ἐπραγματεύετο, ἀλλὰ τὴν πᾶσαν περὶ ταῦτα καταλύσας σπουδὴν, ὥσπερ σωματικὴν ζωὴν τῆς ψυχικῆς μόνης ἀντείχετο, αἰδοῖ τοὺς πλησιάζοντας ἢ φόβῳ συνέχων, καὶ τῷ ἐθέλειν πρὸς πάντας ἰσοῦσθαι, τὸ πάντας ἐκείνου ἡττᾶσθαι παρ' ἐκείνων ἀντιλαμβάνων.

Ἀπεκτήσατο δὲ καὶ ὅσα ἄνωθεν συνηγμόχει κτήματά τε καὶ χρήματα θεῷ καὶ τοῖς πένησι. πλὴν ὁπόσον δὴ μέρος τῶν συγγε-

νῶν ἐνίοις ἐταμιεύσατο· ἦν γὰρ οὐδὲ τοῦτο τὸ μέρος δυσοιώνιστος ὥσπέρ τις καὶ ἀποτρόπαιος· οὐκ ἐπαινῶ γὰρ ἐγὼ τοὺς τὴν φύσιν προηρημένους ὑπερφωνεῖν, | οὐδ' εἴ τις ἀποτόμως ἔχει ψυχῆς, ὡς φ. 174*.
μὴ συμπαθεῖν, μηδὲ συνδιατίθεσθαι γέ[νει] καὶ φίλοις, οὕτος ἐμοὶ τὰ τῇδε μὲν ἀπεστράφθαι δοκεῖ, ἐπεστράφθαι δὲ εὐθὺς πρὸς τὰ κρείττονα· οὕτω γὰρ οὐκ ἂν φθάνοιεν ξύμπαντες Σκύθαι καὶ ὅσοι τὰ ἐπέκεινα τοῦ Ταύρου νέμονται, μετὰ τῶν κρειττόνων ἑστηκότες καὶ ταῖς ἄνω μοναῖς συναγόμενοι, παρ' οἷς τοσοῦτον τὸ θηριῶδες τῆς φύσεως, ὅσον οἱ μὲν καὶ τεκνοκτονοῦσιν[1], οἱ δέ γε πρᾳότεροι τούτων ἀπεμπολοῦσι τὰ ἔκγονα, καὶ εἴ τις τῶν ἀγκαλῶν τῆς μητρὸς τὸ τιθηνούμενον ἀποσπάσαιτο, ἔτι τὴν θηλὴν ἀποβλύζον τοῦ στόματος, ἡ δὲ οὔτε συμπαθεῖ κλαυθμυρίζοντι, οὔτε διασπώμενον ἐλεεῖ. Τίς οὖν ἡ ἀρίστη κρίσις; ὅταν τις εἰδείη ἑαυτὸν καὶ θεῷ ὁμοιούμενον καὶ μερίδα ὄντα τῆς φύσεως, ἐπικλίνοι καὶ πρὸς τὸ γένος, ὁποῖος ἐκεῖνος, καὶ θεῷ ἀνακείμενος καὶ μήτε τοῦ φιλικοῦ καθήκοντος ἀμελῶν, μήτε τοῦ προσήκοντος φίλῳ καὶ συγγενεῖ κατολιγωρῶν· οἱ μὲν οὖν ὑπερπετόμενοι τὸν ἀέρα χαιρέτωσαν ἢ ἐρρέτωσαν, ἐγὼ δὲ μετὰ τῶν συμπαθεστέρων ταττοίμην, καὶ αἰτίαν ἔχοιμι τοῦ μὴ τελέως φιλοσοφεῖν, ἢ τοῦ ἀναλγὴς δεδόχθαι καὶ πρὸς τὴν φύσιν ἀσυμπαθής.

Τοιοῦτον γοῦν ἐκείνῳ τὸ ἦθος· καὶ ἵνα τὸ ἐμὸν περὶ ἐκεῖνον πάθος ἐρῶ, τῶν μὲν ἄλλων ἕνεκα πλεονεκτημάτων ἐθαύμαζον μέν, οὐ συνδιετιθέμην δέ· διὰ ταῦτα οὐδὲ ἀνεκεκράμην εὐθὺς, τοῦ δὲ συμπαθοῦς χάριν ὅλος διόλου ἐκεχωρήκειν· τὴν γὰρ συμφυΐαν ἡ συνδιάθεσις ἀπεργάζεται, οἱ δ' ἐξ ἑτέρων ἠθῶν δοκοῦντες ὁμοφρονεῖν, παίζουσι τὴν ὁμοφροσύνην ἢ ὑποκρίνονται. Τούτου μὲν οὖν τοῦ μέρους ἕνεκα κἂν αὐτὸν ἐπαινέσαιμι καὶ συναπολαύσαιμι τῆς ἐκείνου ψυχῆς καὶ τῶν περὶ αὐτὸν ἐγκωμίων, τὸ δὲ μὴ χαλεπαίνειν ἐφ' ὑτῳοῦν, μηδὲ τὸ ἦθος τραχύνεσθαι, ἐκείνου γνώρισμα ἰδιαίτατον,

1. χ. τεκτονοῦσιν.

καὶ μάρτυσι πρὸς τοῦτο μικροῦ δεῖν χρῶμαι τοῖς σύμπασιν· ὥσπερ γὰρ ποταμοῦ ἢ θαλάσσης εὐθὺς οἱ πλείους μετασχεῖν τούτου προεθυμήθησαν, καὶ συγκεκύφασιν ἐπ' αὐτὸν, ἀπὸ λιμένων, ἀπὸ πελάγους, ἐξ ἀέρος, ἀπὸ τῆς ἠπείρου παρεκταθέντες, εἶλκον, ἀνθεῖλκον, διεμερίζοντο, δὶς καὶ πολλάκις οἱ πλείους ταὐτοῦ πεπώκασι νάματος· ὁ δὲ καὶ πᾶσιν ἐξήρκει, καὶ πάντας ὑπτίως ὑπεδέχετο, οὐ δυσχεραίνων, οὐκ ἀπωθούμενος, ἀλλ' ἵλεῳ βλέμματι καὶ ἱλαρᾷ γνώμῃ προσιέμενος σύμπαντας, καὶ πᾶσι φαινόμενος ἀποχρῶν.

Ἀλλ' ὅ με διέλαθεν· ἐδόκει γὰρ τῷ θεῷ καὶ δευτέροις καθαρσίοις τὴν ἐκείνου καθαγνίσαι ψυχὴν, ἢ καθαγιάσαι πλέον εἰπεῖν· ἀλλ' ὁμοῦ τῆς ἱερᾶς ἐπέβη καθέδρας, καὶ σφοδρῷ νοσήματι βάλλεται· τὸ δὲ ἦν πυρετὸς ὑποσμήχων τὰ σπλάγχνα καὶ δεινῶς αὐτῷ τὴν ψυχὴν ἐκτήκων καὶ ὅλῳ τῷ σώματι λυμαινόμενος· ἐλύπει δὲ τοῦτον οὔτε τὸ πάθος, οὔθ' ὁ διὰ τούτου προσδοκώμενος θάνατος, ἀλλὰ σημεῖον τὸ παραυτίκα τεθνᾶναι τιθέμενος τοῦ ἀναξίως προκεχειρῖσθαι, ἐδυσφόρει δεινῶς, δακρύων κρουνοὺς ἠφίει τῶν ὀφθαλμῶν, ἀπεστέναζε λεπτόν τι καὶ βύθιον, παντοδαπὸς ἦν τῷ πάθει στενοχωρούμενος· ἐπεὶ δὲ ἐγγὺς ἐγεγόνει τοῦ πυκνοτέρου ἄσθματος, καὶ ἤλπιστο αὐτίκα ἀπερυγεῖν τὴν ψυχὴν, μεταβάλλει τὰ σκυθρωπὰ θεὸς, καὶ γαλήνην ἐκ κυμάτων ποιεῖ, καὶ κατισχύσας τὴν φύσιν, ὥσπερ νέφος διαλύει τὴν νόσον· καὶ αὐτίκα ὁ δόξας μικροῦ δεῖν ἀποπεπνευκέναι, ἰσχύει τῷ σώματι καὶ γενναιότερον ἐπιρώννυται, καὶ τῆς κρείττονος μεταβολῆς γίνεται. Ἐμοὶ δὲ καὶ ὀπτασία τις κρειττων νυκτερινῆς ὄψεως τὸ πρᾶγμα πόρρωθεν καταμηνύει· ἐδόκουν γὰρ ὑπνώττων νυκτὸς, διὰ τῆς ἐκείνου σκηνῆς παριὼν ἀναφωνεῖν εὐρύθμῳ φωνῇ ὁπόσα δὴ ἀναστάντι προσφωνοῦμεν θεῷ· καὶ ὃς ἀψευδῆ μὲν ᾠήθη τὸν ὄνειρον, ἐζήτει δὲ τὸν καιρὸν καθ' ὃν τέως ἀναβιώσεται καὶ τὸ μεγαλουργούμενον ἐπ' αὐτῷ ἀληθεύσειεν· εἶτα δὴ καὶ κρεῖττον σύμβολον τῆς ὑγείας ζητεῖ· ἀπόρρητοι τοιγαροῦν ἦχοι καὶ μύρα εἰκόνων ἱερῶν προχεόμενα τὴν ζωὴν τούτῳ προαγορεύουσι· καὶ θᾶττον τῆς κλίνης ἀνί-

σταται ἢ προσήλωται, καὶ ἀποδίδωσι θεῷ τὰς εὐχὰς ἃς προσηύξατο, ἄλλας τε καὶ τὴν οἰκοδομὴν τοῦ νεὼ, ἣν φιλοτίμως κατασκευάσας θεῖον ἐπ' αὐτῇ πεποίηκε φροντιστήριον, περὶ οὗ δή τι καὶ προειπεῖν βούλομαι.

Οὐκ ἦν ἐκείνῳ βουλομένῳ χειροποίητον τῷ θεῷ κατασκευάσαι ναὸν, ἀλλ' ἢ μόνον ἑαυτὸν ἀχειρότευκτον οἶκον τῷ θεῷ ἀπεργάσασθαι· ἀλλ' ὅ γε τούτου πατὴρ αἰτιώτατος αὐτῷ γίνεται τῆς τοῦ φροντιστηρίου κατασκευῆς· ἐκεῖνος γὰρ τὸν ἐνταῦθα τοῦ μάρτυρος Καλλινίκου ναὸν ἑτέρῳ ὑπερβαλόμενος ὃν τῷ Σωτῆρι ἐδείματο, τὸν παῖδα κοινωνὸν ποιεῖται, πρινὴ τῆς ἀρχιερωσύνης ἐπιλαβέσθαι, ὧν ἐκεῖσε ἐπεποίητό τε καὶ ἐβεβούλευτο· ἐβούλετο δὲ ἐκεῖσε καταθέσθαι τὸν χοῦν, ἐφ' ᾧ δὴ καὶ τὸν υἱὸν πολλοῖς ὅρκοις προκατειλήφει, μὴ ἄλλοθί που ταφήσεσθαι ἢ ἔνθα οὗτος τῷ θεῷ ᾠκοδόμησε τὸν ναὸν, καὶ ἄλλό τι κρεῖττον ἐκεῖσε βουλεύσασθαι. Τούτοις προκατειλημμένος ὁ εὐφημούμενος, οὔτε παντάπασι τῆς ἐντολῆς κατωλιγώρησεν, οὐδὲ πάλιν εὐθὺς προσέθετο τῷ ἐναλθέντι ὡς δόγματι, ἀλλ' ἦν πολλοῖς ἀντίρροπος λογισμοῖς καὶ ὅ,τι πράξειε διηρευνᾶτό τε καὶ ἐσκέπτετο· ὡς δὲ κατείληπτο τῷ νοσήματι, καί που δὴ καὶ ᾠήθη, ὅτι μὴ αὐτίκα πεισθεὶς ταῖς τοῦ πατρὸς ἐντολαῖς, κολάζοιτο διὰ ταῦτα παρὰ θεοῦ, ἐδόξασέ τε οὕτως καὶ ἐπαγγειλάμενος μὴ ἂν τῷ πατρικῷ βουλήματι ἀντειπεῖν, εἰ τῆς κλίνης ἐξαναστείη, αὐτίκα τοῦ βεβουλημένου τετυχηκὼς, νεών τε τῇ Θεοτόκῳ ἐδείματο καὶ φιλοσοφίας ἐν αὐτῷ κατεσκευάκει λαμπρὸν οἰκητήριον. Ἄλλοι μὲν οὖν ἐπαινείτωσαν τὸ τοῦ ναοῦ σχῆμα καὶ τὴν ἐν πᾶσιν εὐαρμοστίαν καὶ εὐρυθμίαν, τήν τε τῶν κιόνων ἰσόρροπον ὑπὸ στάθμῃ στάσιν καὶ τὴν τῶν πλακῶν παραλλὰξ ποικιλίαν, τό τε τοῦ ἐδάφους ὑπόστρωμα, καὶ ὡς τὰ τῶν λίθων χρώματα ἀντιλάμπειν ἀλλήλοις συνέταξεν, εἰς ὁπόσον τε ὕψος ἐπῆρε τὸν ναὸν καὶ ὅπως ἀναλογίαν τούτῳ πρὸς τὸ πλάτος ἐπεποιήκει, ταῦτά τε καὶ ὅσα περὶ ζ τοῦ ναοῦ θεωρήσας ἐφιλοτεχνήσατο, ὑδάτων τε πεποιημένας ἐν αὐτοῖς ἀγωγὰς, καὶ λειμῶνας εὐ-

πρεπεῖς φυτευσάμενος· ἐγὼ δὲ ἑτέροις ταῦτα εὐφημεῖν μεθεικὼς, ἐκεῖνο τῶν ἄλλων πλέον θαυμάζω, ὅτι φιλοσόφως τὴν περὶ τῶν ψυχῶν φιλοσοφίαν διέθετο, οὐ τρυφητήριον, ἀλλ' ἀσκητήριον ἀτεχνῶς πεποιημένος τὸ φροντιστήριον, τοσοῦτον ἀρκέσας τοῖς ἐκεῖσε προηρημένοις φιλοσοφεῖν ὅσον ἐκείνους ἀρκεῖσθαι τοῖς ἀναγκαίοις, καὶ τῶν περιττῶν μήτε θέλειν ἐφίεσθαι, μήτ' ἐφιεμένους τυγχάνειν. Τὰ μὲν οὖν πρῶτα τέως μετρίως εἶχε τοῦ σκέμματος, ἐπεὶ δὲ προϊὼν ὁ χρόνος τὸν πρὸς θεὸν αὐτῷ πόθον ἐπηύξησε καὶ τῶν ἐνταῦθα τερπνῶν ὅλοις ἱστίοις ἀπήγαγεν, οὐκ εἶχεν ἑαυτὸν ἐπαινεῖν τοῦ βουλεύματος, ἀλλὰ πολλοῖς συνετρίβετο λογισμοῖς, σκοπῶν, εἴ ποι δύναιτο, οὐ μεταμεῖψαι τὸ σχῆμα, ἀλλὰ διαλῦσαι τὸ πρᾶγμα, καὶ ἀφελόμενον ὁπόση δή τις λαμπρότης τῆς ὕλης ἐκεῖσε κατέστρωτο, αὐτήν τε διανεῖμαι τοῖς πένησιν, εἶτα καὶ
φ. 175. αὐτὸ προσεπιδοῦναι τὸ | ἔδαφος. Καὶ ἔστησεν ἂν ἑαυτῷ τὸ περὶ τούτου δόγμα, εἰ μὴ λογικῶς αὐτῷ συγγινόμενος, ἐπειδή μοι τὸ δόξαν ἐθάρρησε, τήν τε γνώμην αὐτῷ συνέχεα, καὶ τελευτῶν μετέθηκα τοῦ σκοποῦ, ἐν ἴσῳ μὲν εἰρηκὼς λόγῳ, οὔπω τινὸς ἐξειργασμένου πράγματος κάλλιον προσθέσθαι τοῖς πράγμασι, τοσοῦτον δὲ θατέρου μέρους προκόψαντος, κενόσπουδον ὡς ἀληθῶς καὶ λογισμῶν τῷ ὄντι εὐπεριτρέπτων, ἀναλύειν τὰ συντεθειμένα, καὶ μετὰ τὸ τέλος περὶ τῆς ἀρχῆς διασκέπτεσθαι· καὶ πολλὰ πρὸς τοῦτο ἀντιτιθεὶς, τέλος ἡττᾶται τῶν ἐμῶν λόγων, καὶ τὸ μὲν δόξαν ἀπέθετο, κατωλιγώρει δὲ τῆς τῶν ἐλλελειμμένων προσθήκης, οὔτε θαμινὰ ἐκεῖσε παρατυγχάνων, οὔτε εἰ καὶ ξυντριβείη τὸ σύμπαν μέλον αὐτῷ, ἢ ἄλλό τι διενθυμούμενος.

Καὶ πρὸς μὲν τὴν ἀρχιερωσύνην πολλὰ πρόσθεν αὐτῷ ἐσπουδάσθη παρὰ τῆς γνώμης, παρὰ δὲ ταύτης τὸ τάχιον ἐθέλειν ἀναλελῦσθαι καὶ καθαρῶς σὺν θεῷ εἶναι περιφανῶς προσεκτήσατο· ἀλλὰ τὸ μετὰ ταῦτα οὔτε μοι βουλομένῳ ὁ λόγος κατὰ τὸ εἰωθὸς προχωροίη, οὔτ' αὐτὸς βουλοίμην τούτῳ συνέπεσθαι· ὃν γὰρ δὴ ζῶντα, μηδὲ τεθνηκέναι διενοούμην ποτὲ, ὥσπερ δὴ κἂν τοῖς

προοιμίοις εἰρήκειν, τούτῳ δὴ πῶς ἀπιόντι τῷ λόγῳ συνέψομαι; πῶς δὲ τὸ ἐκείνου πάθος διηγησαίμην, ἢ ποίαις ἂν χρησαίμην φωναῖς, ἢ ὅλως χρησαίμην ὥστε καὶ καρτερῆσαι τὴν ἐκείνου τελεύτην διηγήσασθαι; ἐπιρρεῖ μοι τῶν ὀφθαλμῶν αὐτίκα τὸ δάκρυον, κεκλόνηται δέ μοι καὶ ἡ ψυχὴ, καὶ οὐκ ἔχω ποίοις ἂν ἐμαυτὸν πρότερον καταφαρμακεύσας φαρμάκοις, ἔπειτα πρὸς τὴν ἀπαγγελίαν τοῦ πάθους ἔλθοιμι. Ὦ τοῦ ἐπικήρου ἡμῶν, ἢ ὠκυμόρου εἰπεῖν κράματος! ὦ τῆς ἀφανοῦς συνθέσεως! ὦ τῆς ἀφανοῦς ἀναλύσεως! ἐκείνην μὲν γὰρ οὐκ ἐγνώκειν, ταύτην δὲ οὐδ' ἂν ἐλοίμην, ἡ δὲ τὸ ἑαυτῆς ἀπεργάζεται. Ἀλλ' ἐκεῖνος λυθεὶς μὲν πρότερον τῆς ἀκριβεστέρας συνθέσεως ἐγεγόνει ἀθρόον, ἐπεὶ δὲ συμπέπηκτο ἀκριβέστερον, λέλυτο ἀφανέστερον· ὁ γὰρ συνδήσας αὐτὸς τοῖς δημιουργικοῖς λόγοις θεὸς, ἐπειδὴ τῆς ἐνταῦθα ζωῆς ἐβούλετο ἀφελεῖν, λύει τοὺς λόγους αὐτῶν ἐμμελῶς καὶ ἀτρέμα ὑποχαλᾷ τῶν δεσμῶν τῆς ἑνώσεως, ἵν' ὥσπερ ἡ ζωὴ, οὕτω δὴ καὶ ὁ θάνατος αὐτῷ πρὸς τοὺς ὁμογενεῖς παραλλάττοιτο. Βραχέα γὰρ ἢ οὐδὲν προτεταλαιπωρηκὼς τοῦ θανάτου ἢ ἐπὶ μιᾶς τὸ ξύμπαν ἡμέρας, αὐτίκα τῶν ἐνταῦθα μεθίσταται.

Ἀλλὰ βούλομαι μὲν τὴν τραγῳδίαν τοῦ πάθους διεκφυγεῖν, ἡ δέ μου ἀπρὶξ ἔχεται καὶ οὐκ ἀξιοῖ πρότερον τοῦ λόγου παύσασθαι, πρὶν ἢ τῆς ἐκείνου ὀλίγα ἐρεῖν μεταστάσεως. Ἔκειτο μὲν οὖν ἀθρόον τό τε ἦπαρ πεπονηκὼς καὶ πυρὶ λαύρῳ ὑποσμηχόμενος, καὶ τὰ τῆς αὐτίκα τελευτῆς σημεῖα ἐπὶ τοῦ προσώπου δεικνύς· συμπεπτώκασί τε γὰρ αὐτῷ οἱ κρόταφοι, καὶ ἡ ῥὶς δεδαπάνητο, καὶ οἱ ὀφθαλμοὶ ἐκεκοίλαντο, καὶ τὸ ἄσθμα πυκνότερον. Ὡς δ' ἀνιὼν ἐωράκειν οὕτω διατεθειμένου καὶ ἵν' οὕτως εἴποιμι μεταπεπλασμένου, τοῖς τε λοιποῖς ἀγγέλοις ἐγνώκειν τὸ ἀφανὲς, οὐκ εἶχον ὅ,τι καὶ γενοίμην· τέως δὲ τὰ πρῶτα αὖος ἐφειστήκειν, ἐνθυμούμενος ὅτι αὐτίκα ἐκεῖνος τεθνήξαιτο. Ἐπεὶ δὲ τοὺς λογισμοὺς ἀνεκαλεσάμην, τὰς τῆς ψυχῆς δυνάμεις ἀνελεξάμην, βύθιόν τι στενάξας καὶ ἀνοιμώξας, καὶ αὐτίκα θρήνων ὀχετοὺς ἐπαφεὶς, ἀπῄειν συγκαλυ-

ψάμενος, τοσοῦτον ἐκείνῳ φθεγξάμενος, ὅτι τοι χρεὼν λυσιτελέστερον ἑαυτῷ τοῦ θανάτου τι προϊδεῖν· ἀπήειν δὲ οὐ τὸν φίλον καὶ δεσπότην προδεδωκὼς, ἀλλὰ τῷ αὐτοκράτορι ἄγγελος τοῦ κακοῦ γενησόμενος, ἵν' ἔχῃ πρὸς ἐκεῖνον ἀναδραμεῖν, καὶ μή με καταιτιῶτο οὐ προμηνύσαντα τούτῳ τὴν τοῦ πατρὸς τελευτήν. Ὁ δὲ τέως μὲν ἠπίστησε λέγοντι, εὐθὺς δὲ τὴν πρὸς ἐκεῖνον ἐσχεδίασεν ἄφιξιν· καὶ ἰδὼν καὶ θαυμάσας, ὅτι αὐτίκα ἐκεῖνος θανεῖν ἔμελλε, πολλὰ καὶ πολλάκις κατασπασάμενος, καὶ δακρύοις ἐπιτέγξας τοὺς ὀφθαλμοὺς, ἀπῄει νενικημένος τῷ πάθει, καὶ πυκνὰ πρὸς ἐκεῖνον μεταστρεφόμενος· οὔπω δὲ τὸν θεῖον νεὼν ὑπεξεληλύθει, καὶ οὗτος ἀπέπτη τοῦ σώματος, οὐ γὰρ εἰπεῖν κάλλιον, ὅτι καὶ ψυχὴ τὸ ξύμπαν ἐτύγχανεν ὢν ὡς ὀργάνῳ τῷ σώματι χρώμενος.

Ἀλλ' ὦ τῆς ἐμῆς ἐναλλαγῆς! ὃν γὰρ οὐδὲ τεθνηκέναι ᾤμην, ἐπὶ τὰς ταφὰς κομιζόμενον τοῦτον τοὺς ἐπιγινομένους πείθειν ἐπιχειρῶ, ὅτι τέθνηκεν· ἐπεὶ δὲ ἅπαξ εἰπεῖν τὸ πάθος ἐκαρτέρησα, καὶ τοσοῦτον ὑπέμεινα πρᾶγμα τῇ ἐμῇ διηγήσασθαι γλώττῃ, προσθήσω καὶ τὰ τοῦ σώματος ἐξιτήρια ἢ ἐπικήδεια. Τέως μὲν γὰρ ἐν μετεώρῳ πᾶσα ἡ πόλις εἱστήκει, σιγώντων ἁπάντων, ὥσπερ μυστηρίων ἱερῶν τελουμένων· ἐπεὶ δὲ τοὐναντίον ὁ ἱεροφάντωρ ἀποδεδήμηκε, καὶ κατήρχθη ἡ ἐξιτήριος τελετὴ, ὥσπερ τινὸς κρείττονος ἐντεῦθεν ἀπάραντος, γίνεταί τι πρᾶγμα οὐκ ἔλαττον τῶν πάλαι θαυμάτων· ὥσπερ τις χείμαρρος ἡ τῆς πόλεως χεῖται πληθὺς ἐπ' αὐτὸν, ἄλλων ἐπ' ἄλλοις ἐφεπομένων καὶ τοῖς ἡδίστοις ἐκεῖνον ἀνακαλουμένων ὀνόμασιν· οἷς γὰρ κατὰ τὰς ἡλικίας ζῶν ἐμεμέριστο, παρὰ τούτων ταῖς ἀντιθέτοις κατωνομάζετο σχέσεσιν, εἰ βούλει δὲ ταῖς αὐταῖς αἷς ἐκεῖνος ἑαυτὸν τοῖς εὐεργετουμένοις ὠνόμαζεν· οὐκ εἶχε τηνικαῦτα κρίσιν ἡ συνδρομή· τὸ γὰρ πάθος τὴν τάξιν ἐνήλλαττεν, ἀλλ' οἱ προθυμότεροι τότε τῷ νεκρῷ οἰκειότεροι, μᾶλλον δὲ τῷ ζῶντι καὶ μετὰ θάνατον καὶ κρεῖττον ἢ τὸ πρότερον ἔζη μετὰ τοῦ σώματος· καὶ γίνεται αὐτῷ ἡ ἐκκομιδὴ ὥσπερ τις ἱερὰ πομπὴ, τῶν μὲν θρηνούντων, τῶν δὲ θαυμαζόντων,

τῶν δὲ ὥσπερ τινὰ κιβωτὸν τῆς διαθήκης Κυρίου ἀχθοφορεῖν αἱρουμένων, ἵνα τινὸς πληρωθεῖεν ἁγιασμοῦ τῇ ἐπαφῇ τοῦ σώματος ἢ τῇ ἐγγύτητι. Οὕτως αὐτῷ ἱερὰ τελετὴ καὶ ὁ θάνατος ἐγεγόνει· καὶ ἡ μὲν ψυχὴ τούτῳ ταῖς θείαις ἀπεκληρώθη μοναῖς, τὸ δὲ σῶμα ὡς θησαυρὸς ἐνταῦθα τῷ τάφῳ πεφύλακται.

Ὦ πᾶν μέτρον πληρώσας εὐδαιμονίας, ἀρχιερατικὴ καὶ θεία μοι κεφαλή, ὅση τε τῆς κάτω τυγχάνει ζωῆς καὶ ὅση ἄνωθεν κάτεισι καὶ ψυχαῖς ἱεραῖς χορηγεῖται παρὰ τοῦ κρείττονος! ὦ πάσαις ἀρεταῖς ἀρκέσας καὶ ξυμπασῶν φανεὶς ἀνάθημα καὶ καλλώπισμα! ὦ καὶ τὰ παλαιὰ νενικηκὼς παραδείγματα, καὶ μηδενὶ παράδειγμα στὰς, εἰ καὶ ξύμπασι τοῦτο μὲν διὰ τὸ δεῖν πρὸς σὲ τοὺς πνευματικωτέρους ἀφωμοιῶσθαι, ἐκεῖνο δὲ διὰ τὸ ἀνέφικτον τῆς μιμήσεως! Ὦ πᾶσιν ἀπρόσιτε καὶ ἀχώρητε, καὶ πάσας μὲν γλώσσας τῷ τῆς ψυχῆς μεγέθει νενικηκὼς, πάσας δὲ ψυχὰς τῷ τῆς γλώττης καταπλήξας δρόμῳ καὶ πάντας ἐν πᾶσιν ὑπερβαλόμενος! ὦ καὶ ῥήτορσιν ἀπαράμιλλε καὶ φιλοσόφοις ἀσύγκριτε, καὶ ἀρχιερεῦσι δυσμίμητε! ὦ μόνος σὺ τῶν πάντων βασκάνων γλώσσας ὑπεκδραμὼν καὶ εὐθείᾳ τῇ ἀνόδῳ χρησάμενος καὶ προστιθεὶς ἀεὶ τοῖς καλοῖς καὶ ἐπαύξων εἰς τελειότητα! Ὦ μηδενὶ τῶν ἄλλων παραμιλλώμενε, σεαυτῷ δὲ μεριζόμενε καὶ παραμετρούμενε, καὶ νικῶν καὶ νικώμενε· ὦ παράδειγμα καινοτέρας ζωῆς, καὶ μετὰ τῶν θαυμασίων ταττόμενε καὶ μετὰ τῶν ὑπερφυῶν λογιζόμενε· ὦ πᾶσι μὲν τόποις ἐγκωμίων ἀφορμὰς λαμπρὰς δεδωκὼς, ἀνεπιχείρητος δὲ μένων ξύμπασι, διὰ τὸ μηδένα τῶν πάντων ἀρκοῦσαν ἔχειν πρὸς τὴν σὴν εὐφημίαν παρασκευήν· ὦ σάλπιγξ τὰς ἄλλας ὑπερηχήσασα, μᾶλλον δὲ καὶ ἔτι ὑπερηχοῦσα, ὡς μηδεμίαν ἔτι τῶν πολλῶν ἐξακούεσθαι!

Ἀλλὰ τίνι σὲ τῶν πάντων παραβαλοῦμαι τῶν νῦν ἢ τῶν πώποτε; ἑνὶ | μὲν γὰρ ἕνα σε οὐκ ἂν ἔχοιμεν, ὅτι μηδὲ τῷ τῶν πάν- φ. 175ᵃ.
των πᾶσα συνερρύη εὐδαιμονία, εἰ δὲ καὶ πρὸς πάντας σὲ μόνον παραμετρήσομεν, καὶ οὕτω δὴ λαμπρὰν τὴν νίκην ἀνέλοιμεν. Σκοπῶ

δὲ οὕτως· οἱ μέν τινες τῶν θαυμαζομένων φιλοσοφεῖν μὲν ἐπεβάλοντο, ῥητορεύειν δὲ βουληθέντες οὐκ ἴσχυσαν· οἱ δὲ, σοφιστεύσαντες, βραχέα ἢ οὐδὲν φιλοσοφίας ἀπώναντο· οἱ δὲ νομοθετεῖν ἢ δικάζειν ἐπιβαλόμενοι, ἀπὸ μόνων τούτων εὐδοκιμήκασι· τοῖς δὲ μηδὲν τούτων κληρωσαμένοις ἢ ἑλομένοις ἤρκεσεν ὁ γεννήτωρ εἰς λαμπρότητα καὶ ἐγκώμιον, ὅτι φιλοσοφεῖν ἐγνώκει ἢ βίον τὸν ἄριστον εἵλετο· καὶ οἱ μὲν ταῖς πατρίσι μόναις ἐγκαλλωπίζονται, οὐδὲν ἔχοντες εἰσενεγκεῖν οἴκοθεν· περὶ δὲ σὲ καὶ λόγος καὶ φύσις, καὶ γένος καὶ ἀρετὴ, καὶ τὰ θύραθεν ἀγαθὰ καὶ τἆλλα ξύμπαντα ὥσπερ χορὸν συστησάμενα ἔνδον περιειλήφασι, μᾶλλον δὲ τὰ μὲν τοῦ τῆς ψυχῆς σου βάθους ἀνέθορε, τὰ δ' ἐπὶ τῷ σώματι ἤνθησε, τὰ δ' ἄνωθέν σοι καταπεφοίτηκε, τὰ δ' ἐξ ἑτέρων ἀφορμῶν συνδεδράμηκεν· οὕτω γοῦν ἐγώ σε συγκρίναιμι τὸν ἀσύγκριτον· φιλοσόφων ἀποφαίνομαί σε φιλοσοφώτερον, ῥητόρων ῥητορικώτερον, τῶν πολλὰς ἀρετὰς ἐχόντων τῇ μιᾷ κρείττονα καὶ σεμνότερον, τῶν τελείων ὑπερτελῆ, τῶν ὑπερτελῶν τελειότερον, οὐδένα τῶν πάντων ἀνθάμιλλον ἔχοντα, οὐδὲ σαυτὸν ἰσοστάσιόν τινι παρασχόμενον. Ὦ πᾶσι μὲν ποθούμενε καὶ τιμώμενε, ἐμοὶ δὲ τῶν ἄλλων ὑπερβαλλόντως καὶ εἰκότως· ὡς ἐμψύχῳ δέ σοι προσδιαλέγομαι· αὐτὸς γάρ μοι τὴν τῆς παιδείας ὁδὸν πρὸ τῶν ἄλλων ἐκαινοτόμησας, καὶ πρὸ τοῦ δραμεῖν με τὸν λογικὸν δίαυλον προεγνώκεις χαρακτῆρί τινι, ὅτι καὶ δραμοῦμαι ὡς τάχιστα καὶ καλλιστείων ἐπὶ τούτῳ στεφάνων ἀξιωθήσομαι· εἶτά με καὶ τεθαύμακας καὶ ἐν πολλοῖς ἐξεθείασας, καί μου τὴν φύσιν πολλάκις, ἀλλ' οὐ βούλομαί τι ἐρεῖν πλέον περὶ τῆς ἐμῆς φύσεως, ἀλλὰ σὺ τῇ δυνάμει τοῦ λέγειν τῶν ἄλλων ὑπερετίθεις! διὰ ταῦτά σε καὶ ζῶντα ὑπὲρ τοὺς ἄλλους τετίμηκα, καὶ τετελευτηκότα πικρῶς ἀποδύρομαι, καὶ οὐκ ἔχω ὅπως ἂν ἐμαυτῷ τὸ πάθος ἐπελαφρίσω, ἢ παραμυθίαν τινὰ ἔξωθεν δέξομαι· ἀλλ' ὁπόταν τὴν περὶ σοῦ μνήμην ἐν τῇ ἐμῇ ἀνακινήσω ψυχῇ, αὐτίκα μοι συγχεῖται ὁ νοῦς καὶ τὸ σῶμα κλονεῖται, καὶ ὅλος τοῦ πάθους γινόμενος παρεῖμαι

καὶ διαλύομαι, καὶ μόλις ἐμαυτὸν ἀνακαλέσασθαι δύναμαι. Τὸν δὲ παρόντα σοι λόγον τετόλμηκα, οὐ τοσοῦτον ἐνθυμηθεὶς, ἵνα σοι πρὸς τὰς ἀρετὰς παραμετρήσω τὴν εὐφημίαν, ἀλλ' ἵνα τὴν ἠδίστην σοι γλῶτταν καὶ τελευτήσαντι ἐπιδείξαιμι, καὶ ἵν' ἔχοις εἰδέναι μετὰ θεοῦ τεταγμένος, ὅτι σοῦ οὐκ ἐπιλέλησμαι ἐκδημήσαντος, ἀλλ' ὅπου περ ἂν εἴης, ἐν καλλίστῳ δὲ πάντως μέρει καὶ ταῖς ὑπερκοσμίοις μοναῖς, πρόσκειμαί σοι καὶ ἡδέως προσαναπέφυκα. Ἀλλὰ μὴ δ' αὐτὸς κατολιγωρήσαις ἡμῶν, ἀλλ' ἐφορῴης ἄνωθεν λαμπρῷ καὶ ἵλεῳ ὄμματι, καὶ ἢ διολισθαίνοντας ὑπερείδοις, ἢ ἑστῶτας ἐπικρατύνοις, ἢ πρὸς τὸ καλὸν κινουμένους χειραγωγοίης, τὴν εὐθεῖαν ὑποδεικνύων ὁδὸν καὶ φέρουσαν ἁπλανῶς πρὸς θεὸν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

| * Τοῦ αὐτοῦ· Ἐπιτάφιος εἰς τὸν μακαριώτατον πατριάρχην κῦρ Ἰωάννην τὸν Ξιφιλῖνον. φ. 33.

Ἔδει μὲν τοῖς εὐδοκιμωτέροις τὴν ἀρετὴν καὶ ὅσοι τὴν φύσιν ὑπερανέβησαν ὑπερφυῆ καὶ λόγου κρείττονα παρὰ τῶν ἑλομένων ἐπαινεῖν προσάγεσθαι τὰ ἐγκώμια, ἵνα μὴ τὰ ὑπερτελῆ καὶ θειότερα τῷ δοκεῖν ἐπαινεῖσθαι ἀπ' ἐλάττονος δυνάμεως καθυβρίζηται· ἐπεὶ δὲ ἡ μὲν πρὸς τὸ καλὸν ἐπίδοσις ὅρον ἔχει τὸ ἀπερίγραφον καὶ ἄοριστον, τῷ γὰρ θεῷ μόνῳ πεπεράτωται ἀφ' οὗ τὴν ἀρχὴν ἔσχηκεν, οὐ μηδὲν ἐφικνεῖσθαι δεδύνηται, τὸ δὲ τοῦ λόγου μέτρον πρὸς τὴν τοῦ ἔχοντος μεγαλοφυΐαν μεμέτρηται, ἀμήχανον δή που πάντως τῇ τῶν καλῶν τελειότητι τὴν τελειοτάτην τοῦ λόγου

* Ἐκ τοῦ αὐτοῦ κώδικος 1182, φύλ. 33-40*.

ἐξικνεῖσθαι τέχνην καὶ δύναμιν· ἀλλ' εἰ διὰ ταῦτα τὰ ὑπὲρ ἡμᾶς ἀφεξόμεθα τῷ λόγῳ τιμᾶν, οὐδὲν ἂν ἐπαινοῖτο τῶν ὑπὲρ ἔπαινον, καὶ ἔσται τούτοις τὸ ὑπερβάλλον πρὸς εὐφημίας στέρησιν ἀφορμή.

Οὕτω τοιγαροῦν οὔθ' ἥλιον ἐπαινέσομεν, οὔτε τοῦ παντὸς θαυμάσομεν τὴν περίοδον, πολλοῦ δέω λέγειν περὶ τῶν ὑπερκοσμίων καὶ καθαρῶς ἀσωμάτων φύσεων· ὧν γὰρ οὐδὲ κατάληψίν τις ἔχει σαφῆ, πῶς εὐφημεῖν ταῦτα προέλοιτο; καὶ οὕτω δὴ ὁδῷ βαδίζοντες καὶ τὴν πολυύμνητον τοῦ θεοῦ σοφίαν καὶ τοῦ πολλοστοῦ ἐκείνης ὕμνου στερήσομεν. Οὐ τοίνυν ἀφεκτέον ἡμῖν τῶν περὶ τὰ κρείττω ἐννοιῶν τε ἅμα καὶ εὐφημιῶν, ἀλλὰ μέθοδον ζητητέον, πῶς ἄν τε ἐννοήσαιμεν καὶ πῶς εὐφημήσαιμεν. Ἐντεῦθεν γὰρ ἐπιστῆμαι καὶ τέχναι ἐσχήκασι τὸ θαυμάζεσθαι, αἱ μὲν τὰ ὑπὲρ νοῦν κατοπτεύουσαι, αἱ δὲ τὰς προσηκούσας ἐννοίας τοῖς ὑπὲρ ἔννοιαν ἐφευρίσκουσαι. Οὐκ ἀπογνωστέον οὖν τῇ ἡμετέρᾳ ψυχῇ οὔτε τὴν εὐφημίαν τῶν κρειττόνων, οὔτε τὴν ἔρευναν· σύνδεσμος γὰρ οὖσα τῶν περὶ αὐτὴν ἀκροτήτων, νοερᾶς οὐσίας φημὶ καὶ αἰσθήσεως, τὴν μὲν ἀπὸ τοῦ κρείττονος ἐξεπίσταται καὶ ἐν παραδείγματος αὐτῇ μοίρᾳ καθίσταται, τὴν δὲ ἀπό τινων φυσικῶν ἀξιωμάτων ἐξεικονίζεται καὶ ἀπὸ τῆς πρὸς ἐκείνην ἐφικτῆς ὁμοιώσεως ἀναπτύσσει καὶ ἀναμάσσεται. Καὶ συγγνωμονοίη τῷ λόγῳ ὁ νῦν εἰς εὐφημίαν προκείμενος, εἰ τῆς ἀξίας ἐλάττων ἐκείνου καὶ τῶν ἀρετῶν γένοιτο· οὐ γὰρ ὥσπερ διαμιλλώμενος αὐτῷ πρόσεισιν, οὐδὲ τοῦτον σκοπὸν ἔθετο, πῶς ἂν ἐκείνῳ ἐξισωθείη ἢ ὑπερβάλοι τοῖς ἐγκωμίοις, ἀλλ' ἵνα τι τῷ παντὶ συντελέσειε τὸν ἐκείνου βίον, εἰ οὕτω δὴ λέγειν, ἐγκωμιάζων· ὥσπερ γὰρ ἐλλιπὲς τὸ σύμπαν λογίζοιτο, εἰ μὴ ἐκ πασῶν συντέθειται φύσεων ὑψηλοτέρων καὶ καταδεεστέρων, οὕτω δὴ καὶ ἡ τοῦ καλοῦ μοῖρα καὶ τάξις τὰ μέγιστα ζημιοῖτο, εἰ μή τις αὐτῇ τὸν ἐξ ἁπάντων λόγων συνεφανίσειεν· εἰ γὰρ αἰσθήσεως ἔλλειψις τῆς γνώσεώς ἐστι τῶν αἰσθητῶν στέρησις, καὶ εἰ μὴ τὴν νοοῦσαν φύσιν ἐποίησεν ὁ θεὸς οὐκ ἂν τὰ νοητὰ ἐλήλυθεν εἰς κατάληψιν, πῶς οὐκ εἴ τι τῶν καλῶν ἐπαίνων στεροῖτο

καὶ εὐφημιῶν τῷ κρείττονι μέρει τὴν ἡμετέραν ζωὴν ζημιοῖ; οἷς γὰρ ἀπὸ τοῦ κρείττονος παραδείγματος ἡ πρὸς τὸ πρῶτον ἀγαθὸν ἐξομοίωσις, τούτοις εἰ ἀφέλοι τις τοῦ καλοῦ τὴν πρωτοτυπίαν, τὸν πρὸς τὰ κρείττονα ζῆλον πάντως που ἀποσβέσειεν. Τὸ μὲν οὖν δεῖν ἐπαινεῖσθαι οὐ τὰ ἐφικτὰ μόνον ἡμῖν, ἀλλὰ καὶ αὐτὰ δήπου τὰ ἀκατάληπτα, ἱκανῶς ὁ λόγος ὥς γε ἐν τῷ παρόντι ἀπέδειξεν.

Ἐμοὶ δὲ δυοῖν τούτοιν προκειμένοιν εἰς τὸ τοῦ μεγάλου ἀρχιερέως ἐγκώμιον, ζήλου τε πρὸς τὰ καλὰ ἕνεκεν, ὀφειλῆς τε δικαίας καὶ χρέους ἀπαραιτήτου (τίς γὰρ ἂν οὕτως ἄλλος εἰς ὑπόθεσιν ἀρίστης πολιτείας ἀρκέσειε; πρὸς τίνα δὲ ἄλλον ὀφειλέτης ἐγὼ ἐπὶ τοῖς τοιούτοις τοῦ λόγου καθέστηκα;), οὐκ οἶδα πῶς ἂν προσαχθείην τῷ πράγματι, ἢ τίνι χρησαίμην πρότερον· πρῶτον ὡς ἀποδιδοὺς τὸ λογικὸν ὄφλημα, ἢ ὡς ἐξ ἀνάγκης ἐκεῖνον ἐν περιωπῇ καθιδρύων τοῖς πρὸς αὐτὸν ἀφορᾶν βουλομένοις καὶ τὸν οἰκεῖον βίον ἀποξέειν πρὸς τὸ παράδειγμα; εἰ μὲν οὖν παρὰ μέρος ἑκατέροιν τοῖν μεροῖν χωροίην, διασπῷτο ἂν οὕτως ὁ λόγος, καὶ ἀσύμπλοκος ἡ συμπλοκὴ γένοιτο, καὶ τὸ σύμπαν εἰπεῖν ἀξυνάρμοστος· τὸ δ' ἀμφότερα προελέσθαι ἐπίσης καὶ ἐπάλληλα συμπλέκειν καὶ οὕτως ἀπευθύνειν τὸν λόγον, χαλεπὸν μὲν, πειράσομαι δ' οὖν ὡς μετριώτερον τοῦτο ποιεῖν· ὅπη δ' ἂν αὐτὸ τὸ πρᾶγμα τὴν ἁρμονίαν παραβιάζοιτο, εὐγνωμόνων ἀκροατῶν δεησόμεθα ἐπὶ πᾶσιν ἐκ παντὸς τρόπου τὸ εὐδόκιμον ἀπαιτεῖν· ἀλλ' ὅσον ἂν ἡ φύσις τοῦ λόγου χωρεῖν δεδύνηται, καὶ οἶδα μὲν ἀσυμ.... πάντα τῷ θείῳ ἀνδρὶ κατὰ γνώμην πραγματευσόμενος· τεχνικούς τε νόμους παραγνοὺς ἐκεῖνος φιλοσοφίας ἀκρότητα ὕβριζε, καὶ ἐκ πάντων μὲν αὐτῷ θηρώμενος τὸ εὐδόκιμον, ἐκ πάσης δὲ ἀρετῆς τὸν .... συνερανιζόμενος. Ἵνα δὲ μὴ τῇ τῶν πραγμάτων ἀπορίᾳ δοκῶμεν τῆς τέχνης ὑπεροψίαν ποιεῖν, μὴ ἐκ τῶν κατ' αὐτὸν μόνον, ἀλλὰ καὶ τῶν περὶ αὐτὸν καὶ τῶν ἄνω τοῦ γένους τὴν εὐφημίαν ἡμῖν ποιητέον· ὧν γὰρ ἐκεῖνος καλῶς ποιῶν καταπεφρονήκει, τούτοις εἰ ἔχομεν τοῦτον ἐγκωμιάζειν, δείξομέν που πάντως ὡς οὐχ ὡς ἐνδεῶς

f. 33°. ἔχων τούτων εὐμεθόδως ὑπερεώρα, | ἀλλ' ὡς μὴ ἀξίων σπουδῆς καὶ ὡς χαμαιζήλων καὶ κάτω φερομένων γενναίως πάνυ καὶ σοφῶς ὑπερίπτατο, οὐκ ἀπὸ τῶν χρωμάτων κοσμεῖσθαι βουλόμενος, ἀλλ' ἀπὸ τῆς τοῦ σώματος οὕτως εἰπεῖν γενναιότητος, καὶ οὐδὲ ταύτῃ φιλοτιμούμενος, ἀλλὰ τοῖς τῆς ψυχῆς ἀγαθοῖς σεμνυνόμενος.

Διττῆς δὲ οὔσης τῆς καθ' ἡμᾶς γενεαλογίας, ἐπεὶ καὶ διττοὶ τὴν φύσιν πεφύκαμεν, καὶ τὸ κρᾶμα ἡμῶν ἐξ ἐναντίων συνέστηκε φύσεων, κρείττονός τε καὶ χείρονος, τὸ μὲν κρεῖττον τέως ἀναμεινάτω ὡς ἐν τούτῳ τοῦ λόγου πραγματευσομένου τὰ πλείω, βραχὺ δέ τι τῷ ἐλάττονι μέρει συνδιατρίψωμεν. Καὶ εἰ μέγα τοῖς ἄλλοις τὸ δοκεῖν ἀπὸ τῶν τοῦ ἡλίου προβεβλῆσθαι ἀνατολῶν, καὶ πατρίδα προβεβλῆσθαι τὴν Αἴγυπτον τυχεῖν, ἢ τὴν Βαβυλῶνα, ἤ τινα ἄλλην τῶν διαβεβοημένων πόλεων καὶ ἐθνῶν, κἂν μὴ τοῖς ἄλλοις εὖ ἔχοι καλῶς, πῶς οὐκ ἐκείνῳ μέγιστον, μᾶλλον δὲ τοῖς ἀκούουσιν, εἰ καὶ πρὸς ἡλίου πρώτην ἀκτῖνα ἡ ἐκείνου ἀνταυγάζει πατρίς; Καὶ οὕτως μὲν ἔχει ὡρῶν ὡς οὐκ ἄλλη τις τῶν περιβοήτων, οὕτω δὲ γῆς ὁμοῦ πάσης καὶ θαλάσσης ἐν μεθορίῳ ἀκριβῶς ἵδρυται· καὶ τῆς μὲν οἷον πέρας ἐστὶ, τῆς δὲ ἀρχὴ, μᾶλλον δ' ἑκάτερα τἀναντία, ὡς ἦρχθαι οἷς πεπεράτωται, καὶ πεπεράνθαι οἷς ἦρκται· καὶ ἀποικία οὖσα τῆς εὐδαίμονος τῶν Ἀθηναίων ἡγεμονίας, νικᾷ τὴν μητρόπολιν· ἡ μὲν γὰρ λεπτόγεως καὶ πρὸς πυρῶν φορὰν οὐ πολύγονος, ἡ δὲ πυροφόρος οὐδὲν ἧττον ἢ φιλάμπελος· καὶ ἡ μὲν ἤδη πέπαυται ὥσπερ ἀπομαρανθεῖσα τῷ χρόνῳ, ἡ δὲ ὡς ἄρτι που φυτευθεῖσα πᾶσιν ἀνθεῖ κάλλεσι, καὶ ξύμπασι κομᾷ τοῖς στοιχείοις καὶ ὡραΐζεται, καὶ τῇ προσηγορίᾳ τὴν εὐδαιμονίαν δηλοῖ, οὐχ ὡς ἑστία μόνον τῶν πόλεων, ἀλλ' ἑστίασις καθαρὰ καὶ εὐωχία παντοδαπή. Τίς γὰρ τῆς Τραπεζοῦντος ἀνήκοος πόλεως; τίς δ' ἐκεῖσε μὲν ἁπανταχόθεν χωρῶν, οὐ πάντα χείρονα ὄψεται, ἐξ ἁπάσης δὲ γῆς καὶ θαλάσσης εἰς ἐκείνην ἐλάσας ἢ καταπλεύσας, οὐ πάσαις ψήφοις κατ' αὐτῶν ψηφιεῖται τὰ νικητή-

ρια; καὶ ὑπερθαυμάσειε ζυμπάσας μὲν θαλάσσας οἰκειουμένην, ὅλην δὲ τὴν ἤπειρον εἰς ἑαυτὴν συμπεράνασαν καὶ φιλονεικοῦσαν θατέρῳ μέρει ὑπερβαλεῖν θάτερον, καὶ νικῶσαν μὲν οἷς ἥττηται, ἡττωμένην δὲ οἷς νενίκηκε· καὶ παρὰ μὲν τὴν φύσιν μόνον ἔχουσαν τὸ νικᾶν, παρὰ δὲ τὴν τοῦ λόγου δύναμιν τἀναντία μεριζομένην. Ἀλλὰ τοσούτοις τρυφῶσα καλοῖς ὁπόσοις οὐκ ἄλλη τῶν πόλεων, ἑνὶ τούτῳ τἀνδρὶ τῶν ἐξ αὐτῆς ὑποκέκλιται· καὶ τοῖς ἄλλοις κατὰ παντὸς ἔθνους εὐδοκιμοῦσα, ἐν τούτῳ μόνῳ καλλίων μὲν παρὰ πολὺ τῶν ἄλλων ἁπασῶν χωρῶν τε καὶ πόλεων, τῶν δὲ λοιπῶν αὐτῆς ἥττων, καὶ σεμνυνομένη μᾶλλον οἷς ἥττηται, ἢ ἐκείνοις καθ' ὧν τὸ νικᾶν ἐκληρώσατο.

Ἡ μὲν οὖν πατρὶς, ὡς μοι δεδήλωται, τῷ μεγέθει καὶ τῷ κάλλει τὰ καλλιστεῖα καὶ τὰ πρωτεῖα κατὰ τῶν ἄλλων λαμπρῶς ἀνεδήσατο. Τοῖν δὲ τεκόντοιν ὁ μὲν κλῆρος ἀρετὴ, ἡ δὲ εὐδαιμονία τὸ ἐπὶ τοῖς καλοῖς μνημονεύεσθαι, ἄμιλλα δὲ ἀμφοῖν τίς ἂν τῷ καλῷ προσχωρήσειε; καὶ τὸ ἄλλο δὲ γένος εὔδαιμον ἄνωθεν. Ἀλλ' ἵνα τὸν πατέρα αὐτῷ ὑπερβήσομαι, θαυμαζόμενον μὲν ἐπὶ πᾶσιν, ἀφῃρημένον δὲ ταχὺ τὴν ζωὴν, ἀλλ' ἥ γε μήτηρ μακρότερον τἀνδρὶ χρόνον ἐπιβιώσασα, ἀκμάζουσα κἀν τῷ γήρᾳ διὰ τὴν ἐς τὸ καλὸν ξυντονίαν τοῖς πᾶσιν ἐγνωρίζετο, ἀφωσίωτο δὲ ὁ βίος ταύτῃ θεῷ, καὶ μετὰ τῶν πολυϋμνήτων ἐν ἀρεταῖς διηρίθμητο· καὶ τοσοῦτον αὐτῇ τὸ περιὸν τοῦ κρείττονος καὶ ἥ γε πρὸς θεὸν ἕνωσις ἀπαρέγκλιτος, ὡς καὶ προφητικοῦ ἠξιῶσθαι πνεύματος· προεγνώκει γὰρ τοῦ παιδὸς τὴν ἐσύστερον ἐσομένην αὐτῷ ἐν ἅπασι τελειότητα καὶ προειρήκει πολλοῖς, οὐ μαντευομένη ὥσπερ τὸ μέλλον, οὐδὲ προλέγουσα τὸ ἐσόμενον, ἀλλ' ὁρῶσα τὸ συμβησόμενον.

Ὁ δέ γε λόγος κατὰ σκοπὸν βάλλων ὃν προὔθετο οὐ πάνυ τι τοῖς τοιούτοις ἐμφιλοχωρεῖν βούλοιτο, ἀλλὰ τοσοῦτον περὶ αὐτὰ πραγματεύεται, ἵστησι τῷ ἐπαινουμένῳ παραδείγματα ἀρετῆς κρείττονα ἢ μιμήσει ὑποπεσεῖν, καὶ ταῦτα οὐκ ἀλλότρια, οὐδὲ πόρρω

τοῦ γένους, ἀλλ' οἰκεῖα καὶ εὐγενῆ· εἶτα δὴ ἐκ τούτων θεωρήσας αὐτὸν, καὶ ἀντισυγκρίνας τοῖς προηγουμένοις τὰ ἐφεπόμενα, δείξειε πᾶσιν, ὡς ἐν μεγάλῳ ἀγῶνι ἀηττήτοις γένεσι προσβαλὼν τοσοῦτον τοὺς τεκόντας ὑπερεβάλλετο, ὅσον οὗτοι τοὺς ἄλλους τῆς ἀρετῆς ἀριστέας ὑπερηκόντισαν. Τοσοῦτον δὲ τοῦ παρατυχόντος τῷ λόγῳ δέομαι, μὴ δοκεῖν κἂν ὑπερβολὰς τινὰς διεξίοι ὁ λόγος, ἐκ τοιούτων ἀκριβῶς ὑπειλῆφθαι νομίζειν τὸν εὐφημούμενον· ὡς γάρ μοι εἴρηται ἐς ὡρισμένον μὲν τῷ λόγῳ μέτρον ἡ τούτου ὑπερβολὴ, τὸ δὲ τῆς ἀρετῆς ὥσπερ τι πέλαγος ἄπειρον καὶ ἀόριστον οὐ περιορίζεται οὔτε τοῖς ῥήμασιν οὔτε τοῖς νοήμασι· τούτου δὲ προϋποκειμένου καὶ διωμολογημένου, θαρσεῖ ὁ λόγος τὸ ἴδιον, καὶ νεανικώτερον προσβαίνει τοῖς περὶ ἐκεῖνον διηγήμασί τε καὶ θαύμασι. Δυοῖν γοῦν ὄντοιν τῶν περὶ ἡμᾶς ἐπαινουμένων, λόγου καὶ ἀρετῆς, ἀπ' ἀμφοτέρων μὲν τῆς ζωῆς ἤρξατο, ἀλλὰ τὸ μὲν ἐδείκνυ, λέγω δὴ τὴν λογικὴν παίδευσιν, τὸ δ' ἐσκιαγράφει, καὶ ἄμφω αὐτῷ προήει συμπλεκόμενα καὶ συνυφαινόμενα. Καὶ ὁ μὲν τὴν πατρίδα τῷ καθ' ἑαυτὸν μέρει ἐξαίρειν ἐβούλετο, καὶ ἧς ἔλαβεν ἐκεῖθεν γενέσεως ἀντιδοῦναι αὐτῇ οὐσίαν ἀγαθοῦ καὶ ἐπίδοσιν, ὁ δὲ τῆς προνοίας λόγος ἐκεῖσε αὐτὸν μετατίθησιν ὅπου μᾶλλον ἐκλάμψειε καὶ ὅθεν τὴν οἰκουμένην πᾶσαν καταπυρσεύσειε· μετατίθησι γοῦν ἐπὶ τὸ Βυζάντιον, ἡμιτελῆ μὲν ἔτι τὴν παίδευσιν, καὶ οὐ πάνυ τὴν ἀρε-
φ. 34. τὴν γνώριμον, ἀντίθετον δὲ ἤδη τοῖς κρείττοσι καὶ τοῖς καλλίοσι | τούτων ἰσοπαλῆ.

Ἀλλὰ πῶς ἂν διαγράψω τὸν ἄνδρα; πῶς δὲ αὐτῷ ἢ τὴν κρηπίδα τῆς ἀρετῆς ὑποθήσομαι, ἢ τὸ ἦθος χαρακτηρίσω, ἢ τὴν περὶ τὴν παίδευσιν γνωριῶ συντονίαν; ἢ τί ἄλλο τῶν ἐκείνου καλῶν τῷ λόγῳ δηλώσω, ὡς εἶχε φύσεως; λέξω δὲ περὶ πάντων, οὔτ' ἀκηκοὼς περὶ τούτων παρ' ἐνίων τῶν ἐντυχόντων τἀνδρὶ, οὔτ', ἐκ παρέργου αὐτὸς τούτῳ καθωμιληκὼς, ἀλλ' αὐτοπτήσας σύμπαντα καὶ κατὰ μέρος ἀκριβωσάμενος, καὶ ἐπαινέσας μὲν πρότερον, εἶθ' ὕστερον ὑπερθαυμάσας καὶ ἡττηθεὶς εἰς ὑπερβολὴν τῶν ἐκείνου

ὑπερβολῶν. Εἰ δέ τι καὶ αὐτὸς συναπολαύσω τοῦ λόγου, ἢ ἐγκωμιάζων ἢ διηγούμενος, νεμεσᾷη μηδείς· οὐ γὰρ ἐξεπίτηδες τὰ ἐμὰ τοῖς ἐκείνου ἐγκαταμίξω, ἀλλὰ τοῦ λόγου καταναγκάζοντος. Εἰ δὲ καὶ τεθνηκὼς ἀφορμή τις εἰς εὐφημίαν ἐμοὶ κατασταίη, φθόνος οὐδεὶς, ὅς γε καὶ ζῶν πλεῖστά μοι πρὸς ἀρετῆς μέρος ξυνεβάλετο· καὶ ἵνα τι ἐρῶ τολμηρότερον, συνεπεφύκειμεν ἀλλήλοις, καὶ τρόπον τινὰ οἷς εἶχεν ἕκαστος καλοῖς ἀντεκείμεθα καὶ ἀντεμετρούμεθα, οὐκ ἀντικειμένως ἔχοντες, οὐδ' ἀντιθέτως τὴν χείρω ἀντίθεσιν, ἀλλ' ἰσοφυῶς μὲν καὶ ἰσοπαλῶς, ἀντισπουδάζοντες δὲ ταῖς πρὸς τὰ κρείττονα ἐπιδόσεσι· τοσοῦτον τὴν πρώτην διαιρεθέντες ἀλλήλων καὶ τοσοῦτον τὸν λόγον καὶ τὰς τέχνας διαμερίσαντες, ὅσον ἐγὼ μὲν πρὸς τὴν τέχνην τῶν λόγων καὶ φιλοσοφίαν ἐπένευσα, καὶ μαθημάτων ἡψάμην, οὐ παρ' ἄλλου λαβών· ἔσβεστο γὰρ αὐτοῖς ὁ πυρσὸς, ἀλλ' ἐγὼ αὖθις τοῦτον ἀνάψας καὶ τοῖς ποθοῦσι διαπυρσεύσας· ὁ δὲ τὴν περὶ νόμους προὔλαχεν ὁμοῦ παίδευσιν· εἶθ' ὕστερον ἀντηλλαξάμεθα ἀλλήλοις τοὺς ὅρους τῆς γνώσεως, μᾶλλον δὲ ὁ μὲν τοῖς νόμοις καὶ ῥητορικὴν προσειλήφει καὶ περὶ φιλοσοφίαν αὐτὴν διεσπουδάκει, καὶ τοῖς μαθήμασι προσεπέδωκεν ἀπὸ τοῦ χείρονος τὰ κρείττονα εἰσποιησάμενος, ἐμοὶ δὲ τοὐναντίον ἀπὸ τοῦ κρείττονος ἡ εἰς τὰ χείρω ῥοπή· καὶ οὕτω κατὰ μικρὸν προχωροῦντες ἀλλήλοις καὶ ἀντιθέτως τὴν παίδευσιν ἑαυτοῖς συνεισάγοντες, ἐξ ἀτελοῦς ἀνήχθημεν εἰς τὸ τέλειον. Ἡλικίας δὲ οὐ ταὐτὸν εἴχομεν, πλὴν οὐκ ἐς τὸ πολὺ παρηλλάττομεν· ἀλλ' ὁπότε ἀλλήλους ἐγνώκειμεν καὶ κρατῆρα φιλίας ἐστήσαμεν, ἐγὼ μὲν ἤνθουν ἔτι τὸν ἴουλον, ὁ δὲ ὅλαις θριξὶν ἐπεπύκαστο.

Ἀλλ' ἐπειδὴ νόμων ἐμνήσθην, τὸ ἐκείνου μελέτημά τε καὶ σεμνολόγημα, καὶ τῆς περὶ ταῦτα παιδεύσεως βούλομαί τι ἐνταῦθα προσδιατρίψαι τῷ λόγῳ, δυοῖν ἕνεκα, τοῦ τε ἐκεῖνον γνωρίσαι ὁποῖος περὶ τὸ μάθημα ἐγεγόνει, καὶ ξυμβαλέσθαι τούτοις, δείξας ὁποίοις δή τισιν οὖσιν οὐχ οὕτως ἐντυγχάνουσιν οἱ μανθάνοντες· θαυμάσαι δὲ καὶ τὸ ἐκείνου ἄξιον, ὅτι πρινὴ φιλοσοφεῖν

τελεώτερον τοῖς νόμοις φιλοσοφώτερον προσεχώρησε, τὴν κρείττονα διαλεκτικὴν μήπω μεμαθηκὼς, ἐν τοῖς νόμοις ἐφευρηκὼς, οὐ χείρω δὲ εἰπεῖν καὶ τὴν πρώτην φιλοσοφίαν. Ὡς γοῦν ὁ ἐμὸς λόγος δεῖ πάσαις τέχναις τε καὶ μαθήμασι λογικοῖς τῆς φιλοσόφου διαιρέσεώς τε καὶ ἀναλύσεως, καὶ τῆς ὁριστικῆς μεθόδου, καὶ αὐτῆς ἀποδείξεως· τὸ γὰρ ὑπὲρ ταῦτα ἀφετέον ἡμῖν νοερόν τε ὂν καὶ ὑπερφυές· ἐκεῖνος γοῦν ἐπειδὴ τοῦ νομικοῦ ἐπεβεβήκει ἄξονος, καὶ τὸ πλῆθος ἐγνώκει τῆς νομικῆς ἐπιστήμης, καὶ ὡς τὸ μὲν ἀρχαῖον, τὸ δὲ νεώτερον, καὶ τὸ μὲν πεπλήθυται καὶ ἀορισταίνει, τὸ δὲ ὥρισται καὶ μεμέτρηται, καὶ τοῦτο μὲν ὑπερβαίνει τὴν λογικὴν ἐπιβουλὴν, ἐκεῖνο δὲ ἐνδεῶς ἔχει ταύτης, καὶ δύο ἑκάστῳ μέρει ἕπεται κρεῖττόν τε καὶ χεῖρον, τῷ μὲν τὸ πλῆρες καὶ τὸ ἀόριστον, τῷ δὲ τὸ ἡμιδεὲς καὶ τὸ ὡρισμένον, βοηθεῖ ἑκατέρῳ παρ' ἑκατέρου, ὅρῳ μὲν τὸ πλῆθος περιβαλὼν, τῷ πλήρει δὲ τὸν ὡρισμένον, εἶτα δὴ τὰ πλείω μὲν ἐλάττω, καὶ τῶν πλειόνων ἕκαστα τούτων εἰς μίαν συνήγαγε κορυφήν· εἶτ' αὖθις ἐκεῖθεν ὥσπερ ἐκ σημείου ἢ κέντρου πολλὰς ἐποιεῖτο γραμμὰς, καὶ οὕτως τὰ μὲν πολλὰ ἑνὶ συνέδει δεσμῷ, τοῦτον δὲ αὖθις εἰς πλῆθος διέλυε, καὶ ὁπότε μὲν ἔδει συναγαγεῖν τὰ πολλὰ, ἐχρῆτο σοφῶς τῷ δεσμῷ, ὁπότε δὲ ἔδει τὸ ἓν ποιῆσαι πολλὰ, ἀπ' ἐκείνου προῆγε τὰ πληθυνόμενα καὶ οὕτως ἐγεγόνει τοῖς νόμοις νόμος ἀρίστης παιδεύσεως.

Εἰ μὲν οὖν ἐγὼ ὕστερον ἀπὸ φιλοσοφίας ἐπικλινὴς εἰς νόμους γενόμενος, οὕτω τὴν νομικὴν ἐπιστήμην ἠκρίβωσα, θαυμάζειν οὐ χρὴ, ἀπὸ τοῦ κρείττονος τῷ ἐλάττονι προσιὼν, κἀκεῖθεν τὴν μέθοδον εἰληφώς· ἐκεῖνον δ' ἂν εἰκότως ἀγαίμην ἐγὼ, εἰ οὕπω ὑπερνεφὴς γεγονὼς, εἶτα δὴ τοῖς πεζοτέροις προσκεχωρηκὼς, ἀπὸ τῆς οὐρανίας ἀψῖδος ἐφθέγγετο· ὡς οἱ πολλοί γε νῦν, οὐ γὰρ ἂν καθαψαίμην τῶν τελεωτέρων, οὐ διαιροῦσι τοὺς νόμους, ἀλλὰ σπαράττουσιν, οὐδὲ τέμνουσιν ὡς δεῖ τέμνειν, ἀλλὰ διαξαίνουσι, καὶ δοκεῖ κρείττων ἄτερος θατέρου τῷ πολλὰ εἰδέναι νόμου κεφάλαια· ὥσπερ εἴ τινες ἐν φιλοσοφίᾳ οὐ τῷ ἐπίστασθαι τὰ τῶν συλλογισμῶν

σχήματα, καὶ ἑκάστους εἰς τὸ οἰκεῖον ἀνάγειν, ἀλλὰ τῷ πολλοὺς συμφορεῖν συλλογισμούς, οὔθ' ὅθεν προέλθοιεν ἐπιστάμενοι, οὔθ' ὅπη συνέλθοιεν· ἀλλ' οὐχ οὕτως ἐκεῖνος, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὅπερ ὕστερον ἐμεμαθήκει φιλοσοφήσας, τοῦτο πολὺ πρότερον ἐν νόμοις ἐφιλοσόφησε· καὶ ἐγεγόνει αὐτῷ ἡ μετὰ νόμους μάθησις, ἀνάμνησις ὧν προεισήνεγκε. Καὶ Πλάτωνος μὲν καταπεφρονήκει καὶ τῶν ἐκείνου δογμάτων, ὅτι δὲ τὴν διαιρετικὴν ἐξύμνησε μέθοδον, ἐπήνει τε καὶ ἐθαύμαζε.

Νομικῆς μὲν οὕτως εἶχε· καὶ τὰ πλείω νῦν μὲν παρῆκεν ὁ λόγος, προϊὼν δὲ ὅτε καὶ περὶ τῶν ἄλλων ἐπιστημῶν διαλήψεται, καὶ τῆς περὶ τούτων τέχνης αὖθις ἐπιμνησθήσεται· | κἀκεῖνα μὲν φ. 34*.
τέως ἀναμεινάτω, τὸν δὲ ἄνδρα ἀπὸ τῶν προπόδων τοῦ ὅρους ἀναβιβάζειν εἰς περιωπὴν ἐλόμενοι, καταβραχὺ τῇ ἀνόδῳ χρησόμεθα. Εἶχε μὲν οὖν οὕτω τῆς περὶ τῶν λόγων παιδεύσεως καὶ παντοδαπῷ πυρὶ κύκλῳ περιελάμπετο· οὔπω δὲ ἐπὶ τῆς λυχνίας ἐτέθειτο, οὐ λέγω τῆς ὑψηλοτέρας καὶ κρείττονος, ἀπὸ ταύτης γὰρ διαπεπύρσευται ὕστερον, ἀλλὰ τῆς ὑποδεεστέρας μὲν ἐκείνης καὶ ἣ πολιτείας καὶ τάξεις οἶδε κοσμεῖν, θαυμασίας δ' οὖν ὅμως καὶ ταύτης, καὶ εἴ τις αὐτῇ μᾶλλον μετὰ τοῦ δικαίου χρῷτο καὶ τῆς νομικῆς ἀκριβείας. Ἀλλ' εἰς ἀρχὴν προϊὼν ὁ λόγος ἑτέραν ταύτης ἐπιζητοίη ἀρχήν, ἀφ' ἧς ἐκείνῳ μὲν μᾶλλον, ἐμοὶ δὲ οὐδὲν ἧττον τὸ ἐγνῶσθαι καὶ τὸ θαυμάζεσθαι προσεγένετο· ἔσχε δὲ οὕτως.

Μεταβολῆς ἔδει τοῖς πράγμασι κρείττονος· ἀπ' ἀρχῆς τῆς πρώτης ἀρξώμεθα, φημὶ δὴ τῆς καθ' ἡμᾶς ἡγεμονίας, καὶ πέραν τελεώτατα τελευτήσονται[1]· καὶ μέντοιγε καὶ τυγχάνει ταύτης, καὶ τοῖς βασιλείοις θρόνοις ἐνίδρυται ὁ πρὸς τούτους μὲν πάλαι ταμιευόμενος τῷ θεῷ καὶ ἐν ἀφανεῖ τέως κρυπτόμενος, ἐν καιρῷ δὲ ἀνεληλυθὼς ἐπ' αὐτοὺς, καὶ οἷόν τι φῶς ἀπανταχοῦ ταῖς ἀκτίσι φθάνον ἐν δίσκῳ τῷ βασιλείῳ τεθείς· λέγω δὲ εἰδόσι τὸν Κωνσταντῖνον,

1. γρ. τελευτήσομαι.

ὃς τοῦ Μονομάχων μὲν γένους προελήλυθεν, ἄμαχος δὲ πᾶσι τοῖς βασιλεῦσι γέγονε, καὶ τὴν μὲν ἀρετὴν ἀνέφικτος, τοῖς δὲ πολεμίοις ἀπρόσμαχος· ὃς εὐθὺς τοῦ τῶν σκήπτρων ἐπιλαβέσθαι, πᾶσαν ἐν ταὐτῷ ἐκ παντὸς γένους συνήνεγκεν ἀρετὴν, οὐ περὶ τάδε μὲν σπουδάσας, τῶν δ' ἄλλων κατωλιγωρηκὼς, οὐδὲ περὶ ταῦτα μὲν σύντονος γεγονὼς, πρὸς δὲ τὴν τῶν λοιπῶν ἀπαγορεύσας συναγωγὴν, οὐδὲ ῥώμην μὲν ἐπαινέσας σώματος, ἀνδρείαν δὲ μὴ θαυμάσας ψυχῆς, οὐδὲ τὸ θερμὸν μὲν τῆς γνώμης καὶ ἐναγώνιον ἐζηλωκὼς, τὸ δὲ μελιχρὸν καὶ πρᾷον ἠθετηκώς. Τί δ' αὐτῷ τῶν λόγων κρεῖττον ἔδοξεν ὕστερον, τί δὲ μᾶλλον ἐπήνεσε, τί δὲ πλέον ἐθαύμασεν; ἐπεὶ καὶ τοῦτο πολυμερὲς, καὶ τὸ μὲν κρουνηδὸν ἀπὸ γλώττης χεῖται, τὸ δ' ἔνδον ἐν τῇ ψυχῇ κάθηται, περὶ ἄμφω κατὰ τρόπον μερίζεται· καὶ διελὼν τὼ δύο, οὐκ ἐστὶν ἐφευρεῖν ὅτῳ πλέον προσέθετο, ἀλλ' ᾧ τῶν μερῶν προσωμίλησε, τοῦτο τὸ πρωτεῖον ἐδόκει ἔχειν κατὰ θατέρου· εἰ δέ τινά που εὗρε πηγὴν καὶ κάτωθεν ἀναβλύζουσαν καὶ ἄνωθι ἐπικλύζουσαν, καὶ τὸ κρᾶμα τῶν ἐναντίων ἁρμονικῶς ποιησαμένην καὶ ἐμμελῆ, ἢ τοῖς δυσὶ παρὰ μέρος ἑκατέρῳ ἐδίδου, ἢ ὅτῳ ἐκείνων ἐδίδοτο καὶ προσέθετο, τοῦτο ὅλως ὅλον τῇ ἑαυτοῦ συνηγηόχει ψυχῇ. Ἀλλ' οὐκ οἶδ' ὅπως ἐνταῦθα τῷ λόγῳ χρήσομαι· βούλομαι μὲν γὰρ ὥσπερ ἱστορία τούτῳ τῷ μέρει τἀληθὲς συνεισενεγκεῖν· ὁρῶν δὲ καὶ ἐμαυτὸν τῇ ἐνταῦθα μερίδι συλλαμβανόμενον, δέδοικα μὴ φίλαυτός τις τοῖς πολλοῖς νομισθείην καὶ παρὰ τὸν σκοπὸν βάλλειν, τοῖς ἀλλοτρίοις ἐπαίνοις ἐπ' ἐμὲ ἀποχρώμενος· ἀλλ' ἵνα καὶ τὴν ἀκολουθίαν φυλάξω τοῖς διηγήμασι καὶ τὰς παρὰ τῶν πολλῶν ὑπερβήσομαι μέμψεις, τοῖς μὲν ἐμοῖς ἐπιδρομάδην ἐπεξελεύσομαι καὶ ὅσον εἰκὸς, τοῖς δὲ ἐκείνου ἀμφιλοχωρήσω πλεονεκτήμασιν.

Ἔδοξε τούτῳ τῷ βασιλεῖ μὴ κατὰ γενεαλογίαν τοὺς ἐν τέλει προϊέναι καὶ ὅσοι τῷ βήματι πλησιάζουσι, μὴ δ' ἀπὸ τῶν πρώτων μόνον γενῶν τὴν συγκλητικὴν πληροῦσθαι βουλὴν καὶ τὰ τῶν δημοσίων ἀρχεῖα καὶ ὅσα περὶ νόμους τε καὶ ψηφίσματα, ἀλλὰ

καὶ ἀπὸ τῆς ἑτέρας μερίδος, εἴ τινες δὴ καὶ ἀπὸ ταύτης εὐδόκιμοι πρὸς ταῦτα φανεῖεν καὶ τῶν ἄλλων καταλληλότεροι· ἄτοπον μὲν γὰρ ἡγεῖτο ἐπὶ μὲν τῶν στρατιωτικῶν καταλόγων μὴ τοὺς ἐκ πατέρων στρατηγικῶν ἢ ἄλλως ἀρχικῶν, ἢ τὸ κοινὸν δὴ τοῦτο στρατιωτῶν, ἀλλὰ καὶ τὰ τῶν ἄλλως ἀναφανέντων πρὸς ταῦτα ἐπιτηδείων καταλέγειν εἰς τὰ πολέμια, τῷ δὲ συγκλητικῷ μέρει, ὥσπερ νόμον τινὰ ἀπαραίτητον καὶ ἀνεξάλλακτον ὅρον μόνην τὴν τοῦ γένους σώζειν διαδοχήν, καὶ μὴ ἂν ἄλλως τινὰ παρακύψαι εἰς τὰ βασίλεια, εἰ μή τις εἴη προηγουμένοις γένεσι σεμνυνόμενος, κἂν εἰ πεπτηρωμένος εἴη τὸν νοῦν καὶ μόνον ἔχων τὸ φύσημα, καὶ μηδὲν ἄλλο ἢ τὴν ἀπὸ τοῦ γένους μεγαληγορίαν ἀπερυγγάνοι· διὰ ταῦτα οὐ συνήθειαν ἄλογον, ἀλλὰ κρίσιν εὔλογον τῶν περὶ τὰ βασίλεια ὁ βασιλεὺς ἐπεποίητο. Ἐνταῦθα προλαμβάνω μὲν ἐγὼ τὸν νῦν εὐφημούμενον, καὶ πρῶτος προσπελάζω τοῖς προπυλαίοις, οὐκ ἀπονητὶ, οὐδ' ἄνευ δοκιμασίας καὶ κρίσεως, ἀλλὰ πολλάκις ἐξετασθεὶς καὶ βασανισθεὶς ἐπὶ παντὶ λόγῳ, ἐπὶ πολλαῖς κρίσεσιν, ἐπ' αὐτοσχεδίοις συγγράμμασι, καὶ οὕτω συμπιεσθεὶς πρὸς τὴν εἴσοδον, ὡς μόλις που τὸ πνεῦμα ἀνακαλέσασθαι. Οὐ πολὺς δὲ χρόνος διεληλύθει, κἀκεῖνον ἡ αὐτὴ κρίσις ἐλάμβανεν· οὐδὲ γὰρ ἤνεγκα κοινῇ μετέχων ἐκείνῳ τῆς περὶ τοὺς λόγους ἐπιμελείας καὶ σπουδῆς, ἐμὲ μὲν ἐν τοῖς βασιλείοις ὑψοῦσθαι, ἐκεῖνον δὲ ταύτης ἀπολελεῖφθαι τῆς χάριτος. Τὸ μὲν οὖν ἐμὸν κατὰ τοῦτο τὸ μέρος ἐνταῦθα συμπεπεράνθω.

Εἴσεισι δ' οὖν ἐκεῖνος μεγαλοπρεπῶς τὰ βασίλεια, ἅμα δὲ τοῖς προθύροις εἱστήκει καὶ εἰς τὸ βῆμα ἀναλαμβάνεται καὶ τῆς τῶν κρειττόνων ἀξιοῦται τάξεώς τε καὶ στάσεως· προεδρεύων μὲν οὔπω τοῦ δικαστικοῦ βήματος, ἐν δὲ ταῖς ὑφεδρείαις τῶν ὑπερκαθημένων μᾶλλον τιμώμενος καὶ θαυμαζόμενος· ἐκάχλαζε γὰρ αὐτῷ ἡ γλῶττα οὕτως εἰπεῖν τὰ νομικὰ ῥεύματα καὶ αὐτόθεν τὰ πηγαῖα ἐχεῖτο νάματα, καὶ ἡ ἐπιστροφὴ τούτῳ τῶν ἐπιβολῶν οὐκ εἰς βιβλία τὰ πλείω, ἀλλ' ἡ μνήμη πάντα συνήθροιζε τῇ ψυχῇ. Ἐπή-

ζολος δὲ παντοίας φιλοσοφίας ὥσπερ εἰρήκειν γενόμενος, τὰς διαιρέσεις κατ' ἄρθρα ἐποιεῖτο τῶν γνώσεων, ὁμοῦ τε λέγων καὶ σπουδάζων αὖθις περὶ τὰ συγγράμματα, εἴ που καὶ τούτων δεήσειε·
φ 35. λαμπροφωνίαν δὲ ἤσκησε μὲν οὐδαμῶς, | εὐμοίρησε δὲ ταύτης ὑπερφυῶς, καὶ εἴτε βασιλείους φωνὰς ὑποκρίνοιτο, ἄνωθεν ταύτας ἠφίει ὥσπερ βροντὰς, εἴτέ τι ἄλλο λέγειν ἐπετέτακτο, ὁ δὲ ἐν μέσοις γενόμενος, μᾶλλον δὲ τῶν πέριξ ἑστηκὼς μέσος, ἥδραστο μὲν ὥσπερ τις στήλη ἀσφαλὴς καὶ ἀκίνητος, οὐ τοῖς ἑκατέρωθεν λόγοις θορυβούμενος ἢ κλονούμενος, ἀλλ' ἐφ' ἑαυτοῦ μένων καὶ τὴν τοῦ ἤθους πῆξιν ἐπιδεικνύμενος. Ἀρξάμενος δὲ λέγειν πλατείᾳ ὁμοῦ τῇ γλώττῃ καὶ μελιχρᾷ, διήρει μὲν ὥσπερ εἰκὸς τὴν ὑπόθεσιν, ἀναβαίνων δὲ εἰς τὴν τοῦ ὑποκειμένου ἀκρόπολιν, ἐκεῖθεν ἠφίει τοὺς λόγους, σύννους μὲν καὶ περιεσκεμμένος ἄνω τε καὶ περὶ τὰ μέσα γιγνόμενος, πρὸς δὲ τῷ τέλει τῆς ὑποθέσεως χαρίεις τε καὶ ἀγαλματίας φαινόμενος, καὶ ὅτι συνέκλεισεν ὁμαλῶς τὴν ὅλην περίοδον, καὶ τὴν τομὴν τοῦ λόγου συνεπεράνατο, ἐμμελῶς ταῖς ἐξανθούσαις ἐπιδεικνύμενος χάρισι. Περὶ δὲ τὰς ἀντιθέσεις· ποῦ γὰρ τὸ καθ' ἡμᾶς μέρος, ἵνα καὶ τὸ ἐμαυτοῦ αὖθις συναγάγω, ἀβάσκανον καὶ ἀπολιόρκητον; τοῖς γοῦν ἀντιθέτως ἔχουσιν, οὐκ εὐθὺς μὲν ἀπήντα ὥσπερ ἐπιστομίζειν βουλόμενος, ἐφιεὶς δὲ ὅσον βεβούληνται, ἐπειδὰν σταῖεν τοῦ ῥεύματος, ἕκαστον αὐτῶν διεσμίλευε νόημα καὶ πρὸς τοὺς κανόνας προσῆγε, κἀκεῖθεν αὐτοῖς τὸ διεστραμμένον χαριέντως ὠνείδιζεν· οἱ δὲ αὐτίκα καταπεπλήγεσαν, καὶ τὴν γλῶτταν μὲν ὑπεῖχον, ὑπ' ὀδόντα δὲ ἐτονθόρυζον. Ἀλλ' ἀντήρκουν μόνος αὐτοῖς περὶ τὸ λογικὸν ἑστηκὼς θέατρον καὶ ἐπὶ τοῖς κατορθώμασι τοῦ ἀνδρὸς τὼ χεῖρε κροτῶν· οὐ μὴν ἐλάττονά μοι τὰ παρ' ἐκείνου, ἐν οἷς αὐτὸς ἐσπούδαζον καὶ κατώρθουν ἐν ἀγῶσι καὶ ἐπιδείξεσιν, ἀλλὰ τὸ αὐτό μοι ἀνταπεδίδου μέτρον καὶ τοῦ κρότου καὶ τῆς εὐφημίας.

Οὕτω δὲ ἀλλήλοις ἀντεξεταζόμενοι καὶ παραμετρούμενοι ἐπὶ τοῖς αὐτοῖς ἢ ἐφ' οἷς ἐπλεονεκτοῦμεν καλοῖς μετὰ τῆς αὐτῆς ἐνώ-

σεως εἰς ὁμοίαν ὁμοῦ καὶ ἀντίθετον διαίρεσιν διαιρούμεθα· τὸ δ' ἐσχήκει οὕτως. Ἦν μὲν πάλαι ἀνὰ τὴν ἡμετέραν πόλιν τεχνῶν καὶ ἐπιστημῶν διδασκαλεῖα καὶ παιδευτήρια, καὶ σεμνοὶ θρόνοι καθίστασαν οὐ τῆς πανδήμου μόνης ποιητικῆς, ἀλλὰ καὶ τῆς τῶν λόγων τέχνης καὶ τῆς θαυμασιωτάτης φιλοσοφίας, νομικῆς δὲ τοῖς πολλοῖς ἐλάττων φροντίς· οἱ δὲ καιροὶ τὰ πράγματα περιτρέψαντες καὶ ἐξαμαυρώσαντες, μικροῦ δεῖν καὶ τοὺς τῶν λόγων πυρσοὺς ἀπεσβήκασιν. Καὶ θέατρα μὲν ἐτελεῖτο δημόσια, καὶ ἀγωνοθέτης τούτοις προὐκάθητο, καὶ οἱ διαμιλλώμενοι περιδέξιοι· οἱ δὲ τῶν λόγων ἀγῶνες ἐψεύδοντο τοὔνομα, καὶ ἐν παραβύστῳ ἔνιοι τοὺς λόγους ὑπεψιθύριζον· καὶ οἱ μὲν χορεύοντες πλείους, κορυφαῖος δὲ οὐδ' ὁστισοῦν τοῦ χοροῦ, ἀλλ' ὁ θίασος ἠτάκτουν τε τὴν χορείαν καὶ παρερρύθμιζον, οὔτε τὴν στροφὴν εὖ ποιούμενοι, οὔτε τὸν ἐπῳδὸν ἐξᾴδοντες ἐμμελῶς· καὶ ἦν φορά τις ἄλογος τὸ γινόμενον· τὸ δ' αἴτιον, ὅτι μή τις τῶν ἀντεξεταζομένων ἐπὶ τῷ λόγῳ κρείττων τοῖς ἄλλοις καθίστατο, οὐδ' ἦν ὥσπερ πάλαι ἐπὶ τοῖς Αἰθιοπικοῖς νόμοις ὁ βασιλεύσων αὐτῶν τά τε εἰς λόγους οὔτε ἐξηρημένος τὸ μέγεθος, οὔτε τὴν δύναμιν ἄμαχος· ἀλλὰ πύκται πάντες ἴσοι καὶ παγκρατιασταὶ παραπλήσιοι. Ὡς δ' ἐγὼ μὲν ἐπὶ ταῖς ἐπιστήμαις μᾶλλον καὶ τέχναις, ὁ δ' ἐπὶ τοῖς νόμοις ἐσεμνυνόμεθα, μερίζεται περὶ ἡμᾶς πᾶν ὅσον ἔκκριτον τῆς λογικῆς φάλαγγος· καὶ ὅσοι μὲν οὐδὲν ἄλλο ἢ κοσμεῖν τὴν πολιτείαν προείλοντο, ἐκεῖνον προὐβάλοντο στρατηγὸν συνερρυηκότες παμπληθεί, οἱ δὲ τῶν σεμνοτέρων ἐρασταὶ μαθημάτων περὶ ἐμὲ σχισθέντες ἀπέκλιναν. Τί οὖν ἐπὶ τούτοις ὁ βασιλεύς; δεινοπαθεῖ μὲν ἐφ' οἷς ἐβιάζετο, βιάζεται δὲ ἐφ' οἷς ἐδεινοπάθουν οἱ τῶν λόγων ἐπιμελόμενοι, καὶ τὸ καθ' ἑαυτὸν παριδὼν προσδίδωσιν ὥσπερ ἡμᾶς, μὴ πειθομένους μήτε τῷ πείθοντι, μήτε τοῖς ἀναγκάζουσιν· ἀλλὰ χαλεπὸν εἴ τις μέσῳ ἐναπολειφθείη δυοῖν, καὶ ταῦτα κρείττοσιν ἑαυτοῦ. Οὕτως ἀπὸ τῆς τῶν λόγων κοινωνίας εἰς πολιτείας συναχθέντες αἵρεσιν, τὴν αὐτὴν ἀπὸ ταύτης αὖθις διαιρεθέντες, εἰς ἀκοινώνητον, ἵν' οὕτως

εἶπω, συμφωνίαν διηρέθημέν τε καὶ συνηρμόσθημεν· καὶ μόνοι περὶ τοὺς κρείττους τῶν λόγων τῇ Βυζαντίδι διεμερίσθημεν, ἐγὼ μὲν τἀναντία τοῖς ἐθέλουσιν ὑφηγούμενος, ὁ δέ μοι ἐξεναντίας μὲν θατέρῳ τῶν ἐμῶν παιδευμάτων, τῷ δέ γε λοιπῷ ἰσοπαλῶς προσφυόμενος· οὐ μὴν, ὥσπερ ἐνομίσθημεν, οὕτω παντάπασιν ἀντικείμεθα, ἀλλ' ἑκάστῳ μὲν τὸ ἰδιαίτατον ἐκηρύττετο, ἑκατέρῳ δὲ καὶ τὸ δοκοῦν ἀλλότριον διεσπούδαστο, ὡς ῥεῖν ἀπ' ἀμφοῖν καὶ ῥητορικῆς καὶ φιλοσοφίας, οὐδὲν δὲ ἧττον καὶ νομικῆς ἐπιστήμης κρουνούς· τοῖς γὰρ ὀνόμασι διαιρεθέντες, τοῖς ἀσκήμασι συννηνέχθημεν. Ἀλλ' ὁποῖα τὰ ἐπὶ τούτοις; οὐκ οἶδα πότερον τὸν βασιλέα τῆς ἀντιστροφῆς αἰτιάσομαι, ἢ ἡμᾶς αὐτοὺς τῆς τοῦ βασιλέως αἱρέσεως· ὥσπερ γὰρ εἰς μισθοφορὰν ἡμᾶς καταστήσας ἐπὶ τοῖς λόγοις, αὖθις ἀνακαλεῖται πρὸς ἑαυτὸν, τὴν πρὸς οὓς ἐξεδόθημεν συμμαχίαν ἀποτελέσαντας· καὶ ἦμεν τούτῳ ὅπερ ἑτέροις, ἐγὼ μὲν πρὸς ῥητορικὴν ἐξασκῶν καί τι καὶ φιλοσοφίας παραμιγνὺς, ὁ δὲ τεχνῶν τούτῳ τὰ νομικὰ καὶ τὰ ἐλευσίνια ὥσπερ μυσταγωγῶν.

Ὑπὸ δὲ τῆς φορᾶς τοῦ λόγου ἐπὶ πολὺ τοῦ δέοντος ἐναχθεὶς, καὶ τοῦτο προσθήσω ἐνταῦθα ἀκροτελεύτιον, ἐκείνῳ τε θαῦμα διδὸν, κἀμοὶ σεμνότητα τοῖς πολλοῖς ἄπιστον. Ἐπειδὴ γὰρ Μάρκον τὸν ἐν βασιλεῦσι φιλοσοφώτατον ἠκηκόει, ὡς δέλτον ἐξαψάμενος ἐς διδασκάλου ἐφοίτα, ζηλοῖ τὸν ἄνδρα τῆς τοιαύτης συνέσεως, καὶ πλέον τι τοῦ φιλοσόφου ποιεῖ· αὐτὸν γάρ με πολλάκις ἐπὶ θρόνου καθίζων, εἶτά μοι καὶ λέγοντι ὑπεγραμμάτευε, καὶ τὰ ὦτα πρὸς διδασκαλίαν ἀνίστα μεθ' ὅσης τις ἂν εἴποι τῆς ἐγρηγόρσεως. Ἀλλὰ τί ταῦτα πρὸς τὴν παντοδαπὴν ἐκείνου ψυχήν; ὅς γε καὶ κεφαλὴν τυραννικὰ κατ' αὐτοῦ μελετήσασαν, ἐπειδήπερ ἑαλώκει καὶ βραχύ τι καθήψατο, εἶτ' αὖθις ἐκ μετανοίας | εἰς τὴν φύσιν ἐπανελήλυθεν, ἀμφοτέραις λαβὼν ταῖς χερσὶ πυκνὰ κατεφίλησε, καὶ τὴν μαχαιροφόρον χεῖρα ἐπὶ τοῖς ὀφθαλμοῖς ἔθετο;

φ. 35ᵉ.

Ὁ δὲ λόγος καθαπερεὶ ῥεῦμα ἐκτραπεὶς ἐκ τοῦ σκοποῦ, ὡς τοῦ Ἡρακλεωτικοῦ στόματος τὸ Νειλῷον ὕδωρ καὶ τοὺς ἀγκῶνας πε-

ποιηκὼς τοῖς ἐλίγμασιν, αὖθις ἐπὶ τὴν πρώτην ἀναγέσθω πηγήν· καὶ βουλοίμην μὲν ἄν, εἴ γε καὶ δυναίμην, μὴ προσνέμειν ἐμαυτὸν ἐκείνῳ τοῖς διηγήμασιν· οὐκ ἔστι δὲ ὥς τε καὶ δύνασθαι μόνον ἀπολαβεῖν, καὶ τὴν κρίσιν τῆς ἀληθείας τοῖς ἀκούουσι δίδωμι. Οὐκ ἔστιν ὁπότε ἡμᾶς εὐθὺ τοῦ φαινομένου καλοῦ φέρεσθαι, ὁ φυσικὸς νόμος ἡφίει καὶ παρελίμπανεν, ἀλλὰ τὴν μὲν πρώτην βραχύ τι τῶν δεδογμένων ἀλλήλοις λεληθότως παρηνεώξαμεν· εἶτα δὴ τοῦ καιροῦ προϊόντος καὶ τὸ σύμπαν τοῦ σκέμματος ἐκκαλύπτομεν, μὴ μέχρις ἀποδείξεων καὶ τῆς τῶν σεμνοτέρων ἀκριβείας καὶ καταλήψεως τὴν φιλοσοφίαν ἱστᾶν, μὴ δὲ γεωμετρεῖν αἱρεῖσθαι, ἀμέτρητον δὲ ἡμῖν τὸ αἰθέριον μέτρον ἐᾶν, ἢ τὸ ὑπὲρ ἐκεῖνο εἴ τε σῶμα, εἴ τε ἀσώματον, ἀλλὰ δεῖν καὶ ἐπὶ τὴν ἡμεδαπὴν ἐγκλίνειν φιλοσοφίαν, ἥτις τὸν σταυρὸν μὲν αἴρειν ἑκάστῳ κελεύεται, εἶτα τοῖς τοῦ θεοῦ ἕπεσθαι ἴχνεσιν· οὐ γὰρ ἄν τις ταῖς σκιαῖς τῶν θεωριῶν ἕψεται, μὴ τὸ σῶμα πρότερον νεκρώσας τῆς ταπεινώσεως· τοῦτο τὰ πρῶτα μὲν ἀργῶς παρ' ἀλλήλων ἠκούσαμεν, εἶτα δὴ τοῖς αὐτοῖς ἐπιβαλόντες λογισμοῖς εἰς φλόγα τὸν σπινθῆρα αἴρομεν, καὶ τέλος θείῳ πυρὶ πρὸς τὸν σκοπὸν συνανήφθημεν· πλὴν ὅσον ἀόριστον τὸ μελετώμενον ἔθεμεν· καὶ ἦν ὁ πρὸς θεὸν ἡμῖν ἔρως θερμὸς μὲν, ἀμέτρητος δέ· ἐδεῖτο γὰρ ὁ πυρσὸς θειοτέρου τοῦ πνεύματος, ἵν' ἐκεῖθεν ἀκάθεκτος καὶ αἰθέριος γένηται. Συνηνέχθη γάρ τι τοιοῦτον, ὑφ' οὗ πτερωθέντες οὐκέτι ἀνασχετοὶ πρὸς τὴν ὁρμὴν ἐγεγόνειμεν· βάλλει τις ἡμῖν τὰ νῶτα βέλει βασκανίας πικρῷ, ὡς ἔμοιγε δοκεῖ, τῷ ἐπὶ τῶν βασιλείων εὐδαιμονήσοντι ταύτην δὴ τὴν κάτω φερομένην εὐδαιμονίαν, ἀρχομένῳ μὲν τοῦ σπουδαζομένου οὐ πάνυ τι ἀντικεῖσθαι ταῦτα, μεσοῦντι δὲ ἢ τελευτῶντι τοῦ πράγματος πάνυ κακοήθη εἶναι καὶ δυσμενῆ· ὡς δὲ καὶ ἡμῖν τότε συνεπεπτώκει, καὶ τὸ τραῦμα ὕπουλον καὶ βαθύ· τί γὰρ δὴ φανερὸν ἢ τὸν βαλόντα, ἢ ἐφ' ᾧ ἡ βολή; οὐ γὰρ καταφορικὸς ὁ λόγος, ἀλλὰ πανηγυρικός· ἔβαλε γοῦν ἐκ τοῦ ἀφανοῦς, οὐ γὰρ εἶχεν ἐπὶ τὰ στήθη τοῦ τόξου ἅπτεσθαι· ἡμεῖς μὲν οὖν ἀμέμπτως ἐδο-

κοῦμεν ἔχειν τοῦ πολιτεύματος (οὐ γὰρ παρήλλαττέ γε ὁ βασιλεὺς ἐφ' ἡμῖν οὔτε τὴν ὁμιλίαν, οὔτε τὸ πρόσωπον, εἰ μὴ ὅσον οἷς ἐθάρρει τὰ τῆς ψυχῆς ἐθαύμαζεν ὅτι καὶ ἡμεῖς ἐκλώκειμεν)· ὡς δ' οὐδὲν τοῖς ἐπιγείοις ἀπόρρητον, διαδόσιμον ἡμῖν οὕτως εἰπεῖν τὸ εἶδος γίνεται τῆς πληγῆς. Ἐγὼ μὲν οὖν ἀκούσας οὐ πάνυ τι γελασείων βραχύ τι παρεμειδίασα, καταφρονήσας καὶ τοῦ βαλόντος αὐτοῦ καὶ τοῦ βλήματος· ὁ δὲ, καίτοι τἆλλα πρᾷος ὢν καὶ πρὸς τὰ εἰωθότα συμβαίνειν καθεκτὸς τὴν ὁρμὴν, ἐνταῦθα μόνον ἐξαλλάττει τοῦ ἤθους· κἀμοὶ μὲν ἐπισκώπτει τὴν ἀοργησίαν, αὐτὸς δὲ ὡς εἶχε θυμοῦ τῷ βασιλεῖ προσβαλὼν, ὀνειδίζει τὸ εὐπαράδεκτον, καὶ ὅτι δέδωκε τῷ συκοφαντοῦντι τὴν ἀκοὴν καὶ οὐκ εὐθὺς βασκαίνοντα ἤλεγξε· τοσοῦτον οὐχ ὑφεὶς τῆς ὀργῆς, ὡς καὶ τοῦτο τολμῆσαι· ὅτι ῥᾴων ἂν ἦν τὸ κατ' ἐκείνου συκοφαντούμενος ἔγκλημα, ἢ νῦν ὅτι τῷ ἐγκαλουμένῳ τὰ μεγάλα διακονοίη· τότε μὲν οὐδὲν πλέον ἐπεσημήνατο, ἀλλ' αὖθις μεταβεβλήκει καὶ ἐπὶ τὰς αὐτὰς ἐπανεληλύθει λαβὰς, ὥσπερ εἰώθεσαν πάλαι οἱ προσπαλαίοντες· χρόνῳ δὲ ὕστερον οὐ μακρῷ ἐμὲ περὶ τοῦ προτέρου λογισμοῦ ὑπεμίμνησκε, καὶ αὐτὸς τοῦ θειοτέρου σκοποῦ εἶχετο ἰσχυρῶς· ἦν δὲ ἡμῖν ἔτι τέως τὸ σπουδαζόμενον εἰς ἀναβολάς. Εἶτα δεύτερόν τι χαλεπὸν προσκεκρούκει τἀνδρὶ, καὶ τρίτον ἄλλο, καὶ ἐπὶ τούτοις ἕτερον· αἱ πληγαὶ δὲ καὶ τὰ βέλη οὐ πάντα ὀπίσθια, ἀλλ' ἦν ἃ καὶ ἐμπρόσθια, καὶ ἵν' οὕτως εἴποιμι, ἐπιστήθια· καὶ δεινὸν μὲν οὐδὲν διεπέραινον, ὁ δὲ ἤσχαλλεν ὅτι τοξεύοιτο, καὶ ὅτι ἐπάλληλοι αἱ βολαί. Ἐπεὶ δὲ ὅτε μὲν βάλοιτο ὑπεμιμνήσκετο τοῦ σκοποῦ, ὅτε δὲ ἐνδόσιμα γένοιτο τὰ τοξεύματα, αὖθις ἐπελέλητο, καὶ ἦν αὐτῷ παρὰ μέρος ἡ ὁρμὴ καὶ ἡ ἀναβολὴ, τί πρὸς τοῦτο διαμηχανᾶται; δεσμεῖ τὸ σπουδαζόμενον τῷ πρὸς θεὸν συνθήματι, καὶ ὅρκοις ἑαυτὸν ἀρρήτοις συνέχει καὶ περιπλέκεται, κοινωνὸν δὲ κἀμὲ ποιεῖται τοῦ πράγματος· ἐβουλόμην γὰρ μηδενὸς αὐτῷ ἀκοινώνητος, μήτε χείρονος, μήτε θειοτέρου καὶ κρείττονος.

Ἐσκευαγωγούμεθα οὖν πρὸς τὴν ἔξοδον· καὶ τὸ φαινόμενον ἡμῖν σπουδὴ περὶ τὸν βασιλέα καὶ δορυφορία προσήκουσα, τὸ δ' ἀφανῶς σπουδαζόμενον ἀνάλυσις ἀπὸ τῶν συνθέτων τούτων ἐπὶ τὴν σεβασμίαν ἁπλότητα. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἐξομαλίζει τούτῳ τὸ τῆς ὑποσχέσεως ἔργον θεός· οὐδὲ γὰρ ἦν ἐκ τοῦ προχείρου φυγεῖν, αἰδοῖ τε τοῦ βασιλεύοντος καὶ τετιμηκότος καὶ αὐτῇ δὴ τῇ τοῦ βίου μεταβολῇ. Τίς οὖν ἡ πρόφασις; ἔδοξε τὰ πρῶτα κακοήθως νοσεῖν, ἔπειτα δὲ καὶ τὸ συγκείμενον αὐτῷ διαιρεῖσθαι καὶ λύεσθαι· ὁ δ' εὐθὺς ὑπὸ δυοῖν συνεχόμενος, βουλήματός τε προτέρου καὶ ὑστέρου νοσήματος, ἔργον εὐθὺς εἶχετο καὶ πρὸς τὴν τοῦ βίου διεσπουδάκει μεταβολήν, ὅλον ἑαυτὸν θῦμα ἀποθύων θεῷ, οὐκ ἐκ μέρους προσλαμβανόμενον, ἀλλὰ δι' ὅλου ὁλοκαυτούμενον· ὁ δὲ καὶ τοῦτο αἰτεῖται τὸν αὐτοκράτορα ἵν' αὐτῷ ἵλεως τῇ μεταποιήσει τοῦ σχήματος γένοιτο. Ἀλλ' ὅ γε βασιλεὺς, καὶ τίς οὐκ ἂν τὸν ἄνδρα θαυμάσειεν; ὥσπερ βέλει τῷ λόγῳ πληγείς, οὐκ εἶχεν ὅ,τι καὶ γένοιτο· ἐώκει γὰρ ὥσπερ χειρῶν αὐτῶν ἀποκεκόφθαι τάνδρὸς, ἢ ἀφῃρῆσθαι τὴν γλῶτταν, ἢ ἄλλο τι πεπονθέναι τῶν δεινοτέρων· ὅθεν ἀσυνήθως εἶχε τοῦ ἤθους, καί τις ἀήθης αὐτὸν κράσις ἐλάμβανεν· ὡς δ' οὖν οὐκ εἶχεν ὅπως ἂν ἑαυτὸν παρακαλέσειε, κἀκεῖνον ἐπισχοίη τοῦ σκέμματος, τὴν ἐμὴν γλῶτταν τελευταῖον ὅρον ποιεῖται τῆς πρὸς τοῦτον ἀπειθοῦς μεταγωγῆς τοῦ σκοποῦ. Ἐνταῦθα κατηγορήσω τι, μᾶλλον δὲ τὸ παρ' ἐμαυτοῦ, ἀντιξόου εὐθὺς φανέντος τοῦ αὐτοκράτορος καὶ μὴ πάνυ τι τὴν γνώμην οἰκονομήσαντος· ὡς γοῦν ἐπέσκηπτον ἅττα τῷ ἀνδρὶ, εἴποιμι δὲ ὅπως πείσαιμι μεθεῖναι τοῦ | ἀκαθέκτου ὁρμήματος, « ἑτέρῳ, δὴ ἔφησα, βασιλεῦ, ταύτας ἀνατίθου τὰς γνώμας· ἐγὼ δὲ εἰ πρὸς αὐτὸν πεμφθείην, ἐπιτόνιον αὐτῷ τοῦ ἐγχειρήματος ἔσομαι· καὶ ἵνα σοι τὸ πᾶν ἐξαγγελῶ τῶν ἡμετέρων ψυχῶν, κοινωνοί ἐσμεν ἄμφω πρὸς τὸ κρεῖττον μεταβαλεῖν, καὶ ἀρρήτους κατὰ θεὸν ὠμωμόκειμεν ὅρκους, ᾗ μὴν φυγεῖν τὰ τῇδε καὶ πρὸς αὐτὸν μεταθέσθαι. » Ὁ δὲ ὁμοῦ τε ἤκουσε καὶ εὐθὺς ἐκεκρά- φ. 36.

γει μεγάλως, « προδοσία τὸ βεβουλευμένον ἡμῖν[1] καὶ ἀποχρῶσα ξυνωμοσία! ἀγνωμοσύνη τε λαμπρὰ, καὶ ὁμολογία καταφρονήσεως! » Ἐγὼ μὲν ὥμην τούτων ἀκηκοὼς, αὐτίκα ἐκβεβλῆσθαι τῶν βασιλείων, ἐκεῖνον δὲ ἠθετῆσθαι καὶ ποιεῖν συγκεχωρῆσθαι ὅπερ ἂν βούλοιτο· ὁ δὲ, ὦ ψυχῆς θαυμασίας, καὶ μήτε μνησικακεῖν εἰδυίας, μήθ' ὅλως κινεῖσθαι πρὸς τὰς ὀργάς! δακρύων τοὺς ὀφθαλμοὺς ὑποπλησθεὶς « ἀλλ' ἐκεῖνον μὲν, ἔφησε, θεὸς καὶ φύσις ὥσπερ χεῖρά μοι δεξιὰν τῆς βασιλείας ἐκκόπτουσι· σὺ δέ μοι ἀναπλήρου τὸ μέρος καὶ παρακάλει ἐνεργοῦν ἀπολελειμμένον μέρος ἐφ' ὅσον δύνασαι. »

Ἐπὶ τούτοις ὁ μὲν ἐτύθη θεῷ καὶ μετὰ τῶν κρειττόνων ἠρίθμητο· ἐγὼ δὲ οὐ κατόπιν εὐθὺς ἐβάδισα, ἀλλὰ τοσοῦτον ἀπολέλειμμαι τοῦ συνθήματος, ὅσον τὸν μὲν πρῶτον φιλοσοφῆσαι, ἐμὲ δὲ ὕστερον ἅψασθαι τοῦ φροντίσματος. Ἐπεὶ δὲ ἔδει τοῦτον οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις θύεσθαι τῷ θεῷ καὶ σεπτὸν γενέσθαι καλλιέρημα, γίνεται τοῦτο τὸ ὁλοκαύτωμα ἀρχὴ τελειώσεως ψυχῆς ὁμοῦ τε καὶ σώματος· καὶ ῥώννυται μὲν αὐτίκα τῶν τῇδε τμηθεὶς, καὶ θείας ἀναλαβόμενος πτέρυγας, οὐκέτι καθεκτὸς ἦν ὥστε τῇ γῇ παρασύρεσθαι καὶ οἷον ἕρπειν ἀλλ' οὐχὶ πέτεσθαι, εὐθὺς δὲ μετεωρίζεται κούφοις πτεροῖς καὶ τοῦ Βυζαντίου μὲν ἀπανίσταται, περὶ δὲ τὸ θεῖον ὄρος τὸν Ὄλυμπον μετατίθεται, Ὄλυμπον, τὸ καὶ πάλαι μὲν ψυχῶν ἱερῶν ἐνδιαίτημα, τότε δὲ καταγώγιον θείας καὶ ὑπερφυοῦς φύσεως· Ὄλυμπον, τὸ πάλαι μέν μοι ποθούμενον πρᾶγμα καὶ ὄνομα, τηνικαῦτα δὲ καὶ τῶν οὐρανῶν αὐτῶν ἐρασμιώτερον γεγονός! Ὄλυμπον, ὃν ἡ τοῦ θαυμασίου ἀνδρὸς ἐκείνου διαγωγὴ παράδεισον ἀπέδειξεν ἄντικρυς, οὐ φλογίνῃ ῥομφαίᾳ περιειργόμενόν τε καὶ φυλαττόμενον, ἀλλὰ πᾶσιν εὐεπίβατον καὶ εὐπρόσιτον, καὶ ποταμοῖς ἀρρήτοις τοῖς χρυσοῖς ἐκείνου λόγοις περικλυζόμενον!

1. γρ. ὑμῖν.

Ἆρ' οὖν μεθόδοις μὲν τεχνικαῖς ηὐδοκίμησε καὶ ῥητορικοῖς ἐξέλαμψε κάλλεσι, νομικαῖς τε τέχναις τὰ πρωτεῖα κατὰ πάντων τῶν ἄνω εἰλήφει, καὶ φιλοσοφίᾳ τοῖς πρώτοις περὶ ταύτην ἀνθάμιλλος ἐγεγόνει, πολιτικαῖς τε τέχναις κατέστη παράδειγμα, καὶ θρόνοις δικαστικοῖς ὡς οὐκ ἄλλος διέπρεψεν, ἐπὶ τὰ κρείττω δὲ τὸν βίον μεταποιήσας, ἐφ' οἷς τὰ πρῶτα οἱ θαυμασθέντες ἐν τούτοις εἰλήφεσαν, ἔλαττον ἐκείνων ἐσχήκει; ἢ τῷ μέν τι μέρει τῶν ἀρετῶν ἀνθάμιλλος ὤφθη τοῖς κρείττοσι, τῷ δ' ἀπολέλειπται; ἢ ἐπὶ πλεῖστον ἐξασκούμενος ὤπτο τὴν πρακτικὴν ἀρετὴν, καὶ παρ' ἄλλων λαμβάνων τοὺς χαρακτῆρας, ἀλλ' οὐκ αὐτὸς ἑτέροις ταύτην μορφῶν καὶ τὴν τελειοτάτην ἕξιν προχαραττόμενος ἅμα ἑαυτῷ καὶ ζωγραφῶν τοῖς ἄλλοις εἰς ὅσιον ἐξῆν; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ καὶ τὴν ζωὴν μεταθέμενος οὐκ ἐπὶ τοῖς αὐτοῖς μὲν προήει, τὴν αὐτὴν δὲ ἀναλογίαν κἀν τῇ μεταθέσει ἐδείκνυτο. Ὅπερ δὴ περὶ τὰς τῶν οὐσιῶν ὑφέσεις φασὶν οἱ φιλοσοφήσαντες, καὶ ὁ παρ' αὐτοῖς τὰ πρῶτα ἔχων εἰς μὲν τὸν αὐτὸν κρατῆρα κίρνησι τὰς ψυχὰς, παραλλάττει δὲ τὰς ὑπάρξεις· Ἑλληνὶς αὕτη ἡ δόξα καὶ πόρρω τῶν ἡμετέρων δογμάτων καὶ τῆς ἀληθοῦς πίστεως· ὥσπερ γὰρ αὐτῷ τὰ πολιτικὰ πράγματα κατὰ μέρος διεμετρεῖτο, οὕτω δὴ καὶ τὰ πνευματικὰ καθ' ὅρους ἐπέπηκτο. Ἀλλὰ ταῦτα μὲν τῶν μελλόντων εἰρῆσθαι σκιαγραφία τις καὶ ὑπόσχεσις· ἐκεῖνος δὲ ἀπὸ πρώτης ἀρξάμενος γραμμῆς τοῦ καλοῦ, ὁδῷ προβαίνων ἐχώρει ἐπὶ τὸ τέλειον, παιδευόμενος μὲν τὰ προτέλεια, παιδεύων δὲ καὶ τοὺς κρείττονας τὰ ὑπερτελῆ· καὶ αὐτὸς μὲν πρακτικώτερον προϊὼν, ἐκείνους δὲ λογικώτερον προσβιβάζων τῷ ἀγαθῷ, καὶ μυσταγωγῶν ὁμοῦ καὶ μυούμενος· καὶ ἦν οἷά τις πυρσὸς ἐφ' ὑψηλοῦ ὄρους πρὸς αὐτὸν αἰθέρα αἰρόμενος καὶ τηλεφανὴς ἅπασι καθιστάμενος.

Ἀμέλει τοι πάντα γένη τῆς ἀρετῆς τούτῳ συνερρυήκεσαν· ὅσοι τε ἐκπρόθυροι ἑστήκεσαν τῆς ἀσκήσεως, καὶ ὅσους μεσοῦντας τὸ θεῖον πνεῦμα προσέβαλε, καὶ ὅσοι πρὸς τὸ πέρας ἀνήεσαν τῆς ὑπερ-

φυοῦς τελειότητος, οἱ μὲν τὸν ἄνδρα συνιστορήσοντες, οἱ δὲ ἐκεῖθέν τι προσληψόμενοι, οἱ δὲ καὶ συνεισενεγκεῖν αὐτῷ πρὸς τὴν μάθησιν, καὶ οὐδεὶς ἀποτυγχάνων ἦν τοῦ σκόπου· ὡμίλει γὰρ ἑκάστοις παρὰ μέρος καὶ καταλλήλως, καὶ ᾧ μὲν ὑποτιθεμένῳ τὴν ἀκοὴν ἐνήχει τὰ τελεώτερα, ὃς δὲ καὶ στόμα αὐτῷ ἀναπτύξειε πρὸς διδασκαλίαν πνευματικὴν, τούτῳ ἐκεῖνος ὑπεῖχε τὰ ὦτα· μυσταγωγῶν δὲ καὶ ἐν μέρει μυσταγωγούμενος, ἐκείνους τε κρείττους εἰς ἀρετῆς λόγου ἀπέδειξε, καὶ αὐτὸς ἐμυήθη τὰ θεοφάνια.

Κἀκείνῳ μὲν τοσοῦτον τὸ περιὸν τοῦ καλοῦ καὶ οὕτως ὁ βίος πρὸς τὸν θεὸν εὔοδος, καὶ ἀκύμαντος ἡ μετάθεσις· ἐμοὶ δὲ ἐπὶ πολλοῖς κύμασιν ἐσάλευεν ἡ ψυχὴ, μᾶλλον δὲ διεκυμαίνετό τε καὶ ἐταράττετο, καὶ οὐκ εἶχον ὅποι τραποίμην τοιαύτης ἀπολελειμμένος ψυχῆς· ὁπότε δέ μοι καὶ ἀνάμνησις τῶν πρὸς θεὸν συνθηκῶν ἐγεγόνει, καὶ ὡς ἐκείνῳ μὲν πεπλήρωται ἡ ἐπαγγελία, ἐμοὶ δὲ ἀτελὴς ἔτι, ὑπερεφλέγετό μοι ὁ νοῦς καὶ ὅλος διεπιμπράμην ἀφάτῳ πυρὶ συγκαιόμενος· ἐζήτουν δέ τινα πρόφασιν τῆς μεταβολῆς καὶ τῆς πρὸς ἐκεῖνον ἀφίξεως, καινοτομεῖ δὲ ταύτην θεὸς, τίνα τρόπον; ἀνάπτει μοι ἐγκάρδιον πῦρ, εἶτα δή μοι καὶ ἀλγηδόνας ἐμβάλλει τοῖς σπλάγχνοις, οὐ πάνυ μὲν σφοδράς· ἐγὼ δὲ ἀφορμῆς εἰλημμένος οὕτω λαμπρᾶς, ἐξαίρω καὶ τὴν νόσον καὶ τὰ συμπτώματα, καὶ ἐκεκράγειν [δει]νῶς ὡς αὐτίκα τε θνῃξόμενός τε καὶ ἀπολούμενος, καὶ τὸν μετασχηματισμὸν εὐθὺς ἐζήτουν τοῦ βίου, καὶ ἀκάθεκτος τὴν ὁρμὴν ἦν. Ἐπλήρου δὲ οὐδείς μοι τὸν ἔρωτα, δεδιότες ξύμπαντες μὴ πού τι παρὰ δόξαν τοῦ κρατοῦντος ποιήσαιεν· ὡς δὲ κἀκείνῳ ἡ φήμη τὸ συμβὰν διετράνωσεν, εὐθὺς προκαταλαμβάνει τὸν σκοπὸν, καὶ μόνον οὐκ ἀφικνεῖταί μοι νοσοῦντι, τὰ δ' ἄλλα ποιεῖ ὅσα μοι τὸ βούλημα ἐπισχεῖν δύναιτο, ἐπαγγε-
φ. 36*. λίας λαμπρὰς, ὑποσχέσεις ἀναβιώσεως, οὕτως | ἐρεῖν, παρακλήσεις, οἰμωγὰς, ὀλοφύρσεις μακρὰς, γράμματα δάκρυσι μᾶλλον γεγραμμένα ἢ μέλανι, τέλος ἀπειλὰς ἐφ' οἷς ἤδει με ἐκεῖνος προσκείμενον, ἐπὶ τούτοις ἀρὰς, πρὸς τὸ θεῖον ἐντεύξεις, στέλλει τοὺς

βιασομένους, τοὺς πείσοντας, τοὺς παρακαλέσοντας· τί μὴ λέγω τὰ πλείω καὶ ἀπιστότερα; προσπίπτει μου πόρρω τοῖς γόνασιν ἐν τοῖς γράμμασιν, ἀναμιμνήσκει, ὡς ἐκεῖνος ἐγεγράφει, φιλίας, εὐεργεσίας, διδασκαλίας, συνουσίας τελεωτέρας, λόγων κοινωνίας, φιλοσοφίας αὐτῆς, ἀλλ' ἦν πᾶσι τούτοις ἀντίσταθμος ὁ νῦν εὐφημούμενος· καὶ ὅτε μὲν ἐνενεύκειν πρὸς τὰς τοῦ βασιλέως ἀνάγκας καὶ παρακλήσεις, ἐπεπόνθειν τὴν ψυχὴν καὶ συνεκεκλίμην τῷ ἄγοντι· ὁπηνίκα δὲ πρὸς τὴν μερίδα τοῦ προλαβόντος με τὴν κρείττονα ζωὴν ἐγεγόνειν, ὅλοις πρὸς ἐκεῖνον ἐφερόμην ἱστίοις, ὅλοις ἀπενήνεγμαι πνεύμασι, καὶ τέλος νενίκημαι ταύτῃ δὴ τῇ ῥοπῇ, καὶ παντὸς ἄλλου καταπεφρονηκὼς, μᾶλλον δὲ πᾶσι γενναίως ἀντιστὰς, δίδωμι ἐμαυτὸν τῷ θεῷ, καὶ τὸ κοσμικὸν τέως ἀποτίθεμαι ἔσθημα.

Ἐντεῦθεν θόρυβος περὶ τὰ βασίλεια, τῶν μὲν διαψιθυριζόντων τὸ γεγονὸς, τῶν δὲ λαμπρᾷ τῇ γλώττῃ ἀπαγγελλόντων· φέρεται δὲ ὁ λόγος καὶ εἰς ὦτα τῷ βασιλεῖ, καὶ μικροῦ δεῖν ἀχανὴς ἐγεγόνει καὶ αὐτὴν τὴν φωνὴν τῷ ἐμῷ πάθει τυραννηθείς· θυμῷ δὲ καὶ λύπῃ συ[σχε]θεὶς τὴν ψυχὴν, οὐκ ἔχων ὅ τι καὶ δράσειε, τέλος εἰς ἔλεον καὶ φιλανθρωπίαν, οἷος ἐκεῖνος, κατέληξε, καὶ μεταβαλὼν βασιλείῳ μὲν ἀνακομίζεται γράμματι, ὥσπερ ἐκ προστάγματος τῇ ὑγείᾳ με χαριζόμενος· ἐγὼ δὲ ἐξ ἡμισείας ἐδόκουν τῷ φίλῳ προστίθεσθαι, κοινωνήσας μὲν ἐκείνῳ τοῦ σχήματος, πόρρω δὲ καθιστάμενος· καὶ ἦν ἂν μέχρι παντὸς ἐν μεθορίῳ πόθου καὶ τυραννίδος, εἰ μὴ τὸν ἐξ ἀγάπης με τυραννοῦντα μετήνεγκεν εἰς ἑαυτὸν ὁ θεός. Λέγω δὲ οὕτως τὰ πολλὰ συντεμὼν, φειδοῖ τοῦ μὴ φίλαυτός τις τοῖς πολλοῖς δόξαι, καὶ τῷ μὴ ἐθέλειν τὸ πάρεργον πλέον τοῦ ἔργου ποιεῖν· ὅρον μὲν οὖν τῷ βασιλεῖ ὁ βίος εἱλήφει, καὶ πάντα αὐτῷ μεθισταμένῳ συμπεπέρανται τὰ καλὰ, ὥσπερ ἐκτμηθέντι δένδρῳ φύλλα μαρανθέντα καὶ ἀπορρεύσαντα· ἐμοὶ δὲ εἰς ἐπίτασιν ὁ τῆς ἀναχωρήσεως ἔρως ἐγένετο· ὅθεν πρινὴ εἰς τὴν ἐνάντη ἕξιν ἐλθεῖν, καὶ ῥωσθῆναί μοι παντάπασι τῷ σώματι, νοσο-

κομούμενον ἔτι τοῦτο ἐκδιασάμενος, ἐπὶ τὸν Ὄλυμπον ἄνειμι, ὁμοῦ μὲν ἱστορήσων τὸ ὄρος, οὔπω γὰρ τοῦτο τεθέαμαι, καὶ τὸν φίλον σύννομον ἐποψόμενος.

Ὡς δ' εἶδον μεμορφωμένον ἤδη τῇ παντοδαπῇ ἀρετῇ καὶ τῷ καλῷ τοῦ καλοῦ χαρακτῆρι τετυπωμένον, οὐδέν τι περισκεψάμενος, οὐδὲ τὸ μεγαλοπρεπὲς καὶ ἀπρόσιτον τοῦ ἀνδρὸς, ὅλος ὅλῳ περιχυθεὶς, πρῶτα μὲν τοῖς δάκρυσιν ἔπλυνα, ἔπειτα τὸ ἱερὸν ἐκείνου σῶμα πανταχόσε περιπτυξάμενος καὶ τὴν θαυμασίαν μάλιστα κεφαλὴν ἀφ' ἧς καὶ εὐωδία τις ἀπέπνει πνευματικὴ, τέλεόν τε ἀνερρώσθην τὸ σῶμα, οὐδὲν δὲ ἧττον καὶ τὴν ψυχὴν, θείας τινος ὥσπερ ὁμφῆς πληρωθείς· οὐκ οἶδα εἴ τί μοι ἕτερον τοῦ βίου μέρος μεστὸν τηλικαύτης εὐφροσύνης προσεληλύθει. Ἔστι μὲν γὰρ καὶ τὸ ὄρος αὐτὸ, ὁποῖον Ἕλληνες τὸν οὐράνιον λειμῶνά φασιν, ἔνθα ἐπιχωριάζειν τὰς κρείττους τῶν ψυχῶν οἴονται, μεταξὺ δὲ τοῦτον τιθέασι τοῦ τε νεφουμένου σώματος καὶ τοῦ αἰθερίου, οἷόν τισι φυτοῖς ὑπερκειμένοις ἀστράσι ποικιλλόμενον· τό τε γὰρ ἀνομοιομερὲς αὐτῷ καὶ ἀνώμαλον, παναρμόνιον, καὶ τῶν θεῶν ἑκάστη εἰς ἅπασαν ἡδονὴν αὐτάρκες· εἰς γὰρ λόφους καὶ πεδιάδας διασχιζόμενον ἑκατέρῳ μέρει πρὸς ἑαυτὸ μάχεται· κἂν μὲν τὴν πεδινὴν βαδίσειέ τις καὶ ὁμαλὴν κατὰ πάσης αὐτῆς ψηφιεῖται τῆς ὀρεινῆς· εἰ δὲ τὴν γήλοφον ἀναβαίνοι ἁπάσης ἱππηλάτου καταφρονήσειε· οὐδὲν γὰρ γυμνὸν τῶν ὀρῶν, ἀλλ' οἱ τῆς γῆς ἱδρῶτες νῦν μὲν εἰς ποταμοὺς χέονται, νῦν δὲ γεννῶσιν ὁμοῦ καὶ ἀρδεύουσι τὰ φυτά· πλάτανοι δὲ καὶ κυπάριττοι, καὶ εἴ τι ἄλλο δένδρον ὑψίκομον, τὰ μὲν οἷον ἐξ ἐπιτάγματος κατὰ στοῖχον ἑστήκασι, τὰ δὲ σωρηδὸν συμπεφόρηνται, καὶ τὰς κόμας ἀλλήλοις συμβάλλουσι καὶ ποιοῦσι τὸ ὑποκείμενον παράδεισον ἄλλον ἀκήρατον· θάμνοι τε γὰρ αὐτόματοι ἐνταῦθα συμπεφύκασι, καί τινα δένδρα μικροφυῆ, οὐ ῥαδινῇ τῇ κόμῃ διηρημένα, ἀλλὰ πυκνότητι πεπυκασμένα. Ὕδατα δὲ ποῖα οὐκ ἀπολείβει ἐκεῖθεν; τὰ μὲν μετὰ τοῦ ψυχροῦ διειδέστατα, αὐτόρρυτα καὶ πανταχόσε κινούμενα, τὰ δὲ ὥσπερ φρέασιν ἐναπει-

λημμένα καὶ κάτωθεν ἀναβλύζοντα, καὶ ἄχρι τῆς ἄνω στεφάνης πληρούμενα, ἑστῶτα δὲ ὥσπερ ἐκ βασιλείου κελεύσματος. Ἄρκευθοι δὲ καὶ μυρρῖναι, καὶ σχῖνοι, καὶ ὁ καρπὸς τούτων τὰ μύρτα, εἴ τινα ὑφ' ἑαυτὰ δεξιώσονται, ποίοις μὲν ζεφύροις οὐκ ἀναψύχουσι, ποίοις δὲ ὀρνίθων οὐ καταθέλξουσι μέλεσιν, ὁπότε αὗται μεσημβρίας ἑστώσης τοῖς φύλλοις ἐναττικίζωσι; τοῦ δὲ ἄγνου τὸ σύσκιον Πλατωνικῆς γλώττης εἰς ὕμνον δεηθείη ἄν. Καὶ τὰ μὲν σωματικὰ τῶν ὀρῶν ταῦτα, καὶ τὰ πλείω παρῆκεν ὁ λόγος· τὰ δὲ πνευματικά, οἷα; αὐτόματα σπήλαια ἐν αὐτοῖς, ἠρέμα τῇ γῇ κοιλαινόμενα, καὶ τεμένη τινὰ, χειροποίητα μὲν, σχέδια δὲ, εἶθ' ἕτερα φροντιστήρια, τὰ μὲν ἐν περιωπῇ ἱδρυμένα, τὰ δὲ ἐν ταῖς τῶν ὀρῶν ἀγκάλαις ἐξῳκοδομημένα λαμπρῶς, οἷά τινες πυρσοὶ μεγάλοι τε καὶ μικροὶ καταπεφυτευμένοι τοῖς ὄρεσι. Τῶν γε μὴν εὐκάρπων δένδρων ἃ μὲν εἰς παραδείσους ἐξήρηται, ἃ δὲ μετὰ τῶν ἀκάρπων ἕστηκεν, εἴτε χειρὶ φυτευθέντα, εἴτε φῦντα αὐτόματα.

Καὶ τὰ μὲν ἐν ἀκρωρείᾳ τοῦ ὄρους τοιαῦτα, καὶ ὁπόσα ἄν τις εἰς ὑπερβολὴν εὐθυμίας εἰκάσειεν· ἡ δὲ οἷον πεδιὰς καὶ τὸ δοκοῦν τοῖς ὁρῶσιν ἱππήλατον, ἑτέρα τις οἰκουμένη δοκεῖ τῆς προειρημένης ἀντίθετος· βοτάνη τε γὰρ ἐν αὐτῇ λειμωνία, πολλὴ καὶ δροσερὰ, εἰπεῖν δὲ καὶ κατάρρυτος, ἱπποφορβός τε, εἰ βούλοιτό τις, ἡ πλείστη, καὶ βουκολὶς, αἰγονόμος τε καὶ προβατεύεσθαι τοῖς προῃρημένοις ἐπιτηδεία· τῶν μὲν ζώων ἃ μὲν κατ' ἀγέλας ἐν τούτοις νέμεται, ἃ δὲ καθ' ἑαυτὸ ἕκαστον ὥσπερ ἀνάλωτον πρόεισιν· οὐ γάρ τις ἐπιτοξεύεται ταῦτα, οὐδὲ | θηρᾷ, ὥστε δεδοικέναι καὶ ἀποκρύπτεσθαι, ἀλλὰ σύννομά ἐστι τοῖς ἀνθρώποις, καὶ ἀπὸ τῆς αὐτῆς σιτεῖται εἰ βούλοιντο. Τῶν δ' ἐκεῖσε τῆς θείας κατατρυφώντων ἀσκήσεως, τρυφὴ γὰρ ἄντικρυς ἡ ἐκεῖσε διαγωγὴ, οἱ μὲν ἐπὶ τῆς αὐτῆς ἑστᾶσι χορείας καὶ κοινῇ πληροῦνται τοῦ πνεύματος, ὑπὸ κορυφαίῳ τελοῦντες καὶ πρώτῳ τῆς ἀρετῆς ὁδηγῷ· καὶ ἔστιν αὐτοῖς μία μὲν ᾠδὴ, μία δὲ τράπεζα, καὶ κοινῇ τἄλλα ξύμ-

φ. 37.

παντα· οἱ δὲ καθ' ἑαυτοὺς ἕκαστος ἀποζῶσιν ἐν ταὐτῷ μέντοι φροντιστηρίῳ, τῆς μὲν ἱερᾶς χοροστασίας κοινωνοῦντες ἀλλήλοις, διῃρημένην δὲ τὴν δίαιταν ἔχοντες· οἱ δὲ ἑαυτοὺς παντάπασι τῶν λοιπῶν ἀποσχίσαντες, καὶ ὑψοῦ τῆς κάτω φερούσης φύσεως κείμενοι· εἰσὶ δὲ οὗτοι οἱ τὸ τῆς ἀκηδίας πνεῦμα νικήσαντες, καὶ μήτε χερσὶν ἐργαζόμενοι, μήτ' ἄλλό τι δρῶντες, πλὴν τοῦ ἀνακεῖσθαι θεῷ καὶ καρποῦσθαι τὴν ὑπερφυῆ ἕνωσιν.

Ἔστι μὲν οὖν ὡς εἴρηται τοιοῦτον καὶ τὸ ὄρος αὐτὸ, μάλιστα δ' εἴ τις ἐθέλοι τοῦτο κατασκηνοῦν καὶ οἷον ἀγγέλοις τισὶ τοῖς ἐκεῖσε πνευματικοῖς ἀνδράσι συνδιαιτᾶσθαι, αὐτὸ δὴ τοῦτο νομίσειε τὴν ἀποκειμένην τοῖς ἀξίοις μακαριότητα. Ἐμοὶ δέ τι καὶ πλέον εἰς μέρος ἡδονῆς ἔκειτο τὸ συμπροϊέναι τῷ φίλῳ καὶ συμφιλοσοφεῖν τούτῳ τά τε τῆς προκειμένης οὐσίας καὶ ὅσα τῆς ἀφανοῦς· ἐβουλόμην μὲν οὖν ἐπὶ πλέον συνανίπτασθαι τούτῳ ὥσπερ ὑψιπετεῖ ἀετῷ καὶ ὑψοῦ συνεπαίρεσθαι, ἀλλὰ τοῦ μὲν γένους ἐδόκουν ταὐτοῦ, ἀετιδὴς δέ τις καὶ οἷον νεοσσὸς ἁπαλὸς καὶ μὴ πάνυ τι πτερυσσόμενος· καὶ συνανιέναι μὲν προεθυμούμην, ἠλεγχόμην δὲ ἐλαττούμενος καὶ μὴ συνευθυδρομεῖν τούτῳ δυνάμενος. Ἔνθεν τοι τὴν πρὸς ἐκεῖνον ἀφοσιωσάμενος ἄφιξιν καὶ τοσοῦτον αὐτῷ συμφιλοσοφήσας ὁπόσον τῶν προβεβλημένων ὀμμάτων, ἀλλ' οὐ τῶν ἀφανῶν, εἶτ' αὖθις διεζύγην βοῶν τε καὶ κοπτόμενος καὶ πυκνὰ πρὸς ἐκεῖνον μεταστρεφόμενος· καὶ ὁπότε μὲν ἡ φύσις πρὸς τὸ γένος εἶλκε καὶ τὰς τοῦ γένους ἀναγκαιότητας, ἀπελελείμμην ἐκείνου τῆς συνουσίας, ὑπηνίκα δέ μοι ἡ γνώμη τῆς κρείττονος ἠξιοῦτο ἐλευθερίας, πτηνὸς αὖθις πρὸς τὸν σύννομον ἐφερόμην· καὶ ἦν τοῦτό μοι δίαυλος ὥσπερ τῆς τε εὐωνύμου καὶ τῆς δεξιωτέρας.

Ὁ δὲ λόγος ἐνταῦθα γενόμενος καὶ μείζονός τινος μέρους τῶν κατ' ἐκεῖνον πραγμάτων βουλόμενος ἅψασθαι, εἰς ἀρχὴν ἑτέραν ἄνεισιν, ἵν' ἐκεῖθεν ἔλθοι ὁδῷ βαδίζων εἰς τὸ συμπέρασμα. Οὐ πάντα ἡμῖν κεῖται, οὐδ' ἐπὶ ταῖς ἡμετέραις αἱρέσεσιν, οὐδὲ τῆς προαιρέσεως μόνης ἀπηωρήμεθα, ἀλλ' ἔστι τις ἄλλη ὑπερφυὴς

δύναμις ἄγουσα τὰ ἡμέτερα ὅπη αὐτῇ βουλητόν· οὐ γὰρ ἂν καὶ τὴν τοῦ κόσμου φύσιν ταύταις συναριθμήσω κλώθουσαν ἡμᾶς οἷον καὶ περιφέρουσαν μοιραίοις, ὥς πού τινες τῶν Ἑλλήνων ἔφασαν, νήμασιν, ἀλλὰ δύο ταύταις ἀρχαῖς ἀγόμεθα καὶ κινούμεθα, τῇ τε τῆς προνοίας, καὶ δευτέρᾳ τῆς προαιρέσεως· καὶ οὗ μὲν ἄμφω συνομαρτεῖτον, ἔστι δ' ἐν οἷς ἀποχρῶσα μόνη ἡ πρόνοια· λέγω δ' ἐνταῦθα προαίρεσιν τὴν κινοῦσαν ἐπὶ τὸ βέλτιον καὶ πρὸς τοῦτο θάτερον μέρος νικήσασαν· ἐντεῦθεν οὖν θαρρούντως εἴποιμι, ὡς οὐ μὲν προαίρεσις ἀπὸ νοῦ μὲν πρόεισι, λόγου δέ ἐστι καὶ ὀρέξεως μέτοχος, καὶ οὐ μόνως ἑκάτερον, ὥσπερ οὔτε δόξα, οὔτε βούλησις· ἀλλὰ μὴ πλείω περὶ τούτων, ἐτέρωσε γάρ πη ὁ λόγος πρόεισι. Τέως γοῦν πολλάκις οἷς προαιροίμεθα καὶ βουλοίμεθα, οὐ πάντως καὶ ὁ τῆς θειοτέρας κυβερνήσεως λόγος ἀκολουθεῖ, ἀλλ' ἕτερόν τι ἢ ὃ βεβουλήμεθα καὶ προαιρούμεθα συμπεραίνεται. Ἐκεῖνος μὲν γὰρ ἔρωτι τοῦ ἀπράγμονος βίου τρωθεὶς καὶ ἤδη τῇ ἡσύχῳ ζωῇ καθοσιωθείς, αὐτὸ δὴ τοῦτο καὶ δρόμον περὶ τὰ καλὰ καὶ πέρας ἐτίθετο· τί γὰρ ἂν ἐρασμιώτερον γένοιτο, εἴ τις ψυχὴ φύσεως ἀποστᾶσα καὶ σώματος ὅσον ἔξεστιν, καὶ τῶν ἐνοχλούντων παθῶν κατισχύσασα, εἶτα δὴ στραφεῖσα πρὸς ἑαυτὴν, ὅλον τὸν ψυχικὸν καθορᾷ διάκοσμον, πάλιν τε πρὸς τὸ θειότερον ἀνανεύσασα τὴν νοερὰν θεωροίη ζωὴν καὶ ἀσυλλογίστως ἔχει τὰ κρείττονα, εἶτ' ἐκεῖθεν πᾶσαν ὑπερβᾶσα δύναμιν καὶ ἐνέργειαν ἐπὶ τοῦ ἀκροτάτου σταίη τῆς οἰκείας ζωῆς, καὶ τὸ ἑνοειδὲς προβαλλομένη τῆς φύσεως, αὐτῷ δὴ τῷ ἑνὶ συναφθείη, πνεῦμα καὶ νοῦς γενομένη καὶ θεὸς ἄντικρυς; Οὗ φθάσας ἐκεῖνος οὔτ' ἐπιστροφὴν εἶχε τῶν τῇδε, οὔτε διάγνωσιν· τοιαύτη γάρ ἐστιν ἡ τοῦ ἑνὸς πρὸς ἓν ἕνωσις. Ἴσασιν οἱ τὴν ἀρετὴν τελεώτατοι καὶ ὅσοι τὴν φύσιν ὑπερεφώνησαν· τοῖς γὰρ πολλοῖς οὐ πιστὰ δόξω λέγειν περὶ τοῦ ἐπέκεινα τῆς νοερᾶς ἀμερείας φιλοσοφῶν.

Ἐκεῖνος μὲν οὖν οὕτως εἶχεν, εἴποιμι ἂν θαρρούντως ἐκβάσεως, οὐ γὰρ ἂν φήσαιμι γνώμης καὶ προαιρέσεως, τῷ δὲ θεῷ ἄλ-

λαττα περὶ τοῦδε διῳκονόμητο. Ἕλλησι μὲν οὖν δοκεῖ ἄνωθεν τὰς ψυχὰς ἀπὸ τῶν ὑπερκειμένων σφαιρῶν καταπέμπεσθαι ἐπ' οἰκονομίᾳ τὰς πλείους κρείττονος ἐνταῦθα ζωῆς· ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἄν ποτε παραδεξαίμην, τὰς δέ γε συνδημιουργουμένας τοῖς σώμασιν, ὅσαι τῆς φύσεως ὑπερκύψουσι, δίδοσθαι ἂν ἀποφανοίμην παρὰ τοῦ κρείττονος τοῖς δεομένοις ἀκριβεστέρας ζωῆς· αἱ μὲν γὰρ διαδοχαὶ τῶν ὡρῶν ταῖς τοῦ ἡλίου ἀνόδοις τε καὶ καθόδοις ἡμῖν περιγίνονται, αἱ δὲ περὶ τὰ κρείττω μεταβολαὶ ψυχαῖς ἄνωθεν ἐφεστηκυίαις καθίστανται.

Ἐπεὶ γὰρ τελειωθέντα εἶδεν ἡ πρόνοια πρὸς πᾶν ἀρετῆς εἶδος τὸν ἐπαινούμενον καὶ πρὸς οἰκονομίαν ψυχῶν ἐπιδέξιον, ἄρχεται ἐντεῦθεν τοῦ προωρισμένου σκοποῦ· θύεται ὁ τοῦ ἱεροῦ θύματος θύτης καὶ τῆς Κωνσταντίνου μέγας ἀρχιερεὺς τῷ θεῷ, καὶ μεθίσταται τῶν τῇδε πρὸς τὴν ἄνω ζωὴν, καὶ ὁ θρόνος τοῦ ἀρχιερατεύσοντος τέως ἔρημος, οὐ τοῦ τηνικαῦτα βασιλέως κατωλιγωρηκότος τοῦ πράγματος, ἀλλὰ τῷ πολλὰς μὲν ἀναδείκνυσθαι κεφαλὰς εἰς ἀρχιερωσύνην ἀρκούσας, οὐδεμίαν δὲ οὕτως τὰς ἄλλας νικῶσαν καὶ ὑπερέχουσαν, ὥστε πάσας ψήφους ἐλθεῖν ἐπ' αὐτόν· οὐ γὰρ τῶν πόρρωθεν, ἀλλὰ τῶν ἐντὸς τειχῶν ἡ κρίσις
φ. 37*. καὶ ἡ | προτίμησις ἦν· καὶ ἀπὸ παντὸς μὲν γένους προῆκτο ὅσοις τε ὁ βίος καθαρῶς καθωσίωτο τῷ θεῷ, καὶ ὅσοι ἐν μεθορίῳ τοῖν βίοιν κείμενοι τά γε σχήματα τῇ γνώμῃ ἀπεσεμνύνοντο καὶ ὅσοι τοῦ βασιλικοῦ βήματος συνηριθμοῦντο τοῖς κρείττοσι· τὸ δὲ βουλόμενον τῷ βασιλεῖ τὸ μὴ παραλογισθῆναι περὶ τὸ πρᾶγμα, μηδὲ τῷ φαινομένῳ συναπαχθῆναι, ἀλλὰ μετὰ τῆς ἀληθοῦς γενέσθαι κρίσεώς τε καὶ γνώσεως. Ἐπεὶ δὲ οὐδενὶ σχεδὸν τῶν πάντων πάντα συνομαρτεῖ τὰ καλὰ, ἀλλὰ τῷ μὲν ὁ βίος ἄρτι λαμπρὸς, ὁ δὲ τὸ κρεῖττον προείληφε, καὶ ὁ μὲν μακρότερος, ὁ δὲ μετ' αὐτὸν συντονώτερος, καὶ τῷ μὲν ἡ γλῶσσα πρὸς διδασκαλίαν αὐτάρκης, ὁ δὲ τῷ καθ' ἑαυτὸν βίῳ ὑφηγητής ἐστι διαπρύσιος, χαλεπὸν δὲ εἴ τῳ καὶ βίος καὶ νοῦς καὶ λόγος καὶ τἄλλα συνδράμοι πρὸς

ἀρετῆς εὐδοκίμησιν· διὰ ταῦτα ἄλλος ἄλλου κρείττων ἐδόκει εἰς ἀρχιερωσύνης ὑπόληψιν. Ἔδοξε δέ ποτε τῷ ἀνδρὶ τούτῳ συντελέσειν τι ταῖς τοῦ βασιλέως ἐπιμελείαις περὶ τὸ πρᾶγμα καὶ συνεισενεγκεῖν τινας τῶν κατὰ τὸ ὄρος πνευματικῶν καὶ θείων ἀνδρῶν· καὶ μέντοι καὶ συνεισήνεγκε· τοσοῦτον αὐτῷ τὸ μὴ βούλεσθαι ἱερᾶσθαι, μηδέ τις τῆς ἀπράγμονος καὶ ὑψηλοτάτης ζωῆς προτιμότερος ἡγεῖσθαι καὶ τελεώτερος, ἀλλὰ τούτῳ μὲν ἑτέρων ἔμελεν, αὐτοῦ δὲ τῷ θεῷ. Ἐγὼ δὲ καὶ προὐβαλόμην αὐτὸν πολλάκις τῷ βασιλεῖ, ὁ δέ μοι αἰσθόμενος ἐπέσκηψεν ἐπισχεῖν τὴν ἐγχείρησιν, ὡς οὐκ ἄν ποτε πρὸς τοῦτον ὑπαχθησόμενος. Ἐπεὶ δὲ οὐδεὶς τῶν πάντων ἀπαράμιλλος ἐδόκει τῷ βασιλεῖ ἢ μόνος οὗτος, τῷ τε λόγῳ, τῷ τε μεγέθει τῆς ἀρετῆς, τῇ τε παντοδαπῇ γνώσει, τῶν ἄλλων ἐκεῖνος ἀφέμενος, ἐπὶ τουτονὶ μόνον θείῳ πνεύματι τρέπεται, καὶ βιάζεται παντοδαπῷ γράμματι· καὶ μόλις μὲν, πείθει δ' οὖν ὅμως, οὕτω κινήσαντος τοῦ θεοῦ. Καὶ εἴσεισιν αὖθις εἰς τὰ βασίλεια ὁ πρὸς τὰ θεῖα μετοικήσας ἀνάκτορα, οὐκ ἐκεῖθεν μεταθέμενος, ἀλλ' ὥσπερ αἱ τῶν δυνάμεων κρείττους, ἄνω τε ὢν καὶ κάτω συμπορευόμενος τοῖς πολλοῖς· εἴσεισι γοῦν, καὶ ὥσπερ νῦν πρῶτον τὴν βασιλίδα βλέπων τῶν πόλεων, ἐθαύμασε μὲν τοῦ μεγέθους· ἐπελέληστο γὰρ ὅτι ἐν ταύτῃ ἀνῆκτο καὶ τέθραπτο, οὐκ ἐζήλωσε δὲ τῆς διαγωγῆς.

Ἀλλὰ πῶς ἂν εἴποιμι τὴν εἴσοδον αὐτοῦ ἀκριβέστερον καὶ τοῖς πολλοῖς κατὰ μέρος διηγησαίμην παρατυχὼν ἅπασι, καὶ οἷος ἐγὼ ἐφ' ἑκάστῳ τῶν γινομένων ἐμφιλοχωρῶν τῇ ψυχῇ; Ἡμέρα μὲν οὖν ἤδη καθαρῶς ἐγεγόνει, ἦκε δέ τις ἀγγέλλων τῷ βασιλεῖ, ὡς ἀφίκετο αὐτῷ ὁ ζητούμενος, καὶ ἤδη πρὸ θυρῶν τῶν βασιλείων ἐφέστηκε· καὶ ὃς αὐτίκα ἔξεισιν ὀλίγοις δή τισι καὶ τοῖς περὶ αὐτὸν δορυφορούμενος, καὶ ὑπαντᾷ εἰσιόντι καὶ περιπτύσσεται· ὁ δὲ, ἔδοξεν ἂν αὐτόν τις τότε εἴ τις ἐγνώκει τὸ πρότερον, ἐπιλελῆσθαι μὲν τῶν ἠθῶν καὶ νενομίσθαι ἄλλον τινὰ ἢ ὃν ἠπίστατο· οὔτε γὰρ ὑποπεπτώκει τῷ βασιλεῖ, οὔτε ἀπ' ἐλάτ-

τονος ὡμίλησε σχήματος, ἀλλ' οὐδὲν αὐτῷ πρᾶγμα, εἰ καὶ πᾶσι κατέστεπτο στέμμασι καὶ πᾶσι κόσμοις ὡράϊστο· ἀλλ' αὐτῷ μὲν τῷ βασιλεῖ, καὶ ὅση περὶ τοῦτον μερὶς καὶ εἴ τι ἐγγενὲς καὶ οἰκίδιον, ἀπεξεσμένος τις καὶ ἀσύμβλητος ἔδοξεν· ἐπεὶ δέ με καθεωράκει, τῶν ἄλλων ἀφέμενος, ἐμοὶ καὶ τὴν χεῖρα δίδωσι καὶ τὸ στόμα, — « καὶ ταῦτ' ἔφη, ἐπέσκηπτον; ἐπὶ τούτοις ἡ σὴ περὶ τὰ βασίλεια προσκέκληται δύναμις; οὐ προὔλεγον, οὐ διεμαρτυρόμην, ὡς οὐκ ἄν ποτε ἑκὼν εἶναι τῆς ἡσυχίας ἐκσταίην, καὶ τοσοῦτον καταβαίην τοῖς πράγμασιν! — Ἀλλ' οὐ καταβέβηκας, εὐθὺς ἐγὼ ἀνθυπήνεγκα, ἀλλ' ἤδη που ἀναβήσῃ εἰς τὴν τῆς ἀρχιερωσύνης περιωπήν! — Κατάβασις, ἔφησε, τοῦτο ἄντικρυς! τί γὰρ ἂν εἴη τοῦ θεοῦ ἐπέκεινα, οὗ ἐτελούμην ἐγὼ τὰ ἀπόρρητα; — Ἀλλὰ τὸ τελεῖσθαι, ἀντειρήκειν ἐγὼ, πάσχοντός ἐστιν, οὐ ποιοῦντος, τὸ δὲ τελεῖν ὑπερφυέστερον τοῦ τελεῖσθαι· τελέσεις δὲ ἡμῖν τὰ μυστήρια καὶ μυσταγωγήσεις τὰ κρείττονα. » Καὶ οὕτως ἐφίσταται ἡμῖν ὁμιλοῦσιν ὁ βασιλεὺς, καὶ μέσος παρεμπεσὼν διαλύει τὴν κοινολογίαν καὶ καταπαύει ἡμῖν τὸν διάλογον. Ὁ δὲ καὶ πάλιν ἰσχυρογνώμων ἦν πρὸς ὃ προσκέκλητο καὶ τοῖς ὁμοδόξοις ἡμῖν ἅπασι καὶ συμψήφοις περὶ τὴν ἐκείνου κρίσιν ἑτερορρεπὴς ἢ μονομερής· ὡς δ' οὐκ ἦν ἀπαντᾶν καὶ πρὸς βίαν καὶ πρὸς πειθὼ, μᾶλλον δὲ καὶ πρὸς τὴν ἄνω κρίσιν τὴν ἀπαραίτητον, δίδωσιν ἑαυτὸν ἡμῖν καὶ τῷ πνεύματι, καὶ δέχεται τὸ τῆς ἀρχιερωσύνης χρίσμα καὶ χάρισμα, καὶ χεῖται ἐπ' αὐτῷ τὸ μύρον τοῦ πνεύματος καὶ [οὐ] μέχρι πώγωνος καὶ ἐνδύματος, ἀλλὰ καθ' ὅλου τοῦ σώματος, καὶ πρὸ τούτου κατὰ πάσης αὐτῷ τῆς ψυχῆς. Καὶ τὰ μὲν ἄλλα τῶν ἀρετῶν μέρη μεμαρτύρηται τῷ ἀνδρὶ, τὸ δὲ τοῦ ἁγιασμοῦ τῆς ψυχῆς καὶ τῆς ἀμιγοῦς αὐτῷ καθαρότητος, ὥσπερ ἀξίωμά τι καὶ κοινὸν ὁμολόγημα παρὰ πάντων αὐτῷ δέδοτο. Καὶ οὕτως ὁ καθαρὸς τῷ καθαρῷ θῦμα προσάγεται, καὶ τὸν ὑποδύτην μετὰ τοῦ ἐπενδύτου ἐνδύεται, τήν τε μίτραν καὶ τὴν κίδαριν περιτίθεται, τοῖς τε ῥείσκοις καὶ τοῖς κώδωσι περιστέλλεται μᾶλλον ἢ Ἀαρών τε καὶ

Σαμουήλ· οἱ μὲν γὰρ σωματικῶς ὁρωμένοις, ὁ δὲ πνευματικῶς νοουμένοις τούτοις κεκόσμητο.

Μέχρι μὲν τούτου ὁ λόγος τὰ μὲν πολιτικῶς, τὰ δὲ μοναδικῶς ἑώρα τὸν ἄνδρα, καὶ ἐκόσμει τοῦτον ἀνὰ μέρος ἐκ τῶν ἰδίων βίων τοῖν βίοιν· τῷ μὲν πολιτικῷ τέχνας προσάγων, καὶ νόμους καὶ βήματα, τῷ δέ γε μοναδικῷ πρακτικὰς καὶ θεωρητικὰς ἀρετὰς, καὶ ὕψη καὶ κάλλη, καὶ ὅσα τούτων ἐπέκεινα αὐτῷ | τῷ πρώτῳ προσάγονται ἀγαθῷ· νῦν δ' αὐτὸν ἐπὶ τῆς ἀρχιερωσύνης θεωρητέον ἡμῖν, πράγματος ὑπὲρ πολιτικὴν ἐπιστήμην καὶ μοναδικὴν, ἀμφοῖν δέ πως ἔχοντος, καὶ τὸ παρηλλαγμένον συγκεκραμένον ἐπιδεικνύοντος· οὐ γὰρ ἐπειδὴ τὴν τῶν πολλῶν ᾠκονόμει σωτηρίαν, τοῦ θεωρητικοῦ βίου ἐξέπιπτεν, οὐδὲ τῆς μακαρίας ἀπολαύων σχολῆς καὶ συσχολάζων θεῷ, τῆς τῶν ἄλλων προστασίας ἀφίστατο, ἀλλ' οὐδ' ἀνὰ μέρος ὠμίλει τῷ ἐλάττονι καὶ τῷ μείζονι· ἀλλ' οὕτω μὲν, οὐχ οὕτως δέ· καὶ γὰρ διὰ προσευχῆς αἰρόμενος πρὸς θεὸν, ἐκεῖ μὲν ἐμυεῖτο τὴν πρὸς τοὺς κάτω διδασκαλίαν, καὶ τούτοις αὖθις ἢ μυσταγωγῶν τὰ τελεώτερα, ἢ ἄλλως προσκείμενος, τὸ μὲν σῶμα ἐν αὐτοῖς εἶχε κείμενον, τὸν δὲ νοῦν κρυφίως ἀνεπτερωμένον τῷ κρείττονι. Τὰ μὲν οὖν πρῶτα ἐδεδίει τῶν πολλῶν προσψαύειν ὥσπερ θηρίων, καὶ ἦν καθαπερεὶ πρὸς τούτους ἀπόστροφος, τὸ δ' ὅλον ἑαυτὸν ἐδίδου μόνῳ θεῷ, καὶ μόγις που μετετίθετο· ἐπεὶ δὲ ἅπαξ ἑαυτὸν καὶ πρὸς τὰ τῇδε κατεβιάσατο, καὶ τὸν νοῦν οἷδε μὴ συγκατιόντα τῷ σώματι, ἀλλ' ἄνω που κείμενον κἂν ταῖς μεταθέσεσι, τὸ τηνικαῦτα γίνεται καθαρὸς καὶ ἡμῶν, καὶ τοσοῦτον οὐκ ἐδυσχέραινε τὴν μεταβολὴν ἀμεταβόλως ἔχουσαν ἑαυτοῦ, ὥστε οὐδὲ τῶν δευτέρων παρέργως ἥψατο, ἀλλ' ἑαυτὸν μερίζει ἐς ὅσα μέρη ἡ τῶν πολλῶν γνώμη διήρηται. Γίνεται γοῦν τοῖς μὲν εὐεργετημάτων πηγὴ, τοῖς δὲ βίου καθηγητὴς, καὶ τοῖς μὲν τὰ ἀμφίβολα λύει, τοὺς δὲ δεσμεῖ τῷ πνεύματι, τοῖς μὲν εἰς νουθεσίαν καθίσταται βίου ὑψηλοτέρου καὶ κρείττονος, ὑπὲρ δὲ τῶν πρεσβεύει, καὶ ὑπὲρ ἑτέρων παρρησιάζεται οὐ πρὸς ἄρχοντας μόνον καὶ τοὺς φ. 38.

θρασυτέρους τῶν δικαστῶν, ἀλλὰ καὶ πρὸς αὐτὸν βασιλέα παρ' οὗ τῆς ἀρχιερωσύνης ἠξίωται, μᾶλλον δὲ πρὸς αὐτὴν βεβίασται· καὶ γὰρ εἰ καὶ προσέκειτο τούτῳ ὡς πράῳ καὶ ἀγαθῷ βασιλεῖ, ἀλλὰ καὶ ἀντέκειτο εἴ που αὐτὸν παρολισθαίνοντα ἴδοι τοῦ δέοντος. Τεθέαμαι γοῦν ἐγὼ τοῦτον πολλάκις, ἐπειδὴ οὔτε παρακαλῶν ἔπειθε περὶ ὧν ἐδεῖτο, οὔτε κατεδυσώπει πρεσβεύων, ἀλλ' ἀπεσκληκότως ἔχοντα πρὸς ἅπασαν προσβολήν, θυμοῦ τε ὑποπλησθέντα δικαίου, καὶ τοῦ θρόνου μὲν ἐξαναστάντα, ἐπιπλήττοντα δὲ σφοδρῶς, καὶ αὖθις ἐπιτιμῶντα, καὶ οὐκ ἐνδιδόντα μέχρις ἂν ἴδῃ τοῦτον καμπτόμενον πρὸς ὃ βεβούλητο· ἦν δὲ ὥσπερ τούτῳ δικαία ἡ δέησις, οὕτως ἐκείνῳ ἡ ἀνάνευσις εὔλογος· καὶ ὁ μὲν ἐτίθει παράδειγμα τὸν θεὸν, ὁ δὲ διῳκονόμει τῇ βασιλείᾳ τὸ ἀσφαλές· καὶ ἦσαν οἱ λόγοι καὶ τὰ βουλήματα ἑκάστῳ τῷ βίῳ κατάλληλα· ἀλλ' ἡττᾶται οὐ τῆς φιλανθρωπίας μᾶλλον ἢ τῶν περὶ φιλανθρωπίας λόγων τοῦ ἀρχιερέως ὁ βασιλεύς. Ἆρ' οὖν ἐν τούτοις μόνον ὁ ἀνὴρ τελεώτατος, ἐν δέ γε τοῖς ἄλλοις ἠττόνως ἔχων ἐδείκνυτο; οὔμενουν· ἀλλ' ὥσπερ τῶν στοιχείων ἕκαστον καὶ καθ' ἑαυτὰ καλὰ καὶ σὺν ἀλλήλοις καλλίονα, οὕτω δὲ καὶ περὶ μερῶν οἶδα καὶ μελῶν τοῦ σώματος, καὶ περὶ ξυμπάσης γῆς καὶ αἰθέρος καὶ παντὸς οὐτινοσοῦν πράγματος συντεθέντος ἁρμονικώτατα, οὕτω δὴ κἀκείνῳ τὰ μέρη τῆς ἀρίστης πράξεως ἐφ' ἑαυτῶν τε σεμνὰ ἕκαστα καὶ μετ' ἀλλήλων σεμνότερα. Τὸ δέ γε μέγιστον ὅτι λειτουργεῖν τεταγμένος θεῷ καὶ τὸ μέγα θῦμα μεταχειρίζεσθαι, οὐκ ἐκ μακρῶν τοῦτο ἐποίει τῶν διαστημάτων, οὐδ' ἐν περιόδοις ἡμερῶν, οὐδ' ἐν κύκλοις μηνῶν, οὐδ' ἐν νεομηνίαις καὶ σάββασιν, ἀλλ' ἐφ' ἡμέρας ἁπάσης, ἐφ' ἑκάστης ἑορτῆς τε καὶ πανηγύρεως, οὔτε τῶν νενομισμένων κατολιγωρῶν καὶ προστιθεὶς ὅσα μὴ εἴθισται· καὶ ἦν τοῦτο τὸ μέρος ἄτρυτός τις καὶ ἀδαμάντινος. Πολλοῖς γοῦν τῶν ὑπ' αὐτὸν ἀρχιερέων εἰς ἄχθος ἐπὶ τούτοις καθίστατο, καὶ τὰ πλείω ἀφίσταντο, ὥσπερ πτηνῷ ἀκολουθεῖν μὴ δυνάμενοι· ἐπεὶ δὲ καὶ τακταί τινες πρόοδοι ἐξάγουσι τοῦ μεγάλου τεμένους τὸν ἀρχιερέα

ἐκ ποδὸς ἄχρι τῶν προθύρων ἑπόμενον, ὁ δὲ προθυμίας ἀρρήτου πληρούμενος τὴν πᾶσαν οὕτως ἐποιεῖτο περίοδον, ἱδρῶτι τὰ πλείω περιρρεόμενος καὶ πνευστιῶν ἐν ταῖς ἐπανόδοις, καὶ ἡδέως προσαφιεὶς ἐν τοῖς πνευματικοῖς τὴν ζωήν· ταῖς δὲ τῶν τοιούτων λειτουργιῶν ἀνοχαῖς ἐπ' ἀλλήλοις τισὶν ἐχρῆτο κρείττοσι· τοὺς γὰρ τῆς ἐκκλησίας συλλέγων τροφίμους καὶ χορείαν θαυμασίαν ποιούμενος τὰς ἱερὰς βίβλους ὑπανεγίνωσκε, καὶ μάλιστα οὓς οἱ πατέρες κανόνας συγγεγραφήκασιν, ἡρμήνευέ τε τούτοις τὰ δύσφραστα καὶ ἐξωμάλιζε τὰ ἀμφήριστα, ἀνέπτυσσέ τε τὰ τῆς εὐσεβείας ὀνόματα καὶ τὸ καθ' ἡμᾶς διεσάφει δόγμα ποικίλως πρὸς τὰς αἱρέσεις ὀνομαζόμενόν τε καὶ μεριζόμενον.

Ἀλλὰ ταῦτα μὲν οἰκεῖα τῷ ἐκείνου βίῳ καὶ παραπλήσια τοῖς προηγησαμένοις αὐτῷ· ὃ δὲ ὁ λόγος ἐρεῖν βούλεται παρ' ἐλπίδας ἐμοὶ ἀπήντηκε· τί ποτε τοῦτο; ὅλος αὐτῷ καὶ τὰ πολιτικὰ πραγματευομένῳ ὁ βίος καταπεφρόνητο καὶ ἐπ' οὐδενὶ μέρει οὐδεμιᾶς μετεῖχε λαμπρότητος, οὐκ ἐν ἐσθήμασιν, οὐκ ἐν οἴκου πολυτελείαις, οὐκ ἐν ἀγροῖς, οὐκ ἐν λειμῶσι καὶ παραδείσοις, οὐκ ἐν ἄλλῳ δή τινι πράγματι, ἀλλ' ἦν ἄσκευος αὐτῷ ἡ ζωὴ καὶ ἀπέριττος, καὶ τὸ αὐτόθεν ἐξ ἑτοίμου τῆς πολυτελοῦς ἔμπροσθεν ἐτίθει παρασκευῆς· μόνῳ δὲ τῷ λόγῳ κατελαμπρύνετο καὶ τὰς λογικὰς ὑπερηγαπήκει τέχνας, καὶ τὰ μέτρα ἠκρίβου τῶν γνώσεων. Ἐπεὶ δὲ ἀρχιερεὺς γένοιτο, ἐφ' ἑαυτοῦ μὲν ὥσπερ νόμον αὖθις ἐτήρει τὸ ἔθος, ἐπὶ δὲ τῶν ἄλλων οὐχ οὕτως. Ἀλλὰ πρῶτον μὲν τὸ μέγα τῆς θείας Σοφίας καὶ ἱερώτατον τέμενος, τὰ μὲν πλείω καὶ ὅσα περὶ τὸ βῆμα μὴ πάνυ κεκοσμημένον, τὰ δ' ὅσα ἐν ταῖς ὑπερκειμέναις ἄψισι καὶ ὀροφαῖς | διερρηγμένον καὶ παντάπασιν ἄκοσμον, ἄμφω φ. 38ᵛ.
τὼ μέρη κοσμεῖ καὶ ἐπιτεχνάζεται, τὰ μὲν οἱονεὶ χρυσαῖς στεφάναις περιβαλὼν καὶ εἰκόνων εὐτεχνίαις τετιμηκώς, τὰ δ' ἐπισκευάσας λαμπρῶς, καὶ τὰ πρεσβύτερα τοῖς νεωτέροις ἐλέγξας κάλλεσιν.

Ἀλλὰ τούτου μὲν τοῦ τεμένους οὕτω τὰ μέρη τετίμηκε, τῶν δ' ἄλλων καταπεφρονήκει ναῶν; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ τοῖς μὲν

τὰ διερρωγότα συνήρμοσε, τοῖς δὲ τὸ πεπτωκὸς ἐπανώρθωκε, τοὺς δὲ ἀμαυρωθέντας καλλίους ἢ πρότερον ἔδειξε, καὶ τοὺς μὲν ἐκ μέρους, τοὺς δὲ τῷ πλείονι, τοὺς δὲ τῷ ἐλάττονι, ἔστι δ' οὓς ἐκ θεμελίων ἀνέστησεν, οὐδὲν ἑαυτοῦ ποιούμενος, οὐδὲν εἰς μεγαλοπρεπῆ δίαιταν, πάντα θεῷ διδοὺς καὶ τοῖς ἐκείνου θεράπουσι. Καὶ αὐτὸς μὲν ἐτρύφα τὸ μὴ τρυφᾶν, ἐτρέφετο δὲ ὅσον ἀποζῆν, ἑτέροις δὲ τρυφῆς ἠφίει πηγάς· τοῦ μὲν γένους τὰ πλείω καταφρονῶν, οὐκ οἶδ' ὅπως τοῦτο τὸ μέρος τιθέμενος, οἶμαι δὲ τοῦ μὴ δοκεῖν περιαυτίζεσθαι ἕνεκεν, τῶν δ' ἀλλοτρίων ὡς μελῶν αὐτοῦ προνοούμενος· ὡς γὰρ οἶδε πρὸς τὰ χείρω τὰ πράγματα ῥέοντα, καὶ τοῖς μὲν πλουσίοις μόλις ἀποχρῶντα εἰς ἀναγκαῖα τὰ πατρῷα καὶ ὅσα αὐτοὶ κτήσαιντο ἢ ὅσα ἐκ βασιλικῆς φιλοτιμίας λαμβάνοιεν, τοῖς δὲ πένησιν ἄπορα ξύμπαντα ἀποψυγείσης αὐτοῖς τῆς ἀρδείας ἀφ' ὧν ἠρδεύοντο, εἰς ἀνὴρ τοῖς πᾶσιν ἐξήρκεσεν, οὐχ ἅπαξ θρέψας, οὐδ' ἐπὶ μιᾶς ἀρκέσας διακονίας, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἑβδομάδος καὶ τοῦ αὐτοῦ πλειστάκις μηνός· τὰ γὰρ τοῦ ἔτους πῶς ἂν ἀριθμήσαιμι; Καὶ θαυμάσειέ τις ὁπόθεν αὐτῷ τὰ τοῖς ξύμπασι χορηγούμενα· ἀλλ' ἐννοείτω· ὡς ὁ θρέψας ὀλίγοις ἄρτοις πολλαπλασίους ἀνθρώπους καὶ τὰ περισσεύματα δείξας εἰς ἀριθμὸν τῶν προτέρων πλείονα, ὥσπερ τῶν εὐαγγελίων ἠκούσαμεν, οὗτος αὖθις ταῖς τῶν ὑπηρετῶν ἐκείνου χερσὶ διαθρύπτων τοῖς πένησι τὰ ἡμιδεῆ τοῖς τε πλήθεσιν ἤρκεσε καὶ τοῖς περισσεύμασιν εἰς δευτέραν ἀπεχρήσατο τράπεζαν. Ἀλλὰ τοῖς μὲν περὶ τὸν ναὸν καὶ τοῖς ἐπ' ἀγορᾶς, καὶ τοῖς πόρρωθι τοσοῦτος τὴν χεῖρα καὶ ἀνυπέρβλητος τὸ φιλότιμον· τοῖς δὲ περὶ τὸ βῆμα καὶ ὅσοι τοῦ αὐτοῦ κοινωνοῖεν αὐτῷ θύματος, τοῖς τε περὶ τὰ σπονδεῖα καὶ τὰ ἱερὰ θυτήριά τε καὶ θυμιατήρια καὶ ὅσοι τοῦ τελευταίου χοροῦ, ἐλάττων ἢ τὴν χεῖρα ὤφθη ἢ τὴν ψυχήν; αὐτὴν γοῦν πρῶτον τὴν ἱερὰν ἐπιμαρτύρομαι σύνοδον, ἔπειτα δὴ τὰς ἄλλας τοῦ νεὼ μερίδας, ὡς ἑκάστῳ τούτων καὶ ξύμπασιν ἄλλα ἐπ' ἄλλοις πεφιλοτίμηται, οὐκ ἐπονειδίζων εἰ δευτέρας αἰτήσεις ποιοῖντο, ἀλλὰ

ταῖς προλαβούσαις φιλοτιμότερον προστιθείς· εἰ δέ τις εὐγνωμόνως εἶχε τοῦ πράγματος, ἀπώκνησεν ἂν οὗτος εὐεργετούμενος ἢ ἐκεῖνος εὐεργετῶν· ἃ δὲ ταῖς ἐτησίαις φιλοτιμίαις προσέθετο, ἃ ταῖς ἐν περιόδοις μηνῶν, ὅσα ταῖς κοιναῖς πανηγύρεσι, καὶ εἴ τις ἄλλος θεὸν θεραπεύσειε, λαμπρῶς ἐτίμα καὶ ἐθεράπευε. Τῇ δέ γε Παρθένῳ καὶ Θεοτόκῳ καὶ προσετετήκει· καὶ εἰ μὲν αὐτοφανῶς ἑώρα, οὐ πάνυ τοῦτο ἐπίσταμαι, ὥσπερ δὲ ὁρῶσαν καὶ ὁρωμένην ὑπερφυῶς ἐσέβετο καὶ περιείχετο, καὶ πανηγύρεων αὐτῷ καθίστατο ἀφορμὴ ὅσα περὶ ἐκείνην τετέλεστο θαύματα.

Ἐγὼ δὲ ἐς πολλήν τινα συγγραφὴν ὁρῶν τὸν λόγον χεόμενον, ἐπεὶ μηδὲν τῶν ἐκείνου αὐτάρκως διελήλυθεν, ἀλλ' ὥσπερ ἐν διηγήματος μέρει ἕκαστα θέμενος, πρὸς τὰς ὑπερβολὰς τῶν ἐγκωμίων ἀπώκνησά, καὶ οὔτε τὴν θύραθεν σοφίαν τούτῳ ἀποχρώντως ἐφύμνησα, οὔτε τὴν ἡμετέραν καὶ κρείττονα, οὔθ' ὅσα περὶ λόγους διεσπουδάκει, τοὺς μὲν ἀπὸ γλώττης, τοὺς δὲ ἐν συγγράμμασιν, οὔθ' ὅσον μέτρον τοῦ τῶν θαυμάτων βάθους ἐξήντλησε, βούλομαι αὖθις ἑτέραν ἀρχὴν θέμενος περὶ ξυμπάντων εἰπεῖν, οὐ κατὰ μέρος, τίς γὰρ ἂν ψάμμον θαλάσσης ἐκμετρήσειεν; ἀλλὰ καθ' ὅρους τινὰς καὶ εὐπεριγράπτους περιοχὰς ἢ καθ' ἕν, ἢ ἀναμίξ, καὶ οὕτω ταῦτα διεξεληλυθὼς τὸν ὅλον ἐκείνῳ λόγον συμπερανῶ, ὀλίγα ἅττα καὶ περὶ τῆς ἐντεῦθεν τούτῳ ἐξόδου ἐπιμνησθείς. Καὶ οἶδα μὲν ὡς ἀπ' οὐδενὸς οὕτος τῶν περὶ αὐτὸν ἢ δι' αὐτοῦ τελεσθέντων ἐγκωμιάζεσθαι βούλοιτο ὑπὲρ φύσιν πληρούμενος ἀγαθῶν, καὶ τῶν σκιῶν ἤδη ἐναργεῖς τὰς εἰκόνας ἀπειληφὼς, ἀλλ' ὅ γε λόγος ἠκρωτηριασμένος ἂν αὐτῷ εἴη μὴ μετρίως ἁπτόμενος ὧν ἐκεῖνος πλουσίως ἀπολελαύκει.

Ἐπεὶ γὰρ τὰ πρῶτα νόμοις ὁμιλήσειε τὰς πρεσβυτέρας ἐζήτει πηγὰς καὶ τὰς ἔτι ταύτας ἐπαναβεβηκυίας ἀφ' ὧν οὗτοι ποταμηδὸν ἐξεχύθησαν· καὶ ὥσπερ οἱ τὴν πρώτην φιλοσοφίαν ἐξακριβώσαντες, ἄλλο ἀπ' ἄλλου παράγοντες εἰς τὴν πρώτην τὴν ἀναβαίνουσαν κορυφὴν, καὶ οὔτε τὸν ὑπεζωκότα ποιοῦσιν ἀρχὴν, οὔτε τὸν

[τε]λετάρχην, ἀλλὰ τὸν νοῦν, ἢ τὴν δύναμιν, ἢ τὸν πατέρα, ἢ τὸ ὑπερκείμενον ἓν, καὶ ἀπὸ μὲν τῶν μετεχόντων εἰς τὸ μετεχόμενον ἀναβαίνουσιν, ἀπ' ἐκείνου δὲ εἰς τὸ ἀμέθοδον, εἶτα δὴ καὶ τοῦτο πληθύναντες εἰς τὴν ἐνιαίαν ἀποτελευτῶσιν ἀκρότητα, οὕτω δὴ κἀκεῖνος νόμους ἐκ νόμων παράγων ἀφ' οὗ ἡ παραγωγὴ πρῶτον ἐζήτησέ τε καὶ εὕρετο, εἶτα δὴ ὥσπερ οἱ τὰς τῶν ψυχῶν διαιροῦντες δυνάμεις πρῶτα μὲν πλείους ποιοῦνται, εἶτα καὶ ἐλάττους, καὶ αὖθις συστέλλουσιν εἰς τετράδα, ἢ εἰς δυάδα τοὐλάχιστον, οὕτω δὴ κἀκεῖνος νῦν μὲν πολλαπλῆν τὴν τομὴν ἐποιεῖτο, νῦν δὲ εἰς ἐλάττω διήρει τμήματα, τὸ περὶ τοὺς ἀνέμους Ἀριστοτέλους μιμούμενος· κἀκεῖνος γὰρ πλείους τούτους ποιήσας καὶ ὁπόσα τὰ ἐν οὐρανῷ τμήματα, εἶτα δὴ συστέλλει εἰς τέσσαρας καὶ αὖθις εἰς τὴν δυάδα συγκλείει, παρ' Ἱπποκράτους τοῦ Κῴου τοῦτο δε-
φ. 39. ξάμενος[1]· | ἀλλὰ τίς ἐκείνου ἢ πρὸς τομὴν ἀκριβέστερος ἢ πρὸς εὕρεσιν ἑτοιμότερος, ἢ ἀναγαγεῖν τὰ πολλὰ πρὸς μονάδα φιλοσοφώτερος, ἢ τὸ ἓν εἰς πολλὰ διαιρεῖν διελεγκτικώτερος; Εἰ γὰρ καὶ ἄμφω καὶ τῇ πρώτῃ φιλοσοφίᾳ καὶ τῇ διαλεκτικῇ ἰδιαίτατα, ἀλλὰ τῇ μὲν θάτερον τοῖν μεροῖν, τῇ δὲ καταλληλότερον θάτερον· τίς δὲ τἀναντία διήλεγξεν ἀλλήλοις, ἀλλ' οὐκ ἦν εὑρηκὼς τὸ ἀντίθετον; τίς δ' οὕτως τῶν ἐνοχῶν τὰς ἀγωγὰς ἀπεγέννησε, τὰ πλείω τῶν ἐλαττόνων, ὥσπερ δὴ κἀκείνας ἀπὸ τοῦ ὁμωνύμου ὀνόματος; καὶ πάλιν τὰς ἐνοχὰς ὑπὸ μητράσι ταῖς ἀγωγαῖς ἐποιήσατο, διαστείλας τὴν ὁμωνυμίαν, τοῦτο δὴ τὸ διηγνοημένον τοῖς πλείοσι; τίς δ' οὕτως τὸ μέσον ποικίλως ἐμόρφωσε καὶ ὀνόματα πλείω ἔθετο, καὶ τούτων ἑκάστῳ τὰ ὁμογενῆ καὶ σύμφυλα ἀπὸ τῶν ἑτερογενῶν συστείλας ὑπέθηκε; τίς δὲ ἄλλος ὡς ἐκεῖνος τὰ μὲν συμφυῶς ἐγενεαλόγησε, τὸ δ' ἀγέννητον ἔθετο, ὥσπερ δή τινα τῶν παρ' ἡμῖν οἱ καθ' ἡμᾶς λόγοι τῆς ὑπερκειμένης ἐξαίρουσι γενεᾶς,

1. Ἐσφαλμένως ἐν τῷ κώδικι ἀριθμεῖται τὸ μὲν φύλλον τοῦτο ὡς 40, τὸ δ' ἑπόμενον, ὃ καὶ κακῶς προτάσσεται, ὡς 39.

οὐχ ὡς οὕτως ἔχοντα, ἀλλ' ὅτι οὕτως ἱστόρηται; Τίς δὲ τὴν νομικὴν ἐπιστήμην οὕτως ὡς ἐκεῖνος ἐσέμνυνεν, ὡς ῥητορικὴν μὲν εἰσποιῆσαι, ὑποθέσθαι δὲ τῇ φιλοσοφίᾳ καὶ ἀπ' ἀμφοῖν κοσμῆσαι, ἢ μᾶλλον ἀμφοτέρων ἐκείνην κόσμον αὐτάρκη ποιήσασθαι;

Καὶ βουλοίμην ἂν πλείω περὶ νόμων ἐρεῖν, εἰπεῖν δὲ καὶ δυναίμην, ἀλλ' ἀνθέλκει με ἡ τῶν λόγων τέχνη, ἣν ἐκεῖνος παρὰ πάντας ζηλώσας ὑπὲρ πάντας ἐγένετο· οὐ γὰρ οὕτως τὴν ῥητορικὴν διῄρει ὥσπερ οἱ πλείους τῶν ῥητόρων ᾠήθησαν δεῖν, οὐδὲ τὴν ἄπειρον ταύτης δύναμιν, ὥσπερ συνοπτικὸν ποιούμενος λόγον συνέστειλε, καθάπερ οἱ τὴν θάλασσαν ἀπὸ τῶν μεγάλων πελαγῶν διαιροῦντες, ἀλλὰ πάσας αὐτῆς τὰς δυνάμεις καὶ τὰς ἀρχὰς ἐφεῦρε καὶ συνεισήνεγκεν οὐκ ἰδιώταις τισὶν, ἢ βασιλεῦσιν ἀργοῖς καὶ ῥᾳθύμοις σύνοψιν τοῦ πλήθους ποιούμενος, ἀλλὰ τὴν ὅλην αὐτῆς ὕπαρξιν τῷ λόγῳ παραδεικνὺς, καὶ οὔτε τὰς προοιμιακὰς ἐννοίας εἰς διῃρημένας ἀρχὰς συμβιβάζων, οὔτε τὸ τῶν ἰδεῶν πλῆθος ὀλίγοις τισὶ συστέλλων ὀνόμασιν, οὔτε νομοθετῶν ἐν τοῖς μέρεσι, καὶ τὴν παραδοχὴν οἷον προστάττων, ἀλλ' αἰτιολογῶν ἅπαντα, καὶ ταῖς γεωμετρικαῖς ὅ φασι κατανάγκαις ἴσα τὰ τῆς τέχνης ποιούμενος, καὶ τὰ μὲν προοίμια παρὰ τὴν τῶν ὁμογενῶν τομὴν διαιρῶν, ταῦτα δέ ἐστιν ὅσα κατά τι συμβεβηκὸς ἔστιν ὅμοια, τὰς δὲ τῶν ἐνθυμημάτων πίστεις καὶ τὰ πρὸ τούτων ἐπιχειρήματα, ἀφ' ὧν τὰς ἐργασίας ἐλάμβανεν, ἀπὸ παντὸς διαιρῶν τρόπου. Τίς γὰρ οὕτως αἰτίας τε τούτων εὗρετο καὶ ἰδιότητας, ποσότητάς τε καὶ πηλικότητας, τά τε ἐναντία καὶ τὰ ἀντικείμενα καὶ μαχόμενα, τό τε ὅλον καὶ τὸ μέρος, καὶ τὰς ἀφ' ἑκάστου προόδους καὶ αὖθις ἐπιστροφάς; τίς δὲ τὰς ἰδέας πάσας ἀλλήλαις εἰς φιλίαν συνεκεράσατο, τὰς μὲν ἀμέσως συνάψας, τὰς δὲ συνδέσμοις τε καὶ μεσότησι, καὶ οἷον ἓν σῶμα ποιήσας διῃρημένον τε καὶ ἀδιαίρετον, τὸ μὲν ταῖς ὁμοιότησι, τὸ δὲ ταῖς διαφοραῖς, καὶ τὸ μὲν τῇ ἐμμελεῖ μίξει, τὸ δὲ τῇ ἀκριβεστέρᾳ διαιρέσει; τίς δὲ οὕτω λόγους ἐμέρισέ τε καὶ ἐθεώρησεν, οὐκ ἔξω τιθεὶς ἀμφοῖν τὸ παράδειγμα,

ἀλλ' ἐφ' ἑαυτοῦ ἱστὰς, ὥσπερ ὁ παρὰ Πλάτωνι δημιουργὸς κοσμοποιῶν τῷ λόγῳ εἰσάγεται· ἐκεῖνός τε γὰρ ἐν ἑαυτῷ ἐσχηκὼς τὸ αὐτόζωον, τὰ μέρη δημιουργεῖ, καὶ οὗτος τὴν ἰδέαν τῶν ἰδεῶν ἐν τῇ αὐτοῦ προλαβὼν ψυχῇ τὴν τέχνην ἐδημιούργει· μὴ γὰρ ἐχέτωσαν πλέον οἱ παρ' Ἕλλησι θεοὶ καὶ τὰ πλάσματα, μηδὲ σεμνυνέσθωσαν ταῖς πρώταις ἰδέαις οἱ περὶ Πλάτωνα, εἴτε δημιουργικὰς οὐσιώδεις ἐννοίας ταύτας ποιοῖεν, εἴτε τινὰς ἑτέρας ὁλότητας τῶν τῇδε ἐξηρημένας καὶ ἐφ' ἑαυτῶν ἑστηκυίας, μηδὲ πλεονεκτείτω Πλάτων ἡμῶν περὶ ταύτας πραγματευόμενος, καὶ παντοδαπῶς ἑρμηνεύων τὸ ὄνομα, καὶ οὐ πάντων αἰτίας ἐκείνας ποιούμενος· αἱ γὰρ παρ' ἡμῶν τεχνικῶς εὑρημέναι, εἰ καὶ μὴ τὸ σεμνὸν ἔχουσι τῆς ἀνυπάρκτου ὑπάρξεως, ἀλλ' ἀληθεῖς γε καὶ εὐθυβόλως νοούμεναι. Ῥητορικὴν δὲ καὶ σοφιστικὴν καὶ πολιτικὴν, ὥσπερ ὁ Πλάτων τὸν πολιτικὸν καὶ τὸν σοφιστὴν καὶ τὸν φιλόσοφον, ἀπ' ἀλλήλων τε διήρει καὶ τὰ ἴδια ἑκάστῳ ἀπένεμε· τοὺς δὲ χαρακτῆρας τῶν λόγων ἐζηλωκὼς διήρει τούτους καταλλήλως ἐν τοῖς συγγράμμασιν, ἐνταῦθα μὲν ὑψηλολογῶν, ἑτέρωθι δὲ κοινολογούμενος, καὶ τἄλλα οὕτω ποιῶν, ταῖς ὑποθέσεσί τε καὶ περιστάσεσι προσφυῶς τὰς μορφὰς τοῦ λόγου ἐπιτιθείς.

Νομικὴν μὲν οὖν ἐπιστήμην καὶ ῥητορικὴν τέχνην οὕτως εὕρετο καὶ ἐκόσμησε, καὶ τὰ πρῶτα ἑαυτὸν ἀπὸ τούτων ἐσέμνυνε, φιλοσοφίας δὲ ξυμπάσης ἐν μέσῳ γενόμενος, τῆς τε καθαρῶς ἡμετέρας καὶ ὅσον μέρος τῆς θύραθεν, ἄμφω τὰ μέρη διηυκρίνησέ τε καὶ διεσάφησε· καὶ τῆς μὲν τὸ νοούμενον οὐχ εὗρε μόνον, ἀλλὰ καὶ ἔπραξε, τῆς δὲ τὸ ἐγκείμενον ἢ διεσάλευσεν, ἢ διελὼν τὸ μὲν φαρμακῶδες ἀπέρριψε, τὸ δὲ τρόφιμον εἰσεδέξατο· ἀλλὰ τίς ὅρους μᾶλλον ἐμέρισε γνώσεων καὶ τῶν πρὸς τὸ πρῶτον καλὸν ἀνόδων καὶ ἀναβάσεων, ἐκ τῶν ἀντικειμένων ἀρξάμενος καὶ εἰς τὸ ὑπὲρ φύσιν συμπεραναμένος; τίς δ' οὕτως ὑψηλοτάτην τὴν τῶν ἀρετῶν ἐτεκτήνατο κλίμακα, καὶ ἀπὸ τῆς συνθέτου ἀρξάμενος εἰς τὴν ἐπιστροφὴν τῆς ψυχῆς ἀναβέβηκε, κἀκεῖθεν ἐπὶ τὴν ὑπερτέραν βαθ-

μίδα κούφοις ὑπερέπτη πτεροῖς, ὡς δοκεῖν ἐν τούτοις ἔχειν τὸ τέλειον; ὁ δὲ καὶ πρὸς τὴν τελευταίαν ἀνῆλθε περιωπήν, οὗ τὰ τῶν γνώσεων | πέρατα, καὶ ἀφ' οὗ τῆς σοφίας ὑπερβλύζει τὰ νά- φ. 30*.
ματα. Τίς δ' οὕτως κατέπαυσεν ἀναβὰς ὡς μηκέτι ἔχειν μεθίστασθαι ἢ ὑπερίπτασθαι, πολλὰ μὲν παροικήσας καὶ σάββατα ποιησάμενος πλείονα, τέλος δὲ ἐκεῖσε καθιδρυνθεὶς ἔνθα τὸ μὲν ποιεῖν πέπαυται, τὸ δὲ πάσχειν ἦρκται, ἵν' ἀτελεύτητον ᾖ τὸ καλὸν, καὶ μὴ δέηται ὁ πρὸς τοῦτο ἀνιὼν δευτέρας ἐνεργείας τε καὶ δυνάμεως; τίς δὲ τὸ ὑπερκείμενον διχόθεν εὕρετο ὅλῳ τε καὶ μέρει, ὃ καὶ παράδοξον; τίς δὲ τὴν μίξιν τῶν ἐναντίων τοῦ ὄντος πρὸς τὸ μὴ ὂν ἠκριβώσατο, καὶ τήν τε ἕνωσιν ἐτήρησε, καὶ τὴν ἰδιοτροπίαν ἐφύλαξεν ἀκριβέστερον ἢ ὁ τοῦ σοφιστοῦ διάλογος, ὅς τις οὗτός ἐστιν ὁ μικτὸς θεὸς παρὰ Πλάτωνι; τίς δὲ τὰ τέλη τῶν ἀνόδων ὥσπερ ὅρους καὶ περιγραφὰς ἔστησε, καὶ τὰς γενικωτέρας τῶν ἀρετῶν ἑκάστῳ μέρει τῶν ἀναβάσεων ἀναλόγως ἡρμήνευσε; τίς δ'οὕτως ἀκριβεστάτοις ὅροις τὸ σῶμα συνεπεράνατο καὶ τὸ ἀσώματον, καὶ τὰ πολλὰ τοῦ ὄντος ὀνόματα διεσάφησεν, ἄϋλον, ἑτερότητα, καὶ ἁπλήθυντον ἐπ' αὐτοῖς σοφῶς πάνυ εὐράμενος, καὶ τὸν τῶν νοητῶν οὐσιῶν λόγον ἐπισφαλέστατον ὄντα ἀμεταθέτοις ὅροις κατησφαλίσατο, τήν τε τῆς ψυχῆς ἀμέρειαν ἐν τῷ μεριστῷ σώματι διεφύλαξε, καὶ ὅπως ἑαυτῆς τέ ἐστι, καὶ ὅλῳ ἐλλάμπει τῷ σώματι, καὶ τὸν μὲν νοῦν ἀκίνητον διεσώσατο, τῆς δὲ εὗρε τὴν κίνησιν, ἅτε ὑποβᾶσαν τοῦ ἀμεροῦς, τά τε μέρη διεμέρισε τῶν δυνάμεων, ταὐτότητι καὶ ὑποκειμένου διαφοραῖς; τίς δ' οὕτως ἀπὸ τοῦ πρώτου ἀρξάμενος ἀγαθοῦ εἰς τὰ σώματα ἔληξε καὶ ἐξ ὧν ταῦτα, εἶτ' αὖθις ἐκ τούτων εἰς τὰ πρῶτα ἀνέλυσε, καὶ πῶς τὸ αὐτὸ ἐν τῷ αἰτίῳ ἕστησέ τε ἅμα καὶ προήνεγκε καὶ ἐπέστρεψε, καὶ τὸ εἶδος τῆς ἐπιστροφῆς ἔγνωκε; τίς δὲ τὰ μέτρα τῶν τε κυρίως ὄντων καὶ τῶν μὴ τοιούτων εὕρετο, καὶ τὸ μεῖζον τοῖς πολλοστοῖς ἀπὸ τῶν ὑπερτέρων ἐπήξατο, τήν τε διττὴν ἐγνώκει ἀϊδιότητα καὶ τὴν ὑπὲρ δυνάμεως ἀπειρίαν, μέσον

τἀγαθοῦ καὶ τοῦ ὄντος ταύτην ἱδρύσας, τήν τε ὑφεστηκυῖαν ὁλότητα καὶ τὴν κειμένην ἐν ἐπινοίαις, τήν τε διττὴν δύναμιν καὶ τὴν πολυμερῆ ἀπειρίαν; τίς δ' οὕτως τὰς τῶν ὄντων ἀρχὰς διηρευνήσατο καὶ τὸ ὄνομα τῆς ἀρχῆς ἐδογμάτισεν, ὅ μοι τῶν ἄλλων ἐφάνη φιλοσοφώτερον; τίς δὲ τὴν μέθεξιν τῶν κρειττόνων ἠτιολόγησε καὶ τὸν τρόπον τῆς μετοχῆς εὕρατο, καὶ τὸ πρῶτον ἀπὸ τῶν μετ' ἐκεῖνο διακαθηράμενος ἐνενόησε, καὶ πῶς ἡ πρόνοια καὶ ἐν τοῖς δευτέροις ἐστὶ, καὶ τούτων αὖθις ἐξήρηται, καὶ ποδαπαὶ αἱ τῶν ὄντων θειότητες, πόσοι τε καὶ ὅπως ἑστᾶσιν οἱ μέσοι διάκοσμοι, καὶ ἑκάστων οἱ μέσοι αὖθις καὶ αἱ ἀκρότητες, τίς τε ἡ τούτων ἐκπύρωσις καὶ ἡ πολυειδὴς πτέρωσις, τίς τε ὁ ὕμνος, καὶ πῶς ἐξιὼν καὶ πῶς ἐκφωνούμενος, καὶ πῶς διαιρούμενος, αὖθις ἀναπτόμενος; τίνες δὲ οἱ πυρώδεις θρόνοι, οἵ τε ἐπάλληλοι τροχοὶ καὶ τὰ ποικιλώτερα σχήματα; καὶ τίς μὲν ἡ τοῦ θείου νοῦ νόησις, τίς δὲ ἡ τοῦ δευτέρου, καὶ τί μὲν τὸ θέλημα, τί δὲ τὸ ἐνέργημα, πόσα δὲ καὶ ποῖα τὰ κατιόντα συνθήματα, καὶ τίς ἡ πρώτη ἐκπύρωσις καὶ τὸ ἐκπυρούμενον, καὶ πῶς ἀνθρώπῳ μὲν θεὸς, θεῷ δὲ ἄνθρωπος ὁμιλεῖ, καὶ πῶς τὰ δεύτερα οὐ πάσας τὰς τῶν ὑπερκειμένων δυνάμεις δύναται δέξασθαι, καὶ τί μὲν οὐσία, τί δὲ δύναμις, τί δὲ ἐνέργειά, καὶ πῶς εἰς ταὐτὸν πολλάκις τῇ οὐσίᾳ ἡ ἐνέργεια ἔρχεται, τίς δὲ ἡ τῆς οὐσίας διαίρεσις, καὶ τίς ἡ ἕνωσις, τί τε νοῦς καὶ εἰ πλήρης εἰδῶν, καὶ εἰ ὅλος ἐκ μερῶν πάντως, καὶ εἰ ἐκ μερῶν μεριστὸς, καὶ πῶς αὖθις ἀμέριστος, καὶ τίς ἡ τριττὴ ἐπιστροφὴ τῆς ψυχῆς καὶ εἰ πάντα αὕτη τὰ πράγματα; τίς δ' οὕτως εἰκόνα ταύτην καὶ παράδειγμα ἔστησε τοῖς πρώτοις καὶ τοῖς δευτέροις καὶ δεσμὸν εὗρε τοῦ διττοῦ κόσμου, καὶ ὡς διὰ ταύτης ἄνιμέν τε καὶ κάτιμεν, καὶ νῦν μὲν νοοῦμεν τὰ θεῖα, νῦν δὲ φαντασιούμεθα, ἢ δοξάζομεν, ἢ διανοούμεθα;

Ταῦτα ἐκεῖνος ὑπερβαλλούσῃ σοφίᾳ καὶ προτοῦ διηρευνήσατο, καὶ μετὰ ταῦτα ἐξ ὑπερυψήλου κατώπτευσε φύσεως. Ἵνα δὲ μὴ ζημιώσω τἀνδρὶ καὶ τἄλλα περὶ ἃ ἐσπουδάκει, τίς οὕτως τοὺς χα-

ρακτῆρας τῶν ἡμετέρων διαθηκῶν ἐγνώρισε, καὶ τῆς μὲν ἔγνω τοὺς τύπους, τῆς δὲ τὴν ἀλήθειαν, καὶ τῆς μὲν τὴν ἔμφασιν, τῆς δὲ τὴν ἔκβασιν; Τίς δὲ ἐκ πηγῶν Ἰσραὴλ τὸν Κύριον ἤνεσε, καὶ ἀνὰ μέσον τῶν κλήρων κεκοίμηται, καὶ τὰς τῆς εὐθείας περιστερὰς ἀργυρὰς κατώπτευσε πτέρυγας, τά τε μετάφρενα ταύτης ἐν χλωρότητι χρυσίου ὑπεραυγάζοντα, ἅτινα δὴ ταῦτα ὑπολῃπτέον, οἶμαι δὲ τὰς διαφόρους ἐνεργείας τοῦ πνεύματος; τίς δὲ τὰ φαινόμενα εἰς νοῦν μετήνεγκεν ἐξ αἰσθήσεως, τὴν κιβωτὸν, τὸ ἐπὶ ταύτῃ ἱλαστήριον, τὸ ἑκατέρωθεν χερουβεὶμ, τὸ ἄδυτον, τὸ πρὸ τούτου, τὸ μεσάζον ἀμφοῖν τοῖν ναοῖν καταπέτασμα, τὰ ἱερατικὰ συνθήματά τε καὶ ἀφαιρέματα, τοὺς λουτῆρας, τὰ σπονδεῖα, τὰ θύματα, τὰ θυτήρια, ἵνα μὴ καθεξῆς ἅπαντα λέγω; τίς οὕτως εἰς μὲν τὸν τοῦ εὐαγγελίου κρατῆρα ταῦτα μετήνεγκε, καὶ πρὸ τούτου τὰ τῶν ψαλμῶν ἐπιγράμματα, καὶ διάψαλμα, τὰ προφητικὰ λήμματα, τὸ εὐαγγέλιον εἰς τὴν μέλλουσαν κατάστασιν μετεβίβασε, τύπους θέμενος τύπων καὶ ἰδεῶν ἰδέας, καὶ παραδειγμάτων ἕτερα παραδείγματα;

Τοιαύτη μὲν ἡ ἐκείνου φιλοσοφία, καὶ τὰ πλείω παρῆκεν ὁ λόγος· σὺ δέ μοι λέγε τὴν σὴν βαρβαρικὴν ὑψηλολογίαν ἢ μᾶλλον σεμνολογίαν, τὴν ἴυγγα, καὶ τὸν τελετάρχην, καὶ τὸν ὑπεζωκότα, καὶ τὸν ἀμείλικτον, ἢ εἰ βούλει, τὴν δρακοντόζωνον καὶ τρικάρηνον, καὶ τὰς ἀγγελίδας, καὶ τὸν αἰθέριον συνοχέα, καὶ τοὺς πηγαίους πατέρας, καὶ τὴν μεταξὺ τῶν δυεῖν πατέρων ἑκάτην· εἶτά [1] | μοι καὶ διαζωγράφει ταύτην σωματικώτερον, χαίτας φ. 40.
αὐτῇ καθιείς, καὶ ὠλένας συμπλάττων, εἰ δ' αἰσχύνοιο τούτοις, ἀλλὰ γνοίην ἄν σου τοὺς θαυμασιωτέρους καὶ σεμνοτέρους, τὴν καινὴν θεαγωγίαν, οὕτω γὰρ ὀνομάζεις τὰ πεπλανημένα φαντάσματα, καὶ τὸν ἑκατικὸν στροφάλιγγα, καὶ τὰ ποικίλα μαντεύ-

1. Ἕνεκα τοῦ προσεσημειωμένου λάθους περὶ τὴν ἀρίθμησιν τῶν φύλλων 39 καὶ 40, λόγιός τις ἐκλαβὼν ὡς ἐνταῦθα περατούμενον τὸν λόγον, ἐσημείωσε « desideratum aliquid ».

ματα, καὶ τὰς καινοτέρας εἰσκρίσεις, καὶ οἷς αὐτὸς μὲν ἀγάλλοιο καὶ σεμνύνοιο, ἐγὼ δὲ ἡδέως ἐπιγελῶ, καί μοι ἀντὶ θεάτρου καὶ ὀρχήστρας ταῦτα νομίζεται· εἰ δὲ μὴ τούτοις θεατρίζεσθαι βούλοιο, ἀλλὰ τὴν φυσικὴν σκηνὴν τῷ λόγῳ παράπηξον ἐφ' ᾗ μέγα φρονεῖς, ὡς ἐντεῦθεν τὰ ἀπόρρητα τῆς φύσεως εὑρηκὼς, καὶ ὡς ἐστιν ἠρεμίας ἀρχὴ καὶ κινήσεως, πολλῶν φυσικῶν σωμάτων μήτε κινουμένων, μήτ' ἠρεμούντων, κἂν συμβιάζῃ τὴν ἐξήγησιν καὶ καταλέγῃς τοὺς πόλους τε καὶ τοὺς ἄξονας. Ἐπὶ τούτοις ἀρίθμει τὰς τρεῖς τῶν ὄντων ἀρχὰς, καὶ αὖθις τὰς δύο· συστέλλεις γὰρ ὅταν ἐθέλῃς τὴν μίαν καὶ τὴν στέρησιν κυκλοῖς ὡς βούλοιο, νῦν μὲν τῆς σκηνῆς ἀπελαύνων, νῦν δὲ καὶ ταύτην οὐσίαν τιθεὶς, καὶ αὖθις ἐμφανταζων τῇ ὕλῃ καὶ ἐν κακοῦ μοίρᾳ τιθέμενος, καὶ τὸ τόδε, καὶ τὸ ἐκ τοῦδε, καὶ μερίζων ἀμφοῖν, καὶ ἀναμὶξ ἄμφω τιθέμενος. Ἐπὶ τούτοις κἀκεῖνα προστίθει, τὰς διαφορὰς τῶν μαθηματικῶν ἐπιστημῶν πρὸς τὰς φυσικάς· πάνυ γὰρ ταῦτα τῶν ἀναγκαίων καὶ προὔργου εἰς τὴν τοῦ ὄντος κατάληψιν· τὰς μέν τοι τῶν ὄντων αἰτίας παραδεξαίμην ἂν καὶ αὐτὸς, πλὴν τοῦ ὀργάνου καὶ τοῦ παραδείγματος· τὸ μὲν γὰρ περιττὸν, τὸ δὲ ἀσεβὲς, οὐ γὰρ ἀντεπιχειρεῖν ἐπὶ πᾶσι βουλόμενος ταῦτα διαριθμοῦμαι, ἀλλὰ τὸ περίεργον διακρούομαι καὶ τὸ πρὸς τὸν ἡμέτερον λόγον ἀσυντελὲς, ἀλλ' οὐδ' ὁ χρόνος, οὐδὲ τὸ ἄπειρον ἐν τοῖς φυσικοῖς διηκρίβωταί σοι· ἀσύμβατος δὲ τῇ λογικῇ καὶ ἡ τῶν οὐσιῶν ἐναντίωσις καὶ δύσφραστον τὸ ἐνθύμημα, καὶ καταφεῦγον ἐμμεθόδως πρὸς τὰ ἀνώνυμα, καὶ ἵνα τὸ ἅμα καὶ τὸ συναφὲς καὶ συνεχὲς ὑπερβῶ, καταγελῶ σου καὶ τῆς ἀχρόνου καὶ ἀτελευτήτου κινήσεως, καὶ τῆς τοιαύτης ἀϊδιότητος καὶ τῆς καινῆς ἐκ τῶν ὑποκειμένων ὑποθέσεως, καὶ τῆς ἀπὸ τῆς διαφορᾶς τῶν κινήσεων ἀειγενεσίας ἢ ἀγεννησίας καὶ ἀτελευτησίας τοῦ οὐρανοῦ, καὶ τὸ κενὸν ἄνω τούτου καὶ τὸ ἀντίθετον, καὶ τὰς ἐπιμαρτυρίας τούτῳ τῶν πράξεων, ὡς ψυχῆς μετέχοντι λογικῆς, καὶ τὰς αἰτίας τῶν ἀτάκτων κινήσεων, καὶ ὡς οὐ κατὰ ταὐτὸν ὑπὸ ψυχῆς κινεῖται καὶ φύσεως.

Τὰ δὲ περὶ γενέσεως καὶ φθορᾶς ἐλλιπέστερον ἢ Ἱπποκράτει τῷ Ἀσκληπιάδῃ ἡρμήνευται, ἐν οἷς ἐκεῖνος ταῦτα συμβολικῶς καὶ ἀντιθέτως ἐνιαχοῦ ἐν τῷ περὶ τροφῆς συγγράμματι ἐξηγήσατο. Τὸ δὲ τῶν μετεώρων σοι ἐπίγραμμα, αὐτίκα ἔσφαλται, τῷ δὴ τελευταίῳ τῶν τεσσάρων ἐξελεγχόμενον, ὅ τε τοῦ γάλακτος κύκλος κακῶς σοι πεφυσιολόγηται, οὐ γὰρ κομήτης ἐστὶ παντελὴς, καὶ τὰ περὶ τῶν ὡρῶν τὰ πλείω ψεύδεται, ἀλλ' οὐδὲ τὰ περὶ τῆς ἅλω καὶ τῆς ἴριδος ἀληθῆ· οἱ δ' ἐξηγούμενοι τροφεῖα τῷ φιλοσόφῳ ἐκτίνουσι, τὸ διημαρτημένον ἐπανορθούμενοι· εἰσὶ δ' οἳ οὐδὲ τὴν μαθηματικὴν αὐτῷ προσμαρτυροῦσιν ἀκρίβειαν. Ἀλλὰ ταῦτα μὲν κάτω φαίης ἂν καὶ περὶ τὴν ὕλην αὐτοῖς τὸ ἁμάρτημα, προβάλοις δ' ἂν ἡμῖν τὰ θεολογικὰ βιβλία, ὡς ἀναμάρτητα· πρῶτον μὲν οὖν εἴποιμι ἂν ὅτι καὶ τούτοις ὑποβάθρα τὰ φυσικὰ καὶ ἡ αὐτολογία πολλὴ, καὶ ἡ τῶν δογμάτων καινότης διωλύγιος φλυαρία, καὶ τὰ πλείω διαπορούμενα, καὶ τὸ ὂν ᾗ ὄν, καὶ τὰ τούτῳ ὑπάρχοντα καθ' αὑτό που κείμενα, καὶ ποτέροις ἐν νοῖς ἢ ἐν αἰσθήσεσι· τίς δὲ καὶ ἡ ἐπιστήμη ἢ τοῦτο θεωρεῖν ἐπιβάλλει, ἤ τις οὐδεμία ἐστὶ τῶν ἐν μέρει λεγομένων ἡ αὐτή; τί δὲ βούλοιτ' ἂν ἡ πολυμερὴς τῆς οὐσίας τομὴ, τίς δὲ ἡ τῶν ἀρχῶν, καὶ τῶν αἰτίων, καὶ τῶν στοιχείων διαίρεσις, καὶ τί τὸ τούτων πρωταίτιον, οὐδαμοῦ τῷ φιλοσόφῳ διακριβούμενον· καὶ τίνα ταῦτα ἐπὶ τοῖς οὖσι, καὶ τίς ἡ τοῦ πολλαχῶς ὄντος πολλαχῇ διαίρεσις· πῶς δὲ τοῖς ἀπὸ τῶν φυσικῶν ἐπὶ τὰ θεολογικὰ ἀναβαίνουσι, νῦν μὲν οἷον γέφυρά τις ἐστὶ τὰ μαθηματικὰ, νῦν δὲ ἄμεσα ἄμφω, καὶ διὰ ταῦτα τὰ πρῶτα μετὰ τὰ φυσικὰ ὀνομάζεται. Τοῦτο μόνον ἐπαινῶ τῶν Ἀριστοτέλους, ὅτι τὸ τῆς φιλοσοφίας ἡμῖν γένος διοργανούμενος, πάσης ἑτέρας καθήψατο, καὶ οὔθ' ὁ μέγας ἡμῖν Παρμενίδης σώσαιτ' ἂν τὴν τοιαύτην προσηγορίαν· φροῦδοι δὲ καὶ οἱ Λίσσοι(?) καὶ οἱ Ζήνωνες, οἱ μὲν ὡς κακῶς συμπερανάμενοι καὶ συλλογισάμενοι, οἱ δὲ, τὸ μὴ πολλὰ εἶναι τὰ ὄντα ἐπὶ μόνοις τοῖς εἴδεσι θέμενοι· οὐδὲ καὶ ὁ σεμνὸς ὑμῖν Πυθαγόρας μετὰ τῆς βαθείας

ὑπήνης εἰς ἀριθμοὺς πάντα τιθέμενος, ἐληλεγμένος πρὸς τῷ τέλει τῆς ἰδίας θεολογίας· τὰ δὲ περὶ ἀνθρώπων φύσεως ὁ ἐκ Περγάμου Ἀσκληπιάδης κάλλιον Ἀριστοτέλους φυσιολογεῖ ἐν τῷ περὶ χρείας μορίων συντάγματι· τὰ δέ γε περὶ ζώων αὐτῷ συναίρεμά ἐστιν ἀλλοτρίων ἱστοριῶν, καὶ μᾶλλον ἂν ἀπὸ τοῦ Νείλου πίοιμι ἢ τοῦ ἀμφορέως ὃς τοῦ Νειλῴου ἠρύσατο ῥεύματος.

Ἐβουλόμην ἐλευθερίαν τῶν ἐλέγχων ἔχειν ἐνταῦθα, ἵνα πᾶσιν οἷς εἶχον ἐχρώμην, ἀνθέλκει δέ μοι τὸν λόγον ὁ ἐπιτάφιος· ἀλλὰ βραχύ τι οὗτος καὶ αὖθις ἀναμεινάτω· ὅτι γὰρ οὐ μεμψίμοιρος ἐγὼ πρὸς τὴν ἔξω φιλοσοφίαν, οὐδὲ κατὰ παντὸς ἀποτοξεύω συντάγματος, αὐτίκα κατὰ τῆς ἀποδεικτικῆς πολὺν ἂν εἴποιμι ἔπαι-
φ. 40*. νον· τέλος γὰρ αὕτη τῆς λογικῆς πραγματείας· οἱ γὰρ | τόποι καὶ ἡ σοφιστεία οὐ προηγούμενα· ἐπαινῶ τὰς ἀρχὰς τῶν συλλογισμῶν, καὶ τὸν ἀριθμὸν καὶ τὴν διαίρεσιν καὶ τὰ ἐκ τούτων συγκείμενα, τοὺς ἁπλοῦς λόγους, καὶ αὖθις τὰ συνθετώτερα, καὶ τὴν τριττὴν τούτων τομὴν καὶ τὰ σχήματα, καὶ τὴν εὕρεσιν τῶν μέσων καὶ τὴν ἀνάλυσιν, καὶ τὰς ἐν ἐπιτόμῳ ἀρχὰς τῆς σοφιστικῆς καὶ διαλεκτικῆς, καὶ ὅθεν τὸ ἀποδεικνύειν, καὶ τὴν τῶν καθ' αὑτὰ καὶ ἡ αὐτὰ κατηγορίαν· πλὴν ἐγὼ διαφορὰν ἀμφοῖν τίθεμαι. Ἐπαινοίην δ' ἂν καὶ τὴν ἀπὸ τοῦ κατὰ παντὸς τοῦ καθόλου διαίρεσιν, καὶ τὸ ἐπιτυχεῖν πρῶτον.... [1].

1. Δυστυχῶς ἐλλείπει τὸ τέλος, περιγράφον τὰ κατὰ τὸν θάνατον τοῦ πατριάρχου, ὡς αὐτὸς ὁ Ψελλὸς ἀνωτέρω (σελ. 453) εἶπε.

Paris. — Imprimerie Georges Chamerot; rue des Saints-Pères, 19.

THE NEW YORK PUBLIC LIBRARY
REFERENCE DEPARTMENT

This book is under no circumstances to be taken from the Building

JUN 1 - 1915
JUN 13 1915
JUL 26 1915
AUG 6 1915
AUG 21 1915
SEP 10 1915
SEP 12 1915
JAN 31 1916
MAR 15

Form 410

THE NEW YORK PUBLIC LIBRARY
REFERENCE DEPARTMENT

This book is under no circumstances to be taken from the Building

JUN 1 2 1915	JUN 1 3 1916	6/21
JUN 1 3 1915	JUL 2 6 1916	
JUN 2 1 1916	DEC 8 1916	
[illegible] - 1916	[illegible]	
AUG 6 1919		[illegible]
[illegible]		
[illegible]		
SEP 1 5 [illegible]	MAY [illegible]	
SEP 1 2 1919		
[illegible]	DEC 1 [illegible]	
[illegible] 1915	[illegible]	
[illegible]		

form 410